




1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

GRAMMATICI GRAECI

RECOGNITI

ET APPARATV CRITICO INSTRVCTI

PARTIS QVARTAE VOLVMEN PRIVS

THEODOSII ALEXANDRINI CANONES

ET

GEORGII CHOEROBOSCI SCHOLIA IN CANONES NOMINALES

CONTINENS



LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCLXXXIX

THEODOSII ALEXANDRINI

CANONES

GEORGII CHOEROBOSCI

SCHOLIA

SOPHRONII PATRIARCHAE ALEXANDRINI

EXCERPTA

RECENSVIT ET APPARATVM CRITICVM INDICESQVE

ADIECIT

ALFREDVS HILGARD

VOLVMEN PRIVS

THEODOSII CANONES

ET

CHOEROBOSCI SCHOLIA IN CANONES NOMINALES

CONTINENS



LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

MDCCCLXXXIX

LIPSIAE: TYPIS B. G. TEVBNERI

Fieri cum nequeat, ut priusquam alterum quoque huius partis volumen typis sit impressum, omnia exponam ea quae videntur praefanda, opus esse existimaverim, priori huic volumini praemittere quam brevissimum conspectum eorum quae in eo adhibita sunt compendiorum:

B = cod. Vaticanus 1370, chart. f. quadr. saec. XV; leguntur in eo fol. 89 — 128^{v} canones Theodosiani; praeterea cfr. IBekkeri An. Gr. 1127. Dion. Thr. ed. Uhl. praef. IX 37.

C = cod. Coislinianus 176 (Montfaucon 230, Omont 3,149), bombyc. in folio, saec. XV; praebet fol. 1—22^{v} Theodosii canones, fol. 30—37^{v} Choerobosci prolegomena ad scholia in nominales canones, fol. 68^{v}—361 eiusdem Onomaticum, commentarium de accentibus, Rhematicum.

F = cod. Vindobonensis 294 (Nessel 4, 144; ALudwich, Arist. 2, 658), chart. f. quadr. saeculi XV; inest in eo pars canonum Theodosianorum prior p. 4, 18 — 43, 4 (εἰςὶ), quam cum editione Bekkeriana contulit ALudwich 2, 677—683.

G = cod. Vindobonensis 240 (Nessel 4,130; PEgenolff in progr. gymnasii Mannhem. 1887, p. 13), chart. f. quadr. saec. XV; quae canonum pars [p. 43, 1 (Θεοδώρου) seu potius 43, 4 (καταλήξεις) — 93, 10 (θέςθων)] hic fol. 131 — 164^{v} legitur, ea coniuncta olim erat cum priore parte in Vindob. 294 exstante.

L = cod. Leidensis Vossianus 76 (Catal. bibl. Lugd. Bat. 399), membr. f. quadr. saec. XI, cuius accuratissimam descriptionem habes in Dion. Thr. ed. Uhl. praef. XIX—XXX; tres fere canonum praebet partes, sed ibi tantum, ubi cod. Monacensis 310, ex quo depictus est, nos deserit, a nobis adscitus est.

M = cod. Monacensis 310 (Hardt 3, 257—260), membr. f. quadr. saec. IX vel X, diligentissime descriptus ab Uhligio (Dion. Thr. praef. XII—XIX); priorem exhibet canonum partem p. 3, 1 — 57, 10 (τετύφαται) fol. 14^{v} — 17^{v} et 22^{r} — 42^{v}.

N = cod. Neapolitanus Burbonicus II D 3 (Cyrill. 2, 41), chart. in folio, saec. XIV; fol. 25^{r} — 135^{v} legitur magna pars Choerobosciani commentarii ad nominales canones (p. 103, 1 — 334, 13) una cum eis, quae a Gaisfordio Dict. in Theod. can. p. 19, 12 — 88, 28 edita sunt.

O = cod. Oxoniensis Baroccianus 116 (Coxii Catal. 1, 192, chart. in octavo, saec. XIV; fol. 52^{r} — 209^{r} Choerobosci scholia sunt ad Theodosii canones verbales.

P = cod. Parisinus graecus 2831 (Omont 3, 46), bombyc. in octavo, saec. XIII seu XIV; praebet fol. 49^{r} — 112^{v} quaternionum ordine male perverso Choerobosci prolegomena et dimidium fere Onomatici p. 103, 1 — 222, 18 (βραδεῖα), inserta parte eorum quae Gaisfordius edidit Dict. in Theod. can. p. 19, 12 — 88, 28.

T = cod. Parisinus graecus 2426 (Omont 2, 259), chart. in octavo, saec. XVI, cuius fol. 24r et 40r arte photolithographica repraesentata vides apud Omont, Fac-similés de manuscrits grecs des XV et XVI siècles, pl. 41; fol. 40r—87v legitur Choerobosci commentarius περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων (p. 362, 1—417, 32).

V = cod. Venetus Marcianus 489 (Zanetti 1, 256), chart. in octavo, saec. XIV; insunt in eo fol. 115r—353v Choerobosci scholia et ad nominales et ad verbales canones, omisso eius de accentibus commentario.

Numerum [1] vel [2] addidimus, ubi utile videbatur disertis verbis correctoris manum ([2]) discernere ab eius manu qui continuum conscripsit contextum.

*E*g = Theodosii canones in catechismi formam (non a Moschopulo) redacti, quales leguntur in cod. Guelferbytano Gudiano 112, membr. saec. XII; Egenolffus catechismum ab ipso depictum liberalissime nobis utendum concessit.

*E*b = Erotemata ex Theodosii canonibus orta, διορθωθέντα a Manuele Moschopulo Cretensi, qualia exstant in:

Bas. I = cod. Basileensis F VIII 13, chart. in 8°, saec. XIV;

Bas. II = cod. Basileensis O IV 26, chart. in 8°, saec. XV;

ed. pr. = editio princeps catechismi Moschopuliani, quae prodiit sine loci annive notatione (anno fere 1493) sic inscriptus: τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ μανουὴλ τοῦ μοσχοπούλου διορθωθέντων ἐρωτημάτων;

ed. Wald. = eiusdem catechismi editio quae in lucem prodiit a. 1540 ex officina Ioannis Waldori Basileensis; de quibus codicibus et editionibus vide quae exposuit Uhligius in progr. gymn. Heidelberg. 1881, VI sq.

E = consensus erotematum Guelferbytanorum et Moschopuliorum.

*Σ*χ = Choerobosci scholia ad Theodosii canones, edita a ThGaisfordio Oxonii 1842 et huic volumini inde a p. 103 inserta.

*Σ*σ = Sophronii, Alexandriae patriarchae, excerpta ex Ioannis Characis commentario ad Theodosii canones adhuc inedita, in codd. Havniensi 1965 et Vindobonensi 240 servata, quae ab Egenolffo descripta addentur alteri huius partis volumini.

*Σ*ϑ = commentarius Pseudotheodosianus, quem KGoettlingius Lipsiae 1822 in lucem emisit insertum libro cui inscripsit Theodosii Alexandrini grammatica p. 109—197.

Σ = consensus horum trium commentariorum.

b = IBekkeri Anecd Graec. vol. III. Berolini 1821.

g = ThGaisfordii editio Georgii Choerobosci scholiorum, Oxonii 1842.

THEODOSII ALEXANDRINI

CANONES ISAGOGICI

DE

FLEXIONE NOMINVM ET VERBORVM

SVBSCRIPTIS

DISCREPANTIIS SCRIPTVRAE CODICVM ET TESTIMONIIS

QVAE IN SCHOLIIS ET EROTEMATIS REPERIVNTVR



p. 975 b

ΘΕΟΔΟϹΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ἈΛΕΞΑΝΔΡΕΩϹ

εἰϲαγωγικοὶ κανόνεϲ περὶ κλίϲεωϲ ὀνομάτων.

Κανὼν α'.

Ἑνικά. **Αἴαϲ Αἴαντοϲ:** τὰ εἰϲ ας καθαρὸν ὀνόματα διϲύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ντ κλίνεται, Θόαϲ Θόαντοϲ, Ὕαϲ Ὕαντοϲ, Αἴαϲ Αἴαντοϲ. **τῷ Αἴαντι:** πᾶϲα γενικὴ εἰϲ οϲ λήγουϲα μεταβάλλουϲα τὴν οϲ εἰϲ ῑ τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον, ἔρωτοϲ ἔρωτι, Μίνωοϲ Μίνωϊ, Αἴαντοϲ Αἴαντι. **τὸν Αἴαντα:** πᾶϲα δοτικὴ εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα ὅτε ἔχει ἰϲοϲύλλαβον τὴν αἰτιατικὴν τροπῇ τοῦ ῑ εἰϲ ᾱ αὐτὴν ποιεῖ, λέβητι λέβητα. **ὦ Αἶαν:** πᾶϲα γενικὴ διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τοῦ τοϲ ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, Αἴαντοϲ Αἶαν, Ξενοφῶντοϲ Ξενοφῶν· πλακοῦντοϲ δὲ πλακοῦ καὶ Ϲιμοῦντοϲ Ϲιμοῦ.

[Discr. scr. in MCBb] **3** *ante* Κανὼν α' *add* ΠΕΡΙ ΑΡΡΕΝΙΚΩΝ ΚΑΝΟΝΩΝ b | Κανὼν α' *om* C ‖ **4** Ἑνικά *om* MC; *ceterum numerorum nomina, imprimis* ἑνικά, *non raro omitti semel dixisse satis erit* | Αἴαϲ Αἴαντοϲ *om* C | καθαρὸν MBb, καθαρὰ C ‖ **5** *post* μακροκατ. *add* ἀρϲενικὰ Bb ‖ **7** μεταβάλλουϲα τὴν οϲ MB, μεταβάλλουϲα τὸ οϲ b, τροπῇ τοῦ οϲ C | ὁμόχρονον καὶ ὁμότονον C | *post* ὁμόχρ. *add* Θόαντοϲ Θόαντι Bb ‖ **8** Μήνωοϲ Μήνωϊ C ‖ **9** *post* δοτικὴ *add* ἑνικῶν Bb | ἰϲοϲύλλαβον *ex* ἰϲοϲυλλάβων *radendo corr.* M ‖ **10** λέβητι λέβητα M, λέβητι λέβητα . ἔρωτι ἔρωτα . αἴαντι αἴαντα C, θόαντι θόαντα. ἔρωτι ἔρωτα . χάριτι χάριτα . αἴαντι αἴαντα . λέβητι λέβητα Bb ‖ **11** τοῦ τοϲ MBb, τῆϲ τοϲ C | τὴν κλητικὴν ποιεῖ C ‖ **12** *post* παραλ. *add* χωρὶϲ (πλὴν C) τῶν μετοχῶν καὶ τῶν μετοχικῶν ὀνομάτων CBb | *post* Ξενοφῶν *add* Θόαντοϲ Θόαν Bb ‖ **13** δὲ *om* C | *ad* πλακοῦ *in marg. rubro add:* ἐν ἄλλῳ. καὶ ϲιϲαμοῦντοϲ ϲιϲαμοῦ (ϲηϲαμοῦντοϲ ϲηϲαμοῦ b) Bb | Ϲιμοῦ MBb, ϲιμοῦν. δίφθογγοϲ γὰρ C

[Testim. ex ΣE] **4** καθαρὸν $\Sigma E^{g} E^{b}$ (*in Bas. II, ed. pr. et Wald.*), καθαρὰ E^{b} (*in Bas. I*) ‖ **5** ἀρϲενικὰ *post* μακροκ. *ne ΣE quidem habent;* Σ^{σ} *autem* δεῖ προϲθεῖναι, *inquit,* ἀρϲενικὰ διὰ τὸ κρέαϲ κῶαϲ οὐδέτερα ‖ **7** μεταβάλλουϲα τὴν οϲ] τροπῇ τοῦ οϲ Σ^{χ} (*99, 13. 100, 1 g*) *E* ‖ **9** δοτικὴ ἑνικῶν Σ^{χ} (*100, 26 g*) *E*, ἑνικῶν *om* Σ^{χ} (*102, 32 g*) *et* Σ^{σ}, *qui addit*: δεῖ προϲθεῖναι τῷ κανόνι ἑνικῇ... διὰ τὰϲ πληθυντικὰϲ δοτικάϲ. Σ^{χ} (*103, 32 g*) *in* V *om*, *in* NCP *habet* ἑνικῶν ‖ **11** τοῦ τοϲ] τῆϲ τοϲ Σ^{χ} (*104, 15 g*) *E* ‖ **12** *verba* χωρὶϲ (πλὴν C) τῶν μετοχῶν καὶ τῶν μετοχικῶν ὀνομάτων, *quae add* CBb, *orta sunt ex* Σ^{χ} (*104, 21 sqq. g*): δεῖ (δὲ ἡμᾶϲ *add* VP) προϲθεῖναι τῷ κανόνι χωρὶϲ τῶν μετοχῶν... καὶ χωρὶϲ τῶν μετοχικῶν

Δυϊκά. Τὼ Αἴαντε: πᾶcα δοτικὴ ἑνικῶν εἰc ῑ ἐκφωνούμενον λήγουcα τροπῇ τοῦ ῑ εἰc ε̅ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ, βοΐ βόε. τοῖν Αἰάντοιν: πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̅ ἢ εἰc ω̅ λήγουcα εἰc ο̅ι̅ν̅ ποιεῖ τὴν γενικήν, ἔρωτε ἐρώτοιν, κανόνε κανόνοιν, Ὁμήρω Ὁμήροιν, cοφώ 976b cοφοῖν. ὦ Αἴαντε: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτωc καὶ ἡ κλητική.

Πληθυντικά. Οἱ Αἴαντεc: πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̅ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χάριτε χάριτεc, νᾶε νᾶεc, ἔρωτε ἔρωτεc. τῶν Αἰάντων: πᾶcα γενικὴ πληθυντικῶν εἰc ω̅ν̅ λήγει ἐπὶ παντὸc γένουc. τοῖc Αἴαcι: πᾶcα εὐθεῖα ἑνικῶν εἰc c̅ λήγουcα μετὰ μακρᾶc περιccοcυλλάβωc κλινομένη καὶ μὴ cυναιρουμένη κατὰ τὴν γενικὴν προcθέcει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, λέβηc λέβητοc λέβηcι, Τρώc Τρωόc Τρωcί, Πηλεύc Πηλέωc Πηλεῦcι, πλὴν τοῦ πούc ποδόc ποcί. τοὺc Αἴανταc: πᾶcα αἰτιατικὴ ἑνικῶν εἰc ᾱ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, Κύπριδα Κύπριδαc. ὦ Αἴαντεc: εἴπομεν ὡc τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτωc καὶ ἡ κλητική.

Κανὼν β΄.

Ἑνικά. Ὁ κοχλίαc τοῦ κοχλίου: τὰ εἰc α̅c̅ καθαρὸν ὑπὲρ δύο cυλλαβὰc ἁπλᾶ βαρύτονα εἰc ο̅υ̅ ἔχει τὴν γενικήν, Παπίου Ἑρμείου Αἰνείου· εἰ δὲ εἰc ᾱ περατώcειc τὴν γενικὴν τοῦ Παπία λέγων καὶ τοῦ Αἰνεία, Δωρικὴ ἔcται ἡ κλίcιc cυνήθηc γεγονυῖα τῇ κοινῇ διαλέκτῳ· cεcημείωται τὸ Πικίαc Πικίαντοc καὶ Πευκετίαc Πευκετίαντοc. τῷ κοχλίᾳ: πᾶcα γενικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ῑ

[Discr. scr. in MCBb] **2** *post* βόε *add* Θόαντι Θόαντε C, Θόαντι Θόαντε. Αἴαντι Αἴαντε Bb ‖ **3** εἰc ε̅] εἰc ῑ C | εἰc ω̅] εἰc ο̅ b ‖ **4** *post* γενικήν *add* καὶ δοτικήν b, τῶν δυϊκῶν C ‖ **6** οὕτω Bb ‖ **7** εἰc ε̅] εἰc ῑ C ‖ **8** *ante* χάριτεc *add* οἱ C ‖ **9** νάε νάεc C | *post* ἔρωτεc *add* αἴαντε αἴαντεc C | *post* πληθ. *add* κοινή Bb ‖ **10** λήγει] λήγη M ‖ **11** cυναναιρουμένη C ‖ **14** *post* Πηλεῦcι *add* παῖc. παιδόc. παιcί Bb | Αἴανταc] ᾿ΑΝΤΑC M ‖ **16** *post* Κύπριδαc *add* Αἴαντα Αἴανταc Bb | *ante* ὦ Αἴαντεc *add* ἡ κλητική C | εἴπομεν — κλητική (**17**) *om* C | ὡc *post* εἴπομεν *om* M ‖ **17** οὕτω Bb, *om* M
[Discr. scr. in MCBFb] **18** Κανὼν β΄ *om* C ‖ **19** τοῦ κοχλίου *om* C ‖ **20** ἁπλᾶ βαρύτονα CBFb, βαρύτονα ἁπλᾶ M | ἁπλὰ F ‖ **21** Αἰνείου] Αἰνίου M | Αἰνείου Ἑρμείου *traic.* CF | περατώcειc CBFb, περατώcει M ‖ **22** Αἰνεία CF *et ex* αἰνία *correctum* M, ἑρμεία Bb | κλίcιc] κλῆcιc F | κοινῇ] κυνῆι M ‖ **23** τὸ Πικίαc Πικίαντοc καὶ Πευκετίαc Πευκετίαντοc MBb, τὸ Πικίαντοc καὶ Πευκετίαντοc F | Πικίαντοc καὶ Πευκετίαc Πευκετίαντοc *om* C | *post* Πευκετίαντοc *add* ἐν τῷ κανόνι BFb

[Testim. ex ΣE] **4** *post* γενικὴν *add* καὶ δοτικὴν Σ^{χ} *107, 34* g (*in* C) *et* E^{g}, καὶ δοτικὴν τῶν δυϊκῶν Σ^{χ} (*in* NVP) *et* E^{b} ‖ **9** *post* πληθυντικῶν *add* κοινή Σ^{χ} *113, 12* g (*in* N) E^{b}; Σ^{χ} *autem addit* (*113, 19* g): δεῖ προcθεῖναι ... χωρὶc τῶν κατὰ διάλεκτον ‖ **20** ἁπλᾶ βαρύτονα *testantur* ΣE ‖ **21** περατώcειc E^{g} ‖ **22** Αἰνεία Σ^{χ} *120, 21* g, Ἑρμεία Σ^{σ} E^{g}

ἀνεκφώνητον λήγουϲαν μετὰ τοῦ φωνήεντοϲ τῆϲ εὐθείαϲ ἢ μείζονοϲ ἀντιϲτοίχου, ὁ Πέρϲηϲ τοῦ Πέρϲου τῷ Πέρϲῃ. Μήδεια Μηδείαϲ Μηδείᾳ· καλόϲ δὲ καλοῦ καλῷ διὰ μείζονοϲ. τὸν κοχλίαν: πᾶϲα εὐθεῖα εἰϲ ϲ̄ λήγουϲα ὅταν ἔχῃ ἰϲοϲύλλαβον τὴν αἰτιατικὴν μετὰ τῶν αὐτῶν φω-
977 b νηέντων εἰϲ ν̄ αὐτὴν ἔχει λήγουϲαν, ἰχθῦϲ ἰχθύν, καλόϲ καλόν· ὅθεν Ἀττικοὶ Δημοϲθένην κλίνουϲι μετὰ τοῦ ν̄. ὦ κοχλία: τὰ εἰϲ ᾱϲ̄ ἰϲοϲυλλάβωϲ κλινόμενα ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν κλητικήν, Μηνᾶϲ Μηνᾶ.

Δυϊκά. Τὼ κοχλία: πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ᾱ ἢ εἰϲ ω̄ λήγουϲα ὁμόφωνον ἔχει τὴν ὀρθὴν τῶν δυϊκῶν, τῷ Παπίᾳ τὼ Παπία, τῷ καλῷ τὼ καλώ. τοῖν κοχλίαιν: πᾶϲα εὐθεῖα δυϊκῶν εἰϲ ᾱ λήγουϲα προϲθέϲει τοῦ ιν̄ ποιεῖ τὴν γενικήν, καλά καλαῖν, Πέρϲα Πέρϲαιν. ὦ κοχλία: εἴρηται.

Πληθυντικά. Οἱ κοχλίαι: πᾶϲα εὐθεῖα δυϊκῶν εἰϲ ᾱ λήγουϲα προϲθέϲει τοῦ ῑ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, τὰ Μούϲα αἱ Μοῦϲαι· εἰ δὲ εἰϲ ω̄ λήγει εἰϲ οι̅ ποιεῖ, πλὴν τῶν οὐδετέρων. τῶν κοχλιῶν: εἴρηται. τοῖϲ κοχλίαιϲ: πᾶϲα εὐθεῖα πληθυντικῶν εἰϲ ῑ λήγουϲα προϲθέϲει τοῦ ϲ̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἱ καλοί τοῖϲ καλοῖϲ, οἱ τοξόται τοῖϲ τοξόταιϲ. τοὺϲ κοχλίαϲ: πᾶϲα εὐθεῖα πληθυντικῶν εἰϲ αι̅ λήγουϲα τροπῇ τοῦ ῑ εἰϲ ϲ̄ τὴν αἰτιατικὴν ποιεῖ, Μοῦϲαι Μούϲαϲ, Πέρϲαι Πέρϲαϲ. ὦ κοχλίαι: εἴρηται.

Κανὼν γ΄.

Ἑνικά. Ὁ Λάχηϲ τοῦ Λάχητοϲ: τὰ εἰϲ ηϲ̅ βαρύτονα ἰαμβικὰ

[Discr. scr. in MCBFb] **1** λήγουϲα F ‖ **2** Μήδεια Μηδείαϲ Μηδείᾳ MC, ἡ Μήδεια. τῆϲ Μηδείαϲ. τῇ Μηδείᾳ Bb | Μήδεια — μείζονοϲ (**3**)] ἡ γῆ τῆϲ γῆϲ τῇ γῇ. μήδεια μηδείαϲ μηδείᾳ. καλόϲ δὲ καλοῦ καλῷ διὰ μείζονοϲ F | *post* Μηδείᾳ *add* ἡ γῆ. τῆϲ γῆϲ. τῇ γῇ Bb ‖ **3** δὲ *om* C | *post* εὐθεῖα *add* ἑνικῶν Bb ‖ **4** ἔχῃ BFb, ἔχει MC | τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον F ‖ **5** αὐτὴν] αὐ M ‖ **6** *ante* Ἀττικοὶ *add* οἱ C | κλίνουϲι μετὰ τοῦ ν̄] μετὰ τοῦ ν̄ λέγουϲιν C, μετὰ τοῦ ν̄ λέγουϲι καὶ γράφουϲιν F | *ante* ὦ κοχλία *add* ἡ κλητική C ‖ **7** κλιτικήν M | *post* Μηνᾶ *add* Ζηνᾶϲ Ζηνᾶ CBFb, *praeterea add* κερκιδᾶϲ κερκιδᾶ Bb ‖ **8** *post* ω̄ *add* μέγα B ‖ **11** *ante* ὦ κοχλία *add* ἡ κλητική C | εἴρηται *om* C ‖ **13** τὴν εὐθεῖαν τῶν πληθυντικῶν] τὸ πληθυντικόν F | τὰ μοῦϲα F ‖ **14** λήγει *et supra* ει *scripto* οι C, λήγοι F | ποιεῖ MFBb, αὐτὴν λήγει C | *post* ποιεῖ *add* τὸ πληθυντικόν BFb ‖ **15** εἰϲ ῑ MBFb, εἰϲ αι̅ ἢ εἰϲ οι̅ C ‖ **16** τῶν πληθυντικῶν *om* BFb | οἱ καλοί — τοῖϲ τοξόταιϲ (**17**) MC, μοῦϲαι μούϲαιϲ. πέρϲαι πέρϲαιϲ F, οἱ Πέρϲαι τοῖϲ Πέρϲαιϲ. αἱ μοῦϲαι ταῖϲ μούϲαιϲ (οἱ *et* τοῖϲ *et* αἱ *et* ταῖϲ *supra lin. scripta sunt* B). οἱ τοξόται τοῖϲ τοξόταιϲ. οἱ καλοί τοῖϲ καλοῖϲ Bb ‖ **18** *post* αι̅ *add* δίφθογγον BFb | εἰϲ ϲ̄] εἰϲ αϲ̅ C ‖ **19** *ante* ὦ κοχλίαι *add* ἡ κλητική C

[Testim. ex ΣE] **3** *post* εὐθεῖα *add* ἑνικῶν $Σ^χ$ *124, 32* g (*in* NC, *in* VP *om*), *om* $Σ^σ$ **E** ‖ **4** ὅταν ἔχῃ $Σ^χ E^s E^b$ (*tantum in Bas. II* ἔχει) | τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον $Σ^χ$ **E** ‖ **6** ὅθεν Ἀττικοὶ $Σ^χ$ *124,34* g (*in* NC), ὅθεν Ἀττικοὶ — τοῦ ν̄ *om* $Σ^χ$ *in* V, οἱ Ἀθηναῖοι $Σ^χ$ *125, 24* g | μετὰ τοῦ ν̄ λέγουϲιν $Σ^χ$ (*in* NC) ‖ **7** *vocabulorum* Ζηνᾶϲ *et* Κερκιδᾶϲ *mentionem non facit* $Σ^χ$ ‖ **14** *verba* εἰ δὲ — οὐδετέρων *nullo modo respiciunt* $Σ^χ$**E**, *ut num Theodosiana sint dubitari possit* ‖ **15** εἰϲ ῑ λήγουϲα $Σ^χ$ (*130, 18* g), εἰϲ αι̅ δίφθογγον λήγουϲα **E** ‖ **16** τῶν πληθυντικῶν *hab.* $Σ^χ$**E** ‖ **18** εἰϲ αι̅ δίφθογγον λήγουϲα $Σ^χ$ (*130, 29* g) **E** | τροπῇ τοῦ ῑ εἰϲ ϲ̄ $Σ^χ E^b$ (*in Bas. I, ed. pr., ed. Wald.*), εἰϲ αϲ̅ $E^s E^b$ (*in Bas. II*)

μὴ ἔχοντα ἐπ' εὐθείας τὸ τ̄ εἰς τος̄ ἔχει τὴν γενικήν, λέβητος Πάχητος Δάρητος· σεσημείωται τὸ Κόμης Κόμου καὶ γύης γύου. τῷ Λάχητι, τὸν Λάχητα: εἴρηται. ὦ Λάχης: τὰ εἰς ης̄ ἢ εἰς ως̄ ὀνόματα διὰ καθαροῦ τοῦ τος̄ κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, 978 b τοῦ λέβητος ὦ λέβης, τοῦ ἔρωτος ὦ ἔρως.

Δυϊκά. Τὼ Λάχητε, τοῖν Λαχήτοιν, ὦ Λάχητε.

Πληθ. Οἱ Λάχητες, τῶν Λαχήτων, τοῖς Λάχησι, τοὺς Λάχητας, ὦ Λάχητες.

Κανὼν δ'.

Ἑνικά. Ὁ Χρύσης τοῦ Χρύσου: τὰ εἰς ης̄ βαρύτονα σπονδειακὰ εἰς ου̅ ἔχει τὴν γενικήν, Πέρσης Πέρσου, Τέννης Τέννου· σεσημείωται τὸ μάσθλητος Μόργητος Μήλητος· τὰ γὰρ ἄλλα ἔχουσιν ἀπολογίαν. τῷ Χρύσῃ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὸν Χρύσην: εἴρηται. ὦ Χρύση: τὰ εἰς ης̄ ἰσοσυλλάβως κλινόμενα εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα ἢ τὸ τ̄ ἔχοι ἢ ἐθνικὰ εἴη ἀποβολῇ τοῦ σ̄ ποιεῖ τὴν κλητικήν, ὦ Εὐριπίδη, ὦ μισογύνη, ὦ Μηριόνη· εἴπομεν «εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα» διὰ τὸ ὦ γεωμέτρα, «ἢ τὸ τ̄ ἔχοι» διὰ τὸ ὦ τοξότα, ὦ θύτα, «ἐθνικά» δὲ διὰ τὸ ὦ Πέρσα.

[Discr. scr. in MCBFb] **1** τὸ τ̄] τὸ ῑ b ‖ **2** Δάρητος] δώρητος C ‖ **3** ἢ εἰς ως̄] εἰς ος̄ C ‖ **4** *ad* κλινόμενα *in marg. rubro add:* ἄλλως. διὰ τοῦ τος̄ ἢ διὰ καθαροῦ τοῦ ος̄ κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, οἷον ὁ λάχης τοῦ λάχητος ὦ λάχης, ὁ γέλως τοῦ γέλωτος ὦ γέλως, ὁ ἥρως τοῦ ἥρωος ὦ ἥρως Bb ‖ **5** ἔρως *sed supra* ω *scr.* ο C ‖ **6** Τὼ Λάχητε] τοι Λάχητε M | τοῖν Λαχήτοιν, ὦ Λάχητε *om* C ‖ **8** ὦ *om* B ‖ **10** σπονδειακὰ βαρύτονα *transp.* b | σπονδειακὰ BFb, σπονδιακὰ MC ‖ **11** Πέρσης Πέρσου MFBb, χρύσης χρύσου C | Τέννης *om* C | Τένης Τένου Bb, *ceteri habent* νν ‖ **12** Μήλητος C, Μίλητος MBFb, Μέλητος *coni. Bachmannus AG I 428, 10 adn.* ‖ **13** εἴπομεν — ἀντιστοίχου (**15**) *om* F | εἴπομεν Bb, εἶμεν M, ἴπομεν C ‖ **16** συντεθειμένα MBFb, συντεθειμένον *et supra* ει *posito* η C | ἔχοι MBFb, ἔχει C; *item v. 19* ‖ **18** μηριόνη MBFb, μυριόνη *in* μηριόνη *corr.* C¹ | συντεθειμένα BFb, συντεθειμένον C, *om* M ‖ **19** ὦ τοξότα *om* CF | ὦ *ante* θύτα *om* M | θύτα MCF, θῦτα Bb | ἐθνικὰ δὲ MF, ἢ ἐθνικὰ εἴη Bb, ἢ ἐθνικὸν εἴη C

[Testim. ex *ΣE*] **4** *quae in marg. rubro* B *addit sumpta sunt ex* E^b, *quae in Bas. I et II haec exhibent:* τὰ εἰς ης̄ ἢ εἰς ως̄ (ος̄ *Bas. I*) ὀνόματα διὰ τοῦ τος̄ ἢ διὰ καθαροῦ τοῦ ος̄ κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, οἷον ὁ λάχης τοῦ λάχητος ὦ λάχης, ὁ γέλως τοῦ γέλωτος ὦ γέλως, ὁ ἥρως τοῦ ἥρωος ὦ ἥρως. *ed. pr. autem et ed. Wald. initio verba Theodosiana sequuntur:* τὰ εἰς ης̄ ἢ εἰς ως̄ ὀνόματα διὰ καθαροῦ τοῦ τος̄ κλινόμενα ὁμόφωνον… *et ultimum exemplum* (ἥρως) *omittunt* ‖ **10** βαρύτονα σπονδειακὰ Σ^χ (*140, 30* g) Σ^ϑ E^b (*in ed. Wald.*), βαρύτονα σπονδιακὰ Σ^σ E^s E^b (*in Bas. I. II et ed. pr.*) ‖ **11** Τέννης Τέννου Σ^χ (*in* NCP), Τένης Τένου Σ^χ (*in* V) ‖ **12** Μήλητος *disertis verbis test.* Σ^χ *142, 15* g ‖ **16** ἔχει *tantummodo* E^b *in Bas. I et ed. pr.* (ἔχῃ *Bas. II*, ἔχοι *ed. Wald.*); *item v. 19* ‖ **19** ἐθνικὰ δὲ] ἢ ἐθνικὰ εἴη E^s E^b (*in Bas. II*), εἰ μὴ ἐθνικὰ εἴη E^b (*in Bas. I, ed. pr. et Wald.*)

Δυϊκά. Τὼ Χρύcα: πᾶcα δοτικὴ ἑνικῶν εἰc η̄ λήγουcα τροπῇ τοῦ η̄ εἰc ᾱ τὸ δυϊκὸν ποιεῖ, τῇ Ἑλένῃ τὰ Ἑλένα. τοῖν Χρύcαιν, ὦ Χρύcα: εἴρηται.

Πληθ. Οἱ Χρῦcαι, τῶν Χρυcῶν, τοῖc Χρύcαιc, τοὺc Χρύcαc, ὦ Χρῦcαι: εἴρηται.

Κανὼν ε΄.

30 Ἑνικά. Ὁ Δημοcθένηc τοῦ Δημοcθένουc: τὰ εἰc η̄c̄ ὀνόματα παρ' οὐδετέρων cυντεθειμένα πάντωc εἰc ο̄ῡc̄ ἔχει τὴν γενικήν, γένοc εὐγενήc εὐγενοῦc, ἦθοc κακοήθηc κακοήθουc· cεcημείωται τὸ
979 b ἀγκυλοχείληc ἀγκυλοχείλου. Εἰδέναι δὲ δεῖ ὅτι πᾶcα γενικὴ εἰc ο̄ῡc̄ λήγουcα cυνῃρημένη ἐcτίν· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελὲc καὶ οὕτωc ποιεῖν τὴν cυναίρεcιν, τοῦ Δημοcθένεοc τοῦ Δημοcθένουc. τῷ Δημοcθένεϊ τῷ Δημοcθένει, τὸν Δημοcθένεα τὸν Δημοcθένη, ὦ Δημόcθενεc: τὰ εἰc η̄c̄ εἰc ο̄ῡc̄ ἔχοντα τὴν γενικὴν εἰc ε̄c̄ ποιεῖ τὴν κλητικήν, Δημοcθένηc Δημοcθένουc ὦ Δημόcθενεc.

Δυϊκά. Τὼ Δημοcθένεε τὼ Δημοcθένη, τοῖν Δημοcθε-
10 νέοιν τοῖν Δημοcθενοῖν, ὦ Δημοcθένεε ὦ Δημοcθένη.

Πληθ. Οἱ Δημοcθένεεc οἱ Δημοcθένειc, τῶν Δημοcθε-

[Discr. scr. in MCBFb] 1 Δυϊκά — εἴρηται (5) *om* C | εἰc η̄] εἰc ν̄ M ‖ 2 τοῦ η̄] τοῦ ν̄ M | *post* τὰ Ἑλένα *add* τῷ πέρcῃ τὼ πέρcα BF, τῷ Πέρcῃ τὰ Πέρcα b ‖ 4 οἱ χρύcαι F ‖ 5 ὦ χρύcαι F ‖ 7 *ante* Δημοcθένουc *add* Δημοcθένεοc καὶ CBb | Δημοcθένουc] Δημοcθένεοc ουc F ‖ 8 οὐδετέρων *et supra* ω *posito* ο M | cυντεθημένα M ‖ 11 ἐcτίν] ἐcτιν M, ἐcτὶν C, ἐcτὶ BFb ‖ 12 οὕτωc MC, οὕτω BFb | τοῦ Δημοcθένουc] ουc F ‖ 13 τῷ Δημοcθένει] ει F | τὸν Δημοcθένεα τὸν Δημοcθένη M, τὸν Δημοcθένεα τὸν Δημοcθένην C, τὸν Δημοcθένεα τὸν Δημοcθένη καὶ ἀττικῶc Δημοcθένην Bb, τὸν Δημοcθένεα νη καὶ ἀττικῶc Δημοcθένην F ‖ 14 ὦ Δημόcθενεc *om* Bb ‖ 15 *ad* κλητικήν *in mg. rubro add*: ἐν ἄλλῳ. εἰc ε̄c̄ ποιεῖ τὴν κλητικὴν καὶ ἀναβιβάζουcι τὸν τόνον B | Δημοcθένηc — ὦ Δημόcθενεc *om* BFb ‖ 17 Δυϊκά. τὼ Δημοcθένεε νη. τοῖν Δημοcθενέοιν νοῖν. ὦ Δημοcθένεε νη F | *post* τὼ Δημοcθένη *add:* καὶ τὰ δύο δὲ ε̄ε̄ εἰc η̄ κιρνᾶται ἐπὶ τῶν δυϊκῶν C ‖ 19 Πληθυντικά. οἱ Δημοcθένεεc νειc. τῶν Δημοcθενέων νῶν F | Δημοcθένειc *ex* Δημοcθένηc *corr.* M[1] | *post* Δημοcθένειc *add*: καὶ τὰ δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον κιρνᾶται ἐπὶ τῶν πληθυντικῶν C

[Testim. ex ΣE] 7 Δημοcθένεοc καί, *quod ante* Δημοcθένουc *add* CBb, *om etiam* $Σ^{a}$ ‖ 13 *Atticorum accusativum* Δημοcθένην, *quem excepto* M *omnes codd. exhibent, apud* ***Theodosium*** *non legisse videtur Choeroboscus; ex* $Σ^{a}$ *et* ***E****, quamvis vario modo eius mentio fiat, utrum in canonibus lectum fuerit necne non apparet* ‖ 15 E^{s}: Ὦ Δημόcθενεc· ὁ κανών; τὰ εἰc η̄c̄ εἰc ο̄ῡc̄ ἔχοντα τὴν γενικὴν εἰc ε̄c̄ ποιεῖ τὴν κλητικήν. διατί ἀναβιβάζει τὸν τόνον; τὰ εἰc η̄c̄ κύρια cύνθετα... E^{h}: Ὦ Δημόcθενεc· ὁ κανών; τὰ εἰc η̄c̄ εἰc ο̄ῡc̄ ἔχοντα τὴν γενικὴν εἰc ε̄c̄ ποιεῖ τὴν κλητικήν, καὶ ἀναβιβάζουcι τὸν τόνον εἰ cύνθετά εἰcι καὶ βαρύτονα ‖ 17 *quae post* Δημοcθένη *et v. 19 post* Δημοcθένειc C *addit, sumpta sunt ex* ***Σ*** *aut* ***E***. $Σ^{χ}$ (*164, 12* g): δεῖ δὲ γινώcκειν, ὅτι ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο ε̄ε̄ εἰc η̄ κίρνανται... ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ε̄ῑ δίφθογγον. $Σ^{a}$: ἐπὶ μὲν

νέων τῶν Δημοσθενῶν, τοῖς Δημοσθένεσι μόνως, τοὺς Δη-
μοσθένεας τοὺς Δημοσθένεις, ὦ Δημοσθένεες ὦ Δημοσθέ- 20
νεις.

Κανὼν ϛʹ.

Περὶ τοῦ Ἡρακλῆς.

Τοῦτο τὸ ὄνομα καὶ τὰ ὅμοια αὐτῷ εὐθείας μὲν ἔχει δύο, μίαν ἐντελῆ τὴν Ἡρακλέης καὶ μίαν συνῃρημένην τὴν Ἡρακλῆς, αἵ τινες γεννῶσι γενικὰς τέσσαρας, ἡ ἐντελὴς δύο, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, καὶ ἡ συνῃρημένη δύο, μίαν συνῃρημένην καὶ μίαν ἐντελῆ.
Ἑνικά. Ἡρακλέης, Ἡρακλέεος Ἡρακλέους, Ἡρακλέεϊ 980 b
Ἡρακλέει, Ἡρακλέεα Ἡρακλέα, Ἡράκλεες Ἡράκλεις.

[Discr. scr. in MCBFb] **1** *post* μόνως *add:* πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα πρὸ τοῦ ῑ δεχομένη τὸ σ̄ παραιτησαμένη τε (καὶ ἀποβάλλουσα C) τὰ μὴ δυνάμενα σὺν αὐτῇ (αὐτῷ b) ἀκουσθῆναι στοιχεῖα τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ (Δημοσθένεϊ Δημοσθένεσι, Πάριδι Πάρισι, ὄφεϊ ὄφεσι *add* Cb) CBFb | τοὺς Δημοσθένεας νεις F ‖ **2** *post* τοὺς Δημοσθένεις *add:* πᾶσα εὐθεῖα πληθυντικῶν εἰς σ̄ λήγουσα καὶ συνῃρημένη κατὰ τὴν τελευταίαν συλλαβὴν ὁμόφωνον ἔχει τὴν ἰδίαν αἰτιατικήν, δηλονότι καὶ τὴν κλητικήν Cb | ὦ Δημοσθένεες νεις F | ὦ Δημοσθένεις Cb, ὦ Δημοσθένῆς MB ‖ **5** Περὶ τοῦ Ἡρακλῆς M, περὶ τοῦ Ἡρακλέος *et in mg.* περὶ τοῦ Ἡρακλῆς C, περὶ τοῦ Ἡρακλῆς ὀνόματος Bb, ὁ Ἡρακλῆς F ‖ **8** γεννῶσιν C ‖ **9** καὶ ἡ συνῃρημένη δύο, μίαν συνῃρημένην *om* M | συνειρημένη *et* συνειρημένην C | μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην CF ‖ **10 — *p.* 9, 11** F *haec praebet:* καὶ ἡ ἐντελὴς οὕτως· ἑνικά· ὁ ἡρακλέης, τοῦ ἡρακλέεος ους, τῷ ἡρακλέεϊ ει, τὸν ἡρακλέεα έα καὶ ἡρακλέη καὶ ἀττικῶς ἡρακλῆν (*sic*), ὦ ἡρακλέες ὦ ἡράκλεις. δυϊκά· τὼ ἡρακλέεε έη, τοῖν ἡρακλεέοιν λοῖν (*sic*), ὦ ἡρακλέεε έη. πληθυντικά· οἱ ἡρακλέεες έεις, τῶν ἡρακλεέων εῶν, τοῖς ἡρακλέεσι εῖσι, τοὺς ἡρακλέεας έας, ὦ ἡρακλέεες έεις. ἡ δὲ συνῃρημένη οὕτως· ἑνικά· ὁ ἡρακλῆς, τοῦ ἡρακλέος οῦς, τῷ ἡρακλέϊ εῖ, τὸν ἡρακλέα λῆ καὶ ἡρακλῆν, ὦ ἥρακλες. δυϊκά· τὼ ἡρακλέε λῆ, τοῖν ἡρακλέοιν οῖν, ὦ ἡρακλέε ῆ. πληθυντικά· οἱ ἡρακλέες εῖς, τῶν ἡρακλέων ῶν, τοῖς ἡρακλέσι μόνως, τοὺς ἡρακλέας εῖς, ὦ ἡρακλέες εῖς ‖ **10** Ἡρακλέης *om* C | Ἡρακλέεος CBb, Ἡρακλέος M ‖ **11** Ἡράκλεες MBb, Ἡρακλέεες C | Ἡράκλεις Bb, Ἡράκλης M, Ἡρακλέης C | *post* Ἡράκλεις *add* καὶ Ἥρακλες κατὰ συγκοπὴν τοῦ ε̄ Bb

[Testim. ex *ΣE*] τῶν πληθυντικῶν τὰ δύο ε̄ε̄ εἰς τὴν ε̄ῑ συναιρεῖται, ἐπὶ δὲ τῶν δυϊκῶν εἰς η̄. *E*: τὰ δύο ε̄ε̄ ἐπὶ μὲν τῆς εὐθείας (καὶ αἰτιατικῆς *add* E^{b}) τῶν δυϊκῶν εἰς η̄ (μακρὸν *add* E^{g}) κιρνᾶται, ἐπὶ δὲ τῆς εὐθείας τῶν πληθυντικῶν εἰς τὴν (τὸ E^{g}) ε̄ῑ δίφθογγον ‖ **1** *canonem ad* Δημοσθένεσι *in* CBFb *additum apud Theodosium non legisse videtur Choeroboscus,* Σ^{σ} *et* E^{b} *prorsus silentio praetereunt;* E^{g} *eandem formam praebet quam* BF, Σ^{χ} *autem hab.* (*167, 7* g)*:* ... λαμβάνουσα τὸ σ̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἀκουσθῆναι στοιχεῖα ... ‖ **2** *canonem in* Cb *ad* τοὺς Δημοσθένεις *additum in Theodosianis non invenit Choeroboscus; tres autem profert regulas, primam accusativum* Δημοσθένεας *ab accusativo singularis* (*169, 2* g), *alteram a nominativo pluralis in* ε̄σ̄ *exeunte derivantem* (*169,7* g), *tertiam eam quam* C *praebet* (*169,17* g) *formam* Δημοσθένεις *explicantem, quae sine dubio ex* Σ^{χ} *in* C *transiit; hanc ultimam tantum regulam memorant* Σ^{σ} *et* E^{b} (*in Bas. I, ed. pr. et Wald.*), *primam praeterea add* E^{g}, *omnes tres exhib.* E^{b} (*in Bas. II*) ‖ **5** Περὶ τοῦ Ἡρακλῆς *inscriptionem etiam* Σ^{σ} *praebent; totum canonem silentio praetereunt* E^{b} ‖ **9** μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην *transp.* Σ^{χ} *171, 27* g ‖ **11** *quae post* Ἡρακλέεα έα *leguntur*

Δυϊκά. Ἡρακλέεε Ἡρακλέη, Ἡρακλεέοιν Ἡρακλεοῖν, Ἡρακλέεε Ἡρακλέη.

Πληθ. Ἡρακλέεες Ἡρακλέεις, Ἡρακλεέων Ἡρακλεῶν, Ἡρακλέεcι Ἡρακλῆcι, Ἡρακλέεας Ἡρακλέας, Ἡρακλέεες Ἡρακλέεις.

Ἑνικά. Ἡρακλῆς, Ἡρακλέος Ἡρακλοῦς, Ἡρακλέϊ Ἡρακλεῖ, Ἡρακλέα Ἡρακλῆ, ὦ Ἥρακλες.

Δυϊκά. Ἡρακλέε Ἡρακλῆ, Ἡρακλέοιν Ἡρακλοῖν, Ἡρακλέε Ἡρακλῆ.

Πληθ. Ἡρακλέες Ἡρακλεῖς, Ἡρακλέων Ἡρακλῶν, Ἡρακλέcι μόνως, Ἡρακλέας Ἡρακλεῖς, Ἡρακλέες Ἡρακλεῖς.

Κανὼν ζ'.

Ἑνικά. Ὁ Πάρις τοῦ Πάριδος; τὰ εἰς ῑς κύρια διὰ τοῦ δ̄ κλίνεται εἴτε ἀρσενικὰ εἴη εἴτε θηλυκά, Ἄδωνις Ἀδώνιδος, Πάριδος Θέτιδος Μέμφιδος· τὰ ἐν τοῖς θηλυκοῖς σεσημειωμένα ὕστερον ἐροῦμεν· τὸ δὲ Πάριος Θέτιος Ἰωνικά. τῷ Πάριδι: εἴρηται. τὸν Πάριδα καὶ τὸν Πάριν: τῶν εἰς ῑς αἱ αἰτιατικαὶ διχῶς λέγονται, καὶ ἡ μὲν εἰς ᾱ

[Discr. scr. in MCBFb] **1** *post* Ἡρακλέη *add* καὶ Ἡρακλῆε Bb | Ἡρακλεοῖν MC, Ἡρακλέοιν Bb || **2** *post* Ἡρακλέη *add* καὶ Ἡρακλῆε Bb || **3** Ἡρακλεέων Ἡρακλεῶν MCb, Ἡρακλέεων Ἡρακλέων B || **4** Ἡρακλέεσιν Ἡρακλῆσιν Bb, ν *om* MC | *post* Ἡρακλέεας *add* Ἡρακλέεις καὶ Ἡρακλῆας καὶ Bb || **6** Ἡρακλῆς *om* C | *post* Ἡρακλοῦς *add* αὕτη ἄλεκτος Bb || **7** *post* Ἡρακλῆ *add* καὶ ἀττικῶς Ἡρακλῆν CBb | ὦ Ἥρακλες M, Ἡρακλέες Ἡρακλεῖς C, Ἥρακλες καὶ Ἡρακλῆς Bb || **13** τοῦ δ̄ MCF, τοῦ δος Bb || **14** Ἄδωνις *om* CF || **15** Μέμφιδος *om* C || **16** εἴρηται *ante* τῷ Πάριδι *transp.* M | *post* εἴρηται *add* πᾶσα γενικὴ εἰς ος λήγουσα τροπῇ B || **17** τὸν *ante* Πάριν *om* CF | αἰτιατιατικαὶ C | λέγονται] κανονίζονται F

[Testim. ex *ΣE*] *in* F *sumpta videntur ex* Σ^χ (*179, 26* g): Ἡρακλέεα Ἡρακλέα καὶ Ἡρακλέη καὶ ἀττικῶς Ἡρακλέην καὶ Ἡρακλῆα ποιητικῶς | *additamentum codicis* B *ortum ex* Σ^χ (*180, 6* g): τὸ δὲ Ἥρακλες ἀπὸ τοῦ Ἡράκλεες γέγονε κατὰ συγκοπὴν τοῦ ε̄. Σ^σ *autem*: Ἡρακλές (*sic*) δὲ κατὰ συγκοπήν· ἡ μέντοι συνῃρημένη Ἥρακλες (*sic*) ἐν χρήσει οὐχ εὕρηται || **1** καὶ Ἡρακλῆε, *quod hic et insequenti versu addit* B, *originem duxit ex* Σ^χ (*180,9* g), *ubi poeticae singulorum casuum formae proferuntur* || **4** Ἡρακλῆσι *contractam formam disertis verbis testantur* Σ^χ (*180, 16* g) Ἡρακλεῖσι *forma repudiata* | *accusativi pluralis formas* Ἡρακλέεις *et* Ἡρακλῆας B *desumpsit ex* Σ^χ (*180, 20* g): Ἡρακλέεας ⟨Ἡρακλέας καὶ⟩ Ἡρακλέεις ὁμοφώνως τῇ εὐθείᾳ τῶν πληθυντικῶν καὶ Ἡρακλῆας ποιητικῶς || **6** *genetivi singularis contractam formam* Ἡρακλοῦς *non usitatam esse* B *addit ex* Σ^χ (*180, 23* g): ἰστέον ὅτι ἡ Ἡρακλοῦς γενικὴ οὐχ εὑρίσκεται ἐν χρήσει || **7** *ad ea quae post* Ἡρακλῆ *add* CBF *cfr.* Σ^χ (*180, 25* g): Ἡρακλέα Ἡρακλῆ καὶ ἀττικῶς Ἡρακλῆν, ὥσπερ Δημοσθένην | *vocativi singularis formam* Ἡρακλῆς *in* B *additam ex* Ἡρακλῆ *depravatam conieceris ex* Σ^χ (*180, 26* g): Ὦ Ἥρακλες καὶ ἀττικῶς ὦ Ἡρακλῆ, ὥσπερ καὶ Δημοσθένη, *et paullo antea* (*179, 33* g): οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων εἰς ν̄ ποιοῦσι τὴν αἰτιατικὴν καὶ τὴν κλητικὴν εἰς η̄, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τὸν Δημοσθένην ὦ Δημοσθένη || **13** τοῦ δος *habent ΣE* || **16** *eadem quae in* B *leguntur in* E^s: εἴρηται. πᾶσα γενικὴ εἰς ος λήγουσα τροπῇ || **17** τὸν *ante* Πάριν *om* Σ^χ *190, 28* g (*in* V) | λέγονται *etiam* Σ^χ *exhibet*

λήγουϲα ἀπὸ τῆϲ δοτικῆϲ ἑνικῆϲ κανονίζεται, ἡ δὲ εἰϲ ν̄ ἀπὸ τῆϲ εὐθείαϲ. ὦ Πάρι: τὰ εἰϲ ῑϲ̄ ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν κλητικήν, ὦ Θέτι, ὦ Πάρι.

Δυϊκά. Τὼ Πάριδε, τοῖν Παρίδοιν, ὦ Πάριδε.

Πληθ. Οἱ Πάριδεϲ, τῶν Παρίδων, τοῖϲ Πάριϲι, τοὺϲ 981 b
Πάριδαϲ, ὦ Πάριδεϲ.

Κανὼν η′.

Ἑνικά. Ὁ ὄφιϲ τοῦ ὄφιοϲ καὶ ὄφεωϲ: τὰ εἰϲ ῑϲ̄ προϲηγορικὰ μὴ ὄντα παρώνυμα μακροπαράληκτα διὰ καθαροῦ τοῦ ο̄ϲ̄ κλίνεται, μάντιοϲ ὄφιοϲ· Ἀττικοὶ δὲ μάντεωϲ καὶ ὄφεωϲ φαϲίν· εὑρέθη δὲ καὶ ὄφεοϲ ⟨Eurip. Bacch. 1027⟩ δράκοντοϲ ἔϲπειρ' ὄφεοϲ ἐν γαίᾳ θέροϲ καὶ ⟨Eurip. Or. 897⟩ ὃϲ ἂν δύνηται πόλεοϲ ἔν τ' ἀρχαῖϲιν ᾖ. τῷ ὄφιι καὶ ἐν ϲυναιρέϲει ὄφι, τῷ ὄφεϊ καὶ ἐν ϲυναιρέϲει ὄφει. τὸν ὄφιν: ἡ μὲν ἀναλογία ἀπῄτει καὶ ταύταϲ τὰϲ αἰτιατικὰϲ διχῶϲ λέγεϲθαι, ὡϲ καὶ τὰϲ τῶν κυρίων· ἀλλ' ἐπέλειψεν ἡ χρῆϲιϲ τῆϲ εἰϲ ᾱ. ὦ ὄφι.

[Discr. scr. in MCBFb] 1 δοτικῆϲ ἑνικῆϲ M, ἑνικῆϲ δοτικῆϲ Bb, ἑνικῆϲ *om* CF ‖ 4 *post* Παρίδων *add* εἴρηται Bb | *post* Πάριϲι *add:* πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα, πρὸ τοῦ ῑ δεχομένη τὸ ϲ̄ καὶ ἀποβάλλουϲα τὰ μὴ δυνάμενα ϲὺν αὐτῷ ἐκφωνηθῆναι, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, πάριδι πάριϲι Bb ‖ 7 τοῦ ὄφιοϲ BFb, τοῦ ὄφεοϲ MC | *post* ὄφιοϲ *add* κοινῶϲ καὶ ὄφεοϲ ἰωνικῶϲ F | καὶ ὄφεωϲ *om* Bb | *post* ὄφεωϲ *add* ἀττικῶϲ CF ‖ 8 *ante* μακροπαρ. *add* μηδὲ Bb | μακροπαράληκτα M, μακροκατάληκτα CBFb | 9 Ἀττικοὶ] ἀττοικοὶ M ‖ καὶ *post* μάντεωϲ *om* CF | φαϲὶ CF | *post* ὄφεοϲ *add* ὡϲ τὸ Bb ‖ 10 δράκοντοϲ *om* Bb | ἔϲπειρ'] ἔϲπειρον C | γαίᾳ] λάρα, *sed supra posito signo* ∴ C ‖ 11 πόλεοϲ] πόλεωϲ C | ἀρχαῖϲι C | *ad* ἔν τ' ἀρχαῖϲιν *in mg. add* ΈΝ ΤΆΡΧΕϹϹΙΝ M ‖ 12 τῷ ὄφιι — ὄφει] τῷ ὄφϊϊ φι καὶ ὄφεϊ ει F | ὄφι, τῷ ὄφεϊ καὶ ἐν ϲυναιρέϲει *om* C | τῷ ὄφεϊ καὶ ἐν ϲυναιρέϲει ὄφει *om* Bb ‖ 13 ἀπαιτεῖ F | διχῶϲ *post* κυρίων (14) *transp.* F ‖ 14 λέγεϲθαι MCF, κλίνεϲθαι Bb | ἐπέλειψεν MF, ἀπέλειψεν CBb | τῆϲ εἰϲ ᾱ MBb, τῆϲ ᾱ CF | *post* εἰϲ ᾱ *add* αἰτιατικῆϲ Bb ‖ 15 *post* ὦ ὄφι *add* καὶ ὄφιϲ F

[Testim. ex ΣE] 1 δοτικῆϲ Σ^χ (*in* VP), δοτικῆϲ τῶν ἑνικῶν Σ^χ (*in* NC) ‖ 4 *canonem, quem ad dativum pluralis* B *addit, hoc loco non legerunt* Σ^χ **E** ‖ 7 ὁ ὄφιϲ τοῦ ὄφιοϲ κοινῶϲ καὶ ὄφεοϲ ἰωνικῶϲ καὶ ὄφεωϲ ἀττικῶϲ Σ^χ (*191, 21* g) **E**, ὁ ὄφιϲ τοῦ ὄφεωϲ Σ^σ ‖ 8 *ante* μακροπαράληκτα *add* μηδὲ E^b; *etiam* Σ^χ (*191, 23* g) *habet, statim autem pergit* (*191, 28* g): πρόκειται «μὴ ὄντα παρώνυμα μακροπαράληκτα» (*in* NC; *in* VP *enim haec omnia desunt*) | μακροκατάληκτα *miro consensu exhibent* Σ^σ **E**; *idem habet Choeroboscus* (*191, 23* g *in* NC, *nam in* VP *omnia desunt*), *tum autem voce* μακροπαράληκτον *utitur et luce clarius ex eius disputatione apparet, de paenultimae syllabae quantitate agi* ‖ 11 *ad* ΈΝ ΤΆΡΧΕϹϹΙΝ, *quod in mg. add* M, *cfr.* Σ^σ: ἐν ταρχέϲιν ᾖ ‖ 12 *dativum* ὄφεϊ *et contractam formam* ὄφει, *quem Atticum dicunt* **E**, *silentio praetereunt* Σ^χ, *ubi de dativo singularis agitur; in pluralis vero dativo formando haec proferuntur* (*197, 7* g): ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν τῆϲ ὄφιι καὶ ὄφεϊ κανονίζεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν ‖ 13 *formam* ἀπαιτεῖ *ab uno cod.* F *exhibitam ex* Σ^χ (*196, 5* g) *ortam suspiceris* ‖ 14 λέγεϲθαι Σ^χ E^g, κλίνεϲθαι E^b | ἀπέλειψεν *tradunt etiam* Σ^χ (*196, 7* g) **E** | τῆϲ εἰϲ ᾱ αἰτιατικῆϲ Σ^χ **E** ‖ 15 *de vocativi*

Δυϊκά. Τὼ ὄφιε, τοῖν ὀφίοιν, ὦ ὄφιε.

Πληθ. Οἱ ὄφιες, τῶν ὀφίων, τοῖς ὄφιςι, τοὺς ὄφιας, ὦ ὄφιες.

Κανὼν θ'.

Ἑνικά. Ὁ χαρίεις τοῦ χαρίεντος: τὰ εἰς εις ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ ντ κλίνεται, ἐρόεντος τιμήεντος. τῷ χαρίεντι, τὸν χαρίεντα, ὦ χαρίει καὶ ὦ χαρίεν [καὶ ὦ χαρίεις ἀττικῶς]: διχῶς λέγεται τούτων ἡ κλητική, ὦ χαρίει, ὅτι τὰ εἰς ς λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν, ὁ παῖς ὦ παῖ, ὁ Πηλεύς ὦ Πηλεῦ, καὶ ὦ χαρίεν, ὅτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, τὸ
982b σοφόν καὶ τὸν σοφόν, τὸ εὔγηρων καὶ τὸν εὔγηρων, εἰ δὲ περισσοσυλλάβως τῇ κλητικῇ, τὸ ἄρσεν ὦ ἄρσεν, τὸ σῶφρον ὦ σῶφρον· οὕτως οὖν ἔσται ἡ κλητικὴ ὦ χαρίεν, ἵνα ὁμοφωνήσῃ τῷ οὐδετέρῳ.

Δυϊκά. Τὼ χαρίεντε, τοῖν χαριέντοιν, ὦ χαρίεντε.

[Discr. scr. in MCBFb] **1** Δυϊκά. τὼ ὄφιε καὶ ὄφεε καὶ ὄφη, τοῖν ὀφίοιν καὶ ὀφέοιν ῳν, ὦ ὄφιε εε η F ‖ **2–3** Πληθυντικά. οἱ ὄφιες ις καὶ ὄφεες εις, τῶν ὀφίων έων καὶ ὄφεων, τοῖς ὄφισι καὶ ὄφεσι, τοὺς ὄφιας· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα τροπῇ τοῦ ε εἰς α τὴν αἰτιατικὴν ποιεῖ· ὦ ὄφιες ις καὶ ὦ ὄφεες εις F ‖ **2** τοῖς ὄφισι] τοῖς ὄφισιν καὶ ὄφεσι C ‖ **6** ἐρώεντος C | τιμήεντος] τιμίεντος B, τιμίεντος χαρίεντος F | τῷ χαρίεντι, τὸν χαρίεντα CFb, χαρίεντι χαρίεντα MB ‖ **7** ὦ χάριεν C | καὶ ὦ χαρίεις ἀττικῶς *om* b ‖ **8** *ante* χαρίει *add* χαρίεν καὶ ὦ F | *post* χαρίει *add* καὶ ὦ χαρίεν Bb ‖ **10** ὦ χαρίεν] ὦ χάριεν C ‖ **11** *inter* ὁμοφωνεῖ *et* τὸ *6–8 litterae erasae sunt in* M ‖ **12** τὸ εὔγηρων καὶ τὸν εὔγηρων] τὸ εὐγήρων καὶ τὸν εὐγήρων MBFb, τὸ εὐγῆρον καὶ τὸν εὐγῆρον C | περισσοσυλλάβως M, περιττοσυλλάβως CBFb ‖ **13** ὦ ἄρσεν *in marg. add* C[1] | οὕτω C ‖ **14** ὦ *ante* χαρίεν *om* M

[Testim. ex ΣE] *forma* ὄφις, *quam unus* F *memorat*, *vide* $Σ^χ$ (*196, 24* g): ὦ ὄφι καὶ ὦ ὄφις· εἴρηται. *E autem:* ὦ ὄφι. ὁ κανών; τὰ εἰς ις ἀποβολῇ τοῦ ς ποιεῖ τὴν κλητικήν. καὶ ὦ ὄφις. ὁ κανών; οἱ Ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς ‖ **1–3** *dualis et pluralis formae, quae praeter eas quas recepimus in* F *leguntur* (*etiam* C ὄφεσι *dativum habet*), *omnes desumptae sunt ex* $Σ^χ$; *in E quoque memorantur, nisi quod* E^b *dualem* ὄφη *repudiant:* τὸ ἰωνικόν; ὄφεε. τὸ συνῃρημένον; οὐκ ἔχει. ὧν τινων ἡ γενικὴ τῶν ἑνικῶν οὐ συναιρεῖται, τούτων οὔτε ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν συναίρεσιν ἐπιδέχεται ‖ **6** ἐρώεντος $Σ^χ$ *197, 20* g (*in* V) E^s; *cfr.* $Σ^χ$ *204, 2* ‖ **7** ὦ χαρίεν $Σ^σ E^s E^b$ (*in Bas. II*), ὦ χάριεν E^h (*in Bas. I et ed. pr. et Wald.*); *vocativum* $Σ^χ$ *in* VP *semper, in* C *uno loco* (*204,28* g), *in* N *nunquam proparoxytonon exhibent. de huius vocis accentu ipse Choeroboscus haec tradit* (*208, 6* g): ἰστέον δὲ ὅτι παρὰ τοῖς Ἀττικοῖς χάριεν προπαροξυνόμενον οὐκ ἔστιν ὄνομα ἀλλ' ἐπίρρημα, ἀντὶ γὰρ τοῦ χαριέντως | *verba* καὶ ὦ χαρίεις ἀττικῶς *quamquam miro omnium codicum consensu probantur non ab Theodosio addita esse vel ipsi canones docent, neque ea legerunt* $Σ^χ$ (*204,29* g) $Σ^σ$; *omnes tres formae derivantur in E atque eo ordine, ut Attica forma secundum teneat locum* ‖ **8** *vocativi formam* χαρίεν *hoc loco inepte in* BF *irrepsisse putaveris ex* $Σ^χ$ (*204, 27* g): λέγει ὁ τεχνικὸς ὅτι διχῶς λέγεται ἡ κλητική, οἷον ὦ χαρίει καὶ ὦ χαρίεν **12** εὔγηρων *testantur* $Σ^χ$ (*207, 32* g) E^s | περιττοσυλλάβως $Σ^χ$ (*208, 2* g) E^s

Πληθ. Οἱ χαρίεντες, τῶν χαριέντων, τοῖc χαρίειcι ἢ χαρίεcι: ἡ δοτικὴ τῶν πληθυντικῶν ἢ χαρίειcι τῷ λόγῳ τῆc εὐθείαc τῶν ἑνικῶν, ἢ χαρίεcι τῷ λόγῳ τῆc δοτικῆc τῶν ἑνικῶν. τοὺc χαρίενταc, ὦ χαρίεντεc.

Κανὼν ι'.

Ἑνικά. Ὁ Πηλεύc τοῦ Πηλέοc, Πηλέωc δὲ ἀττικῶc: τὰ εἰc ευc λήγοντα διὰ τοῦ εοc κλίνεται, Οἰνέοc Τυδέοc Πηλέοc· Ἀττικοὶ δὲ τῆc γενικῆc ταύτηc τρέπουcιν τὸ ο̄ εἰc ω̄, Πηλέωc Οἰνέωc Τυδέωc. τῷ Πηλέϊ καὶ Πηλεῖ κατὰ cυναίρεcιν, τὸν Πηλέα, ὦ Πηλεῦ: εἴπομεν ὡc τὰ εἰc c̄ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικήν, ὁ Ζεύc ὦ Ζεῦ.

Δυϊκά. Τὼ Πηλέε, τοῖν Πηλέοιν, ὦ Πηλέε.

Πληθ. Οἱ Πηλέεc, τῶν Πηλέων, τοῖc Πηλεῦcι: μόνωc τὴν δοτικὴν διὰ τῆc εῡ διφθόγγου λεκτέον τῷ ἀπὸ τῆc εὐθείαc κανόνι· οὐ γὰρ διφορεῖται, ὥc τινεc νομίζουcι· μόνον τὸ υἱέcιν ἡμάρτηται παρὰ Ἀττικοῖc δίχα τοῦ ῡ λεγόμενον. τοὺc Πηλέαc, ὦ Πηλέεc καὶ ὦ Πηλεῖc κατὰ cυναίρεcιν.

[Discr. scr. in MCBFb] **1** χαρίειcι ἢ MF, χαρίειcι καὶ Bb, *om* C ‖ **2** *post* χαρίεcι *add* διχῶc λέγεται καὶ Bb | ἡ δοτικὴ — τῷ λόγῳ (**3**) *om* C | ἢ χαρίειcι MF, τοῖc χαρίειcι Bb ‖ **7** λήγοντα *om* F | κλίνεται] κλίνονται C | οἰνέοc C | *post* Τυδέοc *repetit* οἰνέοc B ‖ **8** τρέπουcιν M, τρέπουcι CBFb | οἰνέωc C ‖ **9** Πηλεῖ κατὰ cυναίρεcιν] ἐν cυναιρέcει Πηλεῖ F | εἴπομεν — ὦ Ζεῦ (**11**) *om* F ‖ **10** τὰ εἰc c̄c̄ C ‖ **12** Τὼ Πηλέε MCBF, ὦ Πηλέε b | *post* Τὼ Πηλέε *add* καὶ πηλῆ F | *post* ὦ Πηλέε *add* καὶ πηλῆ F ‖ **13** *post* Οἱ Πηλέεc *add* καὶ πηλεῖc F ‖ **15** νομίζουcι MBb, νομίζουcιν C, φαcί F | υἱέcιν CFb, υἱέccιν M, υἱέcιν *et supra altero* c *posito* B ‖ **16** παρ' ἀττικοῖc F | *ante* Ἀττικοῖc *add* τοῖc Bb | *post* τοὺc Πηλέαc *add* καὶ πηλεῖc F | ὦ *ante* Πηλεῖc *om* F

[Testim. ex *ΣE*] **1** χαρίειcι καὶ χαρίεcι *praebent etiam* Σ^{χ} (*208, 14* g) ***E***, *sed* ***E*** *ita ut habeant* χαρίεccι, *hac adnotatione addita in* E^{b}: ποιητικῶc διὰ δύο c̄c̄, ὅπερ ἐπεκράτηcε καὶ παρὰ τοῖc κοινοῖc ‖ **2** *ad ea quae post* χαρίεcι *add* B *cfr.* Σ^{χ} *208,14* g: ἰcτέον ὅτι διχῶc λέγεται τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, οἷον τοῖc χαρίειcι καὶ τοῖc χαρίεcιν ‖ **7** λήγοντα *om* Σ^{χ} *208, 32* g (*sed* *209, 3* g λήγοντα ὀνόματα ἀρcενικά, *ubi tamen* ὀνόματα *om* VP) E^{s} (*quae add* κοινολεκτούμενα) E^{b} | κλίνεται Σ^{χ} (*in* VP), κλίνονται Σ^{χ} (*in* NC) E^{b}; *quid legerint* E^{s} *propter compendium adhibitum discerni nequit* ‖ **12** *formam* Πηλῆ *ex* Πηλέε *contractam* F *ex* Σ^{χ} *216, 28* g (*in* NC) *videtur desumpsisse; in Choerobosci codd.* VP *itemque in* E^{s} *contracta forma disertis verbis repudiatur ob causam adlatam ad p. 11, 1—3* ‖ **13** *ad nominativi formam* Πηλεῖc *in uno* F *memoratam cfr.* Σ^{χ} (*217, 15* g): ἰcτέον ὅτι ἐπὶ τῶν εἰc εῡc̄ κυρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο εε εἰc τὴν ει̅ δίφθογγον cυναλείφει μόνωc. *mirum sane est, quod v. 13 in solo* F *contractam legimus formam, cum v. 17 omnes codices consentiant praeter* Πηλέεc *etiam* Πηλεῖc *exhibentes* ‖ **15** υἱέcι Σ^{χ} *218, 11* g ‖ **16** παρὰ τοῖc Ἀθηναίοιc Σ^{χ} | *de accusativi pluralis contracta forma* Πηλεῖc *in* F *memorata cfr.* Σ^{χ} (*218, 24* g): ἰcτέον ὅτι ὁμοφωνεῖ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ...ἐμάθομεν γὰρ ὅτι πᾶcα εὐθεῖα πληθυντικῶν εἰc c̄ λήγουcα καὶ cυναιρουμένη κατὰ τὴν τελευταίαν cυλλαβὴν ἔχει τὴν αἰτιατικὴν ὁμόφωνον αὐτῇ *similia praebent* E^{s}

Κανὼν ια΄.

Ἑνικά. Ὁ ἡδύς τοῦ ἡδέος: τὰ εἰς υς τριγενῆ διὰ τοῦ εος κλίνεται, ἡδέος ὠκέος. τῷ ἡδέϊ καὶ ἡδεῖ κατὰ cυναίρεcιν. τὸν ἡδέα καὶ ἡδύν: καὶ αὗται αἱ αἰτιατικαὶ διχῶς λέγονται, τῷ λόγῳ τῆς εὐθείας καὶ τῷ λόγῳ τῆς δοτικῆς. ὦ ἡδύ: τὰ εἰς υς ἀποβολῇ τοῦ c ποιεῖ τὴν κλητικήν, ὦ ταχύ, ὦ θῆλυ.

Δυϊκά. Τὼ ἡδέε, τοῖν ἡδέοιν, ὦ ἡδέε.

983b Πληθ. Οἱ ἡδέες καὶ κατὰ cυναίρεcιν ἡδεῖς, τῶν ἡδέων, τοῖς ἡδέcι, τοὺς ἡδέας καὶ ἡδεῖς κατὰ cυναίρεcιν, ὦ ἡδέες καὶ ὦ ἡδεῖς.

Κανὼν ιβ΄.

Ἑνικά. Ὁ βότρυς τοῦ βότρυος: τὰ εἰς υς μονογενῆ τὸ υ φυλάccει ἐπὶ γενικῆς, στάχυος βότρυος· cεcημείωται τὸ πῆχυς πήχεος καὶ πέλεκυς πελέκεος. τῷ βότρυϊ, τὸν βότρυν, ὦ βότρυ.

Δυϊκά. Τὼ βότρυε, τοῖν βοτρύοιν, ὦ βότρυε.

Πληθ. Οἱ βότρυες, τῶν βοτρύων, τοῖς βότρυcι, τοὺς βό-

[Discr. scr. in MCBFb] **3** καὶ ἡδεῖ] καὶ δεῖ M | κατὰ cυναίρεcιν *om* F ‖ **4** ἡδύν καὶ ἡδέα *transp.* CF | διχῶς λέγονται *om* b ‖ **6** ὦ θῆλυ C ‖ **8** καὶ κατὰ cυναίρεcιν ἡδεῖς M, καὶ ἡδεῖς κατὰ cυναίρεcιν Bb, *om* C | κατὰ cυναίρεcιν *om* F ‖ **9** καὶ ἡδεῖς] καὶ δεῖς M | κατὰ cυναίρεcιν *om* F | ὦ ἡδέες καὶ ὦ ἡδεῖς *om* MC | ὦ *ante* ἡδεῖς *om* F ‖ **10** *post* ὦ ἡδεῖς *add* κατὰ cυναίρεcιν F ‖ **13** *post* φυλάccει *add* καὶ BFb | *post* γενικῆς *add* καὶ προcθέcει τοῦ οc κλίνεται Bb | πήχεως F | καὶ *om* Bb ‖ **14** πελέκεως F, πελέκυος B | *post* πελέκεος *add* καὶ ἔγχελυς ἐγχέλυος Bb | *post* ὦ βότρυ *add:* πᾶcα γενικὴ εἰς οc καθαρὸν λήγουcα διχρόνῳ παραληγομένη μίαν αἰτιατικὴν ἔχει εἰς ν λήγουcαν. cεcημείωται παρὰ Εὐφορείωνι ἅπαξ εὑρεθέντα τὸν βότρυα καὶ παρὰ Διονυcίῳ τὸν δρύα, οὐκ ἐν τῷ περιδιηγήcει ἀλλ᾿ ἐν ἑτέρῳ αὐτοῦ ποιήματι B ‖ **15** ὦ βότρυε] ὦ βότρυ C ‖ **16** *post* βότρυες *add* καὶ βότρυς F; *item statim post* βότρυας *add* καὶ βότρυς F

[Testim. ex *ΣE*] **13** καὶ *post* φυλάccει *add* Σ^{χ} *231, 34* g (*in* V) *et* E^{b} (*excepto Bas. I, qui haec omnia om*), καὶ *om* Σ^{χ} (*in* NC) *et* E^{g} | *quae post* γενικῆς *add* B *orta videntur ex* Σ^{χ} (*231, 34* g): δηλονότι καὶ (δῆλον ὡς V) διὰ καθαροῦ τοῦ οc κλίνονται. E^{b} *autem* (*in solo Bas. II*) *add*: καὶ προcθέcει τοῦ οc κλίνονται, E^{g} *hoc additamentum non habent* | πήχεος *et* πελέκεος *formas praebent* E^{g}; *Atticam formam per* ω *scriptam, qua* κοινὴ *quoque dialectus usa esse videtur, in* F *tantum exhibitam* Σ^{χ} (*232, 5* g) *et* Σ^{σ} *praesto fuisse conicias, eandemque praebent* Σ^{ϑ}; *in* E^{b} πήχεως *et* πελέκεως *praebentibus formas in* οc *exeuntes praeferendas esse ex iis apparet quae sequuntur:* ἃ καὶ διὰ τοῦ ω μεγάλου κλίνεται ἀττικῶς ‖ **14** ἔγχελυς *exemplum in* B *prolatum fluxit ex* E^{b}: πλὴν τοῦ πῆχυς πήχεως (*l.* πήχεος), πέλεκυς πελέκεως (*l.* πελέκεος) καὶ ἔγχελυς ἐγχέλεως (*l.* ἐγχέλεος), ἃ καὶ διὰ τοῦ ω μεγάλου κλίνεται ἀττικῶς. τὸ ἔγχελυς κλίνεται καὶ ἐγχέλυος παρὰ τοῖς κοινοῖς | *quae post* βότρυ *inserta sunt in* B *ad verbum fere consentiunt cum* Σ^{χ} *235, 23—31* g ‖ **15** *vocativi dualis formam* βότρυ, *quae in* C *legitur, librarii errore ortam putaveris, cum Choeroboscus* (*236, 11* g) *disertis verbis usquam eam inveniri neget* ‖ **16** *ad nominativi et vocativi pluralis contractas formas* βότρυς *in uno* F *exstantes cfr.* Σ^{χ} (*236, 14* g): ἰcτέον ὅτι κατὰ κρᾶcιν τοῦ υ καὶ ε εἰς υ μακρὸν γίνεται οἱ βότρυς. Σ^{σ}: οἱ βότρυες καὶ βότρυς κατὰ cυναίρεcιν. *item* **E** *utramque formam praebent* | *de accusativi pluralis*

τρυαϲ: πᾶϲα εὐθεῖα πληθυντικῶν εἰϲ εϲ λήγουϲα τροπῇ τοῦ ε̄ εἰϲ ᾱ ποιεῖ τὴν αἰτιατικήν, ἔρωτεϲ ἔρωταϲ. ὦ βότρυεϲ.

Κανὼν ιγ΄.

Ἑνικά. Ὁ βοῦϲ τοῦ βοόϲ: τὰ εἰϲ ουϲ ἀπαθῆ διὰ τοῦ οϲ κλίνεται, χροῦϲ χροόϲ, χοῦϲ χοόϲ, πλὴν τοῦ πούϲ καὶ ὀδούϲ. τῷ βοΐ, τὸν βόα καὶ βοῦν διχῶϲ, ὦ βοῦ.

Δυϊκά. Τὼ βόε, τοῖν βοοῖν, ὦ βόε.

Πληθ. Οἱ βόεϲ, τῶν βοῶν, τοῖϲ βουϲί, τοὺϲ βόαϲ, ὦ βόεϲ.

Κανὼν ιδ΄.

Ἑνικά. Ὁ πλοῦϲ τοῦ πλοῦ: τὰ εἰϲ ουϲ ϲυνῃρημένα τῶν ἐντελῶν ἔχει τὴν κλίϲιν, πλακόειϲ πλακόεντοϲ πλακοῦϲ πλακοῦντοϲ, χρύϲεοϲ χρυϲέου χρυϲοῦϲ χρυϲοῦ, πλόοϲ πλόου πλοῦϲ πλοῦ, ἔϲτι δὲ πᾶϲα ἡ κλίϲιϲ ἀπὸ τοῦ ἐντελοῦϲ ϲυνῃρημένη· τὰ εἰϲ οϲ ἀρϲενικὰ εἰϲ ου ἔχει τὴν γενικήν, ὁ πλόοϲ ὁ πλοῦϲ τοῦ πλόου τοῦ πλοῦ. τῷ πλόῳ τῷ πλῷ, τὸν πλόον τὸν πλοῦν, ὦ πλόε ὦ πλοῦ: τὰ εἰϲ οϲ ἀρϲενικὰ εἰϲ ε̄ ἔχει τὴν κλητικήν.

[Discr. scr. in MCBFb] **1** πᾶϲα — ἔρωταϲ (**2**) *om* F ‖ **2** τὴν αἰτιατικὴν ποιεῖ C | *post* ἔρωταϲ *add* βότρυε βότρυαϲ Bb | ὦ βότρυεϲ] ὦ βότρυαϲ καὶ βότρυϲ κατὰ ϲυναίρεϲιν F ‖ **5** *post* κλίνεται *add* βοῦϲ βοὸϲ F | χοῦϲ χοόϲ *om* F | *post* ὀδούϲ *add*: πούϲ γὰρ ποδόϲ καὶ ὀδούϲ ὀδόντοϲ Cb ‖ **8** *post* Οἱ βόεϲ *add* καὶ βοῦϲ F | βουϲί] βοϲί *sed supra* ο *posito* ου B | *post* βόαϲ *itemque post* ὦ βόεϲ *add* καὶ βοῦϲ F ‖ **10** Ὁ πλοῦϲ τοῦ πλοῦ MBFb, ὁ πλόοϲ τοῦ πλόου C | ϲυνειρημένα C ‖ **11** χρύϲεοϲ] χρυϲέωϲ *sed supra* ω *posito* ο M | χρύϲεοϲ χρυϲέου χρυϲοῦϲ χρυϲοῦ MCb, χρυϲόειϲ χρυϲόεντοϲ χρυϲοῦϲ χρυϲοῦντοϲ BF ‖ **12** πλοῦϲ πλοῦ — τοῦ πλοῦ (**14**) *om* C | ἔϲτι δὲ] ἔϲτιν οὖν F ‖ **13** *post* ϲυνῃρημένη *add* ὁ πλόοϲ τοῦ πλόου F | *post* ἀρϲενικὰ *add* καὶ θηλυκὰ F | εἰϲ ου] εἰϲ ε̄ M ‖ **14** ὁ πλόοϲ — κλητικήν (**16**) *om* M | ὁ πλόοϲ — τοῦ πλοῦ *om* F ‖ **15** *post* ἀρϲενικὰ *add* καὶ θηλυκὰ F

[Testim. ex ΣE] *forma* βότρυϲ *ipsa quoque a solo* F *exhibita haec tradunt* Σ^{χ} (*237, 1* g): τὸ δὲ βότρυϲ ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ τῶν πληθυντικῶν τῇ οἱ βότρυϲ. Σ^{σ}: τοὺϲ βότρυαϲ καὶ βότρυϲ, οὐ κατὰ ϲυναίρεϲιν, ἀλλ' ὁμοφώνωϲ τῇ εὐθείᾳ, κατὰ τὸν κανόνα ὃν προέφημεν. E^{g} *utramque formam exhibent*, E^{b} *accusativum pluralis omnino silentio praetereunt* ‖ **1** *num canonem ad* βότρυαϲ *additum hoc loco legerit Choeroboscus dubitare licet* (*236, 28* g): ἰϲτέον ὅτι τὸ μὲν βότρυαϲ ἀπὸ τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν κανονίζεται τῷ κανόνι τῷ λέγοντι ... ‖ **2** τὴν αἰτιατικὴν ποιεῖ Σ^{χ} (*236, 31* g); E^{g} *contra*: ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ‖ **8** *ad* βοῦϲ *formam in* F *praeter eas quas recepimus in nominativo vocativo accusativo memoratam cfr.* Σ^{χ} (*242, 10* g): ἰϲτέον ὅτι κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ε̄ εἰϲ τὴν ου δίφθογγον γίνεται βοῦϲ ... ἰϲτέον δὲ ὅτι ϲπανία ἐϲτὶν ἡ χρῆϲιϲ τῆϲ βοῦϲ εὐθείαϲ τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόεϲ εὕρηται· ἐπὶ δὲ τῆϲ ὁμοφωνούϲηϲ αὐτῇ αἰτιατικῆϲ, λέγω δὴ τῆϲ τοὺϲ βοῦϲ, πλατεῖά ἐϲτιν ἡ χρῆϲιϲ. *in* E^{g} *non contractae tantummodo formae leguntur*, E^{b} *contra*: οἱ βόεϲ. τὸ ϲυνῃρημένον; οἱ βοῦϲ. τοὺϲ βόαϲ. τὸ ϲυνῃρημένον; τοὺϲ βοῦϲ ‖ **11** χρύϲεοϲ χρυϲέου χρυϲοῦϲ χρυϲοῦ *etiam* Σ^{χ} (*243, 3* g) Σ^{σ} *testantur* ‖ **13** *verba* καὶ θηλυκὰ *hic et v. 15 in* F *addita fluxisse videntur ex* Σ^{χ} (*248, 12* g): ἰϲτέον ὅτι τὰ εἰϲ οϲ ἀρϲενικὰ ἢ (καὶ V) θηλυκὰ εἰϲ τὴν ου δίφθογγον ἔχουϲι τὴν γενικήν, *et* (*249, 29* g): ἰϲτέον ὅτι τὰ εἰϲ οϲ

984 b Δυϊκά. Τὼ πλόω τὼ πλώ, τοῖν πλόοιν τοῖν πλοῖν, ὦ πλόω ὦ πλώ.

Πληθ. Οἱ πλόοι οἱ πλοῖ, τῶν πλόων τῶν πλῶν, τοῖς πλόοις τοῖς πλοῖς, τοὺς πλόους τοὺς πλοῦς, ὦ πλόοι ὦ πλοῖ.

Κανὼν ιε΄.

Ἑνικά. Ὁ ἱδρώς τοῦ ἱδρῶτος: τὰ εἰς ωc ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ τος κλίνεται, ἀπτῶτος ἀγνῶτος. τῷ ἱδρῶτι, τὸν ἱδρῶτα, ὦ ἱδρώς: τὰ εἰς ωc τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ Μίνως, ὦ ἥρως.

Δυϊκά. Τὼ ἱδρῶτε, τοῖν ἱδρώτοιν, ὦ ἱδρῶτε.

Πληθ. Οἱ ἱδρῶτες, τῶν ἱδρώτων, τοῖς ἱδρῶσι, τοὺς ἱδρῶτας, ὦ ἱδρῶτες.

Κανὼν ιϛ΄.

Ἑνικά. Ὁ ἥρως τοῦ ἥρωος, ὁ γέλως τοῦ γέλωτος: τῶν εἰς ωc βαρυτόνων τὰ μὲν βραχεία παραληγόμενα διὰ τοῦ τος κλίνεται, γέλωτος ἔρωτος Νέπωτος, τὰ δὲ μακρᾷ διὰ καθαροῦ τοῦ οc, Μίνωος ἥρωος, πλὴν τοῦ εἵλως εἵλωτος. τῷ ἥρωϊ, τὸν ἥρωα, ὦ ἥρως.

Δυϊκά. Τὼ ἥρωε, τοῖν ἡρώοιν, ὦ ἥρωε.

Πληθ. Οἱ ἥρωες, τῶν ἡρώων, τοῖς ἥρωσι, τοὺς ἥρωας, ὦ ἥρωες.

[Discr. scr. in MCBFb] **3** οἱ πλόοι οἷ F | *post* πλοῖ *add:* πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οι ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων Bb | τῶν πλόων ὧν, τοῖς πλόοις οἷς, τοὺς πλόους οὓς F ‖ **4** *post* πλοῦς *add:* πᾶσα εὐθεῖα πληθυντικῶν εἰς οι λήγουσα εἰς ους ποιεῖ τὴν αἰτιατικήν, οἷον ὅμηροι ὁμήρους Bb; *item* F, *qui tamen pro* οἷον ὅμηροι ὁμήρους *habet* καλοί καλούς | ὦ πλόοι οἷ F ‖ **6** ὑπὲρ μίαν συλλαβὴν *om* F ‖ **7** ἀπτῶτος C | •ἀγνῶτος] ἀνῶτος C ‖ **8** ὦ Μίνως ὦ ἥρως *om* Bb | ὦ μήνως MC ‖ **11** ἱδρώτων] ἱδρῶτων *sed posterioris* ω *dimidio eraso* M ‖ **14** Ὁ ἥρως τοῦ ἥρωος *om* C | ὁ γέλως τοῦ γέλωτος *om* Fb ‖ **16** μακρὰ F | *post* μακρᾷ *add* παραληγόμενα C | Μίνωος] μήνωος C ‖ **17** εἵλως εἵλωτος MBb, ἥλως ἥλωτος C, εἷλως εἵλωτος γὰρ F | τῷ ἵρωϊ F

[Testim. ex ***ΣE***] ἀρσενικὰ ἢ θηλυκὰ εἰς ε ἔχουσι τὴν κλητικήν, *aut ex* ***E***[b], *ubi similia leguntur* ‖ **3** *canonem ad* πλοῖ *in* B *additum a Choerobosco hic non lectum esse ipsius verba docent* (*251, 1* g): ἰστέον ὅτι πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς τὴν οι δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν . . . δεῖ προσθεῖναι «χωρὶς τῶν οὐδετέρων», ἐπειδὴ —. *eundem canonem* ***E*** *praebent* ‖ **4** *canon in* BF *post* πλοῦς *adiectus*, *quem non hoc loco legerunt* ***Σ***[χ], *in* ***E*** *exstat;* καλοί καλούς *exemplum una cum* Ὅμηροι Ὁμήρους *in explanatione proponit Choeroboscus* (*252, 5* g) ‖ **14** *utrumque nomen praeb.* ***Σ***[χ] (*255, 32* g) *atque ita, ut* ἥρως *priorem obtineat locum;* ***E*** *contra voce* γέλως *utuntur ad demonstrandum canonem*, *nomine* ἥρως *pro paradigmate prolato* ‖ **16** παραληγόμενα *post* μακρᾷ *repetunt* ***Σ***[χ] (*256, 26* g) *et* ***E***[b] (*unus Bas. II om*), *om* ***E***[s]

Κανὼν ιζ'.

Ἑνικά. Ὁ Μενέλεωc τοῦ Μενέλεω: τὰ εἰc ο̅c̅ ὀνόματα μεταποιοῦντεc Ἀττικοὶ εἰc ω̅c̅ καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰc ε̅ μεταβάλλουcι, κλίνουcι δὲ πάντα κατὰ ἀποβολὴν τοῦ c̅, ὁ λεώc τοῦ λεώ, ὁ νεώc τοῦ νεώ· ἰcτέον δὲ ὡc εἴ που εὑρεθείη ἐν τῷ κοινῷ ὀνόματι τὸ ο̅ εἰc ω̅ τρέπουcιν αὐτό, κἂν φθάcῃ προπαροξυνθῆναι ἡ εὐθεῖα πᾶcα πτῶcιc προπαροξύνεται. τῷ Μενέλεῳ: εἴπομεν ὡc πᾶcα γε- 985 b νικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ι̅ ἀνεκφώνητον λήγουcαν μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc ἢ μείζονοc ἀντιcτοίχου. τὸν Μενέλεων: εἴπομεν ὡc πᾶcα εὐθεῖα εἰc c̅ λήγουcα, ὅταν ἔχῃ ἰcοcύλλαβον τὴν αἰτιατικὴν μετὰ τῶν αὐτῶν φωνηέντων, εἰc ν̅ αὐτὴν ἔχει λήγουcαν, ὁ Πέρcηc τὸν Πέρcην. ὦ Μενέλεωc: εἴπομεν ὅτι τὰ εἰc ω̅c̅ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· ἄλλωc τε καὶ οἱ Ἀττικοὶ τὰc αὐτὰc ποιοῦcιν ὀρθὰc καὶ κλητικάc.

Δυϊκά. Τὼ Μενέλεω: πᾶcα δοτικὴ ἑνικῶν εἰc ω̅ λήγουcα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν. τοῖν Μενέλεῳν: τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̅ εἰc ω̅· διὸ καὶ τὸ ι̅ ἔχει· πᾶcα γὰρ δοτικὴ ἐπὶ παντὸc ἀριθμοῦ τὸ ι̅ ἔχει. ὦ Μενέλεω: εἴρηται.

Πληθ. Οἱ Μενέλεῳ: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̅ εἰc ω̅, καὶ τὸ ι̅ ἔχει· πᾶcα γὰρ εὐθεῖα πληθυντικῶν ἀρcενικῶν

[Discr. scr. in MCBFb] **2** τοῦ Μενέλεω] τοῦ Μενέλεωc M | εἰc ο̅c̅ BFb, εἰc ω̅c̅ *in* εἰc οc *corr.* M¹, εἰc ω̅c̅ C || **3** *ante* Ἀττικοὶ *add* ὡc C, *qui om* εἰc ω̅c̅ | εἰc ω̅c̅ ἀττικοὶ F | εἰc ε̅] εἰc ω̅ C || **5** εὑρεθείη] εὑρεθῇ C | κοινῷ] κυνῷ M || **6** τρέπουcιν αὐτό M, αὐτὸ τρέπουcι (cιν C) CBFb | φθάcῃ MBFb, φθάcει C || **7** *ante prius* πᾶcα *add* ἡ MB || **9** τὸν Μενέλεων] τῶν Μενέλεων C || **10** εἰc c̅] εἰc c̅c̅ C | ἔχῃ BFb, ἔχει MC || **11** τὴν αἰτιατικὴν ἰcοcύλλαβον B Fb | αὐτῶν] αὐτῶν C || **12** ὁ Πέρcιc M | ὅτι MCF, ὡc Bb || **13** οἱ *om* M || **14** ποιοῦcιν M, ἔχουcιν CBFb || **16** τὴν εὐθεῖαν MC, τὴν εὐθείαν F, τὴν ὀρθὴν Bb || **17** κοινοῦ *ex* κυνοῦ *corr.* M¹ || **18** ἐπὶ *habent* CBFb, *om* M || **19** Πληθ. Οἱ Μενέλεῳ *om* C | κοινοῦ *ex* κυνοῦ *corr.* M¹ || **20** καὶ τὸ ι̅ ἔχει MBb, ἔχει γὰρ τὸ ι̅ C, ἔχει δὲ καὶ τὸ ι̅ F | *post* ἀρcεν. *add* τε CBFb

[Testim. ex *ΣE*] **2** μεταποιοῦcιν εἰc ω̅c̅ Ἀττικοὶ *E*ˢ, μεταποιοῦντεc (μεταποιοῦcιν *ed. pr.*) εἰc ω̅c̅ (οἱ *add Bas. II*) Ἀττικοὶ *E*ᵇ || **6** φθάcῃ *testantur etiam* *E* || **7** ἡ, *quod ante* πᾶcα *add* MB, *om E;* αἱ πτώcειc ἅπαcαι *Σ*ᵡ || **10** ἔχῃ *habent etiam* *Σ*ᵡ (262, 13 g) *E*ˢ; *at* ὅταν ἔχει τὴν αἰτιατικὴν ἰcοcύλλαβον *E*ᵇ (*in Bas. II; cet. enim canonem om*) || **11** τὴν αἰτιατικὴν ἰcοcύλλαβον *transp.* *Σ*ᵡ *E*ˢ*E*ᵇ (*in Bas. II*) || **12** *coniunctionem* ὅτι *testantur etiam* *Σ*ᵡ (262, 17 g): εἴρηται ὅτι τὰ εἰc ω̅c̅ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν || **13** οἱ *ante* Ἀττικοὶ *add* *Σ*ᵡ (262, 19 g): ἄλλωc τε δὲ καὶ οἱ Ἀττικοὶ — *et E:* ὦ Μενέλεωc. ὁ κανών; οἱ Ἀττικοὶ τὰc αὐτὰc — || **14** ἔχουcιν, *non* ποιοῦcιν, *praebent* *Σ*ᵡ*E* || **16** τὴν εὐθεῖαν *testantur* *Σ*ᵡ (262, 30 g) *E*ˢ || **18** ἐπὶ *ante* παντὸc *habent* *Σ*ᵡ (263, 2 g) *E*ˢ || **20** *ex vario modo quo adscripti* ι̅ *mentio fit haud scio an suspicio oriatur, ea verba originem duxisse ex* *Σ*ᵡ (263, 22 g): καὶ μένει τὸ ι̅ προcγεγραμμένον ἀναγκαίωc, *aut E*ᵇ: ἔχει δὲ καὶ τὸ ι̅ προcγεγραμμένον | *ad* τε *voculam in interpolatis codd. post* ἀρcενικῶν *insertam cfr.* *Σ*ᵡ (263, 23 g): ἀρcενικῶν ἢ θηλυκῶν (*in* V), ἀρcενικῇ τε ἢ θηλυκῇ (*in* NC); *et* (263, 26 g): πρόcκειται

καὶ θηλυκῶν εἰς φωνῆεν λήγουσα εἰς ῑ θέλει λήγειν. τῶν Μενέλεων: εἴρηται. τοῖς Μενέλεῳς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ c̄ ποιεῖ τὴν δοτικήν· ἀναγκαίως οὖν καὶ τοῦτο μετὰ τοῦ ῑ γράφεται. τοὺς Μενέλεως: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̄ εἰς ω̄, τὸ μέντοι ῡ ἐξέπεσεν διὰ τὴν κακοφωνίαν. ὦ Μενέλεῳ: εἴρηται.

Κανὼν ιη΄.

Ἑνικά. Ὁ ἅλς τοῦ ἁλός: πᾶν ὄνομα εἰς δύο σύμφωνα λῆγον διὰ δύο συμφώνων κλίνεται, Τίρυνς Τίρυνθος, μάκαρς μάκαρτος· εἰ οὖν ἅλς ἔδει ἅλτός, ἀλλ' ἐπειδὴ δασυνομένης τῆς εὐθείας ἔμελλεν ψιλοῦσθαι ἡ γενική, ὑπεστάλη τὸ τ, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική· τοῦτο δὲ τὸ ὄνομα ὅτε μέν ἐστι θηλυκὸν καὶ δηλοῖ τὴν θάλασσαν ἕως
986b τῶν ἑνικῶν κλίνεται μόνον, ὅτε δὲ ἀρσενικὸν δι' ὅλου κλίνεται. τῷ ἁλί, τὸν ἅλα, ὦ ἅλς: τὰ εἰς δύο σύμφωνα λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. Τὼ ἅλε, τοῖν ἁλοῖν, ὦ ἅλε.

Πληθ. Οἱ ἅλες, τῶν ἁλῶν, τοῖς ἁλσί: εἴπομεν ὡς τὰ εἰς c̄ λήγοντα μετὰ μακρᾶς περισσοσυλλάβως κλινόμενα καὶ μὴ συναιρούμενα κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ. τοὺς ἅλας, ὦ ἅλες.

Κανὼν ιθ΄.

Ἑνικά. Ὁ Ἀλκμάν τοῦ Ἀλκμᾶνος: τὰ εἰς α̅ν̅ καὶ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ ᾱ καὶ προσθέσει τοῦ ο̅c̅ κλίνεται, παιᾶνος Τιτᾶνος Πα-

---

[Discr. scr. in MCBFb] **1** *post* θηλυκῶν *add* ὀνομάτων F ‖ **2** εἴρηται *om* Bb ‖ **5** τοῦ ο̄] τὸ ο̄ B | μέντοι M, δὲ CBFb | ἐξέπεσεν M, ἐξέπεσε CBFb ‖ **6** ὦ Μενέλεως C | εἴρηται MF, εἴρηται. τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν B, ὡς ἡ ὀρθὴ καὶ ἡ κλητικὴ C, εἴρηται ὡς ἡ ὀρθὴ καὶ ἡ κλητικὴ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν b ‖ **10** ἀλτός F | ἔμελλεν M, ἔμελλε CBFb ‖ **11** ὑπεστάλη — ἡ γενική *om* C ‖ **13** *ante* μόνον *add* καὶ M ‖ **14** λήγοντα *om* F ‖ **17** ἁλσί MCF, ἁλσίν Bb | εἴπομεν — ποιεῖ (**19**) *om* F | ὡς MC, ὅτι Bb ‖ **18** περισσοσυλλάβως MC, περιττοσυλλάβως Bb ‖ **22** Ἀλκμάν] Ἀλμάν M | ἀλκμάνος C

[Testim. ex **ΣE**] «ἀρσενικῶν ἢ θηλυκῶν» (*in* V), πρόσκειται «ἀρσενικὴ ἢ θηλυκή» (*in* NC). — ἀρσενικῶν τε καὶ θηλυκῶν **E**ᵇ ‖ **5** δὲ *pro* μέντοι *fortasse ortum ex* **Σ**$^{\chi}$ (*264, 30* g): ἀποβάλλει (ἀποβάλλουσι V) δὲ τὸ ῡ, *aut* **E**: τὸ δὲ ῡ ἐξέπεσε διὰ τὴν κ. ‖ **6** εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητικὴ **Σ**$^{\chi}$ (*265, 15* g), τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν **E**^{g}, τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητικὴ **E**^{b} (*in Bas. II; cet. om*) ‖ **10** ἀλτός **Σ**$^{\chi}$ *267, 25* g (*in* NC) | ἔμελλε *sine* ν *ephelcystico habent* **Σ**$^{\chi}$ (*266, 1* g) **Σ**$^{\sigma}$ **E**^{g}, δασυνομένης τῆς εὐθείας ἠναγκάζετο ψιλοῦσθαι ἡ γενικὴ **E**^{b} ‖ **13** καὶ *ante* μόνον *in* M *librarii errore videtur additum*, *nam* ἕως τῶν ἑνικῶν κλίνεται μόνον **Σ**$^{\chi}$ (*268, 8* g), ἕως τῶν ἑνικῶν κλίνεται **E**^{g} ‖ **17** *coniunctio* ὅτι (*in* B) *orta videtur ex* **Σ**$^{\chi}$ (*269, 15* g): εἴρηται ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς c̄ λήγουσα ‖ **18** περιττοσυλλάβως **Σ**$^{\chi}$ **E**^{g}

νόc, ὅτε ἀρcενικόν ἐcτι. τῷ Ἀλκμᾶνι, τὸν Ἀλκμᾶνα, ὦ Ἀλκμάν: τὰ εἰc ἀμετάβολον ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ λιμήν, ὦ ἀcτήρ, πλὴν τοῦ ἄνερ πάτερ cῶτερ δᾶερ.

Δυϊκά. Τὼ Ἀλκμᾶνε, τοῖν Ἀλκμάνοιν, ὦ Ἀλκμᾶνε.

Πληθ. Οἱ Ἀλκμᾶνεc, τῶν Ἀλκμάνων, τοῖc Ἀλκμᾶcι, τοὺc Ἀλκμᾶναc, ὦ Ἀλκμᾶνεc.

Κανὼν κʹ.

Ἑνικά. Ὁ cωλήν τοῦ cωλῆνοc, ὁ ποιμήν τοῦ ποιμένοc: τῶν εἰc ηνͅ ὀξυτόνων ὅcα μὲν ἔχει τὸ μ̄ ἐπὶ τῆc εὐθείαc διὰ τοῦ ε̄ κλίνεται, ὅcα δὲ μὴ ἔχει τὸ μ̄ τὸ η̄ φυλάccει· καὶ τὸ αὐχήν οὖν αὐχένοc ἐκλίθη· αὐχμήν γὰρ τὸ ἐντελέcτερον. τῷ cωλῆνι, τὸν cωλῆνα, ὦ cωλήν.

Δυϊκά. Τὼ cωλῆνε, τοῖν cωλήνοιν, ὦ cωλῆνε.

Πληθ. Οἱ cωλῆνεc, τῶν cωλήνων, τοῖc cωλῆcι, τοὺc cωλῆναc, ὦ cωλῆνεc.

Κανὼν καʹ. 987 b

Ἑνικά. Ὁ Ἕλλην τοῦ Ἕλληνοc, ὁ τέρην τοῦ τέρενοc: τῶν εἰc ηνͅ βαρυτόνων ὅcα μέν ἐcτι μονογενῆ τὸ η̄ τηρεῖ, ὅcα δὲ ἔχει οὐδετέρου παραcχηματιcμὸν διὰ τοῦ ε̄ κλίνεται, Ἕλληνοc Γέρηνοc· τέρενοc δὲ ὅτι τὸ τέρεν καὶ ἄρcενοc ὅτι τὸ ἄρcεν. τῷ Ἕλληνι, τὸν Ἕλληνα, ὦ Ἕλλην: τὰ εἰc ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλ-

---

[Discr. scr. in MCBFb] **1** ἐcτι MCBF, ἐcτιν b | τῷ Ἀλκαμᾶνι C | ὦ Ἀλκμᾶν C ‖ **2** *post* ἀμετάβολον *add* λήγοντα C ‖ **3** δᾶερ MBFb, δάερ C ‖ **4** Τὼ] τῶι M ‖ **5** Ἀλμᾶνεc M | Ἀλμάνων M | Ἀλκμᾶcι] Ἀλμᾶcι *et supra* μ *posito* κ M[1], Ἀλκμάcι C ‖ **6** Ἀλκμάναc C ‖ **8** ὁ cωλήν τοῦ cωλῆνοc, ὁ ποιμήν τοῦ ποιμένοc CBFb, ὁ ποιμήν τοῦ ποιμένοc, ὁ cωλήν τοῦ cωλῆνοc M ‖ **9** τὸ μ̄] τὸ μ̄η̄ C | ἐπὶ τῆc εὐθείαc MBb, ἐπ' εὐθείαc CF ‖ **10** ἔχει] ἔχῃ F ‖ **11** αὐχμήν BFb, αὐχήν MC | *post* γὰρ *add* ἦν CBFb | cωλῆνα] cωλὴν C ‖ **17** τέρενοc *in* τέρηνοc *mutavit* C[1] ‖ **18** ἐcτι Bb, ἐcτιν C, εἰcι MF ‖ **19** Γέρηνοc] τέρηνοc F ‖ **20** τὸ *ante* τέρεν *supra lineam add* B, *om* C | τὸ ἄρcεν] ἄρcεν F, καὶ ἄρcεν *sed supra* καὶ *posito* τὸ B

[Testim. ex *ΣE*] **2** λήγοντα *add* $Σ^χ$ (*272, 8* g): ἰcτέον ὅτι καθόλου τὰ εἰc ἀμετάβολα (ἀμετάβολον V) λήγοντα ὀξύτονα —, E^g: τὰ εἰc ἀμετάβολον λήγοντα ὀξύτονα —, E^b: τὰ εἰc ἀμετάβολον (ἀμετάβολα *Bas. II et ed. Wald.*) λήγοντα ὀξύτονα (ὀξύτονα *om. Bas. I*), *om* $Σ^σ$: τὰ εἰc ἀμετάβολα ὀξύτονα ‖ **3** δᾶερ *praebent etiam* $Σ^χ$ (*272, 16 sqq.* g) $Σ^σ$ ‖ **8** ὁ cωλήν τοῦ cωλῆνοc, ὁ ποιμήν τοῦ ποιμένοc *praebent etiam* $Σ^χ$ *274,9* g (*in* V, *nam* NC *om* ποιμήν) $Σ^σ$, *unum* cωλήν *in* κανὼν κʹ *adferunt* $Σ^ϑ$, cωλήν *pro canone*, ποιμήν *pro paradigmate exhibent* *E* ‖ **9** ἐπ' εὐθείαc *E*, ἐπὶ τῆc εὐθείαc $Σ^ϑ$, *om* $Σ^χ$ *274,30* g ‖ **11** ἦν, *quod post* αὐχμήν γὰρ *legitur in interpolatis codd., fortasse fluxit ex* $Σ^χ$ (*274, 32* g): λέγει (λέγουcιν V) ὅτι αὐχμήν ἦν τὸ ἐντελέcτερον ‖ **18** ἐcτι *etiam* $E^g E^b$ (*in Bas. I et II*), εἰcι $Σ^χ$ (*276, 17* g) $Σ^ϑ E^b$ (*in ed. pr. et Wald.*)

λοντα τῆc γενικῆc τὴν ἐcχάτην τὸ ο̅c̅ ποιεῖ τὴν κλητικήν, ἄρcενος ἄρcεν, Μαχάονος Μαχᾶον, πλὴν τοῦ Ἄπολλον καὶ Πόcειδον.

Δυϊκά. Τὼ Ἕλληνε, τοῖν Ἑλλήνοιν, ὦ Ἕλληνε.

Πληθ. Οἱ Ἕλληνες, τῶν Ἑλλήνων, τοῖc Ἕλληcι, τοὺc Ἕλληνας, ὦ Ἕλληνες.

Κανὼν κβ′.

Ἑνικά. Ὁ δελφίν τοῦ δελφῖνος: τὰ εἰc ι̅ν̅ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ ῑ καὶ προcθέcει τοῦ ο̅c̅ κλίνεται· δικατάληκτά τε καλεῖται, ὅτι παρὰ μὲν τοῖc ἀρχαίοιc εἰc ι̅c̅ λήγει, παρὰ δὲ τοῖc νεωτέροιc εἰc ι̅ν̅, δελφίν ἀκτίν ῥίν. τῷ δελφῖνι, τὸν δελφῖνα, ὦ δελφίν.

Δυϊκά. Τὼ δελφῖνε, τοῖν δελφίνοιν, ὦ δελφῖνε.

Πληθ. Οἱ δελφῖνες, τῶν δελφίνων, τοῖc δελφῖcι, τοὺc δελφῖνας, ὦ δελφῖνες.

Κανὼν κγ′.

Ἑνικά. Ὁ Φόρκυν τοῦ Φόρκυνος: τὰ εἰc υ̅ν̅ προcθέcει τοῦ ο̅c̅ κλίνεται, μόcυνος Φόρκυνος. τῷ Φόρκυνι, τὸν Φόρκυνα, ὦ Φόρκυν.

Δυϊκά. Τὼ Φόρκυνε, τοῖν Φορκύνοιν, ὦ Φόρκυνε.

Πληθ. Οἱ Φόρκυνες, τῶν Φορκύνων, τοῖc Φόρκυcι, τοὺc Φόρκυνας, ὦ Φόρκυνες.

988b Κανὼν κδ′.

Ἑνικά. Ὁ Θέων τοῦ Θέωνος, ὁ cώφρων τοῦ cώφρονος, ὁ λέων τοῦ λέοντος: τῶν εἰc ω̅ν̅ ἀρcενικῶν βαρυτόνων τὰ μὲν παρώνυμα διὰ τοῦ ω̅ κλίνεται, Θέωνος Ἱέρωνος Δίωνος, τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο̅, οἷον γείτονος cώφρονος, τὰ δὲ ἔχοντα θηλυκὸν

[Discr. scr. in MCBFb] **1** τὸ ο̅c̅ CBFb, ο̅c̅ M ‖ **2** Μαχάωνος C | Μαχᾶον] Μαχάων C, Μαχάον F | Ἄπολλον καὶ Πόcειδον MF, Ἄπολλον (*ex* Ἀπόλλων *corr.*) Πόcειδον C, ὦ Ἄπολλον ὦ Πόcειδον Bb ‖ **7** *ante* ὀξύνεται *add* καὶ CBb, λήγοντα καὶ F | ὀξύνεται MBFb, δαcύνεται C ‖ **8** τε *om* B ‖ **10** δελφίν ἀκτίν ῥίν] δελφίν καὶ δελφίc, ἀκτίν καὶ ἀκτίc, ῥίν καὶ ῥίc F ‖ **15** Φόρκυν] Φόρκυc C | *post* Φόρκυνος *add* ὁ μόcυν τοῦ μόcυνος F ‖ **16** μόcυνος] μόccυνος M ‖ **18** οἱ Φόρκυνες *sed supra* υ *scriptum* οι M^{1} ‖ **21** cώφρωνος M, cώφρονος *ex* cώφρωνος *corr.* C^{1} ‖ **23** Θέωνος — Δίωνος MC, Θέων Θέωνος, Ἱέρων Ἱέρωνος, Δίων Δίωνος Bb, Θέων Θέωνος, Δίων Δίωνος, Ἱέρων Ἱέρωνος F ‖ **24** οἷον *om* CBFb

---

[Testim. ex ΣE] **1** τὸ ο̅c̅ *testantur* Σ^{χ} (*277, 12* g) E^{g} ‖ **2** *sine dubio Choeroboscus legit* Ποcείδαον (Σ^{χ} *277, 19 sqq.* g), *quod nescio an in Theodosiano canone sit restituendum, in quo de barytonis docetur.* Πόcειδον Σ^{σ} ‖ **7** καὶ *ante* ὀξύνεται *add* Σ^{σ} E^{g} E^{b} (*sed ed. Wald. om*). Σ^{ϑ}: πάντα γὰρ τὰ εἰc ι̅ν̅ ὀξύνονταί τε καὶ προcθέcει τοῦ ο̅c̅ κλίνονται ‖ **23** Θέων Θέωνος, Δίων Δίωνος, Ἱέρων Ἱέρωνος E^{g}. Ἱέρων Ἱέρωνος *om* E^{b} ‖ **24** οἷον *om* E^{g} *quae traic.* cώφρονος γείτονος, *habent* E^{b}

διὰ τοῦ αινα διὰ τοῦ ντ, οἷον δράκων δράκοντος ὅτι δράκαινα, θεράπων θεράποντος ὅτι θεράπαινα. τῷ Θέωνι, τῷ сώφρονι, τῷ λέοντι. τὸν Θέωνα, τὸν сώφρονα, τὸν λέοντα. ὦ Θέων, ὦ сῶφρον, ὦ λέον.

Δυϊκά. Τὼ Θέωνε, τὼ сώφρονε, τὼ λέοντε. τοῖν Θεώνοιν, τοῖν сωφρόνοιν, τοῖν λεόντοιν. ὦ Θέωνε, ὦ сώφρονε, ὦ λέοντε.

Πληθ. Οἱ Θέωνεс, οἱ сώφρονεс, οἱ λέοντεс. τῶν Θεώνων, τῶν сωφρόνων, τῶν λεόντων. τοῖс Θέωсι, τοῖс сώφροсι, τοῖс λέουсι: ὅτι κατὰ τὴν παραλήγουсαν ἰсοχρονεῖν θέλει ταῖс ἄλλαιс πλαγίοιс τῶν πληθυντικῶν ἡ δοτικὴ τῶν πληθυντικῶν, ἐνίοτε δὲ καὶ μείζονα χρόνον ἔχειν, οὐδέποτε δὲ ἐλάττονα· μείζονα οὖν χρόνον ἔχει ὡс ἐπὶ τοῦ τοῖс Νέсτορсι. τοὺс Θέωναс, τοὺс сώφροναс, τοὺс λέονταс. ὦ Θέωνεс, ὦ сώφρονεс, ὦ λέοντεс.

Κανὼν κε'.

Ἑνικά. Ὁ κοιτὼν τοῦ κοιτῶνοс, ὁ Σαρπηδὼν τοῦ Σαρπηδόνοс, ὁ ἀλεκτρυὼν τοῦ ἀλεκτρυόνοс: τῶν εἰс ων ὀξυτόνων ὅсα μέν ἐсτι περιεκτικὰ τὸ ω φυλάссει, φοινικῶνοс ἀμπελῶνοс, ὅсα δὲ εἰс δων λήγει διὰ τοῦ ο κλίνεται, Σαρπηδόνοс Μακεδόνοс, καὶ ὅсα εἰс ων καθαρὸν λήγει καὶ βραχεῖ διχρόνῳ παραλήγεται, περικτιόνοс ἀλεκτρυόνοс. τῷ κοιτῶνι, τῷ Σαρπηδόνι, τῷ ἀλεκτρυόνι. τὸν κοιτῶνα, τὸν Σαρπηδόνα, τὸν ἀλεκτρυόνα. ὦ κοιτών, ὦ Σαρ- 989b
πηδών, ὦ ἀλεκτρυών.

Δυϊκά. Τὼ κοιτῶνε, τὼ Σαρπηδόνε, τὼ ἀλεκτρυόνε. τοῖν κοιτώνοιν, τοῖν Σαρπηδόνοιν, τοῖν ἀλεκτρυόνοιν. ὦ κοιτῶνε, ὦ Σαρπηδόνε, ὦ ἀλεκτρυόνε.

[Discr. scr. in MCBFb] 1 *post* τοῦ ντ *add* κλίνεται BFb | οἷον *om* F | δράκων *ex* δράκον *corr.* M | δράκανα C ‖ 3 τὸν Θέωνα *ex* τῷ Θέωνι *corr.* C[1] | τὸν λέοντα *om* C ‖ 4 ὦ сώφρον C | λέον BFb, λέον *in* λέων *mutavit* M[1], λέων *in* λέον *corr.* C ‖ 5 Θεώνοιν] Θεωνοιν M ‖ 6 ὦ Θέωνεс (*et supra* ω *est* ο). ὦ сώφρονεс. ὦ λέοντεс M ‖ 8 Θεόνων *in* Θεώνων *corr.* M[1] ‖ 10 λέουсι MCF, λέουсιν Bb ‖ 11 πλαγίοιс M, πλαγίαιс CBFb | τῶν πληθυντικῶν *post* πλαγ. *om* CBFb ‖ 12 ἔχειν M, ἔχει CF, θέλει ἔχειν Bb ‖ 13 Νέсτορсι *ex* Νέсτωρсι *corr.* C[1] | сώφροναс] φροναс F ‖ 14 ὦ Θέωνεс — ὦ λέοντεс *om* C ‖ 16 ὁ κοιτῶν F | ὁ Σαρπιδῶν τοῦ Σαρπιδόνοс M ‖ 17 ὁ ἀλεκτρύων τοῦ ἀλεκτρύονοс C | τοῦ ἀλεκτρυῶνοс B ‖ 18 *post* φυλάссει *add* καὶ ἐπὶ γενικῆс F ‖ 19 Σαρπιδόνοс M ‖ 20 βραχεῖ] βραχὺ C | περικτίονοс C ‖ 21 ἀλεκτρύονοс C | Σαρπιδόνι M | ἀλεκτρύονι C ‖ 22 Σαρπιδόνα M | Σαρπιδών M, Σαρπηδόν F ‖ 23 ἀλεκτρυόν CF ‖ 24 Σαρπιδώνε M | ἀλεκτρυώνε M ‖ 25 κοιτώνοιν *ex* κοιτόνοιν *corr.* M | τὸν Σαρπιδόνοιν M ‖ 26 ὦ Σαρπιδῶνε M

[Testim. ex **ΣE**] 1 κλίνεται (*seu* κλίνονται) *post* τοῦ ντ *add* **Σ**[χ] (*288,29* g) **Σ**[σ] **E** ‖ 10 λέουсιν *cum* ν *ephelcystico hab.* **Σ**[χ] (*291, 3* g) **E**[s] ‖ 11 πλαγίαιс **E**[s] | τῶν πληθυντικῶν *post* πλαγίαιс *om* **E**[s] ‖ 18 καὶ ἐπὶ γενικῆс *add post* φυλάссει **Σ**[ϑ] **E**, ἐπὶ τῆс γενικῆс **Σ**[χ] (*295, 11* g)

Πληθ. Οἱ κοιτῶνες, οἱ Cαρπηδόνες, οἱ ἀλεκτρυόνες. τῶν κοιτώνων, τῶν Cαρπηδόνων, τῶν ἀλεκτρυόνων. τοῖc κοιτῶcι, τοῖc Cαρπηδόcι, τοῖc ἀλεκτρυόcι. τοὺc κοιτῶναc, τοὺc Cαρπηδόναc, τοὺc ἀλεκτρυόναc. ὦ κοιτῶνες, ὦ Cαρπηδόνες, ὦ ἀλεκτρυόνες.

Κανὼν κϛʹ.

Ἑνικά. Ὁ Ξενοφῶν τοῦ Ξενοφῶντος, ὁ Ποcειδῶν τοῦ Ποcειδῶνος, ὁ ταῶν τοῦ ταῶνος: τὰ εἰc ω̅ν̅ περιcπώμενα διὰ τοῦ ν̅τ̅ κλίνεται, Ξενοφῶντος Ἀγλαοφῶντος· cεcημείωται τὸ Ποcειδῶν· τὸ γὰρ ταῶν καὶ Τυφῶν ὡc καὶ εἰc ωc λήξαντα, καὶ Τυφῶc καὶ ταῶc γὰρ λέγεται, οὐκ ἠκολούθηcε τῇ κλίcει τῶν περιcπωμένων. τῷ Ξενοφῶντι, τῷ Ποcειδῶνι, τῷ ταῶνι. τὸν Ξενοφῶντα, τὸν Ποcειδῶνα, τὸν ταῶνα. ὦ Ξενοφῶν, ὦ Πόcειδον, ὦ ταῶν.

Δυϊκά. Τὼ Ξενοφῶντε, τὼ Ποcειδῶνε, τὼ ταῶνε. τοῖν Ξενοφώντοιν, τοῖν Ποcειδώνοιν, τοῖν ταώνοιν. ὦ Ξενοφῶντε, ὦ Ποcειδῶνε, ὦ ταῶνε.

Πληθ. Οἱ Ξενοφῶντες, οἱ Ποcειδῶνες, οἱ ταῶνες. τῶν Ξενοφώντων, τῶν Ποcειδώνων, τῶν ταώνων. τοῖc Ξενοφῶcι, τοῖc Ποcειδῶcι, τοῖc ταῶcι. τοὺc Ξενοφῶνταc, τοὺc Ποcειδῶναc, τοὺc ταῶναc. ὦ Ξενοφῶντες, ὦ Ποcειδῶνες, ὦ ταῶνες.

990 b Κανὼν κζʹ.

Ἑνικά. Ὁ θώραξ τοῦ θώρακος: τὰ εἰc α̅ξ̅ ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ κ̅ κλίνεται, αὔλακος πίδακος· cεcημείωται τὸ ἅρπαξ ἅρπαγος. τῷ θώρακι, τὸν θώρακα, ὦ θώραξ: τὰ εἰc διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ Πέλοψ, ὦ Ἄραψ· cεcημείωται τὸ ὦ γύναι καὶ τὸ Ζεῦ ἄνα, ὅτι ἀποβολὴν ἐποιήcαντο τοῦ ξ̅.

[Discr. scr. in MCBFb] **1** κοιτῶνες *ex* κοιτόνες *corr.* M[1] | οἱ Cαρπιδῶνες M | οἱ ἀλεκτρυῶνες M ‖ **2** κοιτόνων M | Cαρπιδόνων M ‖ **3** Cαρπηδόcι] ἀρπιδόcι M | τοῖc ἀλεκτρυόcι τοῖc Cαρπηδόcι *traicit* F | ἀλεκτρυόcιν C ‖ **4** Cαρπιδόναc M | Cαρπηδόνες] Cαρπήδωνες M ‖ **5** ἀλεκτρυῶνες M ‖ **8** τοῦ Ποcειδῶντος C | ταῶν F, ταών MCBb | τοῦ ν̅τ̅] τοῦ τ̅ M ‖ **10** ταῶν F, ταών MCBb | Τυφῶν CF, Τυφών MBb | λήξαντα MBFb, λήξαντος C | καὶ *ante* Τυφῶc *om* CBFb | Τυφῶc CF, Τυφώc MBb | ταῶc F, ταώc MCBb ‖ **11** γὰρ *om* CBFb | λέγεται] λεγόμενα F, *om* Bb | ἠκολούθηcε M, ἠκολούθηcεν C, ἠκολούθηcαν BFb | τῇ κλήcει CF | τῶν περιcπωμένων] τὸ περιcπώμενον C ‖ **13** ὦ Πόcειδον b, ὦ Ποcειδόν M, ὦ Ποcειδών C, ὦ Πόcειδον *ex* ὦ Ποcειδῶν *corr.* B, ὦ Πόcειδων *sed supra* ω *posito* ο F | ὦ ταών MCBb, ὦ τάῶν F ‖ **23** ὁ θῶραξ C, ὁ θάραξ F | εἰc α̅ξ̅] εἰc ξ̅ C ‖ **24** *ante* αὔλακος *add* θώρακος CBFb | πίδακος CFb, πήδακος MB ‖ **25** ὦ θῶραξ C, *om* M ‖ **26** ὦ Πέλωψ MC | ὦ Ἄραψ M, ὦ ἄραψ. ὦ φοῖνιξ. ὦ χάραξ Cb, ὦ χάραψ. ὦ ἄραψ. ὦ φοῖνιξ B, ὦ χάραξ, ὦ φοῖνιξ, ὦ ἄραψ F ‖ **27** *ante* Ζεῦ *add* ὦ F

[Testim. ex *ΣE*] **8** ταῶν *et* **10** Τυφῶν *circumflexo accentu instructa praebent* Σ^{χ} (*299, 26 sqq.* g) Σ^{σ}, ταῶν *etiam* E^{b} (*in Bas. II, cet. om*) ‖ **24** θώρακος *exemplum add* Σ^{χ} (*303, 29* g) *E*

Δυϊκά. Τὼ θώρακε, τοῖν θωράκοιν, ὦ θώρακε.

Πληθ. Οἱ θώρακες, τῶν θωράκων, τοῖς θώραξι: αὗται αἱ δοτικαὶ διχῶς κανονίζονται, ἢ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν προσλαμβανούσης πρὸ τοῦ ι̅ τὸ c̅ καὶ συναιρούσης τὸ κ̅c̅ εἰς ξ̅ καὶ τὸ π̅c̅ εἰς ψ̅, οἷον Φοίνικι, καὶ προσλαμβάνει τὸ c̅ πρὸ τοῦ ι̅, λοιπὸν συναίρεσις τοῦ κ̅c̅ εἰς ξ̅, Φοίνικσι Φοίνιξι, ὁμοίως Πέλοπι Πέλοψι· ἢ ἀπὸ τῆς εὐθείας· πᾶσα γὰρ εὐθεῖα εἰς διπλοῦν λήγουσα προσθέσει τοῦ ι̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Πέλοψι Φοίνιξι. τοὺς θώρακας, ὦ θώρακες.

Κανὼν κη΄.

Ἑνικά. Ὁ μύρμηξ τοῦ μύρμηκος, ὁ βουπλὴξ τοῦ βουπλῆγος: τῶν εἰς η̅ξ̅ ἀρσενικῶν ὅσα μέν ἐστιν ἁπλᾶ διὰ τοῦ κ̅ κλίνεται, νάρθηκος σκώληκος· ὅσα δὲ σύνθετα διὰ τοῦ γ̅, οἰστροπλὴξ οἰστροπλῆγος, ἀκανθοπλὴξ ἀκανθοπλῆγος. τῷ μύρμηκι, τῷ βουπλῆγι. τὸν μύρμηκα, τὸν βουπλῆγα. ὦ μύρμηξ, ὦ βουπλήξ.

Δυϊκά. Τὼ μύρμηκε, τὼ βουπλῆγε. τοῖν μυρμήκοιν, τοῖν βουπλήγοιν. ὦ μύρμηκε, ὦ βουπλῆγε.

Πληθ. Οἱ μύρμηκες, οἱ βουπλῆγες. τῶν μυρμήκων, τῶν βουπλήγων. τοῖς μύρμηξι, τοῖς βουπλῆξι. τοὺς μύρμηκας, τοὺς βουπλῆγας. ὦ μύρμηκες, ὦ βουπλῆγες.

Κανὼν κθ΄. 991b

Ἑνικά. Ὁ πέρδιξ τοῦ πέρδικος, ὁ τέττιξ τοῦ τέττιγος, ὁ δμῆλιξ τοῦ δμήλικος: τὰ εἰς ι̅ξ̅ ἀρσενικὰ εἰ μὲν ἁπλᾶ εἴη διὰ τοῦ κ̅ κλίνεται, Φοίνικος πέρδικος· σεσημείωται τὸ τέττιγος· τὰ δὲ σύνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται, καλλίτριχος δμήλικος. τῷ πέρδικι, τὸν πέρδικα, ὦ πέρδιξ.

[Discr. scr. in MCBFb] **2** θώραξιν Bb | *post* θώραξι *add* τοὺς θώρακας C | *post* αὗται *add* δὲ C ‖ **3** προσλαμβάνουσις M ‖ **5** οἷον Φοίνικι *in mg. add* B² | καὶ προσλαμβάνει — Φοίνικσι (**6**) *om* CFb ‖ **6** *ante* Φοίνικσι *add* οἷον B | Φοίνιξι CF, Φοίνιξιν MBb | Πέλοπι MF, Πέλωπι C, Πέλοπσι Bb | Πέλοψι MCBF, Πέλοψιν b ‖ **8** *ante* Πέλοψι *add* Πέλοψ BFb | Πέλωψι C | *ante* Φοίνιξι *add* Φοῖνιξ Bb, φοίνιξ F ‖ **10** μύρμηξ *ex* μύρμιξ *corr.* C¹ | ὁ βούπληξ τοῦ βούπληγος C ‖ **11** ἀπλὰ F | *post* ἁπλᾶ *add* βαρύνεται καὶ CBFb | τοῦ κ̅ MF, τοῦ η̅ CBb ‖ **12** σκόληκος M | *post* σύνθετα *add* ὀξύνεται καὶ CBFb | *post* τοῦ γ̅ *add* κλίνεται CBFb ‖ **18** τοῖς βούπληξιν C ‖ **19** τοὺς βούπληγας C | ὦ βούπληγες C ‖ **21** ὁ τέτιξ τοῦ τέτιγος F ‖ **22** ὁ δμήλιξ CF ‖ **23** σεσημείωται τὸ] σεσημειωμένου τοῦ C | τὸ τέττιγος] τοῦ τέτιγος F ‖ **24** τῷ πέρδικη M

[Testim. ex *ΣE*] **11—12** *quae interpolati codices addunt* βαρύνεται καὶ *et* ὀξύνεται καὶ *non legerunt* Σ^{χ} Σ^{σ}; *in explanationibus enim praebent* Σ^{σ}: τῶν δὲ ὑπὲρ μίαν συλλαβὴν σαφὴς ὁ κανών. Ἰστέον δὲ ὅτι τὰ μὲν ἁπλᾶ ὡς ἐπίπαν βαρύνεται, νάρθηξ πήληξ, τὰ δὲ σύνθετα ὀξύνεται, οἰστροπλὴξ ἀκανθοπλήξ, *et* Σ^{χ} (*308,31 g*): ταῦτα δὲ πάντα σύνθετα ἀπὸ ῥήματος ὀξύτονά εἰσι καὶ ἐπίθετα καὶ κοινὰ τῷ γένει. *sumpta autem sunt quae in* CBF *leguntur ex* E^{g}: τῶν εἰς η̅ξ̅ ἀρσενικῶν βαρυτόνων

Δυϊκά. Τὼ πέρδικε, τοῖν περδίκοιν, ὦ πέρδικε.

Πληθ. Οἱ πέρδικες, τῶν περδίκων, τοῖς πέρδιξι, τοὺς πέρδικας, ὦ πέρδικες.

Κανὼν λ′.

Ἑνικά. Ὁ δοῖδυξ τοῦ δοίδυκος, ὁ Βέβρυξ τοῦ Βέβρυκος: ὅσα τῶν εἰς $\overline{\text{υξ}}$ φύσει μακρᾷ παραλήγεται διὰ τοῦ $\overline{\text{κ}}$ κλίνεται, κήρυκος δοίδυκος, καὶ ὅσα διὰ δύο συμφώνων ἐκφέρεται, ὧν τὸ ἓν τῆς πρώτης ἐςτὶ cυζυγίας τῶν βαρυτόνων, Βέβρυκος ἄμπυκος. τῷ δοίδυκι, τὸν δοίδυκα, ὦ δοῖδυξ.

Δυϊκά. Τὼ δοίδυκε, τοῖν δοιδύκοιν, ὦ δοίδυκε.

Πληθ. Οἱ δοίδυκες, τῶν δοιδύκων, τοῖς δοίδυξι, τοὺς δοίδυκας, ὦ δοίδυκες.

Κανὼν λα′.

Ἑνικά. Ὁ βῶξ τοῦ βωκός: τὰ εἰς $\overline{\text{ωξ}}$ ἁπλᾶ διὰ τοῦ κ κλίνεται, βωκός πτωκός, πλὴν τοῦ ῥωγός· ῥώξ δέ ἐςτιν εἶδος φαλαγγίου· ἐπὶ γὰρ τῆς σταφυλῆς ῥάξ λέγεται θηλυκῶς. τῷ βωκί, τὸν βῶκα, ὦ βῶξ.

Δυϊκά. Τὼ βῶκε, τοῖν βωκοῖν, ὦ βῶκε.

Πληθ. Οἱ βῶκες, τῶν βωκῶν, τοῖς βωξί, τοὺς βῶκας, ὦ βῶκες.

Κανὼν λβ′.

Ἑνικά. Ὁ λουτήρ τοῦ λουτῆρος, ὁ αἰθήρ τοῦ αἰθέρος:
992b τῶν εἰς $\overline{\text{ηρ}}$ ὀξυτόνων ὅσα μὲν ἔχει τὸ $\overline{\text{τ}}$ διὰ τοῦ $\overline{\text{η}}$ κλίνεται, καμπτῆρος ἐλατῆρος, σεσημειωμένου τοῦ πατέρος ἀστέρος· ὅσα δὲ μὴ ἔχει τὸ $\overline{\text{τ}}$ διὰ τοῦ $\overline{\text{ε}}$ κλίνεται, αἰθέρος δαέρος, σεσημειωμένου τοῦ σπινθῆρος Ἐλευθῆρος. τῷ λουτῆρι, τὸν λουτῆρα, ὦ λουτήρ.

Δυϊκά. Τὼ λουτῆρε, τοῖν λουτήροιν, ὦ λουτῆρε.

[Discr. scr. in MCBFb] **2** πέρδιξιν C ‖ **3** πέρδικες *ex* πέρδηκες *corr.* F ‖ **5** ὁ δοίδυξ C | δοίδυκος] ΔΟΙΚΟϹ M, δοίδυκος *ex* δοίδικος *corr.* C ‖ **6** *post* παραλήγεται *add* καὶ C ‖ **7** *post* ὧν τὸ *add* μὲν C ‖ **8** ἐςτὶ *om* F ‖ **9** ὦ δοίδυξ CF ‖ **10** δοιδύκοιν *ex* δυδύκοιν *corr.* C[1] ‖ **11** δοίδυξιν C ‖ **14** Ὁ βῶξ τοῦ βωκός *om spatio vacuo relicto* C | *post* ἁπλᾶ *add* ὁ βῶξ τοῦ βωκός. τὰ εἰς $\overline{\text{ωξ}}$ ἁπλᾶ C ‖ **15** *ante* ῥωγός *add* ῥώξ CF ‖ **16** θηλυκος *sed supra* ος *scr.* ῶς F ‖ **17** τὼ βώκε C | βώκοιν F ‖ **18** τοῖς βοξί M, τοῖς βωξίν C ‖ **23** σεσημειωμένου τοῦ] σεσημείωται τὸ C ‖ **24** κλίνεται *om* F | σπηνθῆρος M | Ἐλευθῆρος *om* C

[Testim. ex *ΣE*] ὅσα μὲν ἐςτὶ ἁπλᾶ βαρύνεται καὶ διὰ τοῦ $\overline{\text{κ}}$ κλίνεται... ὅσα δὲ σύνθετα ὀξύνεται καὶ διὰ τοῦ $\overline{\text{γ}}$ κλίνεται. *eadem fere habent* **E**[b] ‖ **6** καί, *quod post* παραλήγεται *unus* C *addit, irrepsisse videtur ex* **E**[s]: ὅσα τῶν εἰς $\overline{\text{υξ}}$ φύσει μακρᾷ παραλήγεται καὶ διὰ τοῦ $\overline{\text{κ}}$ κλίνεται ‖ **7** μὲν *post* ὧν τὸ (*ut* C) *addunt* **E**[s] *itemque* **Σ**[χ] *313,7* g (*in* NC; *at* V: ὧν τὸ ἕτερον) ‖ **8** ἐςτὶ *etiam in* **E**[s] *deest* ‖ **23** *scriptura codicis* C: σεσημείωται τὸ *fortasse orta est ex* **Σ**[σ]: σεσημείωται ἐν τοῖς ἔχουσι τὸ $\overline{\text{τ}}$ δύο, πατήρ καὶ ἀστήρ, καὶ ἐν τοῖς μὴ ἔχουσι δύο, σπινθήρ Ἐλευθήρ

Πληθ. Οἱ λουτῆρεc, τῶν λουτήρων, τοῖc λουτῆρcι, τοὺc λουτῆραc, ὦ λουτῆρεc.

Κανὼν λγ'.

Ἑνικά. Ὁ Πίηρ τοῦ Πίεροc, ὁ Ἴβηρ τοῦ Ἴβηροc: τῶν εἰc ηρ βαρυτόνων ὅcα μὲν μακρᾷ παραλήγεται διὰ τοῦ ε̄ κλίνεται, φράτεροc Πίεροc, ὅcα δὲ βραχείᾳ παραλήγεται διὰ τοῦ η̄ κλίνεται, Ἴβηροc ἐρίηροc· τὸ δὲ πάνθηρ τοῦ ἁπλοῦ τὴν κλίcιν ἐδέξατο. τῷ Πίερι, τὸν Πίερα, ὦ Πῖερ.

Δυϊκά. Τὼ Πίερε, τοῖν Πιέροιν, ὦ Πίερε.

Πληθ. Οἱ Πίερεc, τῶν Πιέρων, τοῖc Πίερcι, τοὺc Πίεραc, ὦ Πίερεc.

Κανὼν λδ'.

Ἑνικά. Ὁ Νέcτωρ τοῦ Νέcτοροc, ὁ κέλωρ τοῦ κέλωροc: τὰ εἰc ωρ βαρύτονα διὰ τοῦ ο̄ κλίνεται· ὅcα δὲ ἔχει τὸ λ̄ διὰ τοῦ ω̄, Μέντοροc Ἕκτοροc Νέcτοροc κέλωροc πέλωροc. τῷ Νέcτορι, τὸν Νέcτορα, ὦ Νέcτορ.

Δυϊκά. Τὼ Νέcτορε, τοῖν Νεcτόροιν, ὦ Νέcτορε.

Πληθ. Οἱ Νέcτορεc, τῶν Νεcτόρων, τοῖc Νέcτορcι, τοὺc Νέcτοραc, ὦ Νέcτορεc.

Κανὼν λε'.

Ἑνικά. Ὁ Κύκλωψ τοῦ Κύκλωποc: τὰ εἰc ψ̄ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ π̄ κλίνεται, Πέλοποc Κύκλωποc λαίλαποc, πλὴν τοῦ Ἄραβοc Κίνυφοc Χάλυβοc. τῷ Κύκλωπι, τὸν Κύκλωπα, ὦ Κύκλωψ.

Δυϊκά. Τὼ Κύκλωπε, τοῖν Κυκλώποιν, ὦ Κύκλωπε. 993b

Πληθ. Οἱ Κύκλωπεc, τῶν Κυκλώπων, τοῖc Κύκλωψι, τοὺc Κύκλωπαc, ὦ Κύκλωπεc.

Τέλοc τῶν ἀρcενικῶν.

[Discr. scr. in MCBFb] **4** ὁ Ἴβηρ τοῦ Ἴβηροc, ὁ Πίηρ τοῦ Πίεροc *traicit* M | ὁ Ἴβιρ C ‖ **5** φράτεροc — κλίνεται (**6**) *om* B ‖ **6** παραλήγεται *om* F | κλίνεται *om* F ‖ **7** πάνθηρ M, πάνθηροc CBFb | κλῆcιν BF ‖ **8** πίερ MCBb, πίηρ F ‖ **14** ὅcα δὲ ἔχει τὸ λ̄ διὰ τοῦ ω̄ *post* Ἕκτοροc (**15**) *transp.* F ‖ **15** Νέcτοροc *om* F | πέλωροc κέλωροc *traicit* F ‖ **16** ὦ νέcτορ Cb, ὦ νέcτωρ MB, ὦ νέcτωρ *et supra* ω *posito* ο F ‖ **17** ὦ Νέcτωρε M ‖ **21** τοῦ κύκλωπωc M ‖ **22** κλίνονται *et supra* ον *posito* ε F | Πέλωποc C | Κύκλωποc *om* C ‖ **23** κίνυβοc C | Κύκλωπα *ex* Κύκλοπα *corr.* M¹ ‖ **28** Τέλοc τῶν ἀρcενικῶν *om* MC | *post* τέλοc *add* cὺν θεῷ F | *post* ἀρcενικῶν *add* κανόνων Bb

---

[Testim. ex *ΣE*] **4** *nominum ordinem in* M *exhibitum librarii deberi errori ipsius canonis contextus monstrat; praeterea nomini* Πίηρ *prior tribuitur locus in Σ, E autem* Πίηρ *pro canone*, Ἴβηρ *pro paradigmate proponunt* ‖ **7** πάνθηρ *legisse Σ conicias ex* Σ^{χ} (*320, 16* g): τὸ δὲ πάνθηρ πάνθηροc τοῦ ἁπλοῦ τὴν κλίcιν ἐφύλαξε, Σ^{σ}: τὸ πάνθηρ, ὡc μονοcύλλαβον, Σ^{ϑ}: μόνον τὸ πάνθηρ πάνθηροc cεcημείωται. *at* E^{s}: τὸ δὲ πάνθηροc τοῦ ἁπλοῦ τὴν κλίcιν ἐδέξατο ‖ **16** *veram vocativi formam* Νέcτορ *in uno* C *exhibitam legimus etiam in* Σ^{χ} (*321,*

Περὶ θηλυκῶν.

Κανὼν α'.

Ἑνικά. Ἡ Μοῦcα, ἡ μαῖα, ἡ cφαῖρα, τῆc Μούcηc, τῆc μαίαc, τῆc cφαίραc: τῶν εἰc ᾱ βαρυτόνων θηλυκῶν ὅcα μὲν καθαρὸν ἔχει τὸ ᾱ ἢ μετὰ τοῦ ρ̄ τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῆc, Μηδείαc φοβερᾶc· ὅcα δὲ πρὸ τοῦ ᾱ ἄλλο cύμφωνον ἔχει, τρέπει αὐτὸ εἰc η̄, δίψα δίψηc, ἄελλα ἀέλληc. τῇ Μούcῃ, τῇ μαίᾳ, τῇ cφαίρᾳ: εἴπομεν ὡc πᾶcα γενικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ῑ ἀνεκφώνητον λήγουcαν μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc ἢ μείζονοc ἀντιcτοίχου. τὴν Μοῦcαν, τὴν μαῖαν, τὴν cφαῖραν: εἴπομεν ὡc πᾶcα αἰτιατικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ μετὰ τῶν αὐτῶν φωνηέντων εἰc ν̄ λήγει. ὦ Μοῦcα, ὦ μαῖα, ὦ cφαῖρα: τὰ εἰc ᾱ καὶ η̄ θηλυκὰ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. Τὰ Μούcα, τὰ μαία, τὰ cφαίρα: πᾶcα δοτικὴ ἑνικῶν εἰc η̄ λήγουcα τροπῇ τοῦ η̄ εἰc ᾱ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, τῷ Πέρcῃ τὼ Πέρcα· κἂν εἰc ᾱ δὲ ἢ εἰc ω̄ λήγῃ, ὁμόφωνον ἔχει τὸ δυϊ-

---

[Discr. scr. in MCBFb] **1** Περὶ θηλυκῶν *om* C | *post* θηλυκῶν *add* κανόνων Bb ‖ **3** ἡ μοῦcα τῆc μούcηc . ἡ μαῖα τῆc μαίαc . ἡ cφαῖρα τῆc cφαίραc *traic.* CF ‖ **4** μὲν ἔχει καθαρὸν ἔχει M ‖ **5** *ante* γενικῆc *add* τῆc C | Μηδείαc *ex* Μηδείηc *corr.* C^1 ‖ **7** *post* ἀέλληc *add* τὸ γὰρ Λήδαc Φιλομήλαc (φιλομήδαc F) Ἀνδρομέδαc Δώριά ἐcτι καὶ τὸ Διοτίμαc Φερετίμαc (Διοτίμα Φερετίμα BF) BFb, τὸ γὰρ Λήδαc Ἀνδρομέδαc Δώριά εἰcιν C | εἴπομεν ὡc — ἀντιcτοίχου (**9**) *om* B ‖ **10** εἴπομεν *ex* εἴπωμεν *corr.* C^1 | εἴπομεν ὡc *om* F ‖ **11** λήγει] αὐτὴν ἔχει λήγουcαν B ‖ **12** καὶ η̄] καὶ εἰc η̄ F ‖ **14** τὰ μοῦcα . τὰ μαῖα. τὰ cφαῖρα CB ‖ **15** εἰc ᾱ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ CBFb | τῷ πέρcῃ τὰ πέρcα F ‖ **16** κἂν εἰc ᾱ δὲ MCF, εἰ δὲ εἰc ᾱ Bb | λήγῃ F, λήγει MCBb

---

[Testim. ex *ΣE*] *18* g) E^g ‖ *p.* **24, 28** *subscriptionem non habemus nisi in* Σ^χ (*323,5*): τέλοc cὺν θεῷ τῶν ἀρcενικῶν ὀνομάτων (κανόνων V) ‖ **3** *eandem genetivorum locationem atque in* CF *praebent* Σ^χ (*323,8* g) *in* NC, *in* V *contra* ἡ μαῖα ἡ μοῦcα ἡ cφαῖρα, τῆc μαίαc τῆc μούcηc τῆc cφαίραc. Σ^σ *solos nominativos exhibent* ‖ **5** τῆc *ante* γενικῆc, *quod in uno* C *est, om etiam* *E*; καὶ ἐν τῇ γενικῇ Σ^χ (*323,32* g) ‖ **7** *quae post* ἀέλληc *addita sunt in* BF *et* C *in genuinis Theodosianis canonibus non fuisse dilucide apparet ex* Σ^χ (*324, 11 sqq.* g), *unde omnia exempla fluxerunt, et ex* Σ^σ: δεῖ προcθεῖναι πλὴν τῶν cυνῃρημένων, ὡc Ἀθηναία Ἀθηνᾶ Ἀθηνᾶc, μναία μνᾶ μνᾶc· καὶ πλὴν τῶν Δωρικῶν, Φιλομήλα Φιλομήλαc, Αὐγούcτα Αὐγούcταc, Λήδα Λήδαc, καὶ ὅcα τῷ τούτων τύπῳ παρηκολούθηcε, Θέκλα Θέκλαc. Σ^ϑ (*127, 17*): cημείωcαί μοι τὸ Διοτίμα Διοτίμαc κλινόμενον καὶ ταῦτα ἔχον ὄπιcθεν τοῦ ᾱ τὸ μ̄ ‖ **11** *verba* αὐτὴν ἔχει λήγουcαν, *quae in* B *pro* λήγει *leguntur, miro quodam errore irrepserunt ex* Σ^χ (*327, 9* g): ἰcτέον ὅτι πᾶcα εὐθεῖα ἑνικῶν ἔχουcα τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων εἰc ν̄ αὐτὴν ἔχει λήγουcαν, *quibus simillima sunt in* E^b; *Theodosianum canonem exhibent* E^g ‖ **12** εἰc *ante* η̄ *in* F *exstans addunt etiam* Σ^χ (*327, 21* g) *E* ‖ **15** ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν *testantur* Σ^χ (*327, 28* g), *cum* CBF *concinunt* E^g, τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν ποιεῖ E^b ‖ **16** κἂν εἰc ᾱ δὲ *etiam* Σ^χ (*327, 29* g) *exh.* (*in* V, *nam* NC *om errore librariorum*)

κόν. ταῖν Μούcαιν, ταῖν μαίαιν, ταῖν cφαίραιν: εἴπομεν ὡc τὰ εἰc ᾱ δυϊκὰ προcθέcει τοῦ ι̅ν̅ ποιεῖ τὴν γενικήν. ὦ Μοῦcα, ὦ μαῖα, ὦ cφαίρα: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτωc καὶ ἡ κλητική.

Πληθ. Αἱ Μοῦcαι, αἱ μαῖαι, αἱ cφαῖραι: τὰ εἰc ᾱ δυϊκὰ προcθέcει τοῦ ι̅ πληθυντικὰ γίνεται. τῶν Μουcῶν, τῶν μαιῶν, 994b τῶν cφαιρῶν: πᾶcα γενικὴ πληθυντικῶν εἰc ω̅ν̅ λήγει ἐπὶ παντὸc γένουc. ταῖc Μούcαιc, ταῖc μαίαιc, ταῖc cφαίραιc: πᾶcα εὐθεῖα πληθυντικῶν εἰc ι̅ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν δοτικήν, Αἰνεῖαι Αἰνείαιc. τὰc Μούcαc, τὰc μαίαc, τὰc cφαίραc: πᾶcα εὐθεῖα πληθυντικῶν εἰc α̅ι̅ λήγουcα τροπῇ τοῦ ι̅ εἰc c̅ τὴν αἰτιατικὴν ποιεῖ, καλαί καλάc. ὦ Μοῦcαι, ὦ μαῖαι, ὦ cφαῖραι: εἴρηται.

Κανὼν β΄.

Ἑνικά. Ἡ τιμή τῆc τιμῆc: τὰ εἰc η̅ λήγοντα θηλυκὰ προcθέcει τοῦ c̅ κλίνεται, καλῆc cοφῆc· ὅθεν τὸ γυναικόc ἀπὸ τοῦ γύναιξ κεκλίcθαι φαμέν. τῇ τιμῇ, τὴν τιμήν, ὦ τιμή.

Δυϊκά. Τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά.

Πληθ. Αἱ τιμαί, τῶν τιμῶν, ταῖc τιμαῖc, τὰc τιμάc, ὦ τιμαί.

Κανὼν γ΄.

Ἑνικά. Ἡ Cαπφώ τῆc Cαπφοῦc: τὰ εἰc ω̅ λήγοντα θηλυκὰ εἰc ο̅υ̅c̅ ἔχει τὴν γενικήν, Κλειώ Κλειοῦc, Ἐρατώ Ἐρατοῦc· εἴπομεν δὲ

[Discr. scr. in MCBFb] **2** ὦ μοῦcα. ὦ μαῖα. ὦ cφαῖρα CB ‖ **3** *post* cφαίρα *add* εἴρηται Bb | οὕτωc *om* CFb | οὕτωc καὶ ἡ κλητική *om* B ‖ **5** *post* cφαῖραι *add* εἴρηται B ‖ **6** προcθέcει — γίνεται *om* B ‖ **7** εἰc ω̅ν̅ — γένουc (**8**) *om* B ‖ **9** *post* δοτικήν *add* τῶν πληθυντικῶν Cb | αἰνείαι F | Αἰνεῖαι Αἰνείαιc *om* B ‖ **11** *post* α̅ι̅ *add* δίφθογγον F | εἰc c̅] εἰc c̅c̅ C | ποιεῖ τὴν αἰτιατικὴν *traic.* Bb ‖ **12** *post* καλάc *add* μούcαι τὰc μούcαc C | εἴρηται *om* CBb ‖ **14** θηλυκὰ *om* M ‖ **15** τοῦ c̅ *om* C | κεκλεῖcθαι C, κεκλῆcθαι F ‖ **21** *ante* Cαπφοῦc *add* Cαπφόοc καὶ F | τὰ εἰc] τὰc εἰc F ‖ **22** εἴπομεν δὲ — λήγουcα (*p.* **27, 1**)] ἥ τιc BFb | εἴπομεν] εἶπον C

[Testim. ex ΣE] **3** οὕτωc καὶ ἡ κλητική *cum* B *om etiam* E^g ‖ **5** *ad* εἴρηται *in* B *additum cfr.* Σ^χ (*328, 6* g): εἴρηται ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc ᾱ λήγουcα προcθέcει τοῦ ι̅ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ‖ **9** τῶν πληθυντικῶν *post* δοτικήν *in* C *adsertum habet etiam* Σ^χ *328,10* g (*in* V, *nam in* NC *haec omnia desunt*); τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ E^g ‖ **11** δίφθογγον *post* α̅ι̅ *add* F: *sic etiam* Σ^χ *328, 10* g (*in* V) *et* E | ποιεῖ τὴν αἰτιατικήν *traicit* B: ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν E^b ‖ **14** *vocem* θηλυκὰ *in* M *omissam testantur* Σ^χ (*328, 13* g) $\Sigma^\vartheta E$ ‖ **21** *ad* Cαπφόοc *formam in* F *ante* Cαπφοῦc *insertam cfr.* Σ^χ *330,6* g (*in* V) *et* E^g: πῶc κλίνεται; τῆc Cαπφόοc. ὁ κανών; οἱ Ἴωνεc καὶ οἱ ποιηταὶ τὰc εἰc ο̅c̅ λήγονταc (*sic*) γενικὰc τὰc ἀπὸ τῶν εἰc ω̅ εὐθειῶν γινομέναc διὰ τοῦ ο̅ο̅c̅ περιφέρουcιν ἐπὶ γενικῆc ... τὸ cυνῃρημένον; καὶ Cαπφοῦc. *simillima praebent* E^b ‖ **22** εἴπομεν — λήγουcα] ἥτιc BF: *cfr.* Σ^χ (*330, 19* g): ἐμάθομεν δὲ ὅτι πᾶcα γενικὴ εἰc ο̅υ̅c̅ λήγουcα cυνῃρημένη ἐcτί, *et 331, 21* g: ἰcτέον δὲ ὅτι ὁ μὲν Θεοδόcιοc ἀπὸ cυναιρέcεωc λέγει εἶναι τὴν τῶν εἰc ω̅ θηλυκῶν γενικὴν

ὅτι πᾶcα γενικὴ εἰc ουc λήγουcα cυνῃρημένη ἐcτίν· ἀπὸ τοίνυν τῆc Caπφόοc γίνεται κατὰ cυναίρεcιν Caπφοῦc. τῇ Caπφόϊ καὶ τῇ Caπφοῖ, τὴν Caπφόα καὶ τὴν Caπφώ, ὦ Caπφοῖ: ἡ κλητικὴ εἰc οι, τῆc χρήcεωc οὕτωc ἐχούcηc ⟨Φ 498⟩ Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήcομαι.

Δυϊκά. Τὰ Caπφώ: αὕτη ἡ εὐθεῖα τῶν δυϊκῶν ὡμοφώνηcεν καὶ τῇ ὀρθῇ καὶ τῇ αἰτιατικῇ τῶν ἑνικῶν, ἐξ ὧν καὶ cυνέcτηκεν. ταῖν Caπφοῖν: πᾶcα εὐθεῖα δυϊκῶν εἰc ω λήγουcα εἰc οιν ποιεῖ τὴν γενι-
995 b κήν. ὦ Caπφώ: ὡc ἡ ὀρθὴ καὶ ἡ κλητική.

[Discr. scr. in MCBFb] **1** τοίνυν M, γὰρ C, γοῦν BFb ‖ **2** γίνεται κατὰ cυναίρεcιν] γέγονεν C | *post* Caπφοῦc *add* καὶ τῆc κλειὸc κλειοῦc C | καὶ *post* Caπφόϊ *om* F | τῇ *ante* Caπφοῖ *supra lineam pos. habet* B ‖ **3** Caπφόα] Caπφόαν C | καὶ *post* Caπφόα *om* F | *post* Caπφώ *add* κατὰ cυναίρεcιν C | ὦ Caπφοῖ MBb, ὦ Caπφοῖν C, *om* F | ἡ κλητικὴ M, αὕτη cυναιρεθεῖcα οὐκέτι εἴαcε (ἴαcε C, εἴαcεν B) τὰc ἄλλαc πτώcειc τῷ λόγῳ τῆc cυναιρέcεωc κλιθῆναι (κληθῆναι C), ἀλλὰ πρὸc αὐτὴν (αὑτὴν b) πάcαc ἔκλινε πλὴν τῆc κλητικῆc τῶν ἑνικῶν (ὦ caπφοῖ *add* F). ἔcτιν οὖν ἡ (ἡ μὲν F, καὶ ἡ μὲν C) κλητικὴ CBFb | *post* κλητικὴ *add* αὐτῶν CBFb | εἰc οι] εἰc η λήγει C ‖ **4** τοι *ex* τι *corr.* B | μαχήcομαι] μαχείcωμαι M, μαχέccομαι C, μαχέcομαι BFb ‖ **5** *post* μαχέcομαι *add* καὶ ἄλλωc. καθόλου τὰ εἰc ω θηλυκὰ καὶ τὰ εἰc ωc (*hoc ex* οc *corr.*) κοινολεκτούμενα εἰc οι ἔχοι (*l.* ἔχει) τὴν κλητικὴν F ‖ **6** εὐθεῖα] αἰτία *ex* αἰτιατικὴ *mutatum habet* C | ὡμοφώνηcε CBb, ὁμοφώνηcε F | καὶ *ante* τῇ ὀρθῇ *om* Bb ‖ **7** cυνέcτηκεν M, cυνέcτηκε CBFb | ταῖν Caπφοῖν] ταῖc Caπφοῖν M ‖ **8** πᾶcα εὐθεῖα] ἡ γὰρ εὐθεῖα τῶν F ‖ **9** *ante* ὡc *add:* τῶν δυϊκῶν καὶ τῶν πληθυν-

[Testim. ex ΣE] **3** *quin similia Choeroboscus legerit in suo Theodosianorum canonum exemplari atque ea quae in* CBF *insunt, vix quisquam dubitaverit; haec enim* Σ^{χ} (*333, 10* g) *praebent*: ὁ Θεοδόcιοc δοξάζει, ὅτι ἀπὸ τῆc Caπφόϊ δοτικῆc γέγονεν ἡ Caπφόα αἰτιατικὴ τροπῇ τοῦ ι εἰc α καὶ κατὰ κρᾶcιν τοῦ ο καὶ α εἰc ω Caπφώ, καὶ λέγει ὅτι (αὕτη *add* V) ἡ αἰτιατικὴ cυναιρεθεῖcα οὐκ (οὐκέτι V) εἴαcε τὰc ἄλλαc πτώcειc τῷ λόγῳ τῆc cυναιρέcεωc κλιθῆναι, ἀλλὰ πρὸc αὐτὴν (ἑαυτὴν V) πάcαc ἔκλινεν, ἤγουν πρὸc ἀναλογίαν ἑαυτῆc, πλὴν τῆc κλητικῆc τῶν ἑνικῶν· αὕτη γὰρ εἰc τὴν οι δίφθογγον λήγει· πρὸc ἀναλογίαν δὲ αὐτῆc (ἑαυτῆc V) εἶπεν, ἐπειδὴ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίωc αὐτῇ εἰc ω λήγει, οἷον τὰ Caπφώ, καὶ λοιπὸν ἀκολούθωc αὐτῇ αἱ λοιπαὶ πτώcειc κλίνονται. *tamen sunt quae suspicionem moveant, illa verba non genuina esse Theodosiana; praestantissimus enim* M *ea omittit, in* CB *perverso leguntur loco, vario modo ultima verba cum eis quae sequuntur sunt coniuncta. additamentum potius esse videtur adsertum in communi codicum* CBF *et Choerobosciani archetypo ex Theodosii adversariorum sententia, qui Romanum grammaticum secuti nomen* Λητώ *censebant* ἰcοcυλλάβωc *flectendum: «summam», inquit ille Theodosii castigator, «miramque technici constantiam! ubi genetivum dativum accusativum ex contractione ortos docuit, accusativi, mehercle, contracta forma vetat, reliquos casus eadem contrahendi ratione formari, et accusativi normam ceteros iubet casus sequi, excepto nimirum vocativo singularis!» Quid* $\Sigma^{\vartheta}\Sigma^{\sigma}E$ *legerint non patet; nullum certe eiusmodi additamenti vestigium in eis cognoscitur. eadem quae* M *praebet Herodiani nominalium canonum excerptor apud Hilgardum in progr. gymn. Heidelb. a. 1887 p. 13, 13* ‖ **5** *vocativi canon in* F *additus ortus videtur ex* **E**: τὰ εἰc ω καὶ εἰc ωc θηλυκά, ὧν ἡ γενικὴ εἰc ουc περατοῦται, εἰc τὴν οι δίφθογγον ποιεῖ τὴν κλητικήν ‖ **9** *integrum canonem, ut* B, *praebent* Σ^{χ} (*338, 15* g) E^{b}

Πληθ. Αἱ Cαπφοί: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω̅ λήγουσα εἰς ο̅ι̅ ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων. τῶν Cαπφῶν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ω̅ν̅ λήγει ἐπὶ παντὸς γένους. ταῖς Cαπφοῖς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι̅ λήγουσα προσθέσει τοῦ ς̅ τὴν δοτικὴν ποιεῖ. τὰς Cαπφούς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ο̅ι̅ λήγουσα τροπῇ τοῦ ο̅ι̅ εἰς ο̅υ̅ς̅ ποιεῖ τὴν αἰτιατικήν. ὦ Cαπφοί: εἴρηται.

Κανὼν δ'.

Ἑνικά. Ἡ τρήρων τῆς τρήρωνος, ἡ Πυθών τῆς Πυθῶνος, ἡ τρυγών τῆς τρυγόνος: τῶν εἰς ω̅ν̅ θηλυκῶν τὰ μὲν ὀξύτονα διὰ τοῦ ο̅ κλίνεται, τὰ δὲ βαρύτονα καὶ τὰ ἐπὶ πόλεων διὰ τοῦ ω̅· ὀξύτονα μὲν τρυγόνος ἀηδόνος, βαρύτονα δὲ τρήρωνος μήκωνος, ἐπὶ πόλεων δὲ Cιδῶνος Πυθῶνος· σεσημείωται τὸ Ἀνθηδόνος Ὀλοσσόνος. τῇ τρήρωνι, τὴν τρήρωνα, ὦ τρήρων.

Δυϊκα. Τὰ τρήρωνε, ταῖν τρηρώνοιν, ὦ τρήρωνε.

Πληθ. Αἱ τρήρωνες, τῶν τρηρώνων, ταῖς τρήρωσι, τὰς τρήρωνας, ὦ τρήρωνες.

Κανὼν ε'.

Ἑνικά. Ἡ αὖλαξ τῆς αὔλακος: τὰ εἰς ξ̅ θηλυκὰ ἁπλᾶ ὑπὲρ

[Discr. scr. in MCBFb] τικῶν Bb ‖ **1** εἰς ω̅ λήγουσα *bis habet* C ‖ **2** πᾶσα — γένους (3) *om* B ‖ **3** πληθυντικὴ F | ἐπὶ παντὸς γένους *om* M ‖ **4** πᾶσα εὐθεῖα — ποιεῖ (5) *om* CBb ‖ **5** ποιεῖ τὴν δοτικὴν *traicit* F | τὰς Cαπφούς *om* CF | τροπῇ τοῦ ο̅ι̅ *om* C ‖ **6** τοῦ ο̅ι̅] τοῦ ι̅ M | εἴρηται] ὡς ἡ ὀρθὴ καὶ ἡ κλητικὴ Bb, *om* F ‖ **8** ἡ τρήρων. ἡ πυθών. ἡ τρυγών. τῆς τρήρωνος. τῆς πυθῶνος. τῆς τρυγόνος *traiciunt* Bb, ἡ τρήρων τῆς τρήρωνος, ἡ τρυγών τῆς τρυγόνος, ἡ πυθών τῆς πυθῶνος F | τῆς πυθώνος M ‖ **9** ἡ τρυγῶν M | τρυγόνος *ex* τρυγῶνος *corr.* C[1] | τῶν εἰς ω̅ν̅ θηλυκῶν CBFb, τὰ εἰς ων θηλυκῶν M ‖ **10** *post* τοῦ ο̅ *supra lineam add* μικροῦ B[1] | τὰ *ante* ἐπὶ *om* MB | πόλεων] πασῶν C ‖ **11** δὲ *post* πόλεων *om* M ‖ **12** Πυθῶνος *om* b | ὀλοσσόνος M, ἐλασσόνος F ‖ **14** τρηρώνοιν *ex* τρηρώνων *corr.* M[1] ‖ **15** τοῖς τρήρωσι M, ταῖς τρήρωσιν C ‖ **18** αὖλαξ CF | εἰς ξ̅] εἰς αξ Bb | ἁπλᾶ *om* Bb

---

[Testim. ex *ΣE*] **4** *canonem* πᾶσα εὐθεῖα — ποιεῖ (5) *una cum* CB *om* E^b ‖ **5** ποιεῖ τὴν δοτικὴν *traicit* F, ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν Σ^{χ} *338,32* g | τροπῇ τοῦ ο̅ι̅ *una cum* C *om* Σ^{χ} (*339, 2* g) *E* ‖ **6** *post* εἴρηται *nihil add* Σ^{χ} (*339, 5* g), ὦ Cαπφοί. ὁ κανών; τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν E^g, *vocativi mentionem omnino non faciunt* E^b ‖ **8** ἡ τρυγών τῆς τρυγόνος, ἡ Πυθών τῆς Πυθῶνος, ἡ τρήρων τῆς τρήρωνος *in lemmate habent* Σ^{χ} *339,6* g (*in* V, *nam* NC *lemma om*), *reliquis autem locis* V *hunc praebet ordinem:* τρυγών τρήρων Πυθών, NC *contra* τρήρων τρυγών Πυθών. Σ^{σ} ἡ τρήρων τῆς τρήρωνος *tantum proponunt*, Σ^{ϑ} τρυγόνα *canonem testantur* (*125, 30 et 128, 24*), *E* τρυγών *pro canone*, τρήρων *paradigmatis loco exhibent* ‖ **10** τὰ *ante* ἐπὶ *om* MB, *om etiam* E^g, *sed exhib.* Σ^{χ} (*340, 32* g) E^b ‖ **18** εἰς α̅ξ̅ B: εἰς ξ̅ *testantur* Σ^{χ} (*342, 21* g) Σ^{σ} *E*, *sed in paradigmatis* κλῖμαξ *flexione* E^g: τὰ εἰς α̅ξ̅ ἁπλᾶ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ̅ κλίνεται. Σ^{ϑ} *tantummodo nomina in* α̅ξ̅ *exeuntia memorant* | ἁπλᾶ *una cum* B *om* E^b *et* E^g *in canone; at in paradigmatis* κλῖμαξ *flexione* E^g *add* ἁπλᾶ

μίαν συλλαβὴν πλὴν τῶν εἰς υξ ἅπαντα διὰ τοῦ κ κλίνεται, δίπλακος αὔλακος πήληκος χάλικος· σεσημείωται τὸ λάταγος καὶ μάστιγος διὰ τοῦ γ κλιθέντα, καὶ τὸ ἀλώπεκος ὅτι ἔτρεψεν τὸ η εἰς ε· τὰ γὰρ εἰς διπλοῦν λήγοντα οὐδέποτε τρέπει τὸ φωνῆεν αὐτῶν ἐν τῇ κλίσει. τῇ αὔλακι, τὴν αὔλακα, ὦ αὖλαξ.

Δυϊκά. Τὰ αὔλακε, ταῖν αὐλάκοιν, ὦ αὔλακε.

996b Πληθ. Αἱ αὔλακες, τῶν αὐλάκων, ταῖς αὔλαξι, τὰς αὔλακας, ὦ αὔλακες.

Κανὼν ϛʹ.

Ἑνικά. Ἡ Σφίγξ τῆς Σφιγγός: πᾶν ὄνομα εἰς ξ λῆγον εἰ μὲν ἔχει πρὸ τοῦ ξ τὸ γ διὰ τοῦ γ κλίνεται, εἰ δὲ ἕτερον σύμφωνον διὰ τοῦ κ, φάλαγξ φάλαγγος, Σφίγξ Σφιγγός· σάρξ δὲ σαρκός καὶ ἅλξ ἁλκός· τὸ δὲ λύγξ ὅτε μὲν τὸ ζῷον δηλοῖ διὰ τοῦ κ κλίνεται, ὅτε δὲ τὸ πάθος διὰ τοῦ γ. τῇ Σφιγγί, τὴν Σφίγγα, ὦ Σφίγξ: τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. Τὰ Σφίγγε, ταῖν Σφιγγοῖν, ὦ Σφίγγε.

Πληθ. Αἱ Σφίγγες, τῶν Σφιγγῶν, ταῖς Σφιγξί, τὰς Σφίγγας, ὦ Σφίγγες.

Κανὼν ζʹ.

Ἑνικά. Ἡ μήτηρ τῆς μητέρος καὶ ἐν συγκοπῇ μητρός: τὰ εἰς ηρ θηλυκὰ διὰ τοῦ ε κλίνεται, μητέρος θυγατέρος Δημήτερος· τὸ δὲ μητρός καὶ θυγατρός συγκοπὴν ὑπέμειναν ὁμοίως τῷ πατρός καὶ ἀνδρός. τῇ μητέρι καὶ ἐν συγκοπῇ μητρί, τὴν μητέρα, ὦ μῆτερ.

[Discr. scr. in MCBFb] **1** πλὴν τῶν εἰς υξ ἅπαντα *om* Bb ‖ **2** πήλικος CB | χάληκος F, *om* Bb | λάτταγος C | μάστιγος *ex* μάστηγος *corr.* M¹ ‖ **3** ἔτρεψεν MC, ἔτρεψε BFb ‖ **4** τρέπει] ῥέπει C, τρέπεται B | αὐτῶν MCb, αὑτῶν BF | ἐν τῇ κλήσει M ‖ **5** αὖλαξ CF ‖ **11** ἔχει CBb, ἔχοι MF | διὰ τοῦ γ *om* C | εἰ δὲ] ὅτε δὲ C ‖ **12** φάλαγξ CBFb, φάλαξ M | δὲ *post* σάρξ *om* C | ἅλξ ἁλκός] αὖλαξ αὔλακος C ‖ **13** δὲ *ante* λύγξ *om* M | λύγξ] λύξ C | κλίνεται *om* M ‖ **14** τὰ εἰς διπλοῦν — κλητικήν (**15**) *om* b ‖ **17** *post* Σφιγξί *add*: πᾶσα εὐθεῖα ἑνικῶν εἰς διπλοῦν λήγουσα (πᾶν ὄνομα εἰς διπλοῦν λῆγον B) προσθέσει τοῦ ι τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ CBb | τὰ σφίγγας M ‖ **21** Δημήτερος *om* C ‖ **22** *post* μητρός *add* καὶ Δήμητρος Bb | ὁμοίως τὸ πατρός C, ὁμοίως τοῦ πατρός F

[Testim. ex *ΣE*] **1** πλὴν τῶν εἰς υξ ἅπαντα *om* B, πλὴν τῶν εἰς υξ *om* *E*ˢ ‖ **11** εἰ μὲν ἔχει, *ut* CB, *hab.* *E*, τὰ εἰς ξ λήγοντα εἰ μὲν ἔχουσι *Σ*ᵡ (*344, 13* g), τὰ εἰς ξ θηλυκὰ ὀνόματα εἰ μὲν ἔχουσιν *Σ*ᶿ ‖ **17** *canonis in* CB *vario modo traditi neque Σ neque E hoc loco mentionem faciunt* ‖ **21** Δημήτερος *om unus* C, *om etiam Σ*ᵒ *E*, *hab.* *Σ*ᵡ (*346, 25* g) *Σ*ᶿ ‖ **22** καὶ Δήμητρος, *quod post* μητρός *legitur in uno* B, *irrepsisse videtur ex Σ*ᵡ: Δημήτηρ Δημήτερος, ὅπερ κατὰ συγκοπὴν γίνεται Δήμητρος, *aut Σ*ᶿ: μήτηρ μητέρος, θυγάτηρ θυγατέρος, Δημήτηρ Δημήτερος, κλίνονται δὲ κατὰ συγκοπὴν μητρός θυγατρός καὶ Δήμητρος κατὰ ἀποβολὴν μόνον τοῦ ε. *at E*ˢ: τὸ δὲ μητρός καὶ θυγατρός συγκοπὴν ὑπέμειναν ὁμοίως τῷ πατρός καὶ ἀνδρός. *etiam Σ*ᵡ (*346, 28* g) *et Σ*ᵒ μήτηρ *tantum et* θυγάτηρ *ad nominum* πατήρ *et* ἀνήρ *exemplum genetivos formare memorant*

Δυϊκά. Τὰ μητέρε, ταῖν μητέροιν, ὦ μητέρε.

Πληθ. Αἱ μητέρες, τῶν μητέρων, ταῖς μητράσι: ἔδει μὲν ἀπὸ τῆς μητέρι δοτικῆς μητέρσι εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀλλὰ διὰ τὴν εὐφωνίαν ὑπέρθεσις γίνεται τοῦ ρ καὶ τροπὴ τοῦ ε εἰς α, ὡς πατράσι καὶ θυγατράσι. τὰς μητέρας, ὦ μητέρες.

Κανὼν η'.

Ἑνικά. Ἡ λαμπὰς τῆς λαμπάδος: καθόλου τὰ εἰς ας θηλυκὰ διὰ τοῦ δος κλίνεται καὶ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. τῇ λαμ- 997 b
πάδι, τὴν λαμπάδα, ὦ λαμπάς.

Δυϊκά. Τὰ λαμπάδε, ταῖν λαμπάδοιν, ὦ λαμπάδε.

Πληθ. Αἱ λαμπάδες, τῶν λαμπάδων, ταῖς λαμπάσι, τὰς λαμπάδας, ὦ λαμπάδες.

Κανὼν θ'.

Ἑνικά. Ἡ φιλότης τῆς φιλότητος: τὰ εἰς της θηλυκὰ μονογενῆ διὰ τοῦ τος κλίνεται, φιλότητος κακότητος. τῇ φιλότητι, τὴν φιλότητα, ὦ φιλότης: εἴπομεν ὡς τὰ εἰς ης ἢ εἰς ως διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχει τῇ ὀρθῇ τὴν κλητικήν.

Δυϊκά. Τὰ φιλότητε, ταῖν φιλοτήτοιν, ὦ φιλότητε.

Πληθ. Αἱ φιλότητες, τῶν φιλοτήτων, ταῖς φιλότησι, τὰς φιλότητας, ὦ φιλότητες.

Κανὼν ι'.

Ἑνικά. Ἡ μῆνις τῆς μήνιδος, ἡ ἔρις τῆς ἔριδος, ἡ τοξότις

[Discr. scr. in MCBFb] **1** τοῖν μητέροιν M ‖ **2** ταῖς μητράσι] ΤΑΙΜΗΤΡΑCΙ M | μητράσιν CBb ‖ **3** μητέρι] μητρὶ C | μητέρσι M, μητέρσιν Cb, μήτερσιν B, μήτερσι F ‖ **4** γίνεται *om* B | τροπὴ] τροπῇ MF | τοῦ ε] τοῦ η C ‖ **5** πατράσι MF, πατρᾶσι C, μητράσι Bb | θυγατρᾶσι C ‖ **7** Ἡ *om* M | τῆς *om* M ‖ **11** λαμπᾶσι C ‖ **14** Ἡ *omisisse videtur* M, *sed pro certo dici nequit ob scidam superglutinatam* (L *om*) | τῆς *om* M | εἰς της CF, εἰς ης MBb ‖ **15** κακότητος φιλότητος *traic.* Bb ‖ **16** εἴπομεν — κλητικήν (**17**) *om* F | διὰ καθαροῦ τοῦ τος MC, διὰ τοῦ τος ἢ διὰ καθαροῦ τοῦ ος Bb. *cfr. p. 6, 4* ‖ **17** ἔχει MC, ἔχουσι Bb ‖ **18** τὰ φιλότητα C ‖ **19** φιλότησιν C | τὰς φιλότητας *om* C ‖ **22** ἡ *ante* μῆνις *et ante* ἔρις *om* M | τῆς *ante* μήνιδος *et ante* ἔριδος *om* M | ἡ τοξότις τῆς τοξότιδος Bb, τοξότις τοξότιτος M, ἡ τοξότης τῆς τοξότηδος CF

[Testim. ex ΣE] **4** τροπῇ MF: *idem error in* E^{b} (*ed. Wald.*) ‖ **5** *unus* B *pro* πατράσι *habet* μητράσι. πατράσι *testantur* Σ^{χ} (*349, 31* g) *E* ‖ **11** λαμπᾶσι C: *eundem accentum hab.* Σ^{χ} *351, 10* g (*in* C) ‖ **14** εἰς της *testantur* Σ^{χ} *351, 24* g (*in* NC) Σ^{o} *E*, Σ^{χ} (*in* V) εἰς ης, *sed in tota huius canonis explanatione non agitur nisi de nominibus in* της *exeuntibus.* Σ^{ϑ} *legisse videntur* εἰς ης: ἡ φιλότης λήγει μὲν εἰς ς καὶ αὐτή, ἔχει δὲ ὄπισθεν τοῦ ς τὸ η καὶ κλίνεται φιλότητος ‖ **16** διὰ καθαροῦ τοῦ τος *testantur* Σ^{χ} (*352, 25* g) E^{s}. *cfr. p. 6, 4, ubi* B *eadem quae hoc loco ex* E^{b} *desumpta in marg. add* ‖ **17** ἔχουσι *lectio codicis* B *ex* $\Sigma^{\chi} E^{s}$ *fluxit; cfr. etiam p. 6, 4*

τῆc τοξότιδοc: τῶν εἰc ιc θηλυκῶν βαρυτόνων ὅcα ἐcτὶν εἰc νιc μακρᾷ παραληγόμενα διὰ τοῦ δοc κλίνεται, ὄνωνιc νεᾶνιc· ἔτι καὶ ὅcα τὸ ρ ἔχει, ἔριc κίθαριc, πλὴν τοῦ ὕβριc καὶ ἄγυριc· οὐ μὴν ἀλλὰ καὶ ὅcα ἀπὸ τῶν εἰc ηc ἀρcενικῶν μεταπεποίηται, δραπέτιδοc τοξότιδοc. τῇ μήνιδι, τὴν μήνιδα καὶ μῆνιν, ὦ μῆνι.

Δυϊκά. Τὰ μήνιδε, ταῖν μηνίδοιν, ὦ μήνιδε.

Πληθ. Αἱ μήνιδεc, τῶν μηνίδων, ταῖc μήνιcι, τὰc μήνιδαc, ὦ μήνιδεc.

998 b Κανὼν ια΄.

Ἑνικά. Ἡ πίτυc, ἡ πληθύc, ἡ χλαμύc, τῆc πίτυοc, τῆc πληθύοc, τῆc χλαμύδοc: τῶν εἰc υc θηλυκῶν τὰ μὲν βαρύτονα διὰ τοῦ οc κλίνεται, χέλυοc πίτυοc· cεcημείωται τὸ κόρυθοc καὶ κώμυθοc· τῶν δὲ ὀξυτόνων τὰ μὲν ἔχοντα βραχὺ τὸ υ διὰ τοῦ δοc κλίνεται, χλαμύδοc κροκύδοc, τὰ δὲ μακρὸν ἔχοντα τὸ υ διὰ καθαροῦ τοῦ οc, ὀϊζύοc Ἐρινύοc. τῇ χλαμύδι, τὴν χλαμύδα, ὦ χλαμύ.

Δυϊκά. Τὰ χλαμύδε, ταῖν χλαμύδοιν, ὦ χλαμύδε.

Πληθ. Αἱ χλαμύδεc, τῶν χλαμύδων, ταῖc χλαμύcι, τὰc χλαμύδαc, ὦ χλαμύδεc.

Κανὼν ιβ΄.

Ἑνικά. Ἡ αἰδώc, ἡ ἕωc, ἡ Κῶc, τῆc αἰδοῦc, τῆc ἕω, τῆc Κῶ: τῶν εἰc ωc θηλυκῶν τὰ μὲν ὀξύτονα δύο εἰcίν, ἠώc καὶ αἰδώc, ἅπερ ὁμοίωc ἐκλίθη τοῖc εἰc ω λήγουcι κατὰ πᾶcαν πτῶcιν· τὰ δὲ βαρύ-

[Discr. scr. in MCBFb] **1** εἰc ιc] εἰc ηc C | ὅcα ἐcτὶν MBb, ὅcα μέν ἐcτιν CF | εἰc νιc] εἰc ιc C ‖ **2** *post* ὄνωνιc *add* ὀνώνιδοc BFb | νεάνιc C | *post* νεᾶνιc *add* νεάνιδοc BFb | *post* ἔτι *add* δὲ CBFb | καὶ *om* F ‖ **3** ἄγυριc] ἄυριc C ‖ **4** τῶν] τῆc F | εἰc ηc] εἰc ιc C | ἀρcενικὰ F | μεταπεποίηται BFb, μεταπεποίηνται MC | δραπέτηc δραπέτου δραπέτιc δραπέτιδοc, τοξότηc τοξότου τοξότιc τοξότιδοc F ‖ **5** *post* ὦ μῆνι *add* εἴρηται ὅτι τὰ εἰc ιc ἀποβολῇ τοῦ c τὴν κλητικὴν ποιοῦcιν Cb ‖ **6** ταῖν μηνίδιν M ‖ **10** Ἡ πίτυc . ἡ πληθύc . ἡ χλαμύc . τῆc πίτυοc . τῆc πληθύοc . τῆc χλαμύδοc Bb, ἡ πίτυc . ἡ πληθύc . ἡ χλαμύc M, ἡ πῖτυc τῆc πίτυδοc . ἡ πληθύc τῆc πληθύοc . ἡ χλαμύc τῆc χλαμύδοc C, ἡ πίτυc τῆc πίτυοc, ἡ πληθύc τῆc πληθύοc, ἡ χλαμύc τῆc χλαμύδοc F ‖ **12** χέλιοc C | κόμυθοc C ‖ **13** ἔχοντα] ἔχον C ‖ **14** τοῦ οc] τοῦ τοῦ οc C | ὀϋζῦοc ἐρινῦοc C, ὀϊζῦοc ἐρινῦοc F ‖ **15** ὦ χλαμύc F ‖ **16** Τὰ χλαμύδε] ταὶ χλαμύδε M ‖ **20** Ἡ αἰδώc — τῆc Κῶ] ἡ αἰδώc . ἡ ἕωc . ἡ κῶc. τῆc (αἰδόοc καὶ *add* Bb) αἰδοῦc . τῆc ἕω (ἕωc M) . τῆc κῶ (κῶc M) MBb, ἡ αἰδὼc τῆc (αἰδόοc καὶ *add* F) αἰδοῦc . ἡ ἕωc τῆc ἕω . ἡ κῶc τῆc κῶ CF ‖ **21** θηλυκῶν *om* M | εἰcίν] ἐcτίν F | ἠώc] ἡ ωc M | *ante* αἰδώc *add* ἡ M ‖ **22** λήγουcιν C

[Testim. ex ΣE] **1** ὅcα μέν ἐcτιν E^s ‖ **2** δὲ *post* ἔτι *add etiam* E^s ‖ **4** *masculina* δραπέτηc δραπέτου *et* τοξότηc τοξότου *in* F *addita ex* Σ^χ *(356, 1 g) videntur fluxisse* ‖ **5** *additamentum quod in* C *legitur ex* Σ^χ *(357, 7 g) sumptum est* ‖ **20** *eadem quae* C *in lemmate habent* Σ^χ *(360, 8 g)*, ἡ αἰδώc, ἡ ἕωc, ἡ Κῶc Σ^σ. αἰδώc *silentio praetereunt* E^b ‖ **21** θηλυκῶν *etiam* Σ^χ *videntur legisse (360, 9 g)*: τὰ εἰc ωc ὀξύτονα θηλυκὰ δύο ταῦτά εἰcι

τονα κατὰ ἀποβολὴν τοῦ c̄ κλίνεται, τῆc Κέω, τῆc ἕω, τῆc ἅλω· τὸ γὰρ ἅλωοc πταῖcμα νεωτερικόν· κλίνεται δὲ καὶ αὐτὰ ὁμοίωc τοῖc εἰc ω̄ Ἀττικοῖc· τὸ Κῶc μόνον περιcπαcθὲν ὁμοίωc τοῖc βαρυτόνοιc ἐκλίθη. τῇ αἰδοῖ, τῇ ἕῳ, τῇ Κῷ. τὴν αἰδώ, τὴν ἕων, τὴν Κῶν: ἡ μὲν ἀναλογία μετὰ τοῦ ν̄, εὑρέθη δὲ καὶ τὴν ἕω καὶ τὴν Κῶ. ὦ αἰδοῖ, ὦ ἕωc, ὦ Κῶc.

Δυϊκά. Τὰ αἰδώ, τὰ ἕω, τὰ Κῶ. ταῖν αἰδοῖν, ταῖν ἕῳν, ταῖν Κῷν. ὦ αἰδώ, ὦ ἕω, ὦ Κῶ.

Πληθ. Αἱ αἰδοί, αἱ ἕῳ, αἱ Κῷ. τῶν αἰδῶν, τῶν ἕων, τῶν Κῶν. ταῖc αἰδοῖc, ταῖc ἕῳc, ταῖc Κῷc. τὰc αἰδούc, τὰc ἕωc, τὰc Κῶc. ὦ αἰδοί, ὦ ἕῳ, ὦ Κῷ.

Τέλοc τῶν θηλυκῶν.

Περὶ οὐδετέρων. 999 b

Παρατηρητέον ὅτι πᾶν οὐδέτερον ἀπὸ ἀρcενικοῦ γεγενημένον τὴν τοῦ ἀρcενικοῦ ἔχει κλίcιν, ὁποίαc ἂν ποτε εἴη καταλήξεωc, καλόc καλοῦ καλόν καλοῦ, εὐγενήc εὐγενοῦc εὐγενέc εὐγενοῦc, ταχύc ταχέοc ταχύ ταχέοc, cώφρων cώφρονοc cῶφρον cώφρονοc, λιπόπατριc λιποπάτριδοc λιπόπατρι λιποπάτριδοc· ὅcουc οὖν ἐροῦμεν κανόναc περὶ μονογενῶν ἐροῦμεν.

Κανὼν α΄.

Ἑνικά. Τὸ βῆμα τοῦ βήματοc: τὰ εἰc ᾱ λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ cυcτέλλει τὸ ᾱ καὶ τῷ μ̄ παραλήγεται καὶ διὰ τοῦ τοc̄

[Discr. scr. in MCBFb] **1** Κέω] καίω M | τῆc ἕω, τῆc ἅλω . τὸ γὰρ ἅλωοc F ‖ **2** ἅλωοc] ἅλωc M | αὐτὰ] αὐτὸ CF ‖ **4** τὴν ἕων F | τὴν ἕω . τὴν κῶ C ‖ **5** ἀναλογία] ἀλογία M | *post* ἀναλογία *add* ἀπήτει Bb | *post* τοῦ ν̄ *add* ἀπαιτεῖ F | καὶ *post* δὲ *om* F | *ante* τὴν ἕω *add* δίχα τοῦ ν̄ BFb | καὶ *post* ἕω *om* Bb | *post* τὴν Κῶ *add* δίχα τοῦ ν̄ C | *post* τὴν Κῶ *add* ὦ ἕω, ὦ κῶ F | ὦ αἰδοῖ — ὦ Κῶc *om* M ‖ **6** ὦ ἕωc] ὦ ἕω C ‖ **7** Τὰ αἰδώ — τὰ Κῶ *om* M | τὰ αἰδῶι C | τὰ κώ CF | ταῖν ἕῳν] ταῖν αἴωιν M, ταῖν ἕοιν C ‖ **8** ὦ αἰδοῖ C | ὦ κώ F ‖ **9** αἱ αἰδοῖ C | αἱ κῴ F ‖ **10** ταῖc ἕῳc] ταῖc ἕοιc M | τὰc αἰδούc] ταῖc αἴδουc M ‖ **11** τὰc κώc F | ὦ ἕωc . ὦ κῶc C ‖ **12** Τέλοc τῶν θηλυκῶν *om* CF | *post* θηλυκῶν *add* κανόνων Bb ‖ **13** *post* οὐδετέρων *add* κανόνων Bb, κανὼν α΄ C ‖ **14** ἀπὸ ἀρcενικοῦ γεγενημένον MC, ἀρcενικῷ παρεcχηματιcμένον BFb | τὴν *post* ἔχει (**15**) *transp.* F ‖ **15** *post* καλόc *add* τοῦ C ‖ **16** εὐγενέc εὐγενοῦc M, τὸ εὐγενὲc τοῦ εὐγενοῦc CBFb | ταχέοc] ταχέωc F | ταχύ ταχέοc MC, τὸ ταχὺ τοῦ ταχέοc BFb ‖ **17** cώφρων] cώφρων *in* cῶφρον *mutavit* C[1] | cώφρονοc] cώφρωνοc M | cῶφρον cώφρονοc M, τὸ cῶφρον τοῦ cώφρονοc BFb, τὸ cῶφρον τοῦ cώ *sed omnia lineola deleta* C ‖ **18** τὸ λιπόπατρι τοῦ λιποπάτριδοc CBFb ‖ **22** τῷ μ̄ MBFb, τὸ μ̄ C | παραλήγεται MBFb, παραλήγοιτο C

[Testim. ex *ΣE*] **5** ἀπήτει *in* B *et* ἀπαιτεῖ *in* F *addita oriunda ex* **E**[b]: ἡ μὲν ἀναλογία ἀπήτει μετὰ τοῦ ν̄ γράφεcθαι | *ad* δίχα τοῦ ν̄, *quod diverso loco habent* CBF, *cfr.* **E**[b]: ἀλλ' ἐπεκράτηcε χωρὶc τοῦ ν̄ γράφεcθαι διὰ καλλιφωνίαν ‖ **14** ἀπὸ ἀρcενικοῦ γεγενημένον *diserte testantur* Σ^{χ} (*363, 20* g)

κλίνεται, θέμα θέματος, δῶμα δώματος· τὸ γάλα ἀπὸ τοῦ γάλαξ γέγονε κατὰ ἀποβολὴν τοῦ ξ̄· τὸ κάρα λίπα ἄλειφα ἀποκοπὰς πεπόνθασιν ἀπὸ τοῦ κάρανον λιπαρόν ἄλειφαρ· τὰ δὲ τῶν στοιχείων ὀνόματα ἄκλιτα. τῷ βήματι, τὸ βῆμα, ὦ βῆμα: τῶν οὐδετέρων ἡ αὐτή ἐστιν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητική.

Δυϊκά. Τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε.

Πληθ. Τὰ βήματα: πᾶσα εὐθεῖα πληθυντικὴ τῶν οὐδετέρων εἰς ᾱ λήγει· εἰ δέ που εἰς η̄ εὑρεθείη λήγουσα κατὰ συναίρεσίν ἐστι, τὰ βέλεα τὰ βέλη, τὰ γένεα τὰ γένη. τῶν βημάτων, τοῖς βήμασι, τὰ βήματα, ὦ βήματα.

Κανὼν β′.

Ἑνικά. Τὸ μέλι τοῦ μέλιτος: τὰ εἰς ῑ οὐδέτερα διὰ τοῦ τος̄ κλίνεται· τὸ σίνηπι καὶ τὸ πέπερι οὐχ Ἑλληνικά, κλίνεται δὲ διὰ καθαροῦ τοῦ ος̄. τῷ μέλιτι, τὸ μέλι, ὦ μέλι.

Δυϊκά. Τὼ μέλιτε, τοῖν μελίτοιν, ὦ μέλιτε.

Πληθ. Τὰ μέλιτα, τῶν μελίτων, τοῖς μέλισι, τὰ μέλιτα, ὦ μέλιτα.

1000 b Κανὼν γ′.

Ἑνικά. Τὸ πῶϋ τοῦ πώεος, τὸ γόνυ τοῦ γόνυος καὶ γουνός, τὸ δόρυ τοῦ δόρυος καὶ δουρός: τὰ εἰς ῡ οὐδέτερα εἰ μὲν μακρᾷ παραλήγοιτο διὰ τοῦ ε̄ κλίνεται, πώεος ἄστεος, εἰ δὲ βραχείᾳ διὰ τοῦ ῡ, γόνυος, καὶ ἐν ὑπερθέσει τοῦ ῡ γίνεται γουνός, δόρυ δόρυος καὶ ὁμοίως δουρός· τὸ γόνυ καὶ τὸ δόρυ ἔχουσι καὶ ἄλλας εὐθείας, τὸ γόνας καὶ τὸ δόρας· ἔχουσι δὲ τὰς γενικὰς εἰς τος̄, τοῦ γόνατος

[Discr. scr. in MCBFb] **1** *ante* γάλα *add* δὲ F | γάλα ἀπὸ τοῦ γάλαξ] δὲ γάλαξ C ‖ **2** κάρα] κάλα M | ἄλιφα C | ἀποκοπὰς] ἀποκοπὴν C ‖ **3** ἄλειφαρ MBF, ἄλιφαρ C, ἄλειφας b | ἄκλιτα] μονόπτωτα C ‖ **7** *post* βήματα *add* τῶν βημάτων F | πληθυντικὴ MBb, πληθυντικῶν CF ‖ **8** εἰς η̄ εὑρεθείη λήγουσα] εὑρεθῇ εἰς η̄ καταλήγουσα F | εὑρεθείη εἰς η̄ λήγουσα C | ἐστι *om* C ‖ **9** τὰ γένεα τὰ γένη *om* CBFb | τῶν βημάτων *om* F | βήμασιν M ‖ **13** τὸ *ante* πέπερι *om* CF | κλίνεται — τοῦ ος̄ (**14**)] διὸ καὶ διὰ καθαροῦ τοῦ ος̄ κλίνεται Bb ‖ **15** ὦ μέλιτε] τὼ μέλιτε Bb ‖ **19** Τὸ πῶϋ – καὶ δουρός (**20**)] τὸ πῶϋ . τὸ γόνυ . τὸ δόρυ . τοῦ πώεος . τοῦ γόνυος . τοῦ δόρυος Bb | τὸ πώϋ M ‖ **20** ῡ *om* C ‖ **22** *ante* γόνυος *add* γόνυ F | γουνός — ὁμοίως (**23**) *om* C ‖ **23** δουρὸς *ex* δουρῶς *corr.* M[1] | καὶ ἄλλας — ἔχουσι (**24**) *om* C ‖ **24** τὸ γόνας] τὸ γόνας καὶ τὸ γόνας M | ἔχουσι — τος̄] τὰς δὲ γενικὰς αὐτῶν εἰς τος̄ F | τοῦ *ante* γόνατος *om* C

[Testim. ex ΣE] **3** ἄλειφαρ ἢ ἄλειφας Σ^{χ} (*366, 28* g) | *unde illud* μονόπτωτα *in* C *ortum sit non latet*; Σ^{χ} (*370, 23* g): ἰστέον δὲ ὅτι κακῶς εἶπεν ὁ τεχνικός «τὰ δὲ ὀνόματα τῶν στοιχείων ἄκλιτα»· ὤφειλε γὰρ εἰπεῖν μᾶλλον ὅτι μονόπτωτά εἰσιν κτέ ‖ **7** πληθυντικῶν *cum* CF *praebent* Σ^{χ} (*372, 11* g) *E* ‖ **8** *script. in* F εἰ δέ που εὑρεθῇ εἰς η̄ καταλήγουσα *congruit cum* Σ^{χ} (*372, 13* g), εἰ δέ που εὑρεθῇ εἰς η̄ λήγουσα *E* ‖ **19** *idem vocabulorum ordo qui in* B *est etiam in* Σ^{χ} (*375, 20* g) *nisi quod ibi additur* καὶ γουνός *et* καὶ δουρός. Σ^{σ}: τὸ πῶϋ, τὸ γόνυ, τὸ δόρυ

καὶ δόρατοϲ, ἀκολούθωϲ τοῖϲ εἰϲ ᾱϲ̄ οὐδετέροιϲ, ὡϲ τὸ τέραϲ τέρατοϲ. τῷ πώεϊ, τὸ πῶϋ, ὦ πῶϋ.

Δυϊκά. Τὼ πώεε, τοῖν πωέοιν, ὦ πώεε.

Πληθ. Τὰ πώεα, τῶν πωέων, τοῖϲ πώεϲι, τὰ πώεα, ὦ πώεα.

Κανὼν δ.

Ἑνικά. Τὸ ξύλον τοῦ ξύλου: τὰ εἰϲ ον̄ οὐδέτερα εἰϲ ου̅ ἔχει τὴν γενικήν, μέτρου ξύλου. τῷ ξύλῳ: εἴπομεν ὡϲ πᾶϲα γενικὴ ἰϲοϲυλλαβοῦϲα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰϲ ῑ ἀνεκφώνητον λήγουϲαν μετὰ τοῦ φωνήεντοϲ τῆϲ εὐθείαϲ ἢ μείζονοϲ ἀντιϲτοίχου. τὸ ξύλον, ὦ ξύλον.

Δυϊκά. Τὼ ξύλω, τοῖν ξύλοιν, ὦ ξύλω.

Πληθ. Τὰ ξύλα, τῶν ξύλων, τοῖϲ ξύλοιϲ, τὰ ξύλα, ὦ ξύλα.

Κανὼν ε΄.

Ἑνικά. Τὸ ἧπαρ τοῦ ἥπατοϲ, τὸ κέαρ τοῦ κέαροϲ, τὸ δέλεαρ τοῦ δελέατοϲ: τῶν εἰϲ ᾱρ̄ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο ϲυλλαβὰϲ ἅπαντα διὰ τοῦ τ̄ο̄ϲ̄ κλίνεται, δελέατοϲ ὀνείατοϲ· τῶν δὲ διϲυλλάβων τὰ μὲν μακρᾷ παραληγόμενα διὰ τοῦ τ̄ο̄ϲ̄, τὰ δὲ βραχείᾳ διὰ τοῦ ρ̄ο̄ϲ̄, ἥπατοϲ οὔθατοϲ ἔαροϲ κέαροϲ· ϲεϲημείωται τὸ φρέατοϲ ϲτέατοϲ. τῷ 1001 b
ἥπατι, τὸ ἧπαρ, ὦ ἧπαρ.

Δυϊκά. Τὼ ἥπατε, τοῖν ἡπάτοιν, ὦ ἥπατε.

Πληθ. Τὰ ἥπατα, τῶν ἡπάτων, τοῖϲ ἥπαϲι, τὰ ἥπατα, ὦ ἥπατα.

[Discr. scr. in MCBFb] **2** τὸ πῶϋ] τῶ πῶϋ C ‖ **4** ὦ πώεα *om* C ‖ **8** μέτρου — γενικὴ *om* C | μέτρου . ξύλου M, μέτρου . ξύλου . ἀρότρου Bb, μέτρου ἀρότρου ξύλου F | εἴπομεν — ἀντιϲτοίχου (**10**) *om* F ‖ **9** ἀνεκφώνιτον M ‖ **10** φωνίεντοϲ M | *post* ἀντιϲτοίχου *add* ὁ Πέρϲηϲ τοῦ Πέρϲου τῷ Πέρϲῃ . Μήδεια Μηδείαϲ Μηδείᾳ . καλόϲ δὲ καλοῦ καλῷ διὰ μείζονοϲ ἀντιϲτοίχου Bb ‖ **12** Τὼ ξύλω] τῶι ξύλων M ‖ **13** *post* ξύλοιϲ *add*: πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ω̄ λήγουϲα δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ῑ προϲθέϲει τοῦ ϲ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ C | *post* ὦ ξύλα *add*: περὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν. πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ω̄ λήγουϲα, δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ῑ, τροπῇ τοῦ ω̄ εἰϲ ο̄ καὶ προϲθέϲει τοῦ ϲ̄ ποιεῖ τὴν δοτικὴν F ‖ **15** κέαροϲ] κέατοϲ M ‖ **17** δϋϲυλλάβων C ‖ **18** *ante* μακρᾷ *add* φύϲει Bb | *post* τ̄ο̄ϲ̄ *add* κλίνεται BFb | βραχείᾳ] βραχέα C ‖ **19** ἔαροϲ] ἄεροϲ M | τὸ *ante* φρέατοϲ *bis habet* C | ϲτέατοϲ *om* C

[Testim. ex ΣE] **8** ἀρότρου *exemplum add* Σ^{χ} *377, 25* g (*in* V), *ad* ξύλον *canonem* ἄροτρον *paradigma praebent* **E** ‖ **10** *quae* B *adiungit non legisse videtur* Σ^{χ}; *exempla sumpta sunt ex p. 5, 2* ‖ **13** *eis quae* CF *addunt simillima praebent* Σ^{χ} (*380, 14* g) **E** ‖ **18** φύϲει *in* B *exstans irrepsisse videtur ex* Σ^{χ} (*380, 31* g), *ubi tamen paulo post* (*381, 3* g) *haec leguntur*: τὰ δὲ βραχείᾳ ἢ θέϲει μακρᾷ παραληγόμενα διὰ τοῦ ρ̄ο̄ϲ̄ κλίνονται

Κανὼν ϛʹ.

Ἑνικά. Τὸ ὕδωρ τοῦ ὕδατος, τὸ ἕλωρ τοῦ ἕλωρος: τὰ εἰς ω̅ρ̅ διὰ τοῦ ρ̅ο̅ς̅ ἐκλίθη, τέκμωρος ἕλωρος, πλὴν τοῦ ὕδωρ· ὕδατος γάρ. τῷ ὕδατι, τὸ ὕδωρ, ὦ ὕδωρ.

Δυϊκά. Τὼ ὕδατε, τοῖν ὑδάτοιν, ὦ ὕδατε.

Πληθ. Τὰ ὕδατα, τῶν ὑδάτων, τοῖς ὕδασι, τὰ ὕδατα, ὦ ὕδατα.

Κανὼν ζʹ.

Ἑνικά. Τὸ κρέας τοῦ κρέατος κοινῶς, τοῦ κρέαος ἰωνικῶς, τοῦ κρέως ἀττικῶς: τὰ εἰς α̅ς̅ οὐδέτερα ἡ μὲν κοινὴ διάλεκτος διὰ τοῦ τ̅ο̅ς̅ κλίνει, κρέατος γήρατος, ἡ δὲ τῶν Ἰώνων καθ' ὑποστολὴν τοῦ τ̅, κρέαος γήραος, ἡ δὲ τῶν Ἀττικῶν συναιροῦσα τὸ α̅ο̅ εἰς ω̅, τοῦ κρέως, τοῦ γήρως. τῷ κρέατι κοινῶς, τῷ κρέαϊ ἰωνικῶς, τῷ κρέᾳ ἀττικῶς. τὸ κρέας, ὦ κρέας.

Δυϊκά. Τὼ κρέατε κοινῶς, τὼ κρέαε ἰωνικῶς, τὼ κρέα ἀττικῶς. τοῖν κρεάτοιν κοινῶς, τοῖν κρεάοιν ἰωνικῶς, τοῖν κρεοῖν ἀττικῶς. ὦ κρέατε κοινῶς, ὦ κρέαε ἰωνικῶς, ὦ κρέα ἀττικῶς.

Πληθ. Τὰ κρέατα κοινῶς, τὰ κρέαα ἰωνικῶς, τὰ κρέα ἀττικῶς. τῶν κρεάτων κοινῶς, τῶν κρεάων ἰωνικῶς, τῶν κρεῶν ἀττικῶς. τοῖς κρέασι μόνως. τὰ κρέατα κοινῶς, τὰ κρέαα ἰωνικῶς, τὰ κρέα ἀττικῶς. ὦ κρέατα κοινῶς, ὦ κρέαα ἰωνικῶς, ὦ κρέα ἀττικῶς.

1002 b

Κανὼν ηʹ.

Ἑνικά. Τὸ τεῖχος τοῦ τείχεος καὶ κατὰ συναίρεσιν τείχους: τὰ εἰς ο̅ς̅ οὐδέτερα εἰς ο̅υ̅ς̅ ἔχει τὴν γενικήν, βέλους τείχους. τῷ τείχεϊ καὶ κατὰ συναίρεσιν τείχει. τὸ τεῖχος, ὦ τεῖχος.

Δυϊκά. Τὼ τείχεε καὶ κατὰ συναίρεσιν τείχη. τοῖν τειχέοιν καὶ κατὰ συναίρεσιν τειχοῖν. ὦ τείχεε καὶ κατὰ συναίρεσιν τείχη.

[Discr. scr. in MCBFb] **3** *post* ω̅ρ̅ *add* οὐδέτερα CF | ἐκλήθη C | *ante* ἕλωρος *add* ἕλωρ C ‖ **4** τῷ ὕδατι — ὦ ὕδωρ *om* B | τὸ *ex* τὼ *corr.* M¹ ‖ **9** τοῦ κρέαος] καὶ κρέαος F ‖ **10** τοῦ κρέως] τὸ κρέως M | διάλεκτος *ex* διάλεκτως *corr.* M¹ ‖ **12** κρέαος] κρεάεος C | τὸ α̅ο̅] τὸ α̅ς̅ C, τοῦ α̅ο̅ F ‖ **13** τῷ κρέατι — ἰωνικῶς *om* M | τῷ κρέατι — ἀττικῶς (**14**)] κοινῶς. ἰωνικῶς. ἀττικῶς. τῷ κρέατι. τῷ κρέαϊ. τῷ κρέα C ‖ **15—22** *adverbia* κοινῶς, ἰωνικῶς, ἀττικῶς *ubique om* CF ‖ **15** τὼ κρέαε] καὶ κρέαε F | τὼ κρέα] καὶ κρέα F ‖ **16** τοῖν κρεοῖν MCF, τοῖν κρεῷν Bb ‖ **18** τὰ κρέαα] τὰ κρέαε M | κρέα] κράα F ‖ **19** τῶν κρεάτων — ἀττικῶς (**20**) *om* M ‖ **20** μόνως *om* C ‖ **24** τείχεος] τείχους M ‖ **26** *ante* τὸ τεῖχος *add* καὶ C ‖ **27** Τὼ τείχεε — τείχη *in mg. add* C¹ | κατὰ συναίρεσιν *om* F; *item v. 28 et p. 36, 1. 2. 3* | τείχη] τείχεε C | τοῖν τειχέοιν — τείχη (**28**) *om* C ‖ **28** *ante* τείχη *supra lin. rubro add* ὦ B

[Testim. ex *ΣE*] **3** οὐδέτερα *praebent etiam* *Σ*^χ (*382, 26* g) *E* ‖ **16** τοῖν κρεῷν *forma in solo* B *exstans diserte repudiatur a* *Σ*^χ (*389, 4* g). *E*^κ *contra*: τοῖν κρεάτοιν καὶ κρεάοιν. ὁ κανών; πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε̅ ἢ εἰς ω̅ μέγα λήγουσα. καὶ κρεῷν. ὁ κανών; καὶ τοῦτο κτλ.

Πληθ. Τὰ τείχεα καὶ κατὰ ϲυναίρεϲιν τείχη. τῶν τειχέων καὶ κατὰ ϲυναίρεϲιν τειχῶν. τοῖϲ τείχεϲι: τοῦτο ἀϲυναίρετον μένει. τὰ τείχεα καὶ κατὰ ϲυναίρεϲιν τείχη. ὦ τείχεα καὶ κατὰ ϲυναίρεϲιν τείχη.

Κανὼν θʹ.

Ἑνικά. Τὸ φῶϲ τοῦ φωτόϲ, τὸ ὦϲ τοῦ ὠτόϲ: δύο μόνα ἔϲτιν οὐδέτερα εἰϲ ωϲ, φῶϲ καὶ ὦϲ, κέκλιται δὲ ἀμφότερα διὰ τοῦ τοϲ. τῷ φωτί, τῷ ὠτί. τὸ φῶϲ, τὸ ὦϲ. ὦ φῶϲ, ὦ ὦϲ.

Δυϊκά. Τὼ φῶτε, τὼ ὦτε. τοῖν φώτοιν, τοῖν ὤτοιν. ὦ φῶτε, ὦ ὦτε.

Πληθ. Τὰ φῶτα, τὰ ὦτα. τῶν φώτων, τῶν ὤτων. τοῖϲ φωϲί, τοῖϲ ὠϲί. τὰ φῶτα, τὰ ὦτα. ὦ φῶτα, ὦ ὦτα.

Τέλοϲ τῶν οὐδετέρων.

Περὶ τῶν ἐν ταῖϲ πτώϲεϲι τόνων.

Περὶ τόνου τῆϲ γενικῆϲ.

Πᾶϲα γενικὴ ὀνόματοϲ κοινὴ ἀπαθὴϲ ἐπὶ ταύτηϲ τῆϲ ϲυλλαβῆϲ ἔχει τὸν τόνον ἐφ' ἧϲ καὶ ἡ εὐθεῖα, εἰ μή πω τιϲ ἕτεροϲ λόγοϲ κωλύοι· ὑπεξηρήϲθωϲαν δὲ αἱ εἰϲ οϲ διϲύλλαβοι γενικαί· οἷον Αἴαϲ ἐπὶ τῆϲ πρώτηϲ ϲυλλαβῆϲ ἔχει τὸν τόνον καὶ ἡ Αἴαντοϲ, χάριτοϲ ἔρωτοϲ, ἀνήρ ἀνέροϲ, ταχύϲ ταχέοϲ, Ἀχιλλεύϲ Ἀχιλλέοϲ, εὐγενήϲ ἐπὶ τῆϲ τρίτηϲ!, ἀλλὰ καὶ εὐγενέοϲ, κρέαϲ κρέατοϲ. Τὰ μέντοι προπαροξυνόμενα ὅτε περιϲϲοϲυλλάβωϲ κλίνεται ἀναγκαίωϲ κατέρχεται μίαν ϲυλλαβὴν ὁ τόνοϲ· οὐκ 1003 ἔϲτι γὰρ τάϲιϲ πρὸ τριῶν ϲυλλαβῶν, οἷον φίλημα φιλήματοϲ, Ἄδωνιϲ

[Discr. scr. in MCBFb] 1 τείχεα] τήχεα M | *post* τείχη *add* ὦ τείχεα καὶ κατὰ ϲυναίρεϲιν τείχη C ‖ 2 καὶ — τειχῶν] ὧν F | τοῦτο ἀϲυναίρετον μένει] μόνωϲ F, *om* C ‖ 3 τὰ τείχεα — τείχη] τὰ τείχεα η F | ὦ τείχεα — τείχη (4) *bis habet* C | καὶ κατὰ ϲυναίρεϲιν τείχη] ὦ τείχη ὁμοίωϲ Bb, η F ‖ 6 τὸ ὦϲ] τὸ ὥϲ C | ἔϲτιν εἰϲ ωϲ οὐδέτερα *traicit* F ‖ 7 εἰϲ ωϲ] εἰ ωϲ M | καὶ ὦϲ] καὶ ὥϲ C | κέκλιται M, κέκλινται BFb, κλίνονται C | ἀμφότερα *ex* ἀμφώτερα *corr.* M[1] ‖ 8 τὸ ὦϲ] τὸ ὥϲ C ‖ 13 Τέλοϲ τῶν οὐδετέρων *om* C | *post* οὐδετέρων *add* κανόνων BFb ‖ 15 *post* γενικῆϲ *add* τῶν ἑνικῶν b ‖ 16 ἔχει τὸν τόνον τῆϲ ϲυλλαβῆϲ *traicit* M ‖ 17 ἐφ' ἧϲ] ἐφ' ἧϲ εἶχεν C, ἐφ' ἧϲ ἂν Bb | κωλύοι MBF, κωλύϲει C, κωλύϲῃ b ‖ 18 ὑπεξηρήϲθωϲαν F, ὑπεξηρήϲθωϲαν M, ὑπεξαιρήϲθωϲαν B, ὑπεξαιρείϲθωϲαν Cb *et Bachmannus AG I 433,17* | *ad* ὑπεξαιρήϲθωϲαν *in mg. rubro add* ϲηʹ. αἱ εἰϲ οϲ διϲύλλαβοι γενικαί. χηνόϲ. γραόϲ. φωτόϲ B ‖ 19 *post* τόνον *add* ἀλλὰ F | *ante* χάριτοϲ *add* χάριϲ CBFb | *ante* ἔρωτοϲ *add* ἔρωϲ CBFb | ἀνέροϲ MCF, ἀνδρόϲ Bb ‖ 20 ταχύϲ ταχέοϲ *ante* ἀνήρ *transp.* F | Ἀχιλεύϲ (*ex* Ἀχιλλεύϲ *factum*) Ἀχιλέοϲ C | ἀχιλλέωϲ F | *post* εὐγενήϲ *add* εὐγενοῦϲ CBFb ‖ 21 Τὰ] ἁ F | περιττοϲυλλάβωϲ BFb ‖ 22 ἀναγκαίαϲ F

[Testim. ex *ΣE*] 7 κλίνονται, *quod* C *exhibet, praebent etiam* Σ^{χ} (*394,24* g) *E*
[Testim. ex Σ^{χ}] 16 ἐπὶ ταύτηϲ τῆϲ ϲυλλαβῆϲ ἔχει τὸν τόνον *testantur* Σ^{χ} *397, 13* g ‖ 17 ἐφ' ἧϲ ἂν *cum* B *habent* Σ^{χ} | κωλύϲῃ Σ^{χ} (*397, 14* g), *sed paulo infra* (*397, 20* g) κωλύϲει (*in* C) ‖ 18 *cum* C ὑπεξαιρείϲθωϲαν *praebent* Σ^{χ}

Ἀδώνιδος· καὶ τὸ Ὅμηρος Ὁμήρου κατήγαγε τὸν τόνον, ἐπεὶ οὐδ' ἐνδέχεται φύσει μακρᾶς οὔσης ἐπὶ τέλους προπαροξυνθῆναι λέξιν· τὸ γὰρ μάντεως καὶ πόλεως Ἀττικὰ ἀπὸ τοῦ μάντιος καὶ πόλιος γεγονότα τῶν κοινῶν ἐφύλαξε τὴν τάσιν. Σεσημειώσθω τοίνυν τὸ μητέρος καὶ θυγατέρος οὐ φυλάξαντα τὸν τόνον· ἴσως δὲ συναπηνέχθη τῇ πατέρος ἀνέρος· ἡμάρτηται δὲ καὶ τὸ γυναικός καὶ τὸ θυγατρός· τὸ γὰρ μιᾶς καὶ ἰᾶς Ἰωνικὴν ἔχει τὴν τάσιν. Αἱ μέντοι εἰς ο̄ς̄ δισύλλαβοι γενικαὶ ὀξύνεσθαι θέλουσιν, χηνός γραός φωτός· ἡ λᾶος ἐκ τρισυλλάβου τῆς λάαος· ἡ υἷος ἐκ τῆς ὕϊος· ἡ κῆρος καὶ ἦρος ἐκ τῆς κέαρος καὶ ἔαρος· ἡ Θῶνος ἐκ τῆς Θώνιος ἢ Θόωνος· ἡ Ὦπος πρὸς ἀντιδιαστολὴν τοῦ ὀφθαλμοῦ· ἡ τίνος πρὸς διάφορον σημασίαν καὶ ὀξύνεται καὶ βαρύνεται. Ἐπὶ μέντοι μετοχῶν καὶ αἱ εἰς ο̄ς̄ δισύλλαβοι γενικαὶ βαρύνονται, βάντος στάντος φθάντος.

Περὶ τόνου τῆς δοτικῆς.

Πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, ἔρωτος ἔρωτι, χηνός χηνί, γραός γραΐ· εἶπον δὲ «ἰσοσυλλαβοῦσα» διὰ τὸ μάντει πόλει· ταῦτα γὰρ συναιρεθέντα οὐκ ἰσοσυλλαβεῖ τῇ γενικῇ· διὸ ἀπὸ μὲν τοῦ Τυνδάρεος Τυνδαρέου Τυνδαρέῳ πρὸ μιᾶς ὁ τόνος, ἀπὸ δὲ τοῦ Τυνδάρεως Τυνδάρεω Τυνδάρεῳ πρὸ δύο. Αἱ μεταπεπλασμέναι δοτικαὶ προπαροξύνονται, εἰ μὴ δισυλλαβία κωλύσοι, διχόμηνι πολυπάταγι μελίκρατι· τὸ γὰρ μελικρᾶτι ἀρσενικὸν ἀπὸ τοῦ ὁ μελικράς κέκλιται.

[Discr. scr. in MCBFb] **1** οὐδ' ἐνδέχεται M, οὐκ ἐνδέχεται CBb, οὐκ ἀναδέχεται F ‖ **3** πόλιος καὶ μάντιος *traic.* MC ‖ **4** *in mg. add* ση̄^αι. τὸ μητέρος θυγατέρος B ‖ **5** ἴσω F ‖ **6** τὸ *ante* θυγατρός *om* BFb ‖ **7** τὴν *om* MF ‖ **8** θέλουσι Bb | χηνός] χιονός C | γραός] χραός F ‖ **9** ἡ υἷος] ἢ υἱὸς C | ἡ κῆρος] ἢ κῆρο C ‖ **10** ἡ Θῶνος] ἡ θόνος M, ἢ θῶνος C | ἐκ τῆς Θώνιος ἢ Θόωνος] ἐκ τῆς θόνιος ἢ θόωνος M, ἐκ τῆς θώνιδος ἢ θώονος Cb, ἐκ τῆς θώονος B, ἐκ τῆς θώνιος F. θώνιος *etiam Bachmannus AG I 434, 1* | ἡ Ὦπος] ἢ ὦπα C ‖ **11** ἡ τίνος] ἢ τινός C | σημασίαν καὶ] σημαινόμενον C ‖ **12** *ad* ἐπὶ μέντοι *in mg. add* ση̄'. αἱ εἰς ο̄ς̄ δισύλλαβοι ἐπὶ μετοχῶν B | καὶ *post* μετοχῶν *om* F ‖ **14** *post* δοτικῆς *add* τῶν ἑνικῶν b ‖ **15** *post* ἔχει *add* ὁμοίως καὶ τὸν χρόνον C ‖ **16** εἶπον MC, εἴπομεν BFb ‖ **17** συναναιρεθέντα C ‖ **18** Τυνδάρεος — Τυνδαρέῳ] Τυνδάραος. Τυνδαράου (Τυνδαράον M). Τυνδαράῳ MBb ‖ **19** Τυνδάρεῳ] τὴν δαρέω *sed supra posito signo* ∴ C ‖ **20** κωλύσοι MBF, κωλύσῃ Cb

---

[Testim. ex Σ^{χ}] **10** *ad* ἐκ τῆς Θώνιος ἢ Θόωνος *cfr.* Σ^{χ} (*410,19*): ἰστέον δὲ ὅτι περὶ τοῦ «Θῶνος παράκοιτις» ⟨δ 228⟩ λέγει ὁ τεχνικός, ὅτι ἢ ἀπὸ τῆς Θῶνις εὐθείας ἐγένετο Θώνιδος καὶ Θώνιος ἰωνικῶς, ὥσπερ Πάριδος Πάριος, καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τῆς Θόων Θόωνος, καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ω̄ εἰς τὸ ω̄ Θῶνος. *Arcad. 148, 3 his simillima praebet* ‖ **15** *quae addit* C: ὁμοίως καὶ τὸν χρόνον *non legerunt* Σ^{χ} *413, 29* g ‖ **18** Τυνδάρεος *formam qualem* CF *praebent per* ε̄ *vocalem scriptam diserte testantur* Σ^{χ} *415, 22* g

Περὶ τόνου τῆc αἰτιατικῆc.

Πᾶcα αἰτιατικὴ ἐπὶ ταύτηc ἔχει τῆc cυλλαβῆc τὸν τόνον ἐφ' ἧc 1001b καὶ ἡ γενική, πλὴν τῶν εἰc ᾱ διcυλλάβων, ἀβλῆτοc ἀβλῆτα, λιμένοc λιμένα, Δημήτεροc Δημήτερα, Διομήδεοc Διομήδεα, καλοῦ καλόν, μάντιοc μάντιν· ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον εἴπομεν, ὡc ἡ γενικὴ ἠνάγκαcτο ὑπὸ τῆc μακρᾶc παροξύνεcθαι· cεcημείωται τὸ θύγατρα καὶ γυναῖκα. Αἱ μέντοι εἰc ᾱ·αἰτιατικαὶ διcύλλαβοι μόνωc βαρύνονται, χῆνα παῖδα· τὸ τίνα πάλιν πρὸc τὴν cημαcίαν ἔχει τὸν τόνον. Αἱ μέντοι μονοcύλλαβοι εἰc ν̄ λήγουcαι αἰτιατικαὶ περιcπῶνται, κλεῖν λῖν μῦν cῦν ζῶν θεῦν.

Περὶ τόνου τῆc κλητικῆc.

Πᾶcα κλητικὴ ἐπὶ ταύτηc τῆc cυλλαβῆc ἔχει τὸν τόνον ἐφ' ἧc καὶ ἡ εὐθεῖα, Αἴαc Αἶαν, Ἀχιλλεύc Ἀχιλλεῦ, καλόc καλέ, εὐγενήc εὐγενέc, Λειώδηc Λειῶδεc, ποιητήc ποιητά· cεcημείωται τὸ δέcποτα μητίετα ἀκάκητα εὐρύοπα ἄνερ πάτερ cῶτερ δᾶερ, ἀναβιβάζουcι δὲ τὸν τόνον ἐπὶ κλητικῆc. Καὶ ἀναβιβάζουcι δὲ τὸν τόνον ἐπὶ τῆc κλητικῆc καὶ τὰ εἰc η̅c̅ cύνθετα κύρια, Διόμηδεc Ἀριcτόφανεc, καὶ τὰ παρ' οὐδετέρων ἐcχηματιcμένα εἰc η̅c̅, εὔμηκεc κακόηθεc· παραλόγωc γὰρ ἐβαρύνθη τὸ αὔθαδεc αὔταρκεc κάταντεc· καὶ τὰ εἰc η̅ρ̅ βαρύτονα ὅταν εἰc ε̅ρ̅ ἔχωcι τὴν κλητικήν, Δήμητερ θύγατερ εἴνατερ· καὶ τὰ εἰc ω̅ν̅ cύνθετα ὅταν

[Discr. scr. in MCBFb] 1 τῆc *om* C | *post* αἰτιατικῆc *add* τῶν ἑνικῶν b ‖ 2 τῆc cυλλαβῆc ἔχει τὸν τόνον BFb | *post* ἐφ' ἧc *add* ἂν Bb ‖ 3 *ad* πλὴν *in mg. add* cη'. χῆνα παῖδα τίνα B | εἰc ᾱ] εἰc ω̅ C ‖ 5 *ad* ἐπὶ μέντοι *in mg. add* ὁμήρου ὅμηρον B | Ὅμηρον *om* M ‖ 6 ἠνάγκαcτω M, ἠνάγκαcται F ‖ 8 παῖδα MCBF, πόδα b | *post* παῖδα *add* ἄνδρα F | πάλιν *om* C ‖ 9 αἰτιατικαὶ εἰc ν̄ λήγουcαι περιcπ. CFb | κλεῖν] κλῖν C | μῦν] νῦν M, μῆν F ‖ 11 *post* κλητικῆc *add* τῶν ἑνικῶν Bb ‖ 12 ἔχει τῆc cυλλαβῆc τὸν τόνον Bb | *post* ἐφ' ἧc *add* ἂν Bb ‖ 13 Ἀχιλεύc Ἀχιλεῦ C ‖ 14 ποιητήc ποιητά *om* F | μητήετα B ‖ 15 ἀκάκιτα C | εὐρύοπα] ἐρύοπα M, εὐρύωπα C | ἄνερ MBb, ἄνερ CF | δάερ B | ἀναβιβάζουcι δὲ τὸν τόνον ἐπὶ κλητικῆc M, ἀναβιβάζοντα ἐπὶ τῆc κλητικῆc τὸν τόνον Bb, *om* CF ‖ 16 Καὶ *ante* ἀναβιβ. *om* CBFb ‖ 17 κύρια cύνθετα *traiciunt* BFb ‖ 18 εἰc η̅c̅] εἰc ε̅c̅ CF | *ad* ἐβαρύνθη *in mg. add* ἴcωc προπαρωξύνθη B ‖ 19 αὔταρκεc αὔθαδεc κάταντεc Bb | αὔταρκεc κάταντεc *om* C | εἰc η̅ρ̅] εἰc η̅c̅ F | βαρύτονα MC, παροξύτονα BFb | ὅταν εἰc ε̅ρ̅ ἔχωcι MCF, εἰc ε̅ρ̅ ἔχοντα Bb ‖ 20 τὴν κλητικήν] τὴν γενικὴν F | θύγατερ εἴνατερ δήμητερ F | θύγατερ *om* M | εἴνατερ] ἴνατερ C

[Testim. ex Σ^χ] 2 *verborum ordinem cum* BF *congruentem praebent* Σ^χ *418, 26* g | ἂν *in solo* B *exhibitum non est in* Σ^χ ‖ 9 *cum neutro verborum ordine prorsus consentiunt quae in* Σ^χ *leguntur* (*421, 23* g): αἱ μέντοι εἰc ν̄ λήγουcαι αἰτιατικαὶ μονοcύλλαβοι δηλονότι μακροκατάληκτοι περιcπῶνται ‖ 12 ἐπὶ ταύτηc τῆc cυλλαβῆc ἔχει τὸν τόνον Σ^χ *424, 32* g | ἂν *in solo* B *post* ἧc *exhib. leg. etiam in* Σ^χ ‖ 17 τὰ εἰc η̅c̅ κύρια cύνθετα Σ^χ *435, 18* g ‖ 18 εἰc ε̅c̅ *script.*, *quam exhib.* CF, *facillime oriri potuit ex eis quae in* Σ^χ *insunt* (*436,28* g): ἰcτέον δὲ ὅτι τὰ εἰc η̅c̅ ἐπίθετα βαρύτονα cύνθετα ἀπὸ οὐδετέρων ἔχοντα τὴν κλητικὴν εἰc ε̅c̅ προπαροξύνονται κατὰ τὴν κλητικήν

εἰς ον εἴη ἡ κλητικὴ ἀναβιβάζει τὸν τόνον, πλὴν τῶν παρὰ τὸ φρήν, Ἀγάμεμνον κακόδαιμον χαμαίλεον· δαΐφρον δὲ καὶ περίφρον παροξυτόνως· παρὰ γὰρ τὸ φρήν. Σεσημείωται τὸ ὦ Λακεδαῖμον προπερισπώμενον.

Περὶ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Ἡ μὲν εἰς ε̅ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὁμότονός ἐστι τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ εἰς α̅ ληγούσῃ, εἰ δὲ ἄλεκτος εἴη, τῇ γενικῇ, χεῖρε Αἴαντε, πόλεε δὲ καὶ βέλεε· ἡ δὲ εἰς α̅ καὶ εἰς ω̅ λήγουσα, ἐφ' ἧς ἂν
1005b ἔχῃ συλλαβῆς ἡ γενικὴ τῶν ἑνικῶν τὸν τόνον, ἐπὶ ταύτης καὶ αὐτὴ ἔχει, Πέρσου Πέρσα, ἀέλλης ἀέλλα, ἵππου ἵππω. Τὸ ἄμφω δύω θεματικά.

Περὶ τόνου τῆς γενικῆς τῶν δυϊκῶν.

Ἡ μὲν εἰς α̅ι̅ν̅ γενικὴ καθόλου τῇ ἰδίᾳ εὐθείᾳ ἀκολουθεῖ, Ὀρέστα Ὀρέσταιν, κηδεστά κηδεσταῖν· ἡ δὲ εἰς ο̅ι̅ν̅ ἀπὸ μὲν τῶν εἰς ω̅ εὐθειῶν συντονοῦται τῇ ἰδίᾳ εὐθείᾳ, τοῖν γεωργοῖν, τοῖν βοϊδίοιν, σεσημειωμένου τοῦ ἀμφοῖν δυοῖν· ἀπὸ δὲ τῶν εἰς ε̅ εὐθειῶν ἀκόλουθος ἔσται τῇ γενικῇ τῶν πληθυντικῶν, χεροῖν πάντοιν παίδοιν εὐμηκοῖν τειχοῖν εὐνοῖν.

Περὶ τόνου τῆς ὀρθῆς τῶν πληθυντικῶν.

Ἡ μὲν εἰς ε̅ς̅ εὐθεῖα τῶν πληθυντικῶν ὁμότονος ἔσται τῇ ὀρθῇ τῶν δυϊκῶν, Αἴαντες ἀβλῆτες μύες, ἡ δὲ εἰς ο̅ι̅ τῇ εὐθείᾳ τῶν ἑνικῶν,

---

[Discr. scr. in MCBFb] 1 ἀναβιβάζει τὸν τόνον *om* F | τῶν παρὰ *om* C | τὸ φρήν Bb, τῶν φρήν M, τὸ φραήν C, τὸ φρῆν F ‖ 2 χαμαίλεον κακόδαιμον *traiciunt* BFb ‖ 3 τὸ φρῆν F | Λακαιδαῖμον C | *post* Λακεδαῖμον *add* καὶ τὸ ὦ Παλαῖμον BFb | προπερισπώμενον] περισπώμενον M, προπερισπωμένως C, προπερισπώμενα BFb ‖ 6 ὁμότονός ἐστι MBb, ὁμότονος ἔσται C, ὁμότονος ἐστὶ F ‖ 7 εἰ δὲ] ἡ δὲ F ‖ 8 *ante* Αἴαντε *add* τῇ C | ἡ δὲ BFb, εἰ δὲ MC ‖ 9 ἔχῃ CBb, ἔχοι MF | ταύτης] αὐτῆς C | ἔχει *om* CF ‖ 10 ἵππω] ἵππα C | *post* ἄμφω *add* δὲ καὶ τὸ b | δύω MFb, δύο CB; B *autem in mg. rubro add* τὸ ἄμφω δὲ καὶ τὸ δύω ‖ 11 τῆς *om* Bb ‖ 12 εἰς αιν Bb, οὖν α̅ι̅ν̅ M, οὖν εἰς α̅ι̅ν̅ λήγουσα C, εἰς α̅ι̅ F | ὀρέστα ὀρέσταιν C ‖ 13 κηδέστα κηδέσταιν Cb | ἡ δὲ] εἰ δὲ C | *post* ο̅ι̅ν̅ *add* δίφθογγον Bb | εἰς *ante* ω̅ *om* B, εἰς ω̅ *om* F ‖ 14 συντονοῦνται CB | γεωργίοιν F | βοϊδοῖν C ‖ 16 *post* πληθυντικῶν *add* χωρὶς τῶν ἀττικῶν F | χέροιν C, χαιροῖν F | πάντοιν] πέρτοιν C | παίδοιν MCF, παιδοῖν B, ποδοῖν b | τειχοῖν] τοιχοῖν C ‖ 19 ὁμοτόνως M ‖ 20 ἀβλῆτες] ἀκλῆτες b | μύες Mb, μῦες CBF | ἡ δὲ] εἰ δὲ C

[Testim. ex Σ^{χ}] 3 καὶ τὸ ὦ Παλαῖμον: *haec verba in* BF *addita fluxerunt ex* Σ^{χ} (*438, 26* g): σημειούμεθα δὲ καὶ τὸ ὦ Παλαῖμον ‖ 10 *de* δύω *et* δύο *orthographia accurate exponunt* Σ^{χ} *442, 19 sqq.* g ‖ 12 *quae in* Σ^{χ} (*443, 6* g) *sunt*: ἰστέον ὅτι ἡ εἰς α̅ι̅ν̅ λήγουσα γενικὴ τῶν δυϊκῶν *proxime accedunt ad* C ‖ 16 *additamentum codicis* F *ortum fortasse ex* Σ^{χ} (*446, 5* g): τὰ Ἀττικὰ τὸν τόνον τῆς εὐθείας τῶν δυϊκῶν φυλάττουσι καὶ τὸν αὐτὸν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ | παίδοιν *testantur etiam* Σ^{χ} *445, 25* g

λίθινοι χρυςοῖ πληςίοι· ἡ δὲ εἰς $\overline{\text{αι}}$ μονογενὴς μὲν οὖςα ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ, βορέαι ἄελλαι Πέρςαι εὐθῦναι, παρεςχηματιςμέναι δὲ ἀρςενικοῖς τῷ τόνῳ αὐτῶν ἕπονται, λίθινοι λίθιναι· καὶ ἥμεραι μὲν τὸ τριγενὲς προπαροξυτόνως, ἐπεὶ καὶ ἥμεροι, ἡμέραι δὲ τὸ μονογενὲς παροξυτόνως. Τὰ δὲ οὐδέτερα εἰ μὲν εἴη ἀπὸ ἰςοςυλλάβου γενικῆς κεκλιμένα, τῇ ὀρθῇ τῶν ἑνικῶν ὁμοτονεῖ, κάνεον κάνεα καὶ κανοῦν κανᾶ καὶ τείχεα χάλκεα· εἰ δὲ ἀπὸ περιςςοςυλλάβου, ἀεὶ βαρύνεται, φῶτα ὦτα πύρα φιλήματα κέρατα.

Περὶ τόνου τῆς γενικῆς τῶν πληθυντικῶν.

Αἱ μὲν εἰς $\overline{\text{εc}}$ διςύλλαβοι εὐθεῖαι πληθυντικαὶ περιςπῶςι τὰς γενικάς, μηνῶν χηνῶν γραῶν, ἐννέα ςεςημειωμένων, τίνων πάντων Τρώων δμώων παίδων θώων κράτων δᾴδων λάων. Αἱ δὲ εἰς $\overline{\text{αι}}$ λήγουςαι ἀρςενικαὶ μὲν οὖςαι περιςπῶςι τὴν γενικήν, τοξοτῶν πολιτῶν Αἰνειῶν, ςεςημειωμένου τοῦ χλούνων χρήςτων ἐτηςίων· θηλυκαὶ δὲ οὖςαι εἰ μὲν εἶεν μονογενεῖς περιςπῶνται, Μουςῶν ἀελλῶν, πλὴν τοῦ ἀφύων· εἰ 1006b
δὲ παρεςχηματιςμέναι ἀρςενικοῖς, ὁμοφωνοῦςαι μὲν αὐτοῖς τοῖς ἀρςενικοῖς κατὰ τὴν γενικὴν καὶ ὁμοτονοῦςιν, παραλλάςςουςαι δὲ τῇ φωνῇ καὶ τῷ τόνῳ διαφωνοῦςιν, οἷον Ῥόδιοι Ῥοδίων καὶ Ῥόδιαι Ῥοδίων· ςυμβεβάρυνται τῷ ἀρςενικῷ, ἐπεὶ καὶ μία φωνὴ ἐπ' ἀμφοῖν· ὁμοίως δούλων φίλων· ταχεῖαι μέντοι ταχειῶν· οὐ γὰρ ὁμοφώνως τῇ ταχέων ἀρςενικῇ,

[Discr. scr. in MCBFb] **1** χρυςοῖ] χρυςοι M, χρύςιοι C, χρύςινοι BFb | πληςίοι] πλήςιοι Bb | ἡ δὲ BFb, εἰ δὲ MC | μονογενὴς μὲν οὖςα MBFb, μονογενεῖς οὖςαι C | ὁμοτονεῖ MBFb, ὁμοτονοῦςι C | **2** βορέαι Bb, βαρέαι M, βάρειαι C | ἀέλλα B | Πέρςαι *om* C | εὐθύναι C || **3** *ante* λίθινοι *add* λίθινος BFb | *post* λίθινοι *add* καὶ F | καὶ ἥμεραι μὲν] ἥμεραι μέντοι F || **4** προπαροξυτόνως, ἐπεὶ καὶ ἥμεροι *om* C | προπαροξυτόνως — μονογενές *om* F | ἡμέραι] ἡμέροι M | παροξυτώνως M || **5** *post* παροξυτόνως *add* τῇ ἰδίᾳ (ἰδίᾳ *om* F) εὐθείᾳ τοῦ δυϊκοῦ ἕπεται BFb | οὐδέτερα δὲ *traic.* C | ἰςοςυλλάβου Fb, *ex* ἰςοςυλλάβων *corr.* B, ἰςοςυλλάβων MC | γενικῶν F | κεκλιμένα MBFb, ἐκλιμένα C || **6** κανέον κανέα b | καὶ *ante* κανοῦν *om* CF | κανᾶ] κανά C | καὶ *ante* τείχεα *om* CF || **7** περιττοςυλλάβου CBFb | *post* περιςςοςυλλάβου *add* γενικῆς CF || **8** πύρα φιλήματα] πυραφιλήματα M, πύρα *om* CBFb || **10** εἰς $\overline{\text{εc}}$] εἰς $\overline{\text{ωc}}$ C || **11** ςεςημειωμένων ἐννέα *traiciunt* CBFb || **12** δᾴδων Bb, δαίδων M, δαΐδων C, δάδων F | λάων *ex* λάδων *corr.* C[1] | *ad* λάων *in mg. rubro add* τὸ ἐπὶ τοῦ λίθου B | *post* εἰς $\overline{\text{αι}}$ *add* δίφθογγον Bb || **14** ςεςημειωμένων τῶν χλούνων F | αἰτηςίων C || **15** ἀελῶν C | εἰ δὲ MBFb, αἱ δὲ C || **16** ἀρςενικοῖς] ἀρςενικαὶ C | ὁμοφωνοῦςι CB | ὁμοφωνοῦςαι μὲν αὐτοῖς τοῖς ἀρςενικοῖς *om* F || **17** καὶ *ante* ὁμοτονοῦςιν *om* F | ὁμοτονοῦςιν M, ν *ephelc. om ceteri* | παραλλάςςουςαι MBFb, παραλάςςουςι C || **18** Ῥώδιοι Ῥωδίων C | ςυμβεβαρύνονται C || **20** ὁμοφώνως CBFb, ὁμοφώνος M

[Testim. ex Σ^{X}] **1** *de* χρυςοῖ *et* χρυςοί *a diversis singularibus derivandis vide* Σ^{X} *447, 32 sqq.* g | *pluralem* μονογ. — ὁμοτ. *a* C *exhibitum praebent etiam* Σ^{X} *448, 15* g || **2** βορέαι *testantur* Σ^{X} *448, 19* g || **5** *additamentum variis modis in* BF *exstans non legisse videntur* Σ^{X} *449, 15* g | ἰςοςυλλάβου *habent etiam* Σ^{X} *450, 28* g || **8** πύρα *pluralem diserte testantur* Σ^{X} *451, 2* g

μελαινῶν καὶ μελάνων, μακαιρῶν καὶ μακάρων. Εἴποι τις οὖν, πῶς οἱ πόρνοι τῶν πόρνων βαρυτόνως, τὸ δὲ θηλυκὸν πόρναι πορνῶν περισπωμένως; μία φωνὴ καὶ οὐχ εἷς ὁ τόνος· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πετρῶν ὀχθῶν κορῶν. Φημὶ οὖν ὅλα ταῦτα θηλυκὰ μονογενῆ εἶναι καὶ οὐκ ἀπὸ τῶν ἀρσενικῶν γεγενῆσθαι, διὸ καὶ ὡς μονογενῆ περιεσπάσθη, τὰ δὲ ἀρσενικὰ ἀπὸ τῶν θηλυκῶν παρωνύμως ἐσχηματίσθαι. Αἱ μέντοι εἰς ες εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς βαρύνουσι τὰς γενικάς, κἂν ὁμοφωνήσωσι τοῖς εἰς αι ἀρσενικοῖς· οἱ Ἰλιάδαι γὰρ τῶν Ἰλιαδῶν καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν περισπωμένως, αἱ Ἰλιάδες δὲ καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ τῶν Ἰλιάδων βαρυτόνως.

Αἱ εἰς εις εὐθεῖαι συνῃρημέναι ὅταν ἔχωσι τὰς γενικὰς συναιρεθείσας περισπῶσιν αὐτάς, εὐγενῶν Δημοσθενῶν· τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνε, καὶ τριήρων φασί τινες Ἀττικοὺς βαρυτόνως λέγειν· αἱ ὑπόλοιποι πᾶσαι τῇ γενικῇ τῶν δυϊκῶν ὁμοτονοῦσι· τὸ πόλεων λέξεων καὶ τὰ ὅμοια τοίνυν ὀφείλει πρὸ μιᾶς ἔχειν τὸν τόνον, Ἀμμώνιος δέ φησιν αὐτὰ παρὰ Ἀττικοῖς προπαροξύνεσθαι. Τὰ εἰς α οὐδέτερα τριγενῆ μὲν ὄντα τοῖς ἀρσενικοῖς συντονοῦνται, φίλων κούφων δούλων, μονογενῆ δὲ τῇ ἰδίᾳ εὐθείᾳ, πτερά πτερῶν, ξυρά ξυρῶν, ὀστᾶ ὀστῶν, ὦτα ὤτων, φῶτα φώτων, γοῦνα γούνων, δοῦρα δούρων· ἐπὶ
1007 b τοῦ τειχέων βελέων ἡ μακρὰ καταβιβάσασα τὸν τόνον συναίρεσιν ἐποίησεν ἐπὶ τῆς γενικῆς.

Περὶ τόνου τῆς δοτικῆς τῶν πληθυντικῶν.

Πᾶσα δοτικὴ πληθυντικὴ ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησί, καλῷ καλοῖς, χειρί

[Discr. scr. in MCBFb] **1** μελαινῶν BFb, μελενῶν M, μελάνων C | μελάνων] μελανῶν C | μακαίρων F | μακάρων καὶ μακαιρῶν *traicit* C | οὖν MBF, ἂν Cb ‖ **3** τοῦ πετρῶν] τῶν πετρῶν C ‖ **4** *post* ταῦτα *add* τὰ C ‖ **5** γεγενῆσθαι] γεγενεῖσθαι M ‖ **6** ἐσχηματίσθαι MF, ἐσχηματῆσθαι C, ἐσχημάτισται Bb ‖ **7** *post* πληθ. *add* θηλυκῶν Bb | ὑπὲρ δύο συλλαβὰς] μὴ δισύλλαβοι F; B *autem in mg. rubro add*: ἐν ἄλλω. μὴ δισύλλαβοι ‖ **8** ὁμοφωνήσωσι] ὁμοφωνῶσι Bb, *ex* ὁμωφωνήσωσι *corr.* M¹ | Ἰλιάδαι] ἰλιάδαι *sed supra* ι *posito* η B, Ἡλιάδαι b | Ἰλιαδῶν] ἰλιάδων C, ἰλιαδῶν *sed supra* ι *posito* η B, Ἡλιαδῶν b ‖ **9** οἱ Δαναΐδαι *om* MC | οἱ Δαναΐδαι τῶν *om* F | Ἰλιάδες] ἰάδες M, ἡλιάδες Bb | δὲ *om* F | αἱ δαναΐδες τῶν ἰλιάδων καὶ τῶν δαναΐδων βαρυτόνως (*ex* -τόνων *corr.*) F ‖ **10** Ἰλιάδων] ἡλιάδων Bb ‖ **11** εἰς εις F, εἰς ες MCBb | συνειρημέναι C | ἔχωσιν C ‖ **12** δυσῴδων B ‖ **13** τριήρων CBFb, τρίρων M | φασὶ τινὲς F | ἀττικῶς C ‖ **14** ὑπόλειποι F | τῶν δυϊκῶν MCF, τῶν ἑνικῶν Bb ‖ **15** ὀφείλει CBFb, ὠφείλει M | πρὸ μιᾶς ὀφείλει ἔχειν Bb ‖ **16** παρὰ ἀττικοῖς MBb, περὶ ἀττικοῖς C, παρ' ἀττικοῖς F ‖ **18** πτερά] πτερὸν C ‖ **23** πληθυντικῶν C | ἐπ' ἐκείνης] ἐπὶ ταύτης Bb ‖ **24** ἂν *om* C | μησίν Bb | *post* μησί *add* Αἴαντι Αἴασι CBFb

[Testim. ex Σ^{χ}] **7** θηλυκῶν *a* B *solo exhibitum ne in* Σ^{χ} (*458, 12* g) *quidem legitur* ‖ **11** εἰς εις *diserte testantur* Σ^{χ} *459, 6* g ‖ **14** τῶν δυϊκῶν *etiam in* Σ^{χ} (*459, 33* g) *additis exemplis* ‖ **23** Σ^{χ} (*462, 7* g): λέγει ὁ τεχνικός, ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἐπ' ἐκείνης ‖ **24** ἂν *om etiam in* Σ^{χ} | Αἴαντι Αἴασι *in magno exemplorum numero hab.* Σ^{χ} *462, 11* g

χερσί· σεσημείωται τὸ πᾶσι. Αἱ πλεονάσασαι τὸ ᾱ πρὸ μιᾶς ἔχουσι τὸν τόνον, πατράσι θυγατράσι· αἱ δὲ μεταπεπλασμέναι προπαροξύνονται, ἄστρασι πρόβασι ἔγκασι.

Περὶ τόνου τῆς αἰτιατικῆς τῶν πληθυντικῶν.

Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἀπαθὴς ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ γενικὴ τῶν ἑνικῶν, ταχέος ταχέας, καλοῦ καλούς, βέλεος βέλεα, Μούσης Μούσας, ἀθλητοῦ ἀθλητάς, χαλκοῦ χαλκοῦς.

Τέλος τῶν ὀνομάτων.

[Discr. scr. in MCBFb] **1** τὸ πᾶσι M, τῷ παντὶ πᾶσι C, τὸ πᾶσιν BFb | τὸ ᾱ MF, τὸ ᾱι C, τῷ ᾱ Bb ‖ **2** πατρᾶσι C | θυγατράσι MBF, θυγατρᾶσι C, θυγατράσιν b | δὲ *om* C | *post* μεταπεπλ. *add* δοτικαὶ CF ‖ **3** πρόβασι MC, πρόβασιν BFb | πρόβασιν ἄστρασιν F | ἔγκασι MC, ἔγκασιν BFb ‖ **5** πληθυντικῶν CF | ἔχει τῆς συλλαβῆς τὸν τόνον C, ἔχει τὸν τόνον τῆς συλλαβῆς *traicit* M ‖ **6** ἂν *om* CF | ταχέος *ex* ταχέως *corr.* C[1] | καλοῦ καλοῦς C ‖ **7** βέλεος βέλεα, καλοῦ καλούς F | ἀθλητοῦ ἀθλητάς, μούσης μούσας F ‖ **8** χαλκούς F; *tum pergit:* πλὴν τῶν εἰς ας συνεσταλμένων ἀπὸ τῶν εἰς ος ὀξυτόνων γενικῶν τῶν ἑνικῶν, ἐπειδὴ αἱ τοιαῦται αἰτιατικαὶ οὐκ ἀκολουθοῦσι τῇ γενικῇ τῶν ἑνικῶν κατὰ τὸν τόνον, ἀλλὰ ταῖς ἰδίαις εὐθείαις πληθυντικαῖς, οἷον γυναῖκες γυναῖκας, θύγατρες θύγατρας, τρῶες τρῶας, πάντες πάντας, καὶ ὅσα ὅμοια ‖ **9** Τέλος τῶν ὀνομάτων *om* C | *post* Τέλος *add* τοῦ περὶ τόνου τῶν πτώσεων Bb | Τέλος πασῶν τῶν τόνων (*sic*) F

[Testim. ex Σ^χ] **1** Σ^χ (*462, 12* g): λέγει ὁ τεχνικὸς χωρὶς τοῦ παντί πᾶσι | τὸ ᾱ *etiam in* Σ^χ *463, 17* g | δοτικαὶ *add* Σ^χ *463, 24* g ‖ **5** πληθυντικῶν Σ^χ *464, 28* g | ἀπαθὴς *non praeb.* Σ^χ ‖ **6** ἂν *om etiam* Σ^χ ‖ **8** *ad ea quae* F *add cfr.* Σ^χ (*465, 17* g): ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι καὶ χωρὶς τῶν εἰς ος ὀξυτονουμένων γενικῶν, ὅτι οὐχ ὁμοτονοῦσιν αἱ αἰτιατικαὶ ταῖς γενικαῖς καὶ ὀξύνονται ἀλλὰ βαρύνονται, οἷον γυναικός γυναῖκας, φωτός φῶτας, ἀνδρός ἄνδρας κτέ.



1008 b

ΘΕΟΔΟϹΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

εἰϲαγωγικοὶ κανόνεϲ περὶ κλίϲεωϲ ῥημάτων.

Ἑνικά. Τύπτω: τῶν ἐν τοῖϲ ὁριϲτικοῖϲ ῥήμαϲιν ἐνεϲτώτων ἐνεργητικῶν δύο εἰϲὶ καταλήξειϲ, ἥ τε εἰϲ ω̅ καὶ παράγωγοϲ ἡ εἰϲ μι· εἰπόντεϲ οὖν πρῶτον περὶ τῶν εἰϲ ω̅ ῥημάτων ὕϲτερον καὶ περὶ τῶν εἰϲ μι̅ διαληψόμεθα. Πᾶν τοίνυν ῥῆμα εἰϲ ω̅ λῆγον βαρύνεται, λέγω φέρω· ὅϲα δὲ περιεϲπάϲθη, ταῦτα ἀπὸ βαρυτόνων ϲυνῃρέθη, ποιέω ποιῶ, βοάω βοῶ, χρυϲόω χρυϲῶ. τύπτειϲ: πᾶν πρῶτον πρόϲωπον εἰϲ ω̅ λῆγον ἀμοιβῇ τοῦ ω̅ εἰϲ ει̅ϲ̅ τὸ δεύτερον πρόϲωπον ποιεῖ, λέγω λέγειϲ, κόπτω κόπτειϲ· τὰ περιϲπώμενα πρὸϲ τὴν ϲυναίρεϲιν ποιεῖται τὴν γραφήν, ποιέειϲ ποιεῖϲ, βοάειϲ βοᾷϲ· τὸ γὰρ α̅ε̅ εἰϲ α̅ κιρνᾶται, οἷον τὰ ἐμά τἀμά· χρυϲόειϲ χρυϲοῖϲ· καὶ ἔδει μὲν χρυϲοῦϲ· τὸ γὰρ ο̅ε̅ εἰϲ τὴν ο̅υ̅ δίφθογγον κιρνᾶται, ὡϲ τὸ ἐμόν τοὐμόν· ἀλλ᾽ ἐπεὶ τὰ εἰϲ ω̅ ῥήματα πάντωϲ ἐν δευτέρῳ προϲώπῳ δίφθογγον ἔχει τὴν μετὰ τοῦ ι̅, ἐπεκράτηϲεν ἡ ο̅ι̅ δίφθογγοϲ ἐκθλιβέντοϲ τοῦ υ̅. τύπτει: πᾶν δεύτερον πρόϲωπον εἰϲ ϲ̅ λῆγον ἀποβολῇ τοῦ ϲ̅ τὸ τρίτον ποιεῖ, ποιεῖϲ ποιεῖ, ἔλεγεϲ ἔλεγε· περὶ γὰρ τοῦ παρακειμένου καὶ τοῦ ἀορίϲτου ὕϲτερον ἐροῦμεν.

Δυϊκά. Τύπτετον, τύπτετον: δύο ζητοῦμεν ἐν τοῖϲ δυϊκοῖϲ

[Discr. scr. in MCBFG²b] **1** Θεοδοϲίου] Θεοδώρου FG² | *post* γραμματικοῦ *add* ἀλεξανδρέωϲ FG² ‖ **2** εἰϲαγωγικοὶ κανόνεϲ *om* CFG² | κλήϲεωϲ G² | *post* ῥημάτων *add* ἐνεϲτώϲ B, ἐνεϲτώϲ b ‖ **3** *post* Ἑνικά *add* κανὼν α′ M ‖ **4** δύο εἰϲὶ] *hic desinit* F *fol. 41ᵛ*

[Discr. scr. in MCBGb] **4** *post* εἰϲ ω̅ *add* παράγωγοϲ C ‖ **5** πρῶτον MCG, *om* Bb ‖ **8** *post* πρόϲωπον *add* ὁριϲτικὸν BGb ‖ **9** πρόϲωπον *om* BGb ‖ **11** α̅ε̅] α̅ καὶ ε̅ Bb ‖ **12** χρυϲόειϲ — τοὐμόν (**13**) *om* G | χρυϲόειϲ] χρυϲόειιϲ M | ο̅ε̅] ο̅ καὶ ε̅ Bb ‖ **13** ὡϲ] οἷον C | ἐπεὶ] ἐπὶ M ‖ **15** ἐπεκράτηϲε M | ἐκθλιβέντοϲ] ἐκβληθέντοϲ G ‖ **16** *post* τρίτον *add* πρόϲωπον C | ποιεῖϲ ποιεῖ *om* G ‖ **17** ἔλεγεϲ ἔλεγε] λέγειϲ λέγει C ‖ **19** *alterum* τύπτετον *om* C

[Testim. ex *ΣE*] **5** πρῶτον *praeb. etiam* *Σ*ᵡ (*493, 1* g) *E*ᵉ ‖ **8** ὁριϲτικὸν *om* *Σ*ᵡ (*496, 5* g) *E*; *Σ*ᵡ *paulo post* (*496, 8* g): ὁ δὲ λόγοϲ δῆλον ὅτι περὶ τῶν ὁριϲτικῶν, περὶ ὧν ὁ τεχνικὸϲ ϲκοπὸν ἔχει διαλαβεῖν ‖ **9** πρόϲωπον *om* V *in* *Σ*ᵡ (*496, 6* g) *et* *E* ‖ **16** πρόϲωπον *add* *Σ*ᵡ *499, 30* g ‖ **17** λέγειϲ λέγει *inter multa alia exempla hab.* *Σ*ᵡ *499, 31* g

ζητήματα, τὸ μὲν ἕν, διὰ τί μὴ τρία αὐτῶν ἐϲτι τὰ πρόϲωπα, ὡϲ τῶν ἄλλων ἀριθμῶν, τὸ δὲ ἕτερον, πῶϲ τὸ δεύτερον καὶ τὸ τρίτον αὐτῶν 1009 b πρόϲωπον ὁμοφωνεῖ; Λέγομεν οὖν ὅτι ἡνίκα τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν τὸ μ̄ ἔχει ἐπὶ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ, ἀπολείπει τὸ πρῶτον πρόϲωπον τῶν δυϊκῶν, καὶ λοιπὸν ἐξ ἀνάγκηϲ δύο εὑρίϲκονται, δεύτερόν τε καὶ τρίτον· περὶ δὲ τῆϲ ϲυνεμπτώϲεωϲ τῶν δύο τοῦτό φαμεν, ὅτε τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν εἰϲ ϲι̅ ἢ εἰϲ ται̅ λήγει, ὁμοφωνοῦϲι τὰ δεύτερα καὶ τρίτα τῶν δυϊκῶν, ὅτε δὲ μὴ οὕτωϲ ἔχει, διαλλάϲϲουϲι· τὰ δὲ παραδείγματα ἐπὶ πάϲηϲ τῆϲ κλίϲεωϲ φανερωθήϲεται. Γέγονεν οὖν τὸ μὲν δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τοῦ τέλουϲ εἰϲ τον̅, ποιεῖτε ποιεῖτον, λέγετε λέγετον· τὸ δὲ τρίτον ὁμοφωνεῖ τῷ δευτέρῳ, ἐπεὶ εἰϲ ϲι̅ λήγει τὸ τρίτον τῶν πληθυντικῶν τὸ τύπτουϲι.

Πληθυντικά. Τύπτομεν: ἐνεϲτώτων καὶ μελλόντων τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ τῆϲ γενικῆϲ τῆϲ μετοχῆϲ ἀποβαλλομένηϲ τῆϲ τοϲ̅ πρό τε τοῦ ν̄ λαμβανομένου τοῦ με̅ τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν γίνεται, λέγοντοϲ λέγον λέγομεν, ποιοῦντοϲ ποιοῦν ποιοῦμεν, λέξοντοϲ λέξον λέξομεν· ὁ δὲ κανὼν ἐν τοῖϲ εἰϲ μι̅ μάλιϲτα χρειώδηϲ ἡμῖν ὀφθήϲεται, τιθέντοϲ τίθεμεν, διδόντοϲ δίδομεν. τύπτετε: τὰ εἰϲ μεν̅ πληθυντικὰ τροπῇ τῆϲ μεν̅ εἰϲ τε̅ τὸ δεύτερον ποιοῦϲιν, τὴν δὲ παραλήγουϲαν οὐ τρέπουϲι μὲν ὅτε εἰϲ ϲ̄ λήγει ἡ μετοχή, ὡϲ ἐπὶ παρακειμένου ὑπερϲυντελίκου ἀορίϲτου πρώτου, τρέπουϲι δὲ ὅτε οὐκ εἰϲ ϲ̄, ὡϲ ἐπὶ ἐνεϲτῶτοϲ παρατατικοῦ μέλλοντοϲ καὶ ἀορίϲτου δευτέρου. τύπτουϲι:

[Discr. scr. in MCBGb] **1** ὡϲ καὶ τῶν G ‖ **2** ἕτερον] ὕϲτερον C | τὸ *ante* τρίτον *om* CG | τρίτον πρόϲ. αὐτῶν G ‖ **4** τὸ μ̄] τὸ ν̄ C | ἔχει *post* ϲυλλαβῆϲ *transp.* CG | τελευτέαϲ M ‖ **5** εὑρίϲκεται G ‖ **6** *ad* ϲυνεμπτώϲεωϲ *in mg. add* ϲυνέμπτωϲιϲ τί ἐϲτι C¹ | τοῦτό φαμεν M, τούτων φαμὲν CBGb ‖ **7** πρόϲωπον *om* C ‖ **8** τρίτα πρόϲωπα τῶν G | διαλλάϲϲουϲι M, διαλλάϲϲουϲιν C, διαλλάττουϲι Bb, διαλάττουϲι G ‖ **9** τῆϲ *om* G | φανερωθήϲονται C ‖ **10** Γέγονεν] γέγονε μὲν C | ἀπὸ τοῦ] ἐκ τοῦ Bb ‖ **11** τοῦ τέλουϲ] τῆϲ τε̅ G | ποιεῖτε ποιεῖτον *om* C ‖ **12** λήγει] λήγει *sed supra* ει *scripto* η C | *ante* τῶν πληθ. *add* πρόϲωπον Bb ‖ **13** τὸ τύπτουϲι] τύπτουιν C ‖ **14** *ante* ἐνεϲτώτων *add* τῶν CBGb | τελευτέαϲ M ‖ **15** τῆϲ μετοχῆϲ] τῶν μετοχῶν BGb | πρό τε] πρώ τε C ‖ **16** τὸ *om* G | πρῶτον] πρότον M ‖ **17** γίνεται] ποιεῖ C | *ante* λέγοντοϲ *add* λέγων G | λέγον *om* CG | ποιοῦντοϲ — ποιοῦμεν *post* λέξομεν (**18**) *transp.* BGb | ποιοῦν *om* CG ‖ **18** λέξον *om* C ‖ **19** τιθέντοϲ] τιθένται C ‖ **20** *post* δεύτ. *add* πρόϲωπον Bb | ποιοῦϲιν M, ποιοῦϲι CBb, ποιεῖ G ‖ **21** *post* μετοχή *add*: πλὴν τῶν ὑποτακτικῶν C ‖ **22** πρώτου ἀορίϲτου *traicit* C | *post* πρώτου *add*: πλὴν τῶν ὑποτακτικῶν BGb | ὅτε] ὅτι M | *post* εἰϲ ϲ̄ *add* ἡ μετοχὴ BGb, λήγει ἡ μετοχὴ C ‖ **23** τύπτουϲιν Bb

---

[Testim. ex *ΣE*] **2** τὸ *ante* τρίτον *om etiam* Σ^{χ} *500, 33* g ‖ **4** ἔχει *post* ϲυλλαβῆϲ *transp.* Σ^{o} *E* ‖ **7** πρόϲωπον *om* *E* ‖ **10** ἐκ τοῦ *pro* ἀπὸ τοῦ *in* *E* *legitur* ‖ **14** τῶν *ante* ἐνεϲτώτων *add* Σ^{χ} (*506, 29* g) *E* ‖ **15** τῆϲ μετοχῆϲ *testantur* Σ^{χ}, τῶν μετοχῶν *E* ‖ **17** ποιεῖ Σ^{χ} (*506,32* g) ‖ **21** *et* **22** *additamenti* πλὴν τῶν ὑποτακτ. *diversis locis in* CBG *exhibiti mentionem nullam faciunt* Σ^{χ} *E* ‖ **22** *quae post* εἰϲ ϲ̄ *adposita sunt in* CBG *orta esse possunt ex* Σ^{χ} *508,15* g

ἐνεστώτων καὶ μελλόντων ὁμόφωνόν ἐστι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τῇ δοτικῇ πληθυντικῇ τῶν ἰδίων μετοχῶν· ὁ δὲ λόγος διήκει καὶ ἐπὶ τῶν εἰς μι, τοῖς τύπτουσι τύπτομεν τύπτετε τύπτουσι,
1010b τοῖς τιθεῖσι τίθεμεν τίθετε τιθεῖσι· σεσημείωται τὸ φασίν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὠξύνθη.

Παρατατικοῦ.

Ἑνικά. Ἔτυπτον: ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεστῶτος ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν καὶ τὴν ἄρχουσαν αὔξουσα χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ· ἀλλ' εἰ μὲν ἀπὸ συμφώνου ἄρχοιτο τὸ θέμα, προσόδῳ τοῦ ε αὔξεται ἡ ἄρχουσα τοῦ παρατατικοῦ, λέγοντος ἔλεγον, ποιοῦντος ἐποίουν· εἰ δ' ἀπὸ τοῦ ρ ἄρχοιτο, καὶ ἕτερον ρ προσλαμβάνει ὁ παρατατικός, ῥάπτω ἔρραπτον· εἰ δ' ἀπὸ φωνήεντος ἄρχοιτο ὁ ἐνεστώς, χρονικῶς αὔξεται ὁ παρατατικός. Ἑπτὰ γὰρ ὄντων τῶν φωνηέντων τέσσαρα μέν εἰσιν ἀμετάβολα ἐν τοῖς παρῳχημένοις, η ω ι υ, ἡβῶ ἥβων, ὠθῶ ὤθουν, ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον, τρία δὲ μεταβολικά, α ε ο, ὧν τὸ μὲν α εἰς η τρέπεται, ἄγω ἦγον, τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ἐλέγχω ἤλεγχον, ποτὲ δὲ τὸ ι προσλαμβάνει, ἔχω εἶχον, τὸ δὲ ο εἰς ω, ὀμνύω ὤμνυον. Τῶν δὲ διφθόγγων ἡ ει καὶ ἡ ου οὐ τρέπονται, ὡς τὸ εἰκάζω εἴκαζον, οὐρῶ οὔρουν, αἱ δὲ λοιπαὶ εἰς τὰ οἰκεῖα μεταβάλλονται, οἴγω ᾠγον, αἰσχύνομαι ᾐσχυνόμην. Τὰ μέντοι ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα ἄτρεπτον τηρεῖ τὴν πρόθεσιν, εἰ μὴ κατὰ πλεονασμὸν εἴη, ὡς ἐπὶ τοῦ καθέζομαι ἐκαθεζόμην, ἢ ἀττικῶς κλιθείη, ὡς ἀντιβολῶ ἠντιβόλουν. ἔτυπτες: τὰ εἰς ον ῥήματα τροπῇ τοῦ ον εἰς ες τὸ δεύτερον ποιεῖ, ἔλεγον ἔλεγες· καὶ τοῦ

[Discr. scr. in MCBGb] **1** τῶν ἐνεστ. G | πρόσωπον *om* Bb ‖ **3** τύπτομεν τύπτετε τύπτουσι *om* M ‖ **4** τίθετε τίθεισι C ‖ **5** ὠξύνθη] ὀξύνθη M, ὀξυτονήθη CG, ὠξυτονήθη Bb ‖ **6** *ante* παρατ. *add* κανὼν β' M, β^{ος} *in marg.* B | παρατατικοῦ MCG, παρατατικὸς Bb ‖ **8** αὔξουσαν C ‖ **9** ἄρχεται *sed supra* εται *scr.* οιτο B ‖ **10** προσόδῳ Bb, προσῳδῷ MC, προσῳδῶ G | ἡ *ante* ἄρχουσα *om* C ‖ **11** δ' ἀπὸ M, δὲ ἀπὸ CBGb | *post* ἄρχοιτο *add* ὁ ἐνεστὼς CBb ‖ **12** δ' ἀπὸ M, δὲ ἀπὸ CBGb ‖ **14** ἀμετάβολα μέν εἰσι τέσσαρα *traicit* C | μέν ἐστιν G ‖ **16** *post* ἦγον *add* τὸ δὲ ο εἰς ω, ὀμνύω ὤμνυον CG, *cfr. v. 18* | τὸ δὲ ε] τὸ δὲ ι C ‖ **17** δὲ καὶ τὸ ι G ‖ **18** τὸ δὲ ο — ὤμνυον *om* CG, *cfr. v. 16* ‖ **20** ᾠγον BGb, ᾤιγον M, ᾤγουν C ‖ **22** *post* πρόθεσιν *add* ἔξωθεν. ἔσωθεν γὰρ κλίνεται CBGb, *et praeterea add* διάγω διῆγον κατὰ προσθήκην BGb | καθέζομαι] καθεζομένου C ‖ **23** *ante* ἀντιβολῶ *add* τὸ Bb ‖ **24** τοῦ ον] τῆς ον M

[Testim. ex ΣE] **5** ὠξυτονήθη Σ^{χ} (*510, 4* g), *qua aoristi passivi forma semper usus esse videtur Choeroboscus* ‖ **22** *quae* CBG *addunt Choeroboscum non legisse patet ex* Σ^{χ} (*522, 18* g): τὰ μέντοι ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα ἄτρεπτον ἔχουσι τὴν πρόθεσιν· πρόθεσις γάρ ἐστιν ἧς οὐδὲν θέλει προτίθεσθαι· διὰ τοῦτο καὶ ὡς ἂν τις εἴποι ἔσωθεν γίνεται ἡ κλίσις, οἷον καταγράφω κατέγραφον κτέ ‖ **24** τῆς ον Σ^{χ} *528, 8* g (*in* CV), τοῦ ν Σ^{χ} (*in* O) E

ἐποίουν τοίνυν τὸ ἐντελὲς ἦν ἐποίεον καὶ ἐποίεες, εἶτα ἐποίεις κατὰ κρᾶσιν, ἐβόαον ἐβόαες ἐβόας, ἐχρύσοον ἐχρύσοες ἐχρύσους. ἔτυπτε: εἴρηται.

Δυϊκά. Ἐτύπτετον: εἴρηται. ἐτυπτέτην: τὸ τρίτον τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου δευτέρου γέγονεν ἀμοιβῇ τοῦ ο̅ εἰς η̅· ἐπεὶ γὰρ τὸ 1011 b τρίτον τῶν πληθυντικῶν οὔτε εἰς σ̅ι̅ ἐστὶν οὔτε εἰς τ̅α̅ι̅, οὐχ ὡμοφώνησαν ἀλλήλοις τὰ δυϊκά.

Πληθ. Ἐτύπτομεν: πᾶν πρῶτον πρόσωπον ἑνικὸν εἰς ν̅ λῆγον μὴ ἔχον τὸ μ̅ κλιτικὸν προσόδῳ τοῦ μ̅ε̅ πληθυντικὸν γίνεται, ἔλεγον ἐλέγομεν, ἐποίουν ἐποιοῦμεν· περὶ γὰρ τοῦ ἐτίθην ἐτίθεμεν καὶ τῶν ὁμοίων ἐν τοῖς εἰς μ̅ι̅ ἐροῦμεν. Εἴπομεν «μὴ ἔχον τὸ μ̅ κλιτικόν» διὰ τὸ ἐλεγόμην καὶ τὰ ὅμοια· οὐκέτι γὰρ τὰ πληθυντικὰ προσόδῳ τοῦ μ̅ε̅ ἀπετελέσθη· κλιτικὸν δέ ἐστι τὸ μὴ ὂν ἐκ θέματος ἀλλ' ἐκ κλίσεως γεγενημένον. ἐτύπτετε: εἴρηται. ἔτυπτον: τῶν τεσσάρων παρῳχημένων, παρατατικοῦ τέ φημι καὶ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ ἀορίστου, ὅσοι μὲν εἶχον τὴν μετοχὴν εἰς σ̅ λήγουσαν καὶ ὀξυνομένην, οὗτοι καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἶχον ἰσοσυλλαβοῦν τῷ πρώτῳ, οἷον ἡ τετυφώς παρακειμένου ἐστὶ καὶ ὑπερσυντελίκου μετοχὴ εἰς σ̅ τε οὖσα καὶ ὀξύτονος· ἀμφοτέρων τοίνυν τῶν χρόνων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἰσοσυλλαβοῦσι τοῖς πρώτοις, τετύφαμεν τετύφασι, ἐτετύφειμεν ἐτετύφεισαν· ὅσοι δὲ αὐτῶν οὐκ εἶχον τὴν μετοχὴν εἰς σ̅ μετ' ὀξείας, ἐνδέον συλλαβῇ τὸ τρίτον ἔχουσι τοῦ πρώτου καὶ λῆγον εἰς ἐκείνην τὴν συλλαβήν, ἥ τις ἦν παράληξις τῆς γενικῆς τῆς

[Discr. scr. in MCBGb] 1 καὶ *ante* ἐπ. *om* G ‖ 2 *post* ἐχρύσους *add* κατὰ συναίρεσιν, ἐπεὶ τὸ ἐντελὲς ἦν ἐχρύσοες Cb, κατὰ συναίρεσιν ἦν. ἐπεὶ τὸ ἐντελὲς ἐχρύσοες *rubro* B, *qui in marg. iterum rubro add* κατὰ συναίρεσιν · ἐπεὶ τὸ ἐντελὲς ἦν ἐχρύσοες | ἔτυπτεν Bb ‖ 3 εἴρηται *om* Cb ‖ 6 σ̅ι̅ ἐστὶν G, σ̅ι̅ ἔστιν M, σ̅ι̅ ἔστιν C, σ̅ι̅ λήγει *et in marg.* ἐστὶ B, σ̅ι̅ λήγει b | τ̅α̅ι̅] τ̅ε̅ M | καὶ οὐχ G ‖ 8 ἑνικὸν MB, ἑνικῶν CGb | εἰς ν̅] εἰς η̅ M ‖ 9 προσῴδῳ C | τοῦ με MCG, τῆς μ̅ε̅ Bb ‖ 11 κλητικὸν C | διὰ τὸ] διὰ τοῦ C ‖ 12 *ante* ἐλεγόμην *add* ἐτυπτόμην Bb | οὐκέτι] οὐκ ἔστι C, οὐκ ἔτι G | τῇ προσ. G ‖ 13 κλιτικὸν δέ ἐστι CBGb, κλιτικόν ἐστι M ‖ 14 ἐτύπτετε] ἔτυπτε G | εἴρηται *et* ἔτυπτον *om* C ‖ 15 καὶ *ante* παρακειμένου *om* CBGb | καὶ *ante* ὑπερσυντελίκου *om* CBGb | καὶ *ante* ἀορίστου *om* MG ‖ 16 *ante* μετοχὴν *add* ἐνεργητικὴν CBGb ‖ 17 ἰσοσύλλαβον C ‖ 19 τὲ G | ὀξύτονος MBG, ὀξυνομένη Cb | ἀμφοτέρων τοίνυν τῶν χρόνων MG, τοίνυν ἀμφοτέρων τῶν χρόνων C, ἀμφοῖν τοῖν χρόνοιν B, τοίνυν ἀμφοῖν τοῖν χρόνοιν b ‖ 20 πρόσωπα *om* C | ἰσοσυλλαβεῖ G | *post* πρώτοις *add* ἑαυτῶν CBGb | τετύφασιν CBb ‖ 22 μετ' ὀξίας M | τὸ τρίτον] τῷ τρίτον M | ἔχουσιν C

[Testim. ex **ΣE**] 2 *quae in* CB *adduntur orta esse possunt ex* Σ^{χ} (*530, 27*): πάλιν ἔστιν ἐχρύσοον, καὶ κατὰ κρᾶσιν τῶν δύο ο̅ο̅ εἰς τὴν ο̅υ̅ δίφθογγον γίνεται ἐχρύσουν, ὥσπερ νόος νοῦς· εἶτα τὸ δεύτερον πρόσωπον ἐχρύσοες, καὶ κατὰ κρᾶσιν τοῦ ο̅ καὶ ε̅ εἰς τὴν ου δίφθογγον γίνεται ἐχρύσους, ὥσπερ τὸ ἐμόν τοὐμόν ‖ 8 ἑνικὸν Σ^{χ} *532, 33* g (*in* CV), *om* Σ^{χ} (*in* O) **E** ‖ 9 τοῦ μ̅ε̅] πρὸ τοῦ ν̅ λαμβάνον τὸ μ̅ καὶ τὸ ε̅ Σ^{χ} (*532,34* g), πρὸ τοῦ ν̅ λαμβανομένης τῆς μ̅ε̅ E^{g}, προσόδῳ τῆς μεν E^{h} ‖ 16 ἐνεργητικὴν *in* Σ^{χ} (*534, 26* g) *unus habet* O, *addunt* **E**

μετοχῆς· οἷον τοῦ ἔτυπτον ἡ μετοχὴ τύπτων οὐκ εἰς c̄ ὀξύτονος· τὸ τρίτον τοίνυν τῶν πληθυντικῶν ἐνδεήσει τε συλλαβῇ τοῦ πρώτου καὶ λήξει εἰς τὴν π̄τ̄ο̄ν̄, ἥ τις ἣν παραλήγουσα τῆς τύπτοντος γενικῆς· ὁμοίως καὶ ἐπὶ ἀορίστου τύψας· ἡ μετοχὴ εἰς c̄ μὲν ἀλλ' οὐκ ὀξύτονος· ἔσται τοίνυν ἐτύψαμεν ἔτυψαν.

Παρακειμένου.

Ἑνικά. Τέτυφα: δύο χρόνοι κατασκευάζουσι τὸν παρακείμενον, ὁ
1012b παρατατικὸς τὴν ἄρχουσαν, ὁ δὲ μέλλων τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν καὶ τὴν ποσότητα τῶν συλλαβῶν. Πᾶς τοίνυν παρακείμενος εἰς ᾱ λήγει, παραλήγεται δὲ ἢ τῷ κ̄ ἢ τῷ φ̄ ἢ τῷ χ̄· καὶ ταῦτα ποιεῖται πρὸς τὴν τοῦ μέλλοντος συγγένειαν· ὅτε μὲν γὰρ ὁ μέλλων διὰ τοῦ c̄, ὁ παρακείμενος διὰ τοῦ κ̄, πείθω πείσω πέπεικα· ὅτε δὲ διὰ τοῦ ψ̄, ὁ παρακείμενος διὰ τοῦ φ̄, λείβω λείψω λέλειφα· ὅτε δὲ διὰ τοῦ ξ̄, ὁ παρακείμενος διὰ τοῦ χ̄, λέγω λέξω λέλεχα· ὅτε δὲ διὰ ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ κ̄, κείρω κερῶ κέκαρκα, πλὴν τῶν ἡμαρτημένων, τοῦ νενέμηκα καὶ τῶν ὁμοίων. Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ παρακείμενος, λέξω λέλεχα, πλὴν τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας, ὅτε τῷ ε̄ παραλήγεται· τότε γὰρ εἰς ᾱ τρέπεται, κερῶ κέκαρκα. Ἡ δὲ ἄρχουσα, ὡς ἔφαμεν, ἐκ τοῦ

[Discr. scr. in MCBGb] 1 *ante* ὀξύτ. *add* οὐδὲ G | ὀξυτόνως C | τὸ τρίτον — ἐνδεήσει τε (2)] ἐνδεήσει τε τοίνυν τὸ τρίτον τῶν πληθυντικῶν Bb, *sed* B *supra* τοίνυν *habet* β' *et* α' *supra* τὸ ‖ 2 τοίνυν τὸ τρίτον τῶν πλ. CG | *ante* συλλαβῇ *add* μιᾷ BGb ‖ 3 *post* π̄τ̄ο̄ν̄ *add* συλλαβὴν CBGb ‖ ἣν CBGb, οὖν M | γενικῆς] μετοχῆς C ‖ 4 ἐπὶ τοῦ ἀορ. G ‖ 5 τοίνυν ἔσται *traicit* C ‖ 6 *ante* παρακ. *add* κανὼν γ' M, *in marg. rubro* γ̄ος B | παρακείμενος Bb ‖ 8 καὶ τὴν παραλήγουσαν *om* B | τὴν παραλήγουσα M ‖ 10 ἢ τὸ κ̄ ἢ τὸ φ̄ ἢ τὸ χ̄ C ‖ 11 ὁ μέλλον M ‖ 14 δι' ἀμετ. G | ὁ μέλλων *om* CG ‖ 17 δὲ *om* C | ὁ παρακείμενος τῷ μέλλοντι *traiciunt* BGb ‖ 18 ὅτε τῷ ε̄ παραλήγεται. τότε γὰρ εἰς ᾱ M, ἐφ' ὧν τὸ ε̄ εἰς ᾱ CBGb

---

[Testim. ex ΣE] 2 μιᾷ *add* $Σ^χ$ (*535, 1* g): ἐκεῖνοι ἔχουσι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἐλλεῖπον μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, *om* **E**: ἐνδέον συλλαβῇ τὸ τρίτον ἔχουσι τοῦ πρώτου ‖ 3 ἣν *testantur etiam* $Σ^χ$ (*535, 3* g) **E** ‖ 17 *verborum ordinem eundem quem* MC *habent* $Σ^χ$ *545, 33. 548, 1* g (*in* C), *cum* BG *congruunt* $Σ^χ$ (*in* VO) **E** | πλὴν τῶν — κέκαρκα (19) *omnino non legisse videtur Choeroboscus; nam* $Σ^χ$ (*547, 35* g): δεῖ προσθεῖναι ἐν τῷ λόγῳ τῷ λέγοντι, ὅτι «παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ παρακείμενος», χωρὶς τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων τῶν παραληγομένων τῷ ε̄· ἐπὶ τούτων γὰρ τρέπεται τὸ ε̄ εἰς τὸ ᾱ κατὰ τὸν ἐνεργητικὸν παρακείμενον, οἷον κερῶ κέκαρκα, δερῶ δέδαρκα, σπερῶ ἔσπαρκα, κτενῶ ἔκταγκα, στελῶ ἔσταλκα. *pari modo paulo post pergit Choeroboscus* (*548, 8* g): ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων τῶν παραληγομένων τῷ ε̄»· ταῦτα γὰρ κτέ. *nihil omnino de his memorant* E^s, *contra* E^b: πλὴν τινῶν τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων, ἐφ' ὧν δηλαδὴ τὸ ε̄ ἔστιν ἢ μόνον ἢ μετὰ τοῦ ῑ, καὶ τῶν αὐξανομένων, οἷον σπείρω ἔσπαρκα κτέ.

παρατατικοῦ γίνεται· καὶ ὅτε μὲν ὁ παρατατικὸς ἀπὸ μακρᾶς ἄρχεται φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται ὁ παρακείμενος, ἠγόραζον ἠγόρακα, ἔφθειρον ἔφθαρκα· ἐὰν δὲ ἀπὸ βραχείας ἄρχηται ὁ παρατατικός, ἀναδιπλασιάζεται ὁ παρακείμενος, ἔλεγον λέλεχα· ὥστε καὶ ὁ ἔπλεον βραχεῖαν ἔχει τὴν ἄρχουσαν τῷ λόγῳ τῆς κοινῆς· διὸ ἀνεδιπλασίασεν τὸν πέπλευκα· ὁμοίως καὶ ὁ ἔγραφον γέγραφα· τὰ μέντοι ἀπὸ τοῦ ρ̄ ἀρχόμενα συνάρχεται τοῖς ἰδίοις παρατατικοῖς, ῥαπίζω ἐρράπιζον ἐρράπικα, ἔρραπτον ἔρραφα· τὸ γὰρ ⟨ζ 59⟩ ῥ ε ρ υ π ω μ έ ν α κ ε ῖ τ α ι ποιητικῶς. Ἰστέον δὲ ὡς πᾶς μέλλων ἀπὸ φωνήεντος ἀρχόμενος ἰσοσύλλαβον ἔχει τὸν παρακείμενον, ἀγοράσω ἠγόρακα, ἐλεήσω ἠλέηκα, ἀπὸ δὲ συμφώνου μιᾷ πλεονάζοντα, τύψω τέτυφα, ποιήσω πεποίηκα, πλὴν τοῦ μενῶ νεμῶ. τ έ τ υ φ α ς: τὰ εἰς ᾱ λήγοντα πρῶτα πρόσωπα προσθέσει τοῦ c̄ τὸ δεύτερον ποιεῖ, ἔλεξα ἔλεξας, πεποίηκα πεποίηκας. Εἰ δέ τις λέγοι εἰς εc̄ ταῦτα λήγειν, ἵνα τῇ ἀποβολῇ τοῦ c̄ τὸ τρίτον ποιῶσιν, ἴστω ὡς καθόλου τῶν παρῳχημένων ἡ παραλήγουσα τοῦ δευ- 1013b τέρου προσώπου τῶν πληθυντικῶν λήγουσα γίνεται τοῦ δευτέρου τῶν ἑνικῶν, ἐποιεῖτε ἐποίεις, ἐβοᾶτε ἐβόας, ἐλελέχειτε ἐλελέχεις· εἰ τοίνυν γεγράφατε καὶ γέγραφας, ἐλέξατε καὶ ἔλεξας. τ έ τ υ φ ε: ἔδει μὲν τῷ κοινῷ λόγῳ τὸ δεύτερον κατὰ ἀποβολὴν τοῦ c̄ ποιεῖν τὸ τρίτον, ἀλλ' ἐπεὶ οὐκ ἐνεδέχετο κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ προσώπῳ, καὶ τροπὴ παρηκολούθησε τοῦ ᾱ εἰς ε̄.

Δυϊκά. Τ ε τ ύ φ α τ ο ν, τ ε τ ύ φ α τ ο ν: εἴρηται.

Πληθ. Τ ε τ ύ φ α μ ε ν: τὰ εἰς ᾱ ἑνικὰ προσθέσει τῆς μεν πληθυντικὰ γίνεται, ἔλεξα ἐλέξαμεν, πεποίηκα πεποιήκαμεν. τ ε τ ύ φ α τ ε, τ ε τ ύ-

---

[Discr. scr. in MCBGb] **2** *post* ἄρχεται *add* καὶ CGb ‖ **3** ἄρχεται CG ‖ **5** βραχείαν G | ἀνεδιπλασίασε CBGb ‖ **7** ἀρχόμενα *om* CG | τοῖς ἰδίοις παρατ. συνάρχ. G | ῥαπίζω *om* CG ‖ **8** ἔρραπτον] ἔρραφον C | ῥερυπομένα C ‖ **10** ἔχει *om* C ‖ **11** πλεονάζοντα MBb, πλεονάζει CG ‖ **12** μενῶ νεμῶ MBb, ἐμῶ μενῶ C, μενῶ νεμῶ καὶ τῶν ὁμοίων G | τέτεφας M ‖ **13** ποιεῖ τὸ δεύτερον *traicit* C ‖ **14** λέγοι MCGb, λέγει B | ταῦτα] ταύτην *sed* η *expuncto et supra posito* α B | τὸ *ante* τρίτον *om* M ‖ **15** ποιοῦσιν C ‖ **17** ἐλελέγχειτε ἐλελέγχεις G, *om* C | εἰ τοίνυν] ἔστι τοίνυν B ‖ **18** καὶ *ante* γέγρ. *om* G | τέτυφε] τέτυφα C ‖ **19** τὸ δεύτερον κατὰ ἀποβολὴν τοῦ c̄ MCG, κατὰ ἀποβολὴν τοῦ c̄ τοῦ δευτέρου προσώπου Bb | τὸ τρίτον ποιεῖν *traic.* CBGb ‖ **20** ἐνεδέχετο M, ἐνδέχεται CBGb | τὴν αὐτὴν] ταύτην τὴν C | τὸν] τὸ M ‖ **21** ὁμοφωνεῖν *sed supra* ω *posito* ο M | προσώπῳ *om* CBb | καὶ *ante* τρ. *om* G | τροπὴ BGb, τροπῆι M, τροπῇ C | τοῦ ᾱ] τὸ ᾱ C ‖ **24** *post* εἰς ᾱ *add* εἰ C ‖ **25** *ante* ἔλεξα *add* τέτυφα τετύφαμεν G | *post* τετύφατε *add* εἴρηται G | τετύφασιν Bb

---

[Testim. ex *ΣE*] **11** πλεονάζει *habent* Σ^{χ} (*557, 19* g) *E* ‖ **12** νεμῶ μενῶ *ordo in* C *fortasse ex* Σ^{χ} (*557, 23* g) *oriundus* ‖ **14** τὸ *habent etiam* *Σ* (*557, 35'*g) *E* ‖ **17** ἐλελέχειτε ἐλελέχεις *exemplum deest in* Σ^{χ} *558, 7* g ‖ **19** τὸ δεύτερον πρόσωπον κατὰ ἀποβολὴν τοῦ c̄ τὸ τρίτον ποιεῖν Σ^{χ} *559, 12* g ‖ **20** ἐνδέχεται *E*, *item praesens* Σ^{χ} (*559, 19* g): ἐπειδὴ οὐδέποτε ... ὁμοφωνεῖ ‖ **21** προσώπῳ *om* *E*, τρίτον πρόσωπον τῷ πρώτῳ Σ^{χ} *559, 19* g

φασι: εἴρηται μὲν διὰ τί ἰσοσυλλαβεῖ τῷ πρώτῳ, εἰς $\overline{\text{σι}}$ δὲ λήγει μιμούμενος τὸν ἐνεστῶτα· καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεστὼς συντελικός ὀνομάζεται.

Περὶ Ἀττικοῦ παρακειμένου.

20 Ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ τοῦ $\overline{\alpha}$ ἢ $\overline{\epsilon}$ ἢ $\overline{o}$, ποιοῦσιν Ἀττικοὶ ἴδιον παρακείμενον οὕτω· τὰ ἀρκτικὰ τοῦ ἐνεστῶτος δύο γράμματα προστιθέασι τῷ κοινῷ παρακειμένῳ καὶ τὴν τρίτην συλλαβὴν συστέλλουσιν, ἀλείφω ἤλειφα ὁ κοινός, ἀλήλιφα ὁ Ἀττικός, ἐλεύθω ἤλευθα ὁ κοινός, ἐλήλυθα ὁ Ἀττικός, ὀμῶ ὤμοκα ὁ κοινός, ὀμώμοκα ὁ Ἀττικός.

Μέσου παρακειμένου.

Ἑνικά. **Τέτυπα**: τρεῖς εἰσιν αἱ διαθέσεις τῶν ῥημάτων, ἐνέργεια πάθος μεσότης· ἑκάστη δὲ αὐτῶν ἀνὰ ἓξ ἔχει χρόνους· ὥσπερ οὖν, εἴ
30 τις τριγενὲς ὄνομα κλίνοι, καθ' ἕκαστον γένος τὰς πέντε πτώσεις λέγει καὶ οὐκ ἀναμίσγει τὰς τοῦ ἀρσενικοῦ τῷ θηλυκῷ, οὕτω καὶ ἐνταῦθα ἔδει ἡμᾶς ἑκάστην διάθεσιν ἀνὰ μέρος κλίνοντας λέγειν πρῶτον τῆς
1014 b ἐνεργητικῆς τοὺς χρόνους, εἶτα τῆς παθητικῆς, καὶ τρίτον τῆς μέσης. Ἀλλὰ τοῖς ἀρχαιοτέροις τῶν γραμματικῶν οὐκ ἔδοξεν οὕτως, ἀλλὰ τοὺς χρόνους τῆς μέσης κατεμέρισαν τῇ τε ἐνεργητικῇ καὶ παθητικῇ, παρακειμένους μὲν τῆς μέσης καὶ ὑπερσυντελίκους συγκαταλέγοντες τῇ ἐνεργητικῇ, ἐπεὶ καὶ σχεδὸν ὁμόφωνοι ἦσαν τοῖς παρακειμένοις καὶ ὑπερσυντελίκοις τῶν ἐνεργητικῶν, ἀορίστους δὲ καὶ μέλλοντας τῆς μέσης συγκαταλέγοντες τῇ παθητικῇ, ἐπεὶ ὁμοιοκατάληκτοι ἦσαν τοῖς ἀορίστοις
10 καὶ μέλλουσι τῶν παθητικῶν· ἐνεστῶτας δὲ καὶ παρατατικοὺς τῆς μέσης ἀμνημονεύτους εἴασαν, ἐπεὶ οἱ αὐτοί εἰσι τοῖς ἐνεστῶσι καὶ παρατατικοῖς τῶν παθητικῶν· τὸ γὰρ κολάζομαι πρὸς τὴν σύνταξιν ἔχει τὴν διάθεσιν· ἐὰν γὰρ εἴπῃς κολάζομαι ὑπ' αὐτοῦ, παθητικόν ἐστιν, ἐὰν δὲ κολάζομαι αὐτόν, μέσον· ὁμοίως καὶ ὁ ἐκολαζόμην παρατατικός. Ὁ μέσος τοίνυν παρακείμενος τὴν μὲν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ παρα-

---

[DISCR. SCR. IN MCBGb] **1** διὰ τί] διὰ τὸ C | ἰσοσυλλαβεῖ BGb, *ex* ἰσοσυλλαβῇ *corr.* M, ἰσοσυλλαβεῖν C | *ante* τῷ πρώτῳ *add* τὸ τρίτον BGb | $\overline{\text{σι}}$] σιν̄ C | λήγει] λέγει B ‖ **2** *post* ἐνεστῶτα *add* ὁ παρακείμενος CBGb | συντελικός] συντεκὸς M ‖ **4** Περὶ *om* M | *in marg. repetit* περὶ τοῦ ἀττικοῦ παρακειμένου C ‖ **5** ἀπὸ τοῦ $\overline{\alpha}$ $\overline{\epsilon}$ $\overline{o}$ G | οἱ ἀττικοὶ G ‖ **6** προστιθέασιν C ‖ **8** ἀλήλιφα] ἀλήλειφα CG ‖ **9** *ante* ἐλήλυθα *add* καὶ Bb | ὀμῶ — Ἀττικός *ante* ἐλεύθω *transp.* G, *om* C | ὤμοκα *sed supra* ο *posito* ω B | *ante* ὀμώμοκα *add* καὶ Bb ‖ **10** *ante* Μέσου *add* κανὼν δ' M, *in marg. rubro* $\overline{\delta}^{\text{ος}}$ B | Μέσου παρακειμένου MC, μέσος παρακείμενος Bb *et in marg.* C, περὶ τοῦ μέσου παρακειμένου G ‖ **11** Τέτυπα *om* C ‖ **13** κλίνοι MG, κλίνῃ C, κλίνει Bb | λέγει MCG, λέγοι Bb ‖ **14** ἀναμίσγει MCG, ἀναμίσγοι Bb ‖ **15** ἔδει] δεῖ G ‖ **19** καὶ παρακ. G ‖ **23** ἐνεστ. — παθητικῶν (**25**) *om* G ‖ **24** εἰσιν C ‖ **26** παθητικόν *ex* παθητική *corr.* B | *post* ἐὰν δὲ *add* εἴπῃς BG ‖ **27** ὁ *ante* ἐκολαζόμην *om* M|B, *habent* CGb ‖ **28** τὴν αὐτὴν] ταύτην C

[TESTIM. EX *ΣE*] **1** τὸ τρίτον *in* BG *additum non legisse vid.* Σ^{χ} *565,7* g ‖ **2** ὁ παρακείμενος *add* ***E*** *et* Σ^{χ} *565,10* g (*in* O), *om* Σ^{χ} (*in* CV) ‖ **28** τὴν αὐτὴν

κειμένῳ καὶ εἰc ᾱ λήγει, πρὸ δὲ τοῦ ᾱ τὸ cύμφωνον ἔχει τοῦ ἐνεcτῶτοc, ὅταν ᾖ ἓν ἁπλοῦν, πείθω πέποιθα, χαίνω κέχηνα· εἰ δὲ δύο cύμφωνα ἔχοι ὁ ἐνεcτώc, δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέcοc παρακείμενοc, κόπτω κοπή κέκοπα, cκάπτω cκαφή ἔcκαφα· εἰ δὲ διὰ δύο ἀμεταβόλων εἴη ὁ ἐνεcτώc, διὰ τοῦ προτέρου ὁ μέcοc παρακείμενοc, τέμνω τέτομα· εἰ δὲ εἴη διὰ τοῦ ζ̄ ἢ δύο c̄c̄ ὁ ἐνεcτώc, τότε ὁ μέcοc παρακείμενοc ἀκολουθήcει τῷ μέλλοντι· κἂν μὲν ὁ μέλλων διὰ τοῦ c̄, ὁ μέcοc παρακείμενοc διὰ τοῦ δ̄, φράζω φράcω πέφραδα, εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ̄, ὁ μέcοc παρακείμενοc διὰ τοῦ γ̄, πλήccω πλήξω πέπληγα. Παραλήγουcαν δὲ τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ ὁ μέcοc παρακείμενοc, οἷον νένηκα νένηθα, εἰ μή πω ἐν δicυλλάβῳ μέλλοντι τὸ ε̄ εὑρεθείη ἢ μόνον ἢ μετὰ τοῦ ῑ· τότε γὰρ εἰc ō αὐτὸ τρέπει ὁ μέcοc, λέγω λέξω λέλογα, κείρω κερῶ κέκορα, πείθω πείcω πέποιθα· ἀλλὰ 1015 b κἂν ὁ ἐνεcτὼc τῇ αι̅ διφθόγγῳ παραλήγοιτο, τρέπει αὐτὴν ὁ μέcοc εἰc η̄, χαίνω κέχηνα, φαίνω πέφηνα. τέτυπαc, τέτυπε: εἴρηται.

Δυϊκά. Τετύπατον, τετύπατον.

Πληθ. Τετύπαμεν, τετύπατε, τετύπαcι.

Ὑπερcυντελίκου.

Ἑνικά. Ἐτετύφειν: πᾶc παρακείμενοc τρέπων τὸ ᾱ εἰc ειν ὑπερcυντέλικον ποιεῖ· εἰ δ' ἀπὸ cυμφώνου ἄρχοιτο, καὶ τὴν ἄρχουcαν ἐκτείνει προcόδῳ τοῦ ε̄· εἰ γὰρ ἀπὸ φωνήεντοc, ἡ αὐτὴ ἀρχὴ καὶ ἐπὶ τοῦ ὑπερcυντελίκου, οἷον λέλεχα ἐλελέχειν, ἔφθαρκα ἐφθάρκειν. ἐτετύφειc: πᾶν πρῶτον πρόcωπον εἰc ν̄ λῆγον μετὰ φυcικῆc μακρᾶc μὴ ἔχον τὸ μ̄ κλιτικὸν τροπῇ τοῦ ν̄ εἰc c̄ τὸ δεύτερον ποιεῖ, ἐδάρην ἐδάρηc, ἐτετύ-

[Discr. scr. in MCBGb] **1** πρὸ] περὶ M ‖ **2** ἓν ἁπλοῦν] ἐν ἁπλῇ C | πέποιθα *ex* πέπειθα *corr.* C¹ | χαίνω] χένω C | κέχηνα G ‖ **3** ἔχοι M, ἔχει CBGb ‖ **4** cκάπτω] cκάπω M, *om* C ‖ **5** ἀμεταβόλων] μεταβόλων C ‖ **6** *post* τέμνω *add* τομή C | δύο c̄c̄ MCG, δύο c̄ Bb ‖ **7** μὲν] γὰρ C | μέλλων *ex* μέλλον *corr.* M¹ ‖ **9** τοῦ ξ̄] τοῦ ζ̄ C ‖ **11** οἷον *om* G | μή πω MCBG, μή που b ‖ **12** εἰc ō τρέπει αὐτὸ Bb | *post* μέcοc *add* παρακείμενοc BGb ‖ **13** κέκορα] κέκαρα M ‖ **14** παραλήγοιτο MBb, παραλήγεται CG ‖ **15** χαίνω] χαίρω *sed supra* ρ *posito signo* ∵ C | κέχηνα G | φαίνω] φένω M | *ante* τέτυπαc *add* τέτυπα M | εἴρηται *om* CBGb ‖ **17** τετύπαcι *om* M, *cfr. lin. 19*, τετύπαcιν CBb | *post* τετύπαcι *add* εἴρηται Bb ‖ **18** *ante* Ὑπερc. *add* κανὼν ε' M, *in marg. rubro* ε̄οc B | Ὑπερcυντελίκου] ὑπὲρ cυντελίκου M, ὑπερcυντέλικοc CBb, περὶ τοῦ ὑπερcυντελίκου G ‖ **19** *post* Ἐτετύφειν *add* τετύπαcι M; *cfr. lin. 17* | τρέπειν G ‖ **20** εἰ δ' ἀπὸ] καὶ εἰ μὲν ἀπὸ CG *post* ἄρχουcαν *add* αὐτοῦ CBG, αὐτοῦ b ‖ **21** *ante* προcόδῳ *add* τῇ CBGb | εἰ γὰρ M, εἰ δὲ CBGb | *post* φωνήεντοc *add* ἄρχεται B | ἀρχὴ] ἄρχει MG ‖ **22** ἐλελέχθειν G | ἐτετύφειc] τετύφειc C ‖ **24** τροπὴ G | ν̄ *et* c̄ *om* C | ποιεῖν G | ἐδάρειν ἐδάρειc C | ἐτετύφην ἐτετύφηc M

[Testim. ex ΣE] *testantur* Σ^χ (*582,7* g) E ‖ **12** παρακείμενοc *add* Σ^χ (*585, 20* g): τότε γὰρ τρέπεται τὸ ε̄ εἰc ō ἐν τῷ μέcῳ παρακειμένῳ ‖ **20** *ut* CG *hab.* Σ^χ (*595, 27*): καὶ εἰ μὲν ἀπὸ ‖ **21** εἰ δὲ ἀπὸ φωνήεντοc Σ^χ (*595, 34* g) E | ἄρχεται *in* B *additum videtur ex* Σ^χ: ἄρχεται ὁ παρακείμενοc

φειν ἐτετύφειc· πρόcκειται «μετὰ φυcικῆc μακρᾶc» διὰ τὸ ἐποίουν ἐποίειc καὶ πάνταc τοὺc ἀπὸ περιcπωμένων παρατατικούc· τούτων γὰρ αἱ ἐπὶ τέλουc δίφθογγοι οὐκ ἦcαν φυcικαὶ ἀλλ' ἐκ cυναιρέcεωc, διὸ ἐτράπηcαν. Πῶc οὖν τὸ ἐχρύcουν ἐχρύcουc οὐκ ἐτράπη; ἐπεὶ τὸ ἐντελὲc ἦν ἐχρύcοον ἐχρύcοεc, καὶ τὰ δύο δὲ $\overline{\text{οο}}$ εἰc τὴν $\overline{\text{ου}}$ δίφθογγον κιρνᾶται, ὡc νόοc νοῦc, καὶ τὸ $\overline{\text{οε}}$ ὁμοίωc, ὡc τὸ ἐμόν τοὐμόν. Πρόcκειται δὲ τῷ κανόνι «μὴ ἔχον τὸ $\overline{\text{μ}}$ κλιτικόν» διὰ τὸ ἐλεγόμην ἐλέγου καὶ τὰ ὅμοια. ἐτετύφει.

Δυϊκά. Ἐτετύφειτον, ἐτετυφείτην: εἴρηται.

Πληθ. Ἐτετύφειμεν, ἐτετύφειτε, ἐτετύφειcαν: τὰ εἰc $\overline{\text{μεν}}$ πληθυντικὰ ἀπὸ τῶν εἰc $\overline{\text{ν}}$ φύcει μακροκαταλήκτων κεκλιμένα εἰc $\overline{\text{cαν}}$ ποιεῖ τὸ τρίτον, ἔγνων ἔγνωμεν ἔγνωcαν, δαρείην δαρείημεν δαρείηcαν.

1016b Μέcου ὑπερcυντελίκου.

Ἑνικά. Ἐτετύπειν: ὥcπερ ὁ ἐνεργητικὸc παρακείμενοc ποιεῖ τὸν ἐνεργητικὸν ὑπερcυντέλικον, οὕτω καὶ ὁ μέcοc παρακείμενοc τὸν μέcον ὑπερcυντέλικον ποιεῖ, λέλογα ἐλελόγειν. ἐτετύπειc, ἐτετύπει.

Δυϊκά. Ἐτετύπειτον, ἐτετυπείτην.

Πληθ. Ἐτετύπειμεν, ἐτετύπειτε, ἐτετύπειcαν.

Ἀορίcτου πρώτου.

Ἑνικά. Ἔτυψα: πᾶc μέλλων ἀμείβων τὸ τελευταῖον $\overline{\text{ω}}$ εἰc $\overline{\text{α}}$ καὶ τὴν ἄρχουcαν ἐκτείνων χρονικῶc ἢ cυλλαβικῶc ἀόριcτοc γίνεται, κόψω ἔκοψα, ἀγοράcω ἠγόραcα· εἰ μέντοι περιcπῷτο ὁ μέλλων, καὶ τὴν παραλήγουcαν αὐτοῦ ἐκτείνει ὁ ἀόριcτοc, κερῶ ἔκειρα, τελῶ ἔτειλα. ἔτυψαc, ἔτυψε.

[Discr. scr. in MCBGb] **3** αἱ] και C | *post* διὸ *add* καὶ C ‖ **4** πῶc] ὧc B | ἐτράπη] ἐτράπει M ‖ **5** καὶ τὰ] κατα M | δὲ M, *supra lineam add* C, *om* BGb | $\overline{\text{οο}}$] $\overline{\text{ο}}$ M | δίφθ. *om* G ‖ **6** τὸ $\overline{\text{οε}}$] τὸ $\overline{\text{εο}}$ C, $\overline{\text{οε}}$ G ‖ **7** τὸ $\overline{\text{μ}}$] τῷ $\overline{\text{μ}}$ G ‖ **8** *post* ἐτετύφει *add* εἴρηται CBGb ‖ **9** εἴρηται *om* CBGb ‖ **10** ἐτετύφειτε *ex* ἐτετείφειτε *corr.* C[1] ‖ **11** εἰc $\overline{\text{cαν}}$] εἰc $\overline{\text{αν}}$ CG ‖ **13** *ante* Μέcου *add* κανὼν ϛ' M, *in marg.* ϛ^οc B | μέcοc ὑπερcυντέλικοc Bb, περὶ τοῦ μέcου ὑπερc. G ‖ **14** ποιεῖ — ὑπερcυντέλικον (**15**)] ποιεῖ τὸν ἐνεργητικὸν ὑπὲρ cυντέλικον M, ποιεῖ τὸν ὑπερcυντέλικον C, ἐποίει τὸν ὑπερcυντέλικον G, τὸν ὑπερcυντέλικον ἐποίηcεν Bb ‖ **16** ποιεῖ τὸν μέcον ὑπερcυντέλικον *traicit* C | *post* ἐλελόγειν *add* τέτυπα ἐτετύπειν BGb, ἔφθαρκα ἐφθάρκειν. τέτυπα ἐτετύπειν C ‖ **19** ἐτετύπημεν M ‖ **20** *ante* Ἀορ. *add* κανὼν ζ' M, *in marg.* ζ^οc B | ἀόριcτοc α' b *et in marg.* C ‖ **22** κόψω] κόψα B ‖ **23** ἀγοράcω *ex* ἀγωράcω *corr.* M | περιcπᾶται C ‖ **24** αὐτοῦ *om* G

[Testim. ex ΣE] **14—16** ὅcα ἔδει ῥηθῆναι καὶ ἐπὶ τοῦ μέcου ὑπερcυντελίκου, ἐλέχθη ἐν τῇ διδαcκαλίᾳ τοῦ ἐνεργητικοῦ ὑπερcυντελίκου Σ^χ (*606, 22* g), ὥcπερ ὁ ἐνεργητικὸc παρακείμενοc ἐποίηcε (ἐποίει E^b) τὸν ὑπερcυντέλικον, οὕτω καὶ ὁ μέcοc παρακείμενοc τὸν μέcον ὑπερcυντέλικον ποιεῖ E ‖ **23—24** *non legisse vid.* Σ^χ (*607, 23*): δεῖ προcθεῖναι χωρὶc εἰ μὴ περιcπῷτο (περιcπᾶται C) ὁ

Δυϊκά. Ἐτύψατον, ἐτυψάτην.
Πληθ. Ἐτύψαμεν, ἐτύψατε, ἔτυψαν.

Ἀορίστου δευτέρου.

Ἑνικά. Ἔτυπον: ὁ δεύτερος ἀόριστος μόνῃ φωνῇ διενήνοχε τοῦ πρώτου, σημαινομένῳ δὲ ὁ αὐτός ἐστιν, ὥσπερ καὶ ἐπὶ ὀνομάτων· ὁ γὰρ πρῶτος καὶ δεύτερος τύπος τῶν ὑπερθετικῶν φωνῇ μόνον, οὐ σημασίᾳ διενηνόχασι· τὸ γὰρ ταχύτατος ἢ τάχιστος οὐδὲν διαφέρουσιν ὅσον γε περὶ τὸ σημαινόμενον. Πᾶς τοίνυν δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς ω̄ κεκλιμένος συνάρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ, εἰς ον δὲ λήγει καὶ πρὸ τῆς ον ἔχει τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, τέτυπα ἔτυπον· καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων τῷ πρώτῳ ἰσοσυλλαβεῖ, ἔνυξα ἔνυγον, ἀπὸ δὲ περισπωμένων μιᾷ αὐτοῦ ἐνδεῖ, ἐμύκησα ἔμυκον. Ἔτι δὲ ἀπὸ μὲν βαρυτόνων ἀεὶ βραχείᾳ παραλήγεται, πείθω ἔπιθον, δήκω ἔδακον, τρώγω ἔτραγον· κἂν που τύχῃ τὸ ε̄ σὺν ἀμεταβόλῳ, εἰς ᾱ 1017b αὐτὸ τρέπει, πλέκω ἔπλακον, τρέπω ἔτραπον· ἀπὸ δὲ περισπωμένων διφορεῖται ἡ παραλήγουσα πῇ μὲν συστελλομένη, λῃκῶ ἔλακον, πῇ δὲ ἡ αὐτὴ μένουσα, χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον. ἔτυπες, ἔτυπε.

Δυϊκά. Ἐτύπετον, ἐτυπέτην.
Πληθ. Ἐτύπομεν, ἐτύπετε, ἔτυπον.

[Discr. scr. in MCBGb] 3 *ante* Ἀορ. *add* κανὼν η′ M, *in marg.* η^{ος} B; *item in seqq.* M *semper,* B *autem usque ad p. 62, 11 numeros canonum addit* | Ἀορίστου δευτέρου MBG, ἀόριστος δεύτερος Cb ‖ 4 Ἔτυπον *om* G | φωνῇ μόνῃ *traicit* C ‖ 5 σημαινομένῳ *ex* σημενωμένῳ *corr.* M | δὲ *ex* μὲν *corr.* B | ὀνομάτων] τοῦ ὑπερσυντελίκου C ‖ 6 μόνον MBb, μόνη C, μόνῃ G | σιμασία G ‖ 7 ἢ τάχιστος] καὶ τάχιστος CG ‖ 8 ὅσον γε] ὅσον γὰρ C ‖ 9 *post* εἰς ω̄ *add* βαρυτόνων CBGb ‖ 11 καὶ *ante* ἀπὸ *om* C ‖ 12 ἔνυγον] ἔνυγα C ‖ 13 δὲ *om* C | *post* βαρυτόνων *add* θεμάτων CBGb | βραχείαν G | ἔπιθον] ἔπειθον M ‖ 14 ἔτραγον BGb, ἔτρογον MC | κἂν που τύχῃ *bis habet* B | που] ἀπὸ C | τύχῃ CBGb, τύχει *in* τύχῃ *mutavit* M ‖ 16 διφορεῖται b, ἀδιαφορεῖ CGb, ἀδιάφορεῖ M, ἀδιαφορεῖ *et in marg.* κατ' ἐμὲ διφορεῖται B | λῃκῶ] λήκω C

[Testim. ex *ΣE*] μέλλων . . . τότε γὰρ τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ πρῶτος ἀόριστος, τουτέστι φύσει μακρὰν αὐτὴν ποιεῖ, οἷον κερῶ ἔκειρα, φθερῶ ἔφθειρα, στελῶ ἔστειλα, σπερῶ ἔσπειρα κτέ. *E silentio praetereunt* ‖ 4 φωνῇ μόνῃ διενήν. *etiam* $Σ^χ$ *614, 26* g ‖ 9 βαρυτόνων *om* $Σ^χ$ (*617, 6* g), *add* *E* ‖ 13 ἀπὸ μὲν βαρυτόνων θεμάτων ὑπάρχων ὁ δεύτερος ἀόριστος βραχείᾳ θέλει παραλήγεσθαι $Σ^χ$ *621, 2* g ‖ 16 ἀδιαφορεῖ, *quod hoc loco ferri omnino nequit, irrepsisse videtur ex* $Σ^χ$ (*621, 13* g): *sed Choeroboscus* λῃκῶ ἔλακον *inter barytonorum exempla recepit, in perispomenis ea tantum proponit, quae eandem servant paenultimam. Choerobosci igitur verba sic interpretor: «perispomenorum verborum aoristi secundi paenultima eadem est atque paenultima praesentis* (ἀδιαφορεῖ), *sive corripitur,* μυκῶ ἔμυκον, κτυπῶ ἔκτυπον, *sive manet longa,* ὀλισθῶ ὤλισθον, χραισμῶ ἔχραισμον, δουπῶ ἔδουπον». *paulo post* (*621, 23* g) *tamen* λῃκῶ *in perispomenis numerat Philoponus*

Μέλλοντος πρώτου.

Ἑνικά. Τύψω: πᾶς μέλλων ἐνεργητικὸς εἰς ω̄ λήγει καὶ συνάρχεται τῷ ἐνεστῶτι, πλὴν τοῦ τρέφω θρέψω καὶ τρέχω θρέξω καὶ τοῦ ἔχω ἕξω· καὶ ἀπὸ μὲν βαρυτόνων ἰσοσυλλαβεῖ αὐτῷ, πλέκω πλέξω, ἀπὸ δὲ περισπωμένων μιᾷ περιττεύει, ποιῶ ποιήσω. Παραλήγεται δὲ ἡ μὲν πρώτη τῶν βαρυτόνων τῷ ψ̄, τύψω, ἡ δὲ δευτέρα τῷ ξ̄, λέξω, ἡ δὲ τρίτη τῷ σ̄, πείσω, ἡ δὲ τετάρτη τῷ σ̄ ἢ ξ̄, ὀρύξω φράσω· διφορεῖται γάρ· ἡ πέμπτη τὰ ἀμετάβολα τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου, σπείρω σπερῶ, ψάλλω ψαλῶ· ἡ ἕκτη τῷ σ̄, ἱππεύσω· οἱ δὲ ἀπὸ περισπωμένων ἀεὶ μὲν εἰς ω̄ λήγουσιν, παραλήγεται δὲ ἡ μὲν πρώτη τῷ η̄ ἢ τῷ ε̄, νοήσω τελέσω, ἡ δὲ δευτέρα τῷ η̄ ἢ τῷ ᾱ, βοήσω ἐάσω, ἡ δὲ τρίτη τῷ ω̄ ἢ τῷ ο̄, γυψώσω ἀρόσω. τύψεις, τύψει.

Δυϊκά. Τύψετον, τύψετον.

Πληθ. Τύψομεν, τύψετε, τύψουσιν.

Μέλλοντος δευτέρου.

Ἑνικά. Τυπῶ: πᾶς δεύτερος ἀόριστος τὴν ον εἰς ω̄ μεταβαλὼν καὶ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν ἀποβαλὼν δεύτερον μέλλοντα ποιεῖ πάντως περισπώμενον καὶ τὸ δεύτερον πρόσωπον ἔχοντα διὰ τῆς ει̅ διφθόγγου. τυπεῖς, τυπεῖ.

Δυϊκά. Τυπεῖτον, τυπεῖτον.

Πληθ. Τυποῦμεν, τυπεῖτε, τυποῦσιν.

[Discr. scr. in MCBGb] **1** μέλλων πρῶτος Bb ‖ **3** καὶ τρέχω θρέξω *om* C | τοῦ *ante* ἔχω *om* CBGb | καὶ ἔχω ἕξω καὶ τρέχω θρέξω G ‖ **4** *post* βαρυτόνων *add* θεμάτων CG | πλέκω πλέξω *om* C ‖ **5** περισσεύει G ‖ **6** τῷ ψ] τὸ ψ̄ C | τύψω MC, λείβω λείψω BGb | τῷ ξ̄] τὸ ξ̄ C | *ante* λέξω *add* λέγω BGb | δὲ *ante* τρίτη *om* Bb ‖ **7** τῷ σ̄] τὸ σ̄ CBG | *ante* πείσω *add* πείθω BGb | δὲ *ante* τετάρτη *om* Bb | τῷ σ̄] τὸ σ̄ B | τῷ σ̄ ἢ ξ̄, ὀρύξω φράσω· διφορεῖται γάρ] διὰ τοῦ σ̄ ἢ ξ̄. ὀρύξω φράσω. διφορεῖται M, διαφορεῖται. φράσω παίξω C, διφορεῖται. φράσω παίξω G ‖ **8** *ante* πέμπτη *add* δὲ CG ‖ **9** περισπομένου M | *ante* ἕκτη *add* δὲ CG | τῷ σ̄ MG, τὸ σ̄ CBb ‖ **10** ἱππεύω ἱππεύσω G | λήγουσι BGb ‖ **11** τὸ η̄ ἢ τὸ ε̄ C | νοήσω *ex* νωήσω *corr.* M | τὸ η̄ ἢ τὸ ᾱ C ‖ **12** δὲ *ante* τρίτη *om* MBGb | τῷ ω̄] ἢ τῷ ω̄ M, τὸ ω̄ C | τῷ ο̄] τὸ ο̄ MCB ‖ **14** *alterum* τύψετον *om* M ‖ **15** τύψουσι Gb ‖ **16** μέλλων δεύτερος Bb ‖ **17** εἰς ω̄] εἰς ω̄ν C | μεταβαλλὼν C ‖ **18** ἀρχῇ] ἀρχαῖς C | κλητικὴν CB | ἔκτασιν *om* M | ἀποβαλλὼν C ‖ **19** περισπόμενον M ‖ **22** ΤΥΠΕΙΤΑΙ *sed supra* ΑΙ *posito* ε M | τυποῦσι BG

[Testim. ex ΣE] **3** καὶ τρέχω θρέξω ***om etiam E; utrum Choeroboscus legerit necne incertum, cum altero loco*** (*635,24* g) ***exhibeat, altero*** (*635, 3* g) ***omittat;*** Σ^{σ}: οὐ συνήρξαντο δὲ οἱ θρέξω θρέψω ἕξω μέλλοντες τοῖς ἰδίοις ἐνεστῶσι ψιλουμένοις, καὶ κατὰ τοῦτο σεσημείωνται ‖ **4** θεμάτων *add* Σ^{χ} *639, 34* g ‖ **6** λείβω λείψω ***inter alia exempla hab.*** Σ^{χ} *643, 3* g ‖ **7** *ad Theodosii* ***verba nihil lucramur ex*** Σ^{χ}***;*** ὀρύξω ***omnino non memoratur in*** Σ^{χ} ‖ **18** ἀρχαῖς Σ^{χ} *661, 8* g (***in*** VO), ἀρχῇ Σ^{χ} (***in*** C) ***et*** E^{g}***; futurum secundum silentio praetereunt*** Σ^{σ} E^{b} | ἔκτασιν ***testantur*** Σ^{χ} (*661, 8* g) E^{g}

Περὶ παθητικῶν. 1018b

Ἑνικά. **Τύπτομαι**: πᾶς ἐνεστὼς ὁριστικὸς εἰς ω̅ λήγων ἀμοιβῇ τοῦ ω̅ εἰς ο̅ καὶ προσθέσει τῆς μαι̅ τὸ παθητικὸν ποιεῖ, λέγω λέγομαι· πάλιν τὰ περισπώμενα ἀπὸ τῶν ἐντελεστέρων συναιρούμενα διαφόρως ποιεῖ τὴν παραλήγουσαν, ποιέω ποιέομαι ποιοῦμαι, βοάω βοάομαι βοῶμαι, χρυσόω χρυσόομαι χρυσοῦμαι. **τύπτῃ**: πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ̅ κλιτικὸν τοῦ τρίτου προσώπου τὸ τ̅ ἤτοι τρέπον εἰς σ̅ ποιεῖ τὸ δεύτερον, ὡς τὸ πεποίημαι πεποίησαι πεποίηται, ἢ ὑποστέλλον τὸ τ̅ τοῦ τρίτου καὶ κρᾶσιν ποιούμενον τῶν φωνηέντων, ὡς τὸ τύπτομαι τύπτῃ τύπτεται· καὶ ὅσα μὲν εἶχον τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ̅ ὀξύτονον, ἐκεῖνα τροπῇ τοῦ τ̅ εἰς σ̅ ποιεῖ τὸ δεύτερον, ὅσα δὲ μὴ εἰς σ̅ ὀξύτονον, ἐκεῖνα ἐνδείᾳ τοῦ τ̅ καὶ κράσει· ὁ δὲ λόγος καὶ ἐπὶ τῶν εἰς μι̅. Ποιοῦνται τοίνυν τὴν μὲν τροπὴν ἐν μὲν τοῖς εἰς ω̅ παρακείμενοι καὶ ὑπερσυντέλικοι, τὴν δὲ ἔνδειαν καὶ κρᾶσιν ἐνεστῶτες παρατατικοὶ ἀόριστοι μέσοι καὶ μέλλοντες ἅπαντες· ἐν δὲ τοῖς εἰς μι̅ πάντες τῇ τροπῇ γίνονται πλὴν τῶν μελλόντων καὶ τοῦ πρώτου μέσου ἀορίστου· ἔστιν γὰρ ἔστησα καὶ στήσας ἡ μετοχὴ βαρυτόνως· ἣν οὖν τύπτεται, ὑποστολῇ τοῦ τ̅ τύπτεαι, καὶ κράσει τοῦ εα εἰς η̅, ὡς βέλεα βέλη, τύπτῃ, καὶ μένει τὸ ι̅ μὴ ἐκφωνούμενον διὰ τὸ μέγεθος τοῦ η̅. **τύπτεται**: τὰ εἰς μαι ἔχοντα τὸ μ̅ κλιτικὸν τροπῇ τῆς μαι̅ εἰς ται τὸ τρίτον ποιεῖ, τρέποντα τὴν παραλήγουσαν ἔνθα μὴ ἔστιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ̅.

Δυϊκά. **Τυπτόμεθον**: ἐκ τοῦ πρώτου τῶν πληθυντικῶν τροπῇ τῆς θα̅ εἰς θον̅. **τύπτεσθον**: ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ 1019b τῆς θε̅ εἰς θον̅. **τύπτεσθον**: εἴρηται.

Πληθ. **Τυπτόμεθα**: πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ̅ κλιτικὸν

[DISCR. SCR. IN MCBGb] **1** Περὶ παθητ. *om* G | *post* παθητικῶν *add* ὁριστικὰ παθητικὰ χρόνου ἐνεστῶτος BGb ‖ **2** εἰς σω̅ G ‖ **3** προσθέσει] προσθήκῃ G | τὸ παθητικὸν ποιεῖ MCG, παθητικὸς γίνεται Bb ‖ **6** χρυσόω — χρυσοῦμαι] χρυσόομαι B | πρόσωπον *ex* πρώσωπον *corr.* C^1 ‖ **7** κλητικὸν C ‖ **9** ποιουμένων C | φωνιέντων M | ὡς τὸ — τύπτεται (**10**) *om* M ‖ **10** τύπτῃ] τύπτου C | τύπτεται] τύπτηται *sed* η *ex corr.* B ‖ **12** τοῦ τ̅ *om* G | *post* λόγος *add* διήκει Bb ‖ **13** τὴν μὲν] τοῖς μὲν C | μὲν *ante* τοῖς *om* G ‖ **14** *post* ἐνεστῶτες *add* καὶ CBGb ‖ **15** δὲ *om* M ‖ **17** ἔστιν M, ἔστι BGb, ἔστην C ‖ **18** *ante* ὑποστολῇ *add* καὶ Bb | ὑποστολῇ BGb, ὑποστολὴ MC | τύπτεαι] τύπτεται M, *om* B | κράσι M | εα̅ MC, ε̅ καὶ α̅ BGb | *ante* τύπτῃ *add* τύπτεαι C | τύπτῃ *om* BG ‖ **20** τῆς μαι̅ εἰς ται] τοῦ μ̅ εἰς τ̅ G ‖ **21** μὴ ἔστιν G, μή ἐστιν MCBb | *post* εἰς σ̅ *add* ὀξύτονος BGb ‖ **24** εἴρηται MC, ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ BG, ὁμοφωνεῖ τῷ δευτέρῳ b ‖ **25** κλητικὸν C

[TESTIM EX ***ΣE***] **1** Ὁριστ. — ἐνεστῶτος *ut* BG *add* Σ^{χ} *664,29* g ‖ **3** προσθήκῃ Σ^{χ} *664, 31 et 665,16* g (*in* CV), προσθέσει Σ^{χ} (*in* O) *et* ***E*** | τὸ παθητικὸν ποιεῖ *testantur* Σ^{χ} (*664, 31* g) E^{k}, παθητικὸς γίνεται Σ^{χ} (*665, 16* g) *et* E^{b} ‖ **21** *post* εἰς σ̅ *add* ὀξύτονος E^{k}, *om* Σ^{χ} *674, 31* g ‖ **24** ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ E^{k}, τὸ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ται λήγει Σ^{χ} *676, 16* g

μετὰ μακρᾶς τροπῇ τῆς τελευταίας εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ, λέγομαι λεγόμεθα, ἐλεγόμην ἐλεγόμεθα, λέλεγμαι λελέγμεθα, καὶ ἐπὶ τῶν ὁμοίων· πρόσκειται «μετὰ μακρᾶς», ἐπεὶ τὰ εἰς μι πάντα ὁριστικά τε καὶ εὐκτικὰ κλιτικὸν μὲν ἔχουσι τὸ μ, οὐ ποιοῦσι δὲ εἰς μεθα τὸ πληθυντικόν. τύπτεσθε: πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικὸν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς θε δεύτερον πληθυντικὸν ποιεῖ· ἀλλ' εἰ μὲν καθαρεύοι τὸ τ, καὶ σ προσλαμβάνει τὸ πληθυντικόν, λέγεται λέγεσθε, ἐλέγετο ἐλέγεσθε, εἰ δὲ συμφώνῳ παραλήγοιτο, τοῦτο τηρεῖται, πλὴν εἰ μή πω ψιλὸν ὂν διὰ ἀσυνταξίαν εἰς δασὺ τραπείη, οἷον κέκαρται κέκαρθε, τέτιλται τέτιλθε· νένυκται δὲ νένυχθε καὶ τέτυπται τέτυφθε. τύπτονται: πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικὸν πρὸ τοῦ τ δεχόμενον τὸ ν καὶ τὴν παραλήγουσαν φυλάσσον τοῦ πρώτου προσώπου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον λέγεται λέγονται ὅτι λέγομαι, ἵσταται δὲ ἵστανται καὶ ἐδίδοτο ἐδίδοντο.

Παρατατικοῦ.

Ἑνικά. Ἐτυπτόμην: πᾶς ἐνεστὼς παθητικὸς τρέπων τὴν μαι εἰς μην καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ, λέγομαι ἐλεγόμην, αἰδοῦμαι ᾐδούμην. ἐτύπτου: καὶ τοῦτο ἀπὸ τοῦ τρίτου γέγονε τοῦ ἐτύπτετο ἐνδείᾳ τοῦ τ καὶ κράσει τοῦ εο εἰς τὴν ου δίφθογγον, ἐτύπτετο ἐτύπτου. ἐτύπτετο: πᾶν πρῶτον πρόσωπον εἰς μην λῆγον τροπῇ τῆς μην εἰς το τὸ τρίτον ποιεῖ· τὴν δὲ παραλήγουσαν τρέπει, ὅταν μὴ ἔχῃ τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ ὀξύτονον.

1020b Δυϊκά. Ἐτυπτόμεθον, ἐτύπτεσθον, ἐτυπτέσθην.

Πληθ. Ἐτυπτόμεθα, ἐτύπτεσθε, ἐτύπτοντο.

[Discr. scr. in MCBGb] **1** τελευταίας συλλαβῆς G | λέγομαι] λέγομεν C || **2** ἐλεγόμην ἐλεγόμεθα *om* C | λέλεγμαι λελέγμεθα *om* CG || **3** *ante* μακρᾶς *add* φυσικῆς C || **4** κλητικὸν C || **5** ἑνικὸν BG, ἑνικῶν M, καὶ ἑνικὸν C, *om* b | ἔχον τὸ τ κλιτικὸν *om* G | κλητικὸν C | τῆς] τῇ B || **6** *ante* δεύτερον *add* τὸ Bb | πληθυντικὸν M, τῶν πληθυντικῶν CBGb | καθαρεύοι M, καθαριεύοι CGb *et ex* καθαριεύει *corr.* B || **7** λέγεται] λέγετε C | ἐλέγετο ἐλέγεσθε *om* C || **8** τοῦτο τηρεῖται MBb, τηρεῖται τὸ σύμφωνον CG | μή πω CBG, μίπω M, μή που b || **9** ὂν *om* C | διὰ ἀσυνταξίαν MBb, δι' ἀσυνταξίαν CG | οἷον *om* G || **10** δὲ *om* CG || **11** τρίτον] πρῶτον C | ἑνικὸν *ex* ἑνικῶν *corr.* B[1] | κλητικὸν C | *ante* πρὸ *add* καὶ CG || **13** οἷον *om* C | λέγεται *om* b || **15** Παρατατικοῦ MCG, παρατατική B, παρατατικός b || **18** *post* ᾐδούμην *add* παρατατικὸν ποιεῖ C || **19** τοῦ τρίτου γέγονε *om* B | γέγονε MCG, ἐγένετο b | τοῦ εο] τοῦ εου C | εἰς] καὶ G || **20** τὴν *om* Bb || **22** εἰς σ] εἰ σ M | ὀξύτονον *om* G

[Testim. ex ΣE] **5** ἑνικὸν Σ^{χ} (*677, 16* g) E^{b} (*in Bas. II, ed. princ. et Wald.*), ἑνικῶν E^{s} *et* E^{b} (*in Bas. I*) || **6** τὸ δεύτ. πρόσωπον τῶν πληθ. Σ^{χ} (*677, 17* g), τὸ β^ον^ τῶν πληθ. E^{s}, δεύτερον τῶν πληθ. E^{b} | καθαριεύει Σ^{χ} (*677, 18* g) E || **8** μή πω *test.* Σ^{χ} *677, 27* g || **22** ὀξύτονον *illud superfluum Choeroboscum legisse test.* Σ^{χ} *682, 5* g

Παρακειμένου.

Ἑνικά. Τέτυμμαι: ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ τέλους εἰς μαι, πεποίηκα πεποίημαι· καὶ οἱ μὲν εἰς φα ἐνεργητικοὶ καὶ ἄλλο μ προσλαμβάνουσιν, νένιφα νένιμμαι, τέτυφα τέτυμμαι· οἱ δὲ εἰς χα τὸ γ, λέλεχα λέλεγμαι, νένυχα νένυγμαι· οἱ δὲ εἰς κα εἰ μὲν εἶεν ἀπὸ περισπωμένων, πρὸς τὴν παραλήγουσαν κανονίζονται· βραχείας γὰρ οὔσης τῆς παραληγούσης προσλαμβάνει ὁ παθητικὸς τὸ σ, τετέλεκα τετέλεσμαι, γεγέλακα γεγέλασμαι, μακρᾶς δὲ οὐ προστίθεται τὸ σ, πεποίηκα πεποίημαι, νενόηκα νενόημαι· ὅτε μέντοι ἐστὶν ἀπὸ βαρυτόνων θεμάτων ὁ εἰς κα παρακείμενος, τὸ σ προσλαμβάνει ἐν τοῖς παθητικοῖς, πλὴν τῆς πέμπτης συζυγίας καὶ ὀλίγων τῆς ἕκτης, νένηκα νένησμαι, πέφρακα πέφρασμαι· τέτιλκα δὲ τέτιλμαι καὶ ἵππευκα ἵππευμαι. Μηδεὶς δὲ οἰέσθω ἀπὸ τοῦ ἔρραγκα ἔρραμμαι, μεμίαγκα μεμίαμμαι τὸν παθητικὸν παρακείμενον ἕτερον μ προσειληφέναι· τὸ γὰρ μ τοῦτο οὐκ ἔστι κλιτικὸν ἀλλὰ θεματικόν ἐστι, πρὸς τὰς συντάξεις τῶν συμφώνων τρεπόμενον ὁτὲ μὲν εἰς γ, ὡς ἐν τῷ ἔρραγκα, ὁτὲ δὲ εἰς μ, ὡς ἐν τῷ ἔρραμμαι· ὁ μέντοι κέκλεικα, ὀφείλων ἐν τῷ κέκλεισμαι προσλαμβάνειν τὸ σ, κέκλειμαι λέγεται παρὰ πᾶσιν Ἕλλησιν· ὁμοίως καὶ ἀπὸ τοῦ ἐλήλακα ἐλήλαμαι, οὐκ ἐλήλασμαι. τέτυψαι: εἴπομεν ποῖα τῶν ἐχόντων τὸ μ κλιτικὸν τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον, καὶ ποῖα ἐνδείᾳ καὶ κράσει· τοῦ τοίνυν τέτυπται τρέποντος τὸ τ εἰς σ γίνεται πσ, ἃ συγκιρνώμενα εἰς ψ· τὸ γὰρ ψ ἐκ τοῦ π καὶ σ· ποιεῖ τὸ τέτυψαι, ὡς καὶ τὸ νένυκται νένυξαι. τέτυπται: ἔδει μὲν τρεπομένου 1021 b
τοῦ μαι εἰς ται ἀπὸ τοῦ τέτυμμαι εἶναι τὸ τρίτον τέτυμται· ἀλλ' ἐπεὶ

[Discr. scr. in MCBGb] **1** παρακειμένου MG, παρακείμενος CBb ‖ **3** οἱ μὲν] ὁ μὲν CG ‖ **4** ἐνεργητικοὶ] ἐνεργητικὸς CG | προσλαμβάνουσιν M, προσλαμβάνουσι Bb, προσλαμβάνει CG | νένιφα νένιμμαι Gb, νένηφα νένημμαι M, νένιφα νένιγμαι C, νένηφα νένημαι B ‖ **5** οἱ δὲ] ὁ δὲ G; *item extr. lin.* | τὸ γ — νένυχα *om* C | λέλ.: λέλ. *om* G | λέλεγχα B ‖ **6** εἶεν] εἴη G | τὴν *om* G | κανονίζονται M, κανονίζεται CBGb ‖ **8** γεγέλακα γεγέλασμαι *om* C | δὲ οὔσης οὐ G ‖ **9** μέντοι ἐστὶν] μέν εἰσιν B, μέν τοί εἰσιν b ‖ **11** ὀλίγον CG ‖ **12** *post* νένησμαι *add* πέπεικα (πέποικα C) πέπεισμαι CBGb | δὲ] μέντοι G, *om* C | καὶ *om* C ‖ **13** ἔρραγκα CBGb, ἔρρακα M | μεμίαγκα μεμίαμμαι *om* C ‖ **15** κλητικὸν B | ἐστι *post* θεματικόν *om* CGb ‖ **16** ὅτε μὲν MG | ὅτε δὲ MG ‖ **17** κέκλεικα *ex* κέκλικα *corr.* B | ὀφείλων] ὤφειλεν C ‖ **19** ποῖα] ποίω C ‖ **20** κλητικὸν C | τοῦ τ] τοῦ γ C ‖ **21** *post* ἐνδείᾳ *add* τοῦ τ CBb | *post* κράσει *add* γίνεται B | τοῦ τοίνυν] τοῦτο τοίνυν C | τέτυπται *om* G ‖ **22** πσ] πᾶσα C, π καὶ σ G | συγκιρνώμενα BGb, συγκρινώμενα M, συγκιρνόμενον C | τὸ γὰρ — καὶ σ *om* G | τοῦ *ante* π *om* M ‖ **23** καὶ *post* ὡς *om* G | νένυκται] νένυγμαι G ‖ **24** τέτυμπται C

[Testim. ex ΣE] **3** καὶ εἰ μὲν εἰς φα (λήγει *add* E[b]) ὁ ἐνεργητικός, καὶ ἄλλο (ἕτερον E[b]) μ προσλαμβάνει ὁ παθητικὸς E ‖ **4** νένηφα νένημμαι Σ[χ] *682, 27* g ‖ **12** πέπεικα πέπεισμαι *inter multa exempla add* Σ[χ] *683, 17* g ‖ **24** τέτυμπται *mendum hab. etiam* Σ[χ] *691, 2* (*in* CV) *et* E[b] (*in Bas. I et ed. Wald.*)

ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων, εἰς τὸ ἀντίστοιχον τοῦ τ̄ μεταβέβληται τὸ μ̄.

Δυϊκά. Τετύμμεθον, τέτυφθον, τέτυφθον.

Πληθ. Τετύμμεθα, τέτυφθε: εἴπομεν ὡς ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται τὸ δεύτερον τῶν πληθυντικῶν τροπῇ τῆς ἐσχάτης εἰς θε· εἰ δὲ ψιλῷ παραλήγοιτο, τρέπεται εἰς δασὺ διὰ τὴν ἀσυνταξίαν. τετυμμένοι εἰσί: πᾶν τρίτον ἑνικὸν ἔχον πρὸ τοῦ τ̄ σύμφωνον, διὰ τὸ μὴ δύνασθαι δέξασθαι πρὸ τοῦ τ̄ τὸ ν̄ οὐ ποιεῖ τρίτον πληθυντικόν, ἀλλὰ διὰ μετοχῆς αὐτὸ καὶ τοῦ εἰσί ῥήματος ἀναπληροῖ ἡ χρῆσις. Καὶ ἰακῶς τετύφαται: πᾶν τρίτον ἑνικὸν ἔχον πρὸ τοῦ τ̄ ψιλὸν τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθήκῃ τοῦ ᾱ ποιοῦσιν Ἴωνες τρίτον πληθυντικόν, νένιπται νενίφαται, λέλεκται λελέχαται· εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ στ̄ ἀπὸ βαρυτόνων, τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αταῑ τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου σύμφωνον, πέφρασται πεφράδαται, ὅτι πέφραδα· οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι ταύτην συστέλλουσι πρὸ τοῦ αταῑ εἰς τὴν ὀφειλομένην συστολήν, πεποίηται πεποιέαται.

[Discr. scr. in MCBGb] **1** ἡγεῖται *om* C | τοῦ τ̄ MBGb, τοῦ μη̄ C || **2** τὸ μ̄] τὸ π̄ C || **6** παραλήγεται G | δι' ἀσυνταξίαν G || **7** εἰσί Gb, εἰσίν C, εἰσσί B, *om* M || **8** πρὸ τοῦ τ̄ δέξασθαι τὸ ν̄ οὐ π. CG || **9** αὐτὸ *om* C, *post* ῥήματος *transp.* G | ἡ χρῆσις ἀναπλ. G || **10** ἰακῶς] ἰωνικῶς BG | *post* τετύφαται *in media altera folii 42ʳ columna finis imponitur verbalibus canonibus in codice* M*; reliqua columnae pars vacua relicta est; de eis quae sequuntur vide codicis descriptionem apud GUhligium, Dion. Thracis ars grammat. praef. p. XVII. Codex* L *autem ea omittit, quae inde ab hoc loco leguntur usque ad p. 60, 4* (ἔκτασιν)*; insequentes enim quattuor paginas, quas prima manus vacuas reliquerat, posterior expositione theologica explevit; cfr. GUhlig. ll. p. XXV*

[Discr. scr. in CBGb] **10** ἔχον *om* C || **12** νένιπται νενίφαται Gb, νένηπται νενήφαται CB || **13** τοῦ στ̄] τοῦ τ̄ C | ἀπὸ βαρυτ.] βαρύτονον G | *post* τότε *add* καὶ C | τὸ *ante* Ἰωνικὸν *rubro supra scr.* B || **14** σύμφ. τοῦ μέσου παρακειμένου Bb || **15** οἱ μέντοι] εἰ μέντοι C | περισπωμένου C || **16** εἰς] ἔχει C | συστολήν CG, συλλαβὴν *et in marg.* γρ. συστολὴν B, συλλαβήν b; συστολήν *iam emendaverat LCohnius, De Heracl. Mil. in Stud. Berol. 1, 682*

[Testim. ex *ΣE*] **1** τοῦ τ̄ *disertis verbis test.* Σ^χ *692,7* g; τοῦ φ̄ *praebent* $\Sigma^\sigma E^g$; *codicis* C *scriptura e Choerobosci verbis qualia in* C (*691,5* g) *corrupta sunt orta videtur* || **8** *mutatus in* CG *ordo verborum fluxisse videtur ex* E^g: διὰ τὸ μὴ δύνασθαι πρὸ τοῦ τ̄ ἄλλο σύμφωνον ἐπιδέξασθαι || **9** αὐτὸ *om etiam* Σ^χ *692, 22* (*in* C), *habent* Σ^χ *694, 25, post* ῥήματος *transp.* ***E*** | ἡ χρῆσις ἀναπληροῖ *hab. etiam* ***E*** || **10** ἰακῶς Σ^χ *696, 29* (*in* V), ἰωνικῶς Σ^χ (*in* O) $\Sigma^\sigma E^b$, τὸ ἰωνικὸν E^g, ἀττικῶς Σ^χ (*in* C) || **12** νένηπται *etiam* Σ^χ (*697, 30 et 682, 27*), *sed vix credibile, a verbo* νήφω *passivum esse formatum* || **18** ἀπὸ βαρυτόνων *testantur* Σ^χ *698, 6* g || **14** σύμφωνον τοῦ μέσου παρακ. Σ^χ *697, 32* g (*in* CV), τοῦ μέσου παρακ. σύμφωνον Σ^χ (*in* O) || **16** συστολὴν Σ^χ *698, 23* g (*in* C), συλλαβὴν Σ^χ (*in* VO)

Ὑπερσυντελίκου.

Ἑνικά. Ἐτετύμμην: πᾶς παρακείμενος παθητικὸς τρέπων τὴν μαι εἰς μην ὑπερσυντέλικος γίνεται, προσλαμβάνων κατ' ἀρχὴν τὸ ε, εἰ ἀπὸ συμφώνου ἄρχοιτο· εἰ δὲ ἀπὸ φωνήεντος, οὐ δεῖ προσθήκης, λέλεγμαι ἐλελέγμην, ἔφθαρμαι ἐφθάρμην. ἐτέτυψο, ἐτέτυπτο.

Δυϊκά. Ἐτετύμμεθον, ἐτέτυφθον, ἐτετύφθην. 221b

Πληθ. Ἐτετύμμεθα, ἐτέτυφθε, τετυμμένοι ἦσαν: εἰδέναι δεῖ ὡς ἐν μὲν τῷ παρακειμένῳ τετυμμένοι εἰσί φαμέν, ἐν δὲ τῷ ὑπερσυντελίκῳ τετυμμένοι ἦσαν· κοινὴ μὲν γὰρ ἀμφοῖν τοῖν χρόνοιν ἡ μετοχή, ἀλλ' οὐ τὸ ῥῆμα· παρακειμένῳ δὲ οἰκεῖος ὁ εἰσίν ἐνεστὼς καὶ ὑπερσυντελίκῳ ὁ ἦσαν παρῳχημένος. Καὶ ἰακῶς τετύφατο.

Ἀορίστου πρώτου.

Ἑνικά. Ἐτύφθην: τέσσαρας ἀορίστους εὑρίσκομεν ἐν τοῖς παθητικοῖς, δύο παθητικούς, πρῶτον καὶ δεύτερον, καὶ δύο μέσους, ὁμοίως πρῶτον καὶ δεύτερον· γίνεται οὖν ὁ μὲν πρῶτος παθητικὸς οὕτως· πᾶς παρακείμενος παθητικὸς τὴν τελευταίαν τρέπων εἰς θην καὶ τὸ κατ' ἀρχὰς σύμφωνον ἀποβαλὼν τὸν παθητικὸν πρῶτον ἀόριστον ποιεῖ, τετέλεσμαι ἐτελέσθην, κέκαρμαι ἐκάρθην· εἰ μέντοι εὕροι πρὸ τοῦ μ τὸ γ ἢ τὸ μ, εἰς ἐκεῖνα αὐτὰ τρέπει τὰ δασέα ἐξ ὧν καὶ μεταβέβληνται,

[Disck. scr. in CBGb] **1** ὑπερσυντέλικος Bb ‖ **2** παρακείμενος παθητικὸς τρέπων τὴν CG, παθητικὸς παρακείμενος τροπῇ τῆς Bb ‖ **3** κατ' ἀρχὴν CG, κατὰ τὴν ἀρχὴν Bb ‖ **4** δὲ ἀπὸ CG, δ' ἀπὸ Bb | δεῖ] δεῖται C ‖ **7** *post* ἦσαν *add* καὶ ἰακῶς ἐτετύφατο *sed supra* φ *posito* ∴ θ C | *post* εἰδέναι *add* δὲ C ‖ **8** μὲν *om* G | *ante* παρακειμένῳ *add* παθητικῷ C | εἰσί φαμεν Bb, εἰσὶν ἔφαμεν CG ‖ **9** γὰρ *om* B | τοῖν χρόνοιν *om* C ‖ **10** παρακειμένῳ δὲ BGb, παρακειμένων μὲν C | οἰκεῖός ἐστιν ὁ G | εἰσίν] εἰς σιν CG ‖ **11** καὶ ἰακῶς ἐτετύφατο *post* τετυμμένοι ἦσαν (**7**) *transp.* C | Καὶ] αἱ B | τετύφατο Bb, ἐτετύφατο CG | *post* τετύφατο *add* πρόδηλος ἡ τεχνολογία, ὁμοία οὖσα τῇ τοῦ παρακειμένου BGb ‖ **12** ἀορίστου α΄ CG, παθητικὸς ἀόριστος πρῶτος Bb ‖ **15** γίνεται οὖν Bb, γίνεται δὲ CG | οὕτω B ‖ **16** παθητικὸς *prima m. om et altera m. supra lin. add* παθητικὴ B | τελευταῖαν G ‖ **17** κατ' ἀρχὰς Bb, κατ' ἀρχὴν CG | ἀποβάλλων G | τὸν *ante* παθητ. *om* C ‖ **18** *post* ἐκάρθην *add* πεποίημαι ἐποιήθην Bb | εὕροις G | μ ἢ τὸ γ G ‖ **19** μεταβέβληται G

[Testim. ex ΣE] **2** πᾶς παθητικὸς παρακείμενος τρέπων τὴν μαι εἰς μην Σ^χ (*699, 26* g) *E* ‖ **3** κατ' ἀρχὴν $E^g E^b$ (*in ed. princ. et Wald.*), κατὰ τὴν ἀρχὴν E^b (*in Bas. I et II*), κατὰ τὴν ἄρχουσαν Σ^χ *699, 29* g ‖ **4** εἰ δὲ ἀπὸ Σ^χ (*699, 31* g) E^g, εἰ δ' ἀπὸ E^b | δεῖ *testantur E, de* Σ^χ *non liquet* ‖ **9** γὰρ *hab.* E^g, *om* E^b | τοῖν χρόνοιν *hab. E, de* Σ^χ *non liquet* ‖ **10** παρακειμένῳ γὰρ οἰκεῖος E^g, παρακειμένῳ μὲν οὖν οἰκεῖος E^b | ἐστὶν *post* οἰκεῖος *add* *E* ‖ **11** τετύφατο *formam test. disertis verbis* Σ^χ *701,15* g, ἐτετύφατο Σ^χ *697,2* g (*in* O) *et 701, 10* (*in* V) E^g | *additamentum in* BG *fluxit ex* Σ^χ (*701, 10 sqq.* g) E^g ‖ **12** παθητικὰ *add* Σ^χ *701, 24* g (*in* O), *om* E^g ‖ **16** πᾶς παθητικὸς παρακείμενος Σ^χ (*701, 33* g) *E* ‖ **17** κατ' ἀρχὰς *E, de* Σ^χ *non liquet* | ἀποβάλλων E^g *et* E^b (*in Bas. I*) | τὸν *ante* παθητ. *om etiam E* ‖ **18** πεποίημαι ἐποιήθην *inter multa exempla add* Σ^χ *702, 2* g

οἷον λέλεχα λέλεγμαι ἐλέχθην, τέτυφα τέτυμμαι ἐτύφθην. ἐτύφθης, ἐτύφθη.

Δυϊκά. Ἐτύφθητον, ἐτυφθήτην.

Πληθ. Ἐτύφθημεν, ἐτύφθητε, ἐτύφθησαν.

Ἀορίστου δευτέρου.

Ἑνικά. Ἐτύπην: πᾶς δεύτερος ἀόριστος ἐνεργητικὸς εἰς ον λήγων τροπῇ τοῦ ο εἰς η παθητικὸς δεύτερος ἀόριστος γίνεται, ἔτυπον ἐτύπην, ἔνυγον ἐνύγην. ἐτύπης, ἐτύπη.

Δυϊκά. Ἐτύπητον, ἐτυπήτην.

Πληθ. Ἐτύπημεν, ἐτύπητε, ἐτύπησαν.

Μέσου ἀορίστου πρώτου.

1023 b Ἑνικά. Ἐτυψάμην: οἱ μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητικῶν γίνονται προσόδῳ τῆς μην, ὁ πρῶτος ἀπὸ τοῦ πρώτου καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου, ἔπεισα ἐπεισάμην, ἔπιθον ἐπιθόμην. ἐτύψω, ἐτύψατο.

Δυϊκά. Ἐτυψάμεθον, ἐτύψασθον, ἐτυψάσθην.

Πληθ. Ἐτυψάμεθα, ἐτύψασθε, ἐτύψαντο.

Μέσου ἀορίστου δευτέρου.

Ἑνικά. Ἐτυπόμην, ἐτύπου, ἐτύπετο.

Δυϊκά. Ἐτυπόμεθον, ἐτύπεσθον, ἐτυπέσθην.

Πληθ. Ἐτυπόμεθα, ἐτύπεσθε, ἐτύποντο.

Μέλλοντος πρώτου.

Ἑνικά. Τυφθήσομαι: ὁμοίως τοῖς ἀορίστοις καὶ τοὺς μέλλοντας τέσσαρας ἔστιν εὑρεῖν ἐν τοῖς παθητικοῖς, δύο παθητικοὺς καὶ δύο μέ-

[Discr. scr. in CBGb] **4** ἐτύφητε B | *post* ἐτύφθησαν *add*: τὰ εἰς μὲν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς αν (*l.* σαν) ποιεῖ τὸ τρίτον Cb ‖ **5** ἀορίστου βου CG, παθητικὸς ἀόριστος δεύτερος Bb ‖ **6** ἐτυπόπην (πό *in ras.*) B | πᾶς δεύτερος *in ras.* B ‖ **7** ἀόριστος *om* CG ‖ **11** μέσου ἀορίστου αου CG, μέσος ἀόριστος αος Bb ‖ **12** γίνεται C ‖ **14** ἔπιθον ἐπιθόμην Gb, ἔπιθον ἐπειθόμην C, ἔπιθον ἐπυθόμην B ‖ **16** τυψάσθην B ‖ **18** μέσου ἀορίστου βου CG, μέσος ἀόριστος βος Bb ‖ **19** *ad* ἐτύπου *in marg. haec habet* B, *in contextu* G: σηαι (σηαι *om* G). τοῦτο παρατηρήσεις, ὡς ὅτε μὲν τὸ τρίτον τῶν ἑνικῶν (τῶν ἑν. *om* G) διὰ τοῦ ατο εἴη, ἐκεῖ τὸ δεύτερον εἰς ω, ἐλέξατο ἐλέξω, ἐδύνατο ἐδύνω· ἔνθα δὲ διὰ τοῦ ετο εἴη (εἴη *om* G), ἐκεῖ τὸ δεύτερον (τὸ δεύτ. *om* G) εἰς ου, ἐτύπετο ἐτύπου· τὸ γὰρ αο εἰς ω, τὸ δὲ εο εἰς τὴν ου δίφθογγον (εἰς ου G) κιρνᾶται ‖ **22** μέλλοντος πρώτου G, παθητικὸς μέλλων αος Bb, *om* C ‖ **24** εὑρεῖν CBb, εὑρέσθαι καὶ G

[Testim. ex *ΣE*] **4** *additamentum in* C *sumptum ex* E^{g}, *non leg.* Σ^{χ} *704, 11* ‖ **5** παθητικὸς *add* Σ^{χ} *704, 12* g (*in* CO), *om* E^{g} ‖ **13** προσόδῳ] ἐπενθέσει *videtur legisse* Σ^{χ} *705, 3–8* g ‖ **14** ἔπιθον ἐπιθόμην *test.* Σ^{χ} *705, 19* g ‖ **19** *quae* BG *addunt fluxerunt ex* Σ^{χ} *706, 12—25* g

ϲουϲ· γίνονται οὖν οἱ μὲν παθητικοὶ μέλλοντεϲ ἀπὸ τῶν παθητικῶν ἀορίϲτων, οἱ δὲ μέϲοι ἀπὸ τῶν ἐνεργητικῶν μελλόντων. Πᾶϲ παθητικὸϲ ἀόριϲτοϲ κατὰ τὸ τρίτον πρόϲωπον προϲλαβὼν τὸ ϲομαι καὶ τὴν ἐν ἀρχαῖϲ κλιτικὴν ἔκταϲιν ἀποβαλὼν παθητικὸν μέλλοντα ποιεῖ, ἐτύφθη τυφθήϲομαι, ἠγοράϲθη ἀγοραϲθήϲομαι, εἰκάϲθη εἰκαϲθήϲομαι. τυφθήϲῃ, τυφθήϲεται.

Δυϊκά. Τυφθηϲόμεθον, τυφθήϲεϲθον, τυφθήϲεϲθον.

Πληθ. Τυφθηϲόμεθα, τυφθήϲεϲθε, τυφθήϲονται.

Μέλλοντοϲ δευτέρου.

Ἑνικά. Τυπήϲομαι: εἴπομεν ὡϲ ἀπὸ τοῦ δευτέρου ἀορίϲτου παθητικοῦ τρίτου προϲώπου γίνεται, ἐνύγη νυγήϲομαι, ἐπράθη πραθήϲομαι. τυπήϲῃ, τυπήϲεται.

Δυϊκά. Τυπηϲόμεθον, τυπήϲεϲθον, τυπήϲεϲθον.

Πληθ. Τυπηϲόμεθα, τυπήϲεϲθε, τυπήϲονται. 1024 b

Μέϲου μέλλοντοϲ πρώτου.

Ἑνικά. Τύψομαι: πᾶϲ μέλλων ἐνεργητικὸϲ προϲλαβὼν τὴν μαι καὶ τρέπων τὸ ω, εἰ μὲν βαρύνοιτο, εἰϲ ο, εἰ δὲ περιϲπῷτο, εἰϲ τὴν ου δίφθογγον, μέϲοϲ μέλλων γίνεται, νύξω νύξομαι, νυγῶ νυγοῦμαι, κερῶ κεροῦμαι. τύψῃ, τύψεται.

Δυϊκά. Τυψόμεθον, τύψεϲθον, τύψεϲθον.

Πληθ. Τυψόμεθα, τύψεϲθε, τύψονται.

Μέϲου μέλλοντοϲ δευτέρου.

Ἑνικά. Τυποῦμαι: εἴπομεν ὡϲ ἀπὸ τοῦ δευτέρου μέλλοντοϲ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ ω εἰϲ τὴν ου δίφθογγον καὶ προϲθήκῃ τῆϲ μαι· κλίϲιν δὲ ἔχει ὁμοίαν τοῖϲ ἐνεϲτῶϲι παθητικοῖϲ τοῦ ποιοῦμαι καὶ τῶν ὁμοίων τῆϲ πρώτηϲ τῶν περιϲπωμένων. τυπῇ, τυπεῖται.

[Discr. scr. in CBGb] **1** οὖν Bb, δὲ CG ‖ **3** *post* τρίτον *add* ἑαυτοῦ Cb | τὸ ϲομαι] τὴν ϲομαι G ‖ **4** κλητικὴν CB | ἀποβαλὼν] *hic iterum inc.* L

[Discr. scr. in LCBGb] **4** παθητικὸν μέλλοντα CG, παθητικῶν μελλόντων L, μέλλοντα παθητικὸν Bb ‖ **5** ἀγοραϲθήϲομε L ‖ **7** *alterum* τυφθήϲεϲθον *om* CG ‖ **9** μέλλοντοϲ δευτέρου G, μέλλοντοϲ β παθητικοῦ L, μέϲου β C, παθητικὸϲ μέλλων β^οϲ Bb ‖ **10** παθητικοῦ δευτ. ἀορίϲτου Bb ‖ **11** γίνεται — τυπήϲῃ (**12**) *om* C ‖ **12** *post* πραθήϲομαι *add* ἐτύπη τυπήϲομαι Bb | τυπήιϲη L ‖ **15** μέϲου — πρώτου G, μέϲου μέλλοντοϲ L, μέλλοντοϲ α C, μέϲοϲ μέλλων α^οϲ Bb ‖ **17** τρέπον LC | εἰ δὲ] εἰϲ δὲ G | περιϲπῶντο (*sic*) L ‖ **18** κερῶ κεροῦμαι *om* CBb ‖ **22** μέϲου μέλλοντοϲ β^ου LCG, μέϲοϲ μέλλων β^οϲ Bb ‖ **24** ἐνεργητ. μελλ. *traic.* Bb | προϲθήκει *sed supra* ει *scr.* η L ‖ **25** τῆϲ μαι] τοῦ μαι C | ἐνεϲτῶϲι παθητικοῖϲ LG, παθητικοῖϲ ἐνεϲτῶϲι Bb, ἐνεϲτῶϲι τῶν παθητικῶν C | τοῦ] τοῖϲ L

[Testim. ex *ΣE*] **3** ἑαυτοῦ *add* ***E***, αὐτοῦ *add* ***Σ^χ*** *707, 5* g (*in* O), *om* ***Σ^χ*** (*in* CV) | τὴν ϲομαι ***Σ^χ*** (*707, 5* g) ***E*** ‖ **4** παθητ. μέλλοντα πρῶτον ***E^g***, παθητ. μέλλοντα ***E^b***, πρῶτον (πρῶτον *om* VO) μέλλοντα παθητικὸν ***Σ^χ*** *707, 6* ‖ **23** μέλλοντοϲ ἐνεργητικοῦ *testantur etiam* ***E^g*** ‖ **25** ἐνεϲτῶϲι παθητικοῖϲ *etiam* ***E^g***

Δυϊκά. Τυπούμεθον, τυπεῖϲθον, τυπεῖϲθον.
Πληθ. Τυπούμεθα, τυπεῖϲθε, τυποῦνται.

Μετ' ὀλίγον μέλλοντοϲ τοῦ καὶ 'Αττικοῦ.

'Ενικά. Τετύψομαι: ὁ παθητικὸϲ παρακείμενοϲ κατὰ τὸ δεύτερον ἑαυτοῦ πρόϲωπον πρὸ τῆϲ $\overline{\alpha\iota}$ διφθόγγου δεχόμενοϲ τὸ $\overline{o\mu}$ μετ' ὀλίγον μέλλοντα ποιεῖ, τέτυμμαι τέτυψαι τετύψομαι, νένυγμαι νένυξαι νενύξομαι. τετύψῃ, τετύψεται.
Δυϊκά. Τετυψόμεθον, τετύψεϲθον, τετύψεϲθον.
Πληθ. Τετυψόμεθα, τετύψεϲθε, τετύψονται.

Περὶ ἀπαρεμφάτων.

'Εδόκει τιϲὶ τὰ ἀπαρέμφατα μηδὲ ῥήματα εἶναι διὰ τὸ μὴ ἔχειν πρόϲωπά τε καὶ ἀριθμούϲ· φαμὲν οὖν ὡϲ πᾶν μέροϲ λόγου φύϲει μὲν
1025 b ἕν ἐϲτιν ἁπλοῦν, θέϲει δὲ ποικίλον· αὐτίκα γοῦν καὶ πάϲῃ λέξει ϲυναπτόμενον ἄρθρον κατὰ τὸν τῆϲ φωνῆϲ λόγον ἑνικῶϲ λέγεται, τὸ 'Αρίϲταρχοϲ προπαροξύνεται, τὸ τύπτω παροξύνεται· τὸ τοίνυν ἀπαρέμφατον αὐτοῦ τοῦ φύϲει ῥήματόϲ ἐϲτιν ὄνομα· διὸ καὶ μονόφωνόν ἐϲτιν καὶ πολλάκιϲ ἄρθρον ἔχει ϲυναρτώμενον, οἷον τὸ ἀναγινώϲκειν ὠφέλιμόν ἐϲτιν.

'Απαρέμφατα ἐνεργητικά.
Χρόνου ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ.

Τύπτειν: πᾶϲ ἐνεϲτὼϲ ἀπὸ βαρυτόνων κατὰ τὸ τρίτον πρόϲωπον τὸ $\bar{\nu}$ προϲλαβὼν ἀπαρέμφατον ποιεῖ, λέγει λέγειν· ἀπὸ δὲ περιϲπωμέ-

---

[Discr. scr. in LCBGb] **4** Τετύψομαι] τύψομαι L ‖ **5** διφθόγγου *om* G ‖ **6** μέλλοντα] μέλλον μέλλα L ‖ **7** *post* νενύξομαι *add* πεποίημαι πεποίηϲαι πεποιήϲομαι Bb | τετύψῃ *om* C | τετύψηται L ‖ **11** τιϲὶ] τιϲαν L | μηδὲ Bb, μήτε LCG | *post* ἔχειν *add* αὐτὰ CG ‖ **12** μὲν ἕν ἐϲτιν LBb, μέν ἐϲτιν CG ‖ **13** ποικήλον L | αὔτηκα L | λέξη L ‖ **14** τὸν *om* L | ἑνικὸϲ L | 'Αρίϲταρχοϲ LC, 'Αρίϲταρχοι Bb, ἀρχιϲτράτηγοϲ G ‖ **16** τοῦ φύϲει] τῇ φύϲει B | καὶ *post* διὸ *om* CG | μονόφωνόν ἐϲτιν LG, ὁμόφωνόν ἐϲτιν CBb ‖ **17** ϲυναρτώμενον CGb, ϲυναρτόμενον L, ϲυναρτώμενον *et in marg. rubro* ἐν ἄλλῳ. ϲυναπτόμενον B ‖ **18** ὀφέλημόν L | ἐϲτιν *om* B ‖ **19** 'Απαρέμφατα ἐνεργητικά Bb, *om* LCG ‖ **20** χρόνου Bb, *om* LCG | ἐνεϲτὼϲ καὶ παρατατικόϲ CG ‖ **21** *post* βαρυτόνων *add* θεμάτων CBGb ‖ **22** προϲλαβὼν τὸ $\bar{\nu}$ G | προϲλαβὼν] πρόϲωπον C | ποιεῖ *om* L

[Testim. ex *ΣE*] **7** πεποίημαι — πεποιήϲομαι *ne in* Σ^{χ} (*710, 23* g) *quidem legitur* ‖ **11** μηδὲ Σ^{χ} *711, 13* g (*in* C), μὴ δὲ E^{g}, μήτε Σ^{χ} (*in* VO) ! • αὐτὰ *post* ἔχειν *add* E^{g} ‖ **12** ἕν *testantur* Σ^{χ} (*716, 11* g) Σ^{σ} ‖ **14** 'Αρίϲταρχοϲ *singularem praebent* Σ^{χ} *717, 9* g (*in* C) Σ^{σ}, *pluralem* Σ^{χ} (*in* V) ‖ **16** καὶ *post* διὸ *om* Σ^{χ} (*717, 15* g) Σ^{σ} | μονόφωνον Σ^{χ} (*in* C) Σ^{σ}, ὁμόφωνον Σ^{χ} (*in* VO) E^{g}; *Choeroboscus* (*717, 18* g) *vocem explicat per* ἄκλιτον ‖ **17** ϲυναρτώμενον Σ^{χ} (*717, 25* g) Σ^{σ}, ϲυναπτόμενον E^{g} ‖ **19** ἀπαρέμφ. ἐνεργ. χρόνου ἐνεϲτ. καὶ παρατ. Σ^{χ} *717, 31* g (*in* O) E^{g} ‖ **21** θεμάτων *add* Σ^{χ} (*721, 1* g), *om* Σ^{χ} (*720, 33* g)

νων ὁ παρατατικὸς προσόδῳ τοῦ ν̄ καὶ συστολῇ τῆς ἀρχούσης, ἐποίει ποιεῖν, ἐβόα βοᾶν, ἐχρύσου χρυσοῦν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Τετυφέναι: πᾶς παρακείμενος κατὰ τὸ τρίτον πρόσωπον τὴν ναι προσλαβὼν ἀπαρέμφατον ποιεῖ, τέτυφε τετυφέναι, πεποίηκε πεποιηκέναι.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Τετυπέναι: ὁμοίως καὶ αὐτὸς γίνεται, τέτυπε τετυπέναι, νένυγε 20 νενυγέναι.

Ἀορίστου πρώτου.

Τύψαι: ὁ εἰς ᾱ λήγων ἀόριστος προσθέσει τοῦ ῑ καὶ συστολῇ τῆς ἀρχούσης ἀπαρέμφατον ποιεῖ, ἔπεισα πεῖσαι· οὐ συνεζεύχθη δὲ τῷ μέλλοντι, ἐπειδὴ μηδὲ ἡ μετοχή· ὧν γὰρ αἱ μετοχαὶ συνεμπίπτουσιν, τούτων καὶ τὰ ἀπαρέμφατα. Εἰ δὲ λέγοι τις, πῶς οὖν δευτέρου ἀορίστου καὶ μέλλοντος αἱ μετοχαὶ μὲν συνέπεσον, τὰ δὲ ἀπαρέμφατα οὔ, ἴστω ὅτι αἱ μετοχαὶ αὐτῶν φωνῇ μὲν συνέπεσον, τόνῳ δὲ διεστάλησαν· ἀορίστου γὰρ δευτέρου τυπών ὀξυτόνως, μέλλοντος δὲ τυπῶν περισπω- 30 μένως· τὸ μέντοι ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, ὀξυνθῆναι μὴ δυνάμενον καθὸ οὐκ ἔστι ῥῆμα ὀξυνόμενον, ἐξ ἀνάγκης περιεσπάσθη, 1026 b καὶ οὕτω συνέπεσε τῷ τοῦ δευτέρου μέλλοντος.

Μέλλοντος πρώτου.

Τύψειν: πᾶς μέλλων κατὰ τὸ τρίτον πρόσωπον τὸ ν̄ προσλαβὼν ἀπαρέμφατον ποιεῖ, λέξω λέξεις λέξει λέξειν.

Ἀορίστου δευτέρου καὶ μέλλοντος.

Τυπεῖν: ὁ δεύτερος μέλλων κατὰ τὸ τρίτον πρόσωπον προσλαβὼν

[Discr. scr. in LCBGb] **2** ἐχρύσου χρυσοῦν BGb, ἐχρύσουν χρυσοῦ L, ἐχρύσου χρυσοῦ C ‖ **3** *nominativum habet* G; *item v. 6. 9. 20. 23* ‖ **4** πᾶς – τύπτου (*p. 65, 20*) *om* L; *in eius p. 179 lin. 8 et seqq. usque ad p. 182, quas manus prima vacuas reliquit, exaravere posteriores grammatica et theologica varia. cfr. Dion. Thr. ed. Uhl. praef. p. XXVI*

[Discr. scr. in CBGb] **5** προσλ. τὴν ναι ἀπαρέμφ. Bb ‖ **11** μέλλοντι] ῥήματι G ‖ **12** ἐπειδὴ μηδὲ Bb, ἐπεὶ μὴ C, ἐπεὶ μὴ δὲ G ‖ **13** λέγοι τις CG, τις λέγοι Bb ‖ **16** *post* ὀξυτόνως *add* ἡ μετοχή B | *post* μέλλοντος δὲ *add* δευτέρου C ‖ **17** μὴ δυνάμ. ὀξυνθῆναι Bb ‖ **19** οὕτως C | τῷ] τὸ C | τῷ — μέλλ.] τῷ δευτέρῳ μέλλοντι G ‖ **20** Μέλλοντος πρώτου b, μέλλων ᾱ^ος C BG ‖ **21** προσλ. τὸ ν̄ G ‖ **23** Ἀορίστου — μέλλοντος] μέλλων δεύτερος B ‖ **24** προσλαβὼν τὸ ν̄ Bb, προσλαμβάνων τὸ ν̄ C, τὸ ν̄ προσλαβὼν G

[Testim. ex ΣE] **5** τὴν ναι προσλαβὼν *E*, προσλαμβάνοντες τὴν ναι συλλαβὴν $Σ^χ$ *723, 33* g ‖ **17** ὀξυνθῆναι μὴ δυνάμενον *test.* E^s ‖ **24** προσλαμβάνων τὸ ν̄ $Σ^χ$ *729, 31* g

τὸ ν̄ τὸ ἀπαρέμφατον ποιεῖ τοῦ ἀορίςτου καὶ μέλλοντος, νυγῶ νυγεῖς νυγεῖ νυγεῖν.

Ἀπαρέμφατα παθητικά.
Χρόνου ἐνεςτῶτος καὶ παρατατικοῦ.

Τύπτεςθαι: πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐν τῷ τρίτῳ προςώπῳ τὸ τ̄ κλιτικὸν τρέπον τὴν ἐςχάτην εἰς θαι̅ καὶ τὴν κατ' ἀρχὰς κλιτικὴν ἔκταςιν ςυςτεῖλαν ἀπαρέμφατον ποιεῖ· καὶ εἰ μὲν καθαρεύοι τὸ τ̄, καὶ ς̄ προςλαμβάνει, εἰ δὲ ςυμφώνῳ παραλήγοιτο, τηρεῖται τὸ ςύμφωνον· εἰ δὲ ψιλῷ, εἰς δαςὺ τρέπεται· τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι ὁ παρακείμενος τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκταςιν οὐδαμοῦ ἀποβάλλει. Γίνονται οὖν οἱ χρόνοι οὕτως· ἐνεςτὼς καὶ παρατατικὸς τύπτεται τύπτεςθαι, παρακείμενος καὶ ὑπερςυντέλικος τέτυπται τετύφθαι [ἀόριςτος πρῶτος ἐτύφθη τυφθῆναι, ἀόριςτος δεύτερος ἐτύπη τυπῆναι] μέςος ἀόριςτος πρῶτος ἐτύψατο τύψαςθαι, μέςος ἀόριςτος δεύτερος ἐτύπετο τυπέςθαι, μέλλων πρῶτος τυφθήςεται τυφθήςεςθαι, μέλλων δεύτερος τυπήςεται τυπήςεςθαι, μέςος μέλλων πρῶτος τύψεται τύψεςθαι, μέςος μέλλων δεύτερος τυπεῖται τυπεῖςθαι, μετ' ὀλίγον μέλλων τετύψεται τετύψεςθαι. Ἀόριςτοι δὲ παθητικοὶ πρῶτος καὶ δεύτερος, ἐπεὶ μὴ ἔχουςιν ἐν τῷ τρίτῳ προςώπῳ κλιτικὸν τὸ τ̄, ἑτέρως γίνονται· κατὰ γὰρ τὸ τρίτον
1027 b πρόςωπον προςλαμβάνοντες τὴν ναι̅ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκταςιν ἀποβάλλοντες τὸ ἀπαρέμφατον ποιοῦςιν, ἐτύφθη τυφθῆναι, ἐτύπη τυπῆναι.

Περὶ προςτακτικῶν.

Καθόλου παντὸς προςτακτικοῦ τὸ πρῶτον πρόςωπον ἐπὶ παντὸς ἀριθμοῦ ἐπιλέλοιπεν, ἐπεὶ πρῶτόν ἐςτι πρόςωπον τὸ περὶ ἑαυτοῦ ἀποφαινόμενον, ἡ δὲ πρόςταξις πρὸς παρόν ἐςτι πρόςωπον ἀπόταςις· πῶς

[Discr. scr. in CBGb] **1** τὸ *ante* ἀπαρ. *om* G | *post* ἀορίςτου *add* δευτέρου G ‖ **3** Ἀπαρ. — παρατ.] περὶ παθητικῶν ἀπαρεμφάτων G ‖ **4** καὶ παρατατικοῦ *in contextu om, in marg. habet* C ‖ **5** τύπτεςθαι *om* G ‖ **6** τρέπων G | καταρχὰς G ‖ **7** καθαριεύοι Gb, καθαριεύοιτο C, καθαριεύει B ‖ **8** προςλαβάνει B | τηρεῖται] τινεῖται *sed supra pos. signo* ∴ C ‖ **10** αὐτοῦ κλιτικὴν C, κλιτικὴν ἑαυτοῦ Bb, ἑαυτοῦ κλιτικὴν G ‖ **11—17** *nominativos temporum habent* CG, *genetivos* Bb ‖ **14** ἐτύπτετο τύπτεςθαι G ‖ **17** ὀλίγον] ὀλίγου C | *post* μέλλοντος *add* τοῦ καὶ ἀττικοῦ Bb ‖ **18** ἀόριςτος G ‖ **19** προςώπῳ] προςώπον (*sic*) B ‖ **20** πρόςωπον C, πρόςωπον αὐτῶν Bb, ἑαυτῶν πρός. G | προςλαμβάνοντες Bb, προςλαβὼν C, προςλαβόντες G | ἀρχῇ G | κλητικὴν C ‖ **21** ἀποβαλλόντες (*sic*) CG | τὸ *om* G | ἐτύφθην C ‖ **23** προςτακτικοῦ C ‖ **25** πρῶτον ἐςτὶ G | περὶ Cb, περὶ *in contextu, et in marg. m.*² ὑπὲρ B, ὑπὲρ G | ἑαυτοῦ] αὐτοῦ C ‖ **26** ἀπόςταςις G

[Testim. ex *ΣE*] **7** καθαριεύει *Σ*ˣ (*730, 21* g) *E* ‖ **10** ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν *Σ*ˣ *731,2* g (*in* C), ἐν ἀρχαῖς κλιτικὴν *Σ*ˣ (*in* V), ἐν ἀρχαῖς κλητικὴν αὐτοῦ *Σ*ˣ (*in* O) ‖ **20** αὐτῶν πρόςωπον *Σ*ˣ *736, 32* g (*in* C), ἑαυτῶν πρός. *Σ*ˣ (*in* VO), πᾶς παθητικὸς ἀόριςτος κατὰ τὸ τρίτον ἑαυτοῦ πρόςωπον *E* ‖ **25** περὶ *E*ˢ, *modo* ὑπὲρ *modo* περὶ *Σ*ˣ *738, 12. 14. 18. 21* g

οὖν δυνατὸν ἦν ἐν μιᾷ φωνῇ περὶ ἑαυτοῦ τε ἀποφαίνεσθαί τινα καὶ πρὸς ἕτερον ποιεῖσθαι τὸν λόγον;

Προστακτικὰ ἐνεργητικά.
Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Τύπτε: πᾶν τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ παρατατικοῦ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλον προστακτικὸν γίνεται, ἔτυπτε τύπτε, ἐποίει ποίει, ἐβόα βόα. τυπτέτω: πᾶν δεύτερον προστακτικὸν ἐνεργητικὸν εἰς φωνῆεν λῆγον, πλὴν τῶν εἰς θι, προσθέσει τοῦ τω τρίτον γίνεται, λέγε λεγέτω, ποίει ποιείτω.

Δυϊκά. Τύπτετον, τυπτέτων: τὸ μὲν δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τῆς τε εἰς τον, τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου· πᾶν γὰρ δυϊκὸν ἐν προστακτικοῖς τροπῇ τοῦ ο εἰς ω τὸ τρίτον ποιεῖ, ποιεῖτον ποιείτων.

Πληθυντικά. Τύπτετε, τυπτέτωσαν: ἄμφω τὰ πληθυντικὰ ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται· τὸ γὰρ τρίτον τῶν ἑνικῶν τροπῇ μὲν τοῦ ω εἰς ε δεύτερον πληθυντικὸν γίνεται, λεγέτω λέγετε, τετυφέτω τετύφετε, προσθέσει δὲ τῆς σαν τὸ τρίτον ποιεῖ, τυπτέτω τυπτέτωσαν, βοάτω βοάτωσαν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Τέτυφε: τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρακειμένου δεύτερόν ἐστι προστακτικόν, τέτυφε ἐκεῖνος τέτυφε σύ, πεποίηκε ἐκεῖνος 1028 b
πεποίηκε σύ. τετυφέτω.

Δυϊκά. Τετύφετον, τετυφέτων.

Πληθ. Τετύφετε, τετυφέτωσαν.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Τέτυπε, τετυπέτω.

Δυϊκά. Τετύπετον, τετυπέτων.

Πληθ. Τετύπετε, τετυπέτωσαν: ἡ αὐτὴ τεχνολογία τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ τοῦ μέσου.

[Discr. scr. in CBGb] **1** τε *om* BG ‖ **3** Προστ. ἐνεργ. *om* CG ‖ **4** χρόνου *om* CG ‖ **5** πᾶν] τὸ G ‖ **6** ἐν ἀρχαῖς C, ἐν ἀρχῇ BGb | ἀποβαλὸν δεύτερον γίνεται προστακτικὸν G ‖ **7** *post* βόα *add* ἐχρύσου χρύσου Bb ‖ **9** λέγε] λέγετε G ‖ **10** τῶν δυϊκῶν *om* C ‖ **15** γίνονται G ‖ **16** τοῦ *ex* τῆς *corr.* C[1] ‖ **17** σαν] αν C | ποιεῖ Cb, γίνεται G, *om* B ‖ **21** τέτυφεν ἐκ. Bb | πεπ. ἐκ πεπ. σύ *om* G | πεποίηκεν ἐκ. CBb ‖ **22** *post* τετυφέτω *add* εἴρηται G ‖ **24** τετύφατε C **25** *nominativum habet* C ‖ **28** *ante* τεχνολ. *supra scr.* ἐστι B ‖ **29** καὶ ὑπερσ. *om* C

[Testim. ex ΣE] **6** ἐν ἀρχαῖς Σ^{χ} *741, 2* g, συστολῇ τῆς ἀρχούσης **E** | ἀποβάλλον Σ^{χ} (*in* VO), ἀποβαλὸν Σ^{χ} (*in* C) ‖ **7** ἐχρύσου χρύσου *inter multa exempla add* Σ^{χ} *741, 6* (*in* C) ‖ **10** τῶν δυϊκῶν *add* Σ^{χ} *743, 4* g ‖ **21** τέτυφε ἐκ. — πεποίηκε ἐκ.] ν *ephelc. ubique om* Σ^{χ} *745, 15—17* g ‖ **29** καὶ ὑπερσυντελίκου *praeb.* Σ^{χ} *746, 31* g

Ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Τύψον: ἔδει μὲν καὶ τὸν ἀόριστον ἐκ τοῦ ἰδίου ὁριστικοῦ τρίτου προσώπου γίνεσθαι, ἔτυψε ἐκεῖνος τύψε σύ, ἀλλ' ἐκρατήθη Συρακουσίῳ ἔθει· ἐκεῖνοι γὰρ τὰ εἰς ε̅ προστακτικὰ εἰς ο̅ν̅ μεταποιοῦσιν, τὸ λάβε λάβον λέγοντες καὶ τὸ ἄνελε ἄνελον· οὕτω καὶ τὸ τύψε τύψον. τυψάτω: ἔδει μὲν κατὰ τὴν ἀναλογίαν τῶν εἰς ε̅ προστακτικῶν διὰ τοῦ ε̅τ̅ω̅ εἶναι τὸ τρίτον, ἀλλ' ἐπεὶ πανταχοῦ ὁ ἀόριστος φιλεῖ τὸ α̅· τὸ γὰρ ὁριστικὸν ἔτυψα, ἡ μετοχὴ τύψας, τὸ ἀπαρέμφατον τύψαι, τὸ εὐκτικὸν τύψαιμι· τούτου χάριν οὐδὲ τὸ προστακτικὸν ἐχωρίσθη τοῦ α̅.

Δυϊκά. Τύψατον, τυψάτων.

Πληθ. Τύψατε, τυψάτωσαν.

Ἀορίστου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Τύπε: τὸ τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλον προστακτικὸν γίνεται, ἔνυγον ἔνυγες ἔνυγε νύγε. τυπέτω.

Δυϊκά. Τύπετον, τυπέτων.

Πληθ. Τύπετε, τυπέτωσαν.

1029 b

Προστακτικὰ παθητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Τύπτου: τὸ δεύτερον πρόσωπον τοῦ παθητικοῦ παρατατικοῦ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν συστεῖλαν προστακτικὸν γίνεται, ἐποιοῦ ποιοῦ, ἐβοῶ βοῶ, ἐχρυσοῦ χρυσοῦ. τυπτέσθω: τὰ εἰς τ̅ω̅ τρίτα

[DISCR. SCR. IN CBGb] **1** Ἀορίστου — μέλλοντος G, ἀόριστος α̅ καὶ μέλλων C, ἀορίστου καὶ μέλλοντος β̅ου B, ἀορίστου καὶ μέλλοντος πρώτου b ‖ **2** ἐκ BGb, ἀπὸ C ‖ **3** ἔτυψε G, ἔτυψεν CBb | ἐκρατήθει C | Συρακουσίω ἔθει CG, Συρακουσίων ἔθος Bb ‖ **7** ἐπειδὴ G | φιλεῖ CBb, φιληδεῖ G | τὸ α̅ Bb, διὰ τοῦ α̅ C, τῶ α̅ G ‖ **8** ἔτυψα *ex* ἔτυφα *corr.* C' | ἡ μετοχὴ τύψας C, καὶ τύψας ἡ μετοχή Bb, καὶ ἡ μετ. τύψας G | τὸ *ante* ἀπαρ. *et ante* εὐκτ. *om* G ‖ **12** Ἀορίστου — μέλλοντος G, ἀόριστος β̅ καὶ μέλλων C, ἀορίστου καὶ μέλλοντος δευτέρου Bb ‖ **13** τύπτε G | *post* Τύπε *add* τυπέτω C ‖ **14** κλητικὴν C | ἀποβαλὸν G ‖ **15** νύγε *om* C ‖ **20** τὸ δεύτ.] *iterum incipit* L *p. 183*

[DISCR. SCR. IN LCBGb] **21** κλητικὴν L ‖ **22** ἐποιοῦ BG, ἐποίου LCb | ἐβοῶ BG, ἐβόω Cb, βόω L | ἐχρ. χρ. *om* G | ἐχρύσου LCBb | χρύσου B | τυπέσθω G | εἰς τ̅ω̅ BGb, εἰς ω̅ LC

[TESTIM. EX **ΣE**] **1** ἀόριστος α' καὶ μέλλων Σ^{χ} (*747, 1* g) E^{g} ‖ **2** ἐκ Σ^{χ} *747, 4* g (*in* VO) ***E***, ἀπὸ Σ^{χ} (*in* C) ‖ **3** ἐγένετο εἰς ο̅ν̅ τὸ προστακτικὸν τοῦ α' ἀορίστου καὶ μέλλοντος Συρρακουσίων (Συρρακουσίω O) ἔθει Σ^{χ} *747, 10* g, ἐκρατήθη Συρρακουσίῳ ἔθει E^{g}, ἐπεκράτησε Συρακουσίων ἔθος E^{o}, οἱ δέ φασιν ὅτι Συρακουσίων ἔθος ἐστίν Σ^{σ} ‖ **7** φιληδεῖ τὸ α̅ $\Sigma^{\sigma} E^{g}$, φιλεῖ τὸ α̅ E^{b}, χαίρει τῷ α̅ Σ^{χ} *753, 14* g ‖ **8** ἡ μετοχὴ ὁ τύψας ***E***, ἐν ταῖς μετοχαῖς οἷον τύψας Σ^{χ} *753, 15* g ‖ **12** ἀορίστου β' καὶ μέλλοντος Σ^{χ} *754, 8* g, ἀόριστος δεύτερος καὶ μέλλων E^{g} ‖ **14** ἀποβαλὼν Σ^{χ} *754, 13* g (*in* VO), ἀποβαλὸν $\Sigma\chi$ (*in* C)

ἐνεργητικὰ τροπῇ τοῦ τω εἰς σθω παθητικὰ γίνεται, νοείτω νοείσθω, λεγέτω λεγέσθω· ἑνὶ δὲ λόγῳ πᾶν δεύτερον πρόσωπον πληθυντικὸν ὁριστικὸν τῶν παθητικῶν ἢ μέσων τροπῇ τοῦ ε εἰς ω προστακτικὸν γίνεται τρίτον, τύπτεσθε τυπτέσθω, τέτυφθε τετύφθω, ἐτύφθητε τυφθήτω, ἐτύπητε τυπήτω, ἐτύψασθε τυψάσθω, ἐτύπεσθε τυπέσθω.

Δυϊκά. Τύπτεσθον: ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν. τυπτέσθων: ἐκ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ ο εἰς ω.

Πληθ. Τύπτεσθε: ἐκ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ ω εἰς ε. τυπτέσθωσαν: ἐκ τοῦ τρίτου τῶν ἑνικῶν προσθήκῃ τῆς σαν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Τέτυψο: τὸ δεύτερον πρόσωπον τοῦ ὑπερσυντελίκου συστολῇ τῆς ἀρχούσης προστακτικὸν γίνεται, ἐλελέγμην ἐλέλεξο λέλεξο. τετύφθω: δύναται καὶ ἀπὸ τοῦ τετυφέτω τετυφέσθω καὶ ἐν συγκοπῇ τετύφθω εἶναι, καὶ ἀπὸ τοῦ τέτυφθε τετύφθω γεγονέναι.

Δυϊκά. Τέτυφθον, τετύφθων.

Πληθ. Τέτυφθε, τετύφθωσαν.

Ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Τύφθητι: πᾶσα μετοχὴ εἰς ς ὀξύτονος διὰ τοῦ ντ κλινομένη εἰς θι ποιεῖ τὸ προστακτικόν, διδούς δίδοθι, ἱστάς ἵσταθι· οὕτως οὖν τυφθείς τύφθηθι ἔδει εἶναι, ἀλλὰ διὰ τὸ κακόφωνον τῆς ἐπαλληλίας τῶν δασέων τύφθητι φαμὲν διὰ τοῦ τ. τυφθήτω: τὰ εἰς θι προς- 1030 b
τακτικὰ τροπῇ τῆς θι εἰς τω τὸ τρίτον ποιοῦσι, δίδοθι διδότω, ἵσταθι ἱστάτω.

[Discr. scr. in LCBGb] **1** τοῦ τω BGb, τοῦ ω LC | εἰς σθω] εἰς θω LCBGb ‖ **2** λεγέσθω λεγέτω *traicit* C ‖ **3** μέσων] μέσω L | εἰς ω] εἰς ωι L ‖ **4** τρίτον γίνεται *traicit* C | τύπεσθε τυπέσθω G | τέτυφθε] τύπετε C | ἐτύφθητε CBb, τύφθητε LG ‖ **5** ἐτύπητε CBb, τυπῆτε L, τύπητε G | ἐτύψασθε CBb, τύψασθε LG | ἐτύπεσθε τυπέσθω *om* G | ἐτύπεσθε] τύπεσθε L ‖ **6** τύπεσθον G | *post* δευτέρου *add* γέγονε G | τυπέσθων G | τυπτέσθων *post* Τύπτεσθον *transp.* b, *om* CB ‖ **7** ἐκ τοῦ ἰδίου δευτέρου *om* CBb | τροπῇ τοῦ ο εἰς ω *om* Bb ‖ **8** τύπεσθε G | ἐκ τοῦ — εἰς ε *om* C ‖ **9** ἐκ τοῦ — τῆς σαν *om* C | προσθέσει BGb | τῆς σαν G, τῆς αν L, τοῦ σαν Bb ‖ **11** *ante* ὑπερσυντ. *add* παθητικοῦ CG ‖ **12** ἐλελέξω λελέξω L ‖ **13** τετυφθέτω τετυφθέσθω L ‖ **14** *ante* καὶ ἀπὸ *add* δύναται CBb | τέτυφθε] τέτυφθαι L ‖ **16** τετυφθέτωσαν C ‖ **17** ἀορίστου καὶ μέλλοντος πρώτου Bb, ἀόριστος πρῶτος καὶ μέλλων G ‖ **18** εἰς σς ὀξύτονον C ‖ **19** προστατικόν L | οὕτως οὖν] οὕτω C ‖ **20** εἶναι *om* C ‖ **21** τύφθητι φαμέν G, τύφθητί φαμεν LBb, τίφθητί φαμεν C | προτακτικὰ L ‖ **22** τῆς θι L, τοῦ θι CBGb | εἰς τω] εἰς ω L | ποιοῦσι L, ποιοῦσιν C, ποιεῖ BGb | δίδωθι C

[Testim. ex ΣE] **9** προσθήκῃ τῆς σαν Σ^χ *758,33* g, προσθέσει τῆς σαν E^g ‖ **11** παθητικοῦ *ante* ὑπερσυντελίκου *add* Σ^χ *759, 3* g (*in* VO) E ‖ **17** Ἀορίστου παθητικοῦ α' ⟨καὶ⟩ μέλλοντος Σ^χ *760,12* g (*in* C), ἀόριστος πρῶτος καὶ μέλλων Σ^χ (*in* VO) E^g ‖ **18** εἰς ς ὀξύτονον E^g ‖ **22** τῆς θι Σ^χ *762, 15* g (*in* CV) E^g, τοῦ θι Σ^χ (*in* O) E^b | ποιοῦσιν Σ^χ *762, 15* g, ποιεῖ E

Δυϊκά. Τύφθητον, τυφθήτων.
Πληθ. Τύφθητε, τυφθήτωσαν.

Ἀορίστου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Τύπηθι: ὁμοίως τῷ πρώτῳ γέγονεν ἀπὸ τῆς τυπείς μετοχῆς· ἐνταῦθα δέ, ἐπειδὴ μὴ παρηνώχλει τὰ δασέα, τὸ $\bar{\theta}$ προσῆλθεν ἐν τῷ τέλει. τυπήτω.

Δυϊκά. Τύπητον, τυπήτων.
Πληθ. Τύπητε, τυπήτωσαν.

Μέσου ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Τύψαι: ὁ εἰς $\bar{\alpha}$ λήγων ἀόριστος προσθέσει τοῦ $\bar{\iota}$ καὶ συστολῇ τῆς ἀρχούσης μέσος προστακτικὸς γίνεται· διὸ καὶ διὰ διφθόγγου γράφεται, ἔλουσα λοῦσαι, ἤσπασα ἄσπασαι. τυψάσθω.

Δυϊκά. Τύψασθον, τυψάσθων.
Πληθ. Τύψασθε, τυψάσθωσαν.

Μέσου ἀορίστου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Τυποῦ: ὁ μέσος δεύτερος ἀόριστος τοῦ δευτέρου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν συστείλας τὸ ἴδιον προστακτικὸν ποιεῖ, ἐλαβόμην ἐλάβου λαβοῦ, ἐπραθόμην ἐπράθου πραθοῦ· ταῦτα δὲ παραλόγως Ἀττικοὶ περισπῶσιν. τυπέσθω.

Δυϊκά. Τύπεσθον, τυπέσθων.
Πληθ. Τύπεσθε, τυπέσθωσαν.

[Discr. scr. in LCBGb] **3** Ἀορίστου — μέλλοντος L, ἀόριστος β' καὶ μέλλων CG, ἀορίστου καὶ μέλλοντος δευτέρου Bb ‖ **4** *post* Τύπηθι *add* τυπήτω LBG ‖ **5** ἐπειδὴ LCGb, ἐπεὶ B | παρηνώχλει G *et Bachmannus AG 1, 437, 26,* παρεινώχλει L, παρηνώχλη C, παρηνόχλει Bb | δασέα] ψιλὰ G | τὸ $\bar{\theta}$] τοῦ $\bar{\theta}$ L ‖ **6** τῷ] τὸ L | τυπήτω *om* LBG; *cfr. l. 4* ‖ **9** Μέσου — μέλλοντος L, μέσος ἀόριστος $\bar{\alpha}$ καὶ μέλλων CG, μέσου ἀορίστου καὶ μέλλοντος πρώτου Bb ‖ **10** εἰς $\bar{\alpha}$ λήγων] εἰς $\bar{\alpha}$ λῆγον L, ἐνεργητικὸς CBGb ‖ **12** λοῦσαι] λούσω C | ἄσπασαι] σπᾶσαι L ‖ **15** Μέσου — μέλλοντος L, μέσος ἀόριστος $\bar{\beta}$ καὶ μέλλων CG, μέσου ἀορίστου καὶ μέλλοντος δευτέρου Bb ‖ **17** ἐν ἀρχῆς L | κλητικὴν L ‖ **18** λαβοῦ *om* C | ἐπραθόμην — πραθοῦ *hab.* LCBGb ‖ **19** περισποῦσιν L

[Testim. ex *ΣE*] **3** Ἀορίστου δευτέρου καὶ μέλλοντος Σ^{χ} *762, 25* g, ἀόριστος δεύτερος καὶ μέλλων E^{g} ‖ **9** Μέσου ἀορίστου πρώτου καὶ μέλλοντος Σ^{χ} *763, 1* g, μέσος ἀόριστος πρῶτος καὶ μέλλων E^{g} ‖ **10** εἰς $\bar{\alpha}$ λήγων *E*, ὁ πρῶτος ἀόριστος ἐνεργητικὸς ὁριστικὸς Σ^{χ} *763, 5* g ‖ **15** Μέσου ἀορίστου δευτέρου καὶ μέλλοντος Σ^{χ} *766, 30* g (*in* CO), μέσος ἀόριστος δεύτερος καὶ μέλλων Σ^{χ} (*in* V) E^{g} ‖ **18** *pro miro illo* ἐπραθόμην Σ^{χ} *767, 3* g *habent* ἐπυθόμην

Περὶ εὐκτικῶν.

Εὐκτικὰ ἐνεργητικά.

Χρόνου ἐνεςτῶτος καὶ παρατατικοῦ.

Ἑνικά. **Τύπτοιμι**: πᾶσα μετοχὴ ἐνεργητική, τὸ τέλος τῆς γενικῆς τρέψαςα εἰς μι καὶ πρὸ τοῦ μ δεξαμένη τὸ ι παραιτηςαμένη τε τὰ μὴ δυνάμενα ςὺν αὐτῷ ἀκουςθῆναι ςτοιχεῖα, τὸ εὐκτικὸν ἐνεργητικὸν ποιεῖ, 1031 b τύπτων τύπτοντος τύπτοιμι, τετυφώς τετυφότος τετύφοιμι· εἰ μέντοι εἴη εἰς ς ὀξύτονος ἡ μετοχὴ διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς οὐκ εἰς μι ἀλλ' εἰς ην τρέπεται, δοθείς δοθέντος δοθείην, ςτάς ςτάντος ςταίην. **τύπτοις**: πᾶν ῥῆμα εἰς μι λῆγον τροπῇ τῆς μι εἰς ς τὸ δεύτερον ποιεῖ, λέγοιμι λέγοις, τίθημι τίθης. **τύπτοι**.

Δυϊκά. **Τύπτοιτον, τυπτοίτην**: καθόλου τὰ δυϊκὰ τῶν εὐκτικῶν εἰς ην ἔχει τὸ τρίτον· οὐχ ὁμοφωνεῖ γὰρ τῷ δευτέρῳ διὰ τὸ μὴ εἶναι τὸ τρίτον τῶν πληθυντικῶν εἰς ςι ἢ εἰς ται.

Πληθ. **Τύπτοιμεν**: τὰ εἰς μι τροπῇ τῆς μι εἰς μεν τὸ πληθυντικὸν ποιεῖ, λέγοιμι λέγοιμεν. **τύπτοιτε**: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς τε· οὐδέποτε δὲ τὰ εὐκτικὰ τὴν παραλήγουςαν τρέπει. **τύπτοιεν**: τὰ εἰς μεν εὐκτικά, εἰ μὲν διφθόγγῳ παραλήγοιτο, ἀποβολῇ τοῦ μ τὸ τρίτον ποιεῖ, λέγοιμεν λέγοιεν, τύψοιμεν τύψοιεν· εἰ δὲ μονοφθόγγῳ, εἰς ςαν, δαρείημεν δαρείηςαν καὶ δοίημεν δοίηςαν· ὡς δὲ γίνεται κατὰ ςυγκοπήν, ⟨N 378⟩ **δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίςτην**, τότε καὶ τὸ τρίτον, ⟨A 18⟩ **ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες.**

[Discr. scr. in LCBGb] **1** Περὶ εὐκτικῶν *om* LG ‖ **4** τύπτειμι L ‖ **5** τοῦ μ BGb, τοῦ μι L, τῆς μι C | τὸ ι] τοῦ ι L | τὲ G ‖ **6** αὐτῷ L, αὐτῇ CB Gb | ςτοιχεῖα] τυχεῖα L | ἐνεργ. εὐκτ. ποιεῖ Bb ‖ **7** τύπτων] τύπτον C | τετυφώς] τετυφῶςιν L ‖ **8** εἰς ς] εἰς ςς C | ἡ *om* G ‖ **9** εἰς μι] εἰς μ L | ςτάς] ςτάςιν *et in marg.* ἡ L ‖ **10** τύπτοις — τίθης (**11**) *om* L | τῆς μι Bb, τοῦ μι CG ‖ **12** Δυϊκά — τυπτοίτην *om* L ‖ **13** ἔχει LG, ἔχουςι CBb ‖ **15** τύποιμεν L | *post* εἰς μι *add* εὐκτικὰ CBb | τὸ *om* G ‖ **16** τύπτοιτο L | *post* πρώτου *add* τῶν πληθυντικῶν C | γέγονεν L ‖ **18** εἰ μὲν BGb, εἰς μεν L, *om* C ‖ **19** τοῦ μ *om* L | ποιεῖ LG, ποιοῦςι CBb | λέγοιμεν] λέγοιμι C | τύψοιμεν τύψοιεν LG, τύψοιεν τύψοιμι C, τύψαιμεν τύψαιεν Bb ‖ **20** μονοφθόγγῳ BGb, μόνῳ διφθόγγῳ LC | εἰς ςαν BGb, εἰς αν LC | δοίειςαν L ‖ **21** *post* ςυγκοπήν *add* δοῖμεν ὅμηρος Bb | δ' ἀτρείδα ὁ θύγατρον L ‖ **23** δώματα C

[Testim. ex ΣE] **5** πρὸ τῆς μι *E* ‖ **6** αὐτῷ E^g, αὐτῇ E^b | ἐνεργητικὸν *om* $Σ^χ$ (*774, 29* g) *E* ‖ **10** τῆς μι *testantur* $Σ^χ$ (*776, 15* g) *E* ‖ **13** ἔχει *E*, εἰς ην λήγουςιν $Σ^χ$ *776, 31* (*in* CO), εἰς ην λήγει $Σ^χ$ (*in* V) ‖ **15** εὐκτικὰ *non legerunt* *E*: πᾶν ῥῆμα εἰς μι λῆγον τροπῇ κτλ., *add* $Σ^χ$ *777, 1* g | τὸ πληθυντικὸν *E*, τὸ πρῶτον πρόςωπον τῶν πληθυντικῶν $Σ^χ$ *777, 2* g ‖ **16** τῶν πληθυντικῶν *add* $Σ^χ$ *777, 6* g (*in* C) ‖ **19** τοῦ μ *testantur* $Σ^χ$ (*777, 13* g) *E* | ποιεῖ *E*, ποιοῦςιν $Σ^χ$ ‖ **20** μονοφθόγγῳ *E*, εἰ δὲ ἑνὶ φωνήεντι παραλήγονται $Σ^χ$ *777, 17* g

Παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Τετύφοιμι: ἡ μετοχὴ τετυφώϲ τετυφότοϲ καὶ τὸ εὐκτικὸν τετύφοιμι λέγεται· εἰϲ ϲ̄ μὲν γὰρ ἦν ὀξύτονοϲ ἡ μετοχή, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ν̄τ̄· διὸ οὐκ ἐποίηϲε τὸ εὐκτικὸν εἰϲ ῆν̄. τετύφοιϲ, τετύφοι.

Δυϊκά. Τετύφοιτον, τετυφοίτην.

Πληθ. Τετύφοιμεν, τετύφοιτε, τετύφοιεν: εἴρηται.

Μέϲου παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Τετύποιμι, τετύποιϲ, τετύποι.

1032 b Δυϊκά. Τετύποιτον, τετυποίτην.

Πληθ. Τετύποιμεν, τετύποιτε, τετύποιεν: πρόδηλοϲ ἡ τεχνολογία ἀπὸ τῆϲ τετυπώϲ μετοχῆϲ.

Ἀορίϲτου πρώτου.

Ἑνικά. Τύψαιμι, τύψαιϲ, τύψαι.

Δυϊκά. Τύψαιτον, τυψαίτην.

Πληθ. Τύψαιμεν, τύψαιτε, τύψαιεν: πρόδηλοϲ ἡ τεχνολογία ἀπὸ τῆϲ τύψαϲ μετοχῆϲ.

Ἀορίϲτου δευτέρου.

Ἑνικά. Τύποιμι, τύποιϲ, τύποι.

Δυϊκά. Τύποιτον, τυποίτην.

Πληθ. Τύποιμεν, τύποιτε, τύποιεν: πρόδηλοϲ ἡ τεχνολογία ἀπὸ τῆϲ τυπών μετοχῆϲ.

Μέλλοντοϲ πρώτου.

Ἑνικά. Τύψοιμι, τύψοιϲ, τύψοι.

Δυϊκά. Τύψοιτον, τυψοίτην.

Πληθ. Τύψοιμεν, τύψοιτε, τύψοιεν: πρόδηλοϲ ἡ τεχνολογία ἀπὸ τῆϲ τύψων μετοχῆϲ.

Μέλλοντοϲ δευτέρου.

Ἑνικά. Τυποῖμι, τυποῖϲ, τυποῖ.

Δυϊκά. Τυποῖτον, τυποίτην.

Πληθ. Τυποῖμεν, τυποῖτε, τυποῖεν: πρόδηλοϲ ἡ τεχνολογία ἀπὸ τῆϲ τυπῶν μετοχῆϲ.

[Discr. scr. in LCBGb] **1** *nominativum habet* C ‖ **3** λέγεται L, *om* CBGb | γὰρ ἦν *om* C | ὀξυτόνωϲ C | οὐ κλίνεται LBb, οὐκ ἐκλίνετο CG ‖ **4** τετύφοιϲ τετύφοι *om* C ‖ **7** τετύφοιεν] τετύφοιμεν L | εἴρηται *om* CG ‖ **8** Μέϲου *om* L ‖ **15** τυψέτην B ‖ **16** πρόδηλοϲ — μετοχῆϲ (**17**) *om* C ‖ **22** τυπών] τύψαϲ L ‖ **27** ἀπὸ *om* L ‖ **29** τύποιμι . τύποιϲ . τύποι L ‖ **30** τύποιτον . τυποίτην L ‖ **31** τύποιμεν . τύποιτε . τύποιεν L ‖ **32** τυπῶν] τύπτων L, τυπών G

Εὐκτικὰ παθητικά.

Χρόνου ἐνεςτῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Τυπτοίμην: πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ̄ κλιτικόν, τρέπον τὴν ἐςχάτην εἰς μην καὶ τὸ ῑ δεχόμενον πρὸ τοῦ μ̄, τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκταςιν ςυςτεῖλαν εὐκτικὸν γίνεται, τύπτομαι τυπτοίμην, ἐτυψάμην τυψαίμην, τυφθήςομαι τυφθηςοίμην. τύπτοιο: ὅςα τῶν εὐκτικῶν ἐν τῷ τρίτῳ προςώπῳ ἔχει κλιτικὸν τὸ τ̄ ἀποβολῇ αὐτοῦ τὸ δεύτερον ποιεῖ, τύπτοιτο τύπτοιο, τύψαιτο τύψαιο. τύπτοιτο: 1033 b
τὸ τρίτον ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μ̅η̅ν̅ εἰς τ̅ο̅.

Δυϊκά. Τυπτοίμεθον, τύπτοιςθον, τυπτοίςθην.

Πληθ. Τυπτοίμεθα: πᾶν πρῶτον πρόςωπον ἔχον τὸ μ̄ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς ἐςχάτης εἰς μ̅ε̅θ̅α̅ τὸ πληθυντικὸν ποιεῖ. τύπτοιςθε: εἴπομεν ὡς πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ̄ κλιτικὸν τρέπον τὴν ἐςχάτην εἰς θ̅ε̅ δεύτερον πληθυντικὸν ποιεῖ· καὶ ἐὰν μὲν καθαρεύῃ τὸ τ̄, καὶ τὸ c̄ προςλαμβάνει, εἰ δὲ ψιλῷ παραλήγοιτο, εἰς δαςὺ αὐτὸ τρέπει. τύπτοιντο: πᾶν τρίτον πρόςωπον ἔχον τὸ τ̄ κλιτικὸν πρὸ τοῦ τ̄ δεχόμενον τὸ ν̄ τρίτον πληθυντικὸν γίνεται μετὰ τοῦ φυλάςςειν τὴν παραλήγουςαν τοῦ πρώτου προςώπου.

Παρακειμένου καὶ ὑπερςυντελίκου.

Ἑνικά. Τετυμμένος εἴην: ὅτε μὲν καθαρὰν ἔχει τὴν ἐςχάτην ὁ παθητικὸς παρακείμενος, τῷ κοινῷ κανόνι τὸ εὐκτικὸν ποιεῖ, κέκλημαι κεκλῄμην, δέδημαι δεδῄμην· ὅτε δὲ ἑτέρῳ ςυμφώνῳ πρὸ τοῦ μ̄

[Discr. scr. in LCBGb] **1** εὐκτικὸν παθητικῶν L ‖ **2** Χρόνου *om* C ‖ **3** τύπτοιμεν L ‖ **4** κλιτικόν *om* LB | τρέπων C ‖ **5** *ante* τὴν *add* καὶ Bb | κλητικὴν L ‖ **6** ἐτυψάμην τυψαίμην *om* Bb | τυψαίμην] τύψαιμεν τύψαιμε L | *ante* τυφθήςομαι *add* τύψομαι τυψοίμην CBGb | τυφθής. τυφθης. *om* G | *post* τυφθηςοίμην *add* τυπήςομαι τυπηςοίμην Bb ‖ **7** ἔχῃ κλητικὸν L ‖ **8** αὐτοῦ] αὐτὸ G | τύψαιτο — τύπτοιτο *om* C ‖ **9** τὸ *om* L | τῆς μ̅η̅ν̅ LCG, τοῦ μ̅η̅ν̅ Bb ‖ **11** Πληθ. τυπτοίμεθα *om* C | κλητικὸν L ‖ **13** εἴπομεν L CG, εἴρηται Bb | ἑνικὸν *om* LC | κλητικὸν L | τρέπον — τρέπει (**15**) *om* B ‖ **14** καὶ ἐὰν LG, κἂν Cb | καθαρεύῃ] καθαρευῇ L, καθαριεύοι CGb ‖ **15** τὸ *ante* c̄ *om* CGb ‖ **16** *ante* πᾶν *add* εἴρηται ὡς Bb | πρόςωπον LGb, ἑνικὸν C, πρόςωπον ἑνικὸν B | κλητικὸν L | *ante* πρὸ *add* καὶ L | πρὸ τοῦ — προςώπου (**18**) *om* B ‖ **17** πληθυντικῶν G ‖ **20** *post* εἴην *add* εἴης εἴη G | ἔχει] ἔχῃ L ‖ **21** κέκλημαι κεκλῄμην CBb, κέκλειμαι (*et supra* ει *scr.* ι) καὶ κλίμην L, κέκλημαι κεκλείμην G ‖ **22** δέδημαι δεδῄμην CBb, δέδημαι δεδίμην L, δέδεμαι δεδείμην G

[Testim. ex ΣE] **4** κλιτικόν *test.* Σχ (*780, 24. 781, 22* g) **E** ‖ **5** τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκταςιν ςυςτεῖλαν *om* **E** ‖ **9** τῆς μ̅η̅ν̅ *test.* Σχ (*782, 29* g) **E** ‖ **13** ἑνικὸν Σχ (*783, 14* g) Eb, ἑνικῶν Eg ‖ **14** εἰ καθαριεύει Σχ (*783, 16* g) Eb ‖ **15** τὸ *ante* c̄ *hab.* Σχ, *om* Eb ‖ **16** πᾶν τρίτον ἑνικῶν Eg, πᾶν τρίτον ἑνικὸν Σχ (*784, 13* g) Eb ‖ **22** *pro* δέδημαι δεδῄμην Σχ (*784, 24* g) *in* VO *hab.* δέδεμαι δεδείμην, *in* C *hoc exemplum om* | ὅτε — παραλήγεται (**71, 1**) **E**, ἡνίκα — ἔχει Σχ *784, 28* g

παραλήγοιτο, τότε διὰ τὸ ἀcυcτατεῖν τὸ εὐκτικόν τε αὐτοῦ καὶ ὑποτακτικὸν διὰ μετοχῆc ἀναπληροῖ, τετυμμένοc εἴην — εἴηc — εἴη.

Δυϊκά. Τετυμμένω εἴητον — εἰήτην.

Πληθ. Τετυμμένοι εἴημεν — εἴητε — εἴηcαν.

Ἀορίcτου πρώτου.

Ἑνικά. Τυφθείην: εἴπομεν ὡc πᾶcα ὀξύτονοc μετοχὴ εἰc c̅ λήγουcα διὰ τοῦ ν̅τ̅ κλινομένη τὸ τέλοc τῆc γενικῆc τρέπουcα εἰc η̅ν̅ καὶ τὸ ῑ πρὸ τοῦ η̅ν̅ δεχομένη τὸ εὐκτικὸν ποιεῖ· ἔcτιν οὖν τυφθείc τυφθέντοc τυφθείην. τυφθείηc, τυφθείη.

Δυϊκά. Τυφθείητον, τυφθειήτην.

Πληθ. Τυφθείημεν, τυφθείητε, τυφθείηcαν.

1031 b Ἀορίcτου δευτέρου.

Ἑνικά. Τυπείην, τυπείηc, τυπείη.

Δυϊκά. Τυπείητον, τυπειήτην.

Πληθ. Τυπείημεν, τυπείητε, τυπείηcαν: πρόδηλοc ἡ τεχνολογία ἀπὸ τῆc τυπείc μετοχῆc.

Μέcου ἀορίcτου πρώτου.

Ἑνικά. Τυψαίμην: εἴπομεν ὡc ὅcα ἔχει τὸ μ̄ κλιτικόν, τρέποντα τὴν ἐcχάτην εἰc μ̅η̅ν̅ καὶ πρὸ τοῦ μ̄ δεχόμενα τὸ ῑ cυcτέλλοντά τε τὴν κατ' ἀρχὰc κλιτικὴν ἔκταcιν εὐκτικὸν ποιεῖ· ἣν οὖν ἐτυψάμην καὶ τὸ εὐκτικὸν ποιεῖ τυψαίμην. τύψαιο, τύψαιτο.

Δυϊκά. Τυψαίμεθον, τύψαιcθον, τυψαίcθην.

Πληθ. Τυψαίμεθα, τύψαιcθε, τύψαιντο.

[Discr. scr. in LCBGb] **1** παραλήγοιτο L, παραλήγεται CBGb | ἀcυcτατεῖν LBGb, ἀcύcτατον C | τε] γε C, *om* G | *post* καὶ *add* τὸ Cb ‖ **2** τετυμμένοc — εἴη] καὶ ὑπαρκτικοῦ ῥήματοc G ‖ **5** *nominativum habet* C ‖ **6** τυφείην L | εἴπωμεν L | ὀξύτονοc μετοχὴ εἰc c̅ LCG, μετοχὴ ὀξύτονοc εἰc c̅ b, μετοχὴ εἰc ὀξύτονοc εἰc c̅ B ‖ **7** τοῦ ν̅τ̅] τοῦ τ̅ L | τέλοc *om* L | τρέπουcα LCG, τρέψαcα Bb ‖ **8** τὸ ῑ] τοῖν L | ἔcτιν οὖν CBb, εἰcουν L, εἰ οὖν G ‖ **9** *post* τυφθέντοc *add* καὶ CG | τυφθείηc] τυφθεὶc L ‖ **12** *nominativum habet* C ‖ **13—15** τυπτείην — τυπτείηcαν (*ubique* πτ) C ‖ **16** τυπείc] τυπῆc C ‖ **18** ὡc *om* C | κλητικὸν L ‖ **19** καὶ *om* Cb | καὶ πρὸ — τυψαίμην (**21**) *om* B ‖ **20** κατ' ἀρχὰc LCG, κατ' ἀρχὴν b | κλητικὴν L | ἔκcταcιν L ‖ **21** ποιεῖ *ante* τυψαίμην *om* Cb | τύψαιο τύψαιτο] τύψαι τύψαιτον L

[Testim. ex *ΣE*] **1** διὰ τὸ ἀcυcτατεῖν τὸ εὐκτικόν τε αὐτοῦ καὶ ὑποτακτικὸν διὰ μετοχῆc καὶ τοῦ εἴην ῥήματοc αὐτοῦ ἡ χρῆcιc ἀναπληροῖ E^{g}, διὰ τὸ ἀcυcτατεῖν τὸ εὐκτικόν τε καὶ τὸ ὑποτακτικὸν ἀπ' αὐτοῦ μὲν οὐ γίνεται, διὰ δὲ μετοχῆc καὶ ὑπαρκτικοῦ ῥήματοc αὐτὸ ἡ χρῆcιc ἀναπληροῖ E^{b} ‖ **6** πᾶcα μετοχὴ εἰc c̅ ὀξύτονον E^{g}, πᾶcα μετοχὴ εἰc c̅ λήγουcα μετ' ὀξείαc τάcεωc $Σ^{χ}$ *786, 21* g ‖ **7** τέλοc *test.* $Σ^{χ}$ E^{g} | τρέπουcα $Σ^{χ}$, τρέψαcα E^{g} ‖ **20** $Σ^{χ}$ (*787, 6* g): Τυψαίμην· ἀπὸ τοῦ ἐτυψάμην γέγονεν ἀποβολῇ τῆc ἐν ἀρχῇ (ἀρχαῖc V) κλιτικῆc ἐκτάcεωc (αὐξήcεωc O) καὶ πρὸ τοῦ μ̄ τοῦ ῑ προcελθόντοc

Μέcου ἀορίcτου δευτέρου.

Ἑνικά. Τυποίμην, τύποιο, τύποιτο.
Δυϊκά. Τυποίμεθον, τύποιcθον, τυποίcθην.
Πληθ. Τυποίμεθα, τύποιcθε, τύποιντο.

Ἑνὶ κανόνι κανονίζονται πάντες οἱ μέλλοντες· τυφθήcομαι τυφθηcοίμην, τυπήcομαι τυπηcοίμην, τύψομαι τυψοίμην, τυποῦμαι τυποίμην, τετύψομαι τετυψοίμην· πρόδηλος ἁπάντων ἡ κλίcιc.

Περὶ ὑποτακτικῶν.

Αἱ μὲν ἄλλαι τῶν ἐγκλίcεων μοναδικὴν ἔχουcαι cημαcίαν ἐξ αὐτῆc ὠνομάζοντο, οἷον ἡ ὁριcτικὴ ἐκ τοῦ μόνωc ὁρίζειν, ἡ προcτακτικὴ ἀπὸ τοῦ προcτάccειν, καὶ αἱ ἑξῆc ὁμοίωc· ἡ μέντοι ὑποτακτικὴ ποικίλαc ἔχει cημαcίαc· δηλοῖ γὰρ διcταγμόν, ὡc ἐν τῷ ἐὰν ὑγιάνω ἀναγνώcομαι· δηλοῖ δὲ καὶ ἀποτελεcμόν, ὡc ἐν τῷ δὸc τὸ βίβλιον ἵνα ἀναγνῶ· ἔcτι 1035 b
δὲ ὅτε καὶ αἰτίαν, ὡc ἐν τῷ ἵνα τιμηθῶ ἐλυπήθηc· διαφόρουc οὖν ἔχουcα cημαcίαc οὐκέτι δεδύνηται ἀπὸ μιᾶc ὀνομαcθῆναι· ὠνόμαcται δὲ ἀπὸ τῆc cυντάξεωc· ἐπεὶ γὰρ ἀεὶ ὑποτάccεται ἑνὶ τῶν ὑποτακτικῶν cυνδέcμων, τῷ ἵνα ὅπωc ἐάν, ὑποτακτικὴ καλεῖται· δηλοῦcι δὲ πράγματα ἢ γινόμενα, ἅ ἐcτιν ἐνεcτῶτοc, ἢ γενηcόμενα, ἅ ἐcτι μέλλοντοc· διὸ τὰc μὲν καταλήξειc τῶν παρῳχημένων ἀπεβάλοντο, μετεποίηcαν δὲ αὐτὰc εἰc $\overline{\text{ω}}$ ἢ εἰc $\overline{\text{μαι}}$, αἵτινέc εἰcιν ἐνεcτώτων καὶ μελλόντων.

[Discr. scr. in LCBGb] **1** Μέcου] μέλλοντοc C ‖ **5** *ante* Ἑνὶ *add* εἴρηται ὡc Bb | κανόνι *om* LC | κανονίζοντες L | *ante* τυφθήcομαι *add* μέλλων πρῶτοc Bb | τυφθήcομαι — τυπηcοίμην (**6**) *om* C ‖ **6** *ante* τυπήcομαι *add* μέλλων δεύτεροc Bb | *ante* τύψομαι *add* μέcοc μέλλων πρῶτοc Bb, μέλλοντοc $\bar{\alpha}$ C | *ante* τυποῦμαι *add* μέcοc μέλλων δεύτεροc Bb, μέcου μέλλοντοc C ‖ **7** *ante* τετύψομαι *add* μετ' ὀλίγον μέλλων (μέλλοντοc C) CBb | τετύψ. τετυψ. *om* G | πάντων CG ‖ **8** ὑποτακτικοῦ C ‖ **9** ἐκκλίcεων L | ἔχουcαι τὴν cημ. G ‖ **10** ὠνομάζοντο L, ὀνομάζονται CBGb | ἀπὸ] ἐκ G ‖ **11** προτάccειν L | αἱ *hab.* LG, *om* CBb | ἑξεῖc L | ἡ μέντοι] εἰ μέντοι L ‖ **12** *ante* cημαcίαc *add* τὰc Bb | ἐν τῷ *om* C ‖ **13** ἀποτελεcμὸν LBGb, ἀποτέλεcμα C | δὸc L, δόc μοι BGb, δώc μοι C | ἀναγνῷ L ‖ **14** δὲ ὅτε LCG, δ' ὅτε Bb | τιμιθῶ C ‖ **15** δεδύνηται] δύναται C | ὀνόμαcται LC ‖ **16** ὑποτακτικῶν CBb, ὑποζευκτικῶν L, ἐπιζευκτικῶν G ‖ **17** τῷ ἵνα] τὸ ἵνα C | *ante* ὑποτακτ. *add* τούτου χάριν CBGb | ὑποτακτικὴ] ὑποτακτικὰ LCBGb | δὲ *om* L ‖ **19** ἀπεβάλοντο LBb, ἀπεβάλλοντο CG ‖ **20** ἢ εἰc LG, καὶ εἰc CBb | αἵτινεc εἰcὶν G

[Testim. ex ΣE] **8** ὑποτακτικοῦ *seu* ὑποτακτικῆc *in inscriptione habent* Σ^{σ} ‖ **9** *ante* cημαcίαν *add* τὴν Σ^{χ} *788, 30* g ‖ **10** ὀνομάζονται Σ^{χ} | ἀπὸ Σ^{χ} (*in* VO), ἐκ Σ^{χ} (*in* C) ‖ **12** *ante* cημαcίαc *add* τὰc Σ^{χ} *788, 34* g (*in* V), *om* Σ^{χ} (*in* O; *in* C *verba lacuna interciderunt*) ‖ **13** ἀποτέλεcμα Σ^{σ} ‖ **15** δεδύνηται] ἐδυνήθη Σ^{χ} (*789, 1* g) Σ^{σ} ‖ **16** *nomine* ὑποζευκτικόc *neque* Σ *neque* E *utuntur, neque ullo alio loco apud grammaticos inveni* ‖ **19** ἀπεβάλοντο Σ^{σ}, ἀπηρνήcαντο Σ^{χ} *792, 10* g ‖ **20** ἢ εἰc $\overline{\text{μαι}}$ Σ^{χ} *792, 3* g, καὶ εἰc $\overline{\text{μαι}}$ Σ^{σ}

Ὑποτακτικὰ ἐνεργητικά.

Χρόνου ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ.

Ἑνικά. Ἐὰν τύπτω: οἱ τρεῖϲ παρῳχημένοι, παρατατικὸϲ παρακείμενοϲ ἀόριϲτοϲ, τὴν τελευταίαν τρέποντεϲ εἰϲ ω̅ καὶ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκταϲιν ἀποβάλλοντεϲ τὸ ὑποτακτικὸν ποιοῦϲιν, ἔτυπτον ἐὰν τύπτω, τέτυφα ἐὰν τετύφω, ἔτυψα ἐὰν τύψω. ἐὰν τύπτῃϲ: καθόλου τὰ εἰϲ ω̅ ὑποτακτικὰ ἀπὸ τῶν εἰϲ ω̅ κεκλιμένα εἰϲ ῃ̅ϲ̅ τὸ δεύτερον ποιεῖ, πλὴν τῆϲ δευτέραϲ καὶ τρίτηϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων· ἐκεῖναι γὰρ ὁμοίωϲ τοῖϲ ὁριϲτικοῖϲ καὶ τὰ ὑποτακτικὰ κλίνουϲιν, ἐὰν βοῶ βοᾷϲ βοᾷ, ἐὰν χρυϲῶ χρυϲοῖϲ χρυϲοῖ. ἐὰν τύπτῃ: ἀπὸ τοῦ ἰδίου δευτέρου γέγονεν ἀποβολῇ τοῦ ϲ̅.

Δυϊκά. Ἐὰν τύπτητον: ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν. ἐὰν τύπτητον: ὁμοφωνεῖ τῷ δευτέρῳ, ὅτι εἰϲ ϲ̅ι̅ λήγει τὸ τρίτον τῶν πληθυντικῶν.

Πληθ. Ἐὰν τύπτωμεν: πᾶν ὑποτακτικὸν εἰϲ ω̅ λῆγον προϲθέϲει τῆϲ μ̅ε̅ν̅ τὸ πληθυντικὸν ποιεῖ, ἐὰν τυφθῶ ἐὰν τυφθῶμεν, ἐὰν τύπτω ἐὰν τύπτωμεν. ἐὰν τύπτητε: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆϲ μ̅ε̅ν̅ εἰϲ τ̅ε̅ καὶ τοῦ παραλήγοντοϲ ω̅ εἰϲ η̅. ἐὰν τύπτωϲι: καὶ τοῦτο ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆϲ μ̅ε̅ν̅ εἰϲ ϲ̅ι̅.

1036 b Παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Ἐὰν τετύφω — τετύφῃϲ — τετύφῃ.
Δυϊκά. Ἐὰν τετύφητον — τετύφητον.
Πληθ. Ἐὰν τετύφωμεν — τετύφητε — τετύφωϲι.

Μέϲου παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Ἐὰν τετύπω — τετύπῃϲ — τετύπῃ.
Δυϊκά. Ἐὰν τετύπητον — τετύπητον.
Πληθ. Ἐὰν τετύπωμεν — τετύπητε — τετύπωϲι.

[Discr. scr. in LCBGb] **1** Ὑποτακτικὰ — παρατατικοῦ (**2**) *om* L ‖ **4** *ante* ἀόριϲτοϲ *add* ὁ L, καὶ Bb | τελευταῖαν G | τρέποντεϲ] τρέπον L | ἀρχῇ G, ἀρχῇ L, ἀρχαῖϲ CBb ‖ **5** κλητικὴν ἔκϲταϲιν L ‖ **6** τύπῃϲ G ‖ **7** τὰ εἰϲ ω̅] τὰ εἰϲ α̅ L | εἰϲ ῃ̅ϲ̅] εἰϲ η̅ C ‖ **8** ἐκεῖνα B ‖ **10** ἐὰν *ante* χρυϲῶ *om* C | χρυϲοῖϲ] χρυϲῆϲ *et in marg.* οἰϲ L | ἀπὸ LCG, ἐκ Bb | ἰδίου *om* G ‖ **12** τύπητον LC | ἀπὸ — πληθ. *om* G | ἀπὸ — τύπτητον (**13**) *om* C ‖ **13** εἰϲ] ἐϲ L | ϲ̅ι̅] ϲ̅ C | λήγῃ L ‖ **15** ἐὰν τύπτωμεν BGb, ἐὰν τυπῶμεν C, *om* L | ὑποτακτικῶν L ‖ **16** ἐὰν τυφθῶ ἐὰν τυφθῶμεν *om* C | ἐὰν τύπω LG ‖ **17** ἐὰν τύπωμεν G | ἐὰν τύπτηται CB, ἐὰν τύπητε G ‖ **18** εἰϲ η̅] εἰϲ ο̅ν̅ C | ἐὰν τύπτω C, ἐὰν τύπτῳϲι G ‖ **19** *ante* ἀπὸ *add* ὁμοίωϲ C | γέγονεν C ‖ **22** *alterum* τετύφητον *om* C ‖ **23** ἐὰν τετύφητε, ἐὰν τετύφωϲι C | τετύφῳϲι G | *post* τετύφωϲι *add*: προείρηται πᾶϲα ἡ τεχνολογία CBGb ‖ **26** *alterum* τετύπητον *om* C ‖ **27** τετύπωϲιν Bb, τετύπῳϲιν G | *post* τετύπωϲιν *add* εἴρηται Bb

---

[Testim. ex *ΣE*] **4** καὶ *ante* ἀόριϲτος *add* E^{b}, *om* E^{g} | ἀρχαῖϲ Σ^{χ} (*794,1* g) *E*

Ἀορίςτου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τύψω — τύψῃς — τύψῃ.
Δυϊκά. Ἐὰν τύψητον — τύψητον.
Πληθ. Ἐὰν τύψωμεν — τύψητε — τύψωςι: ἰςτέον ὅτι ἀπὸ τοῦ ἀορίςτου γέγονεν, οὐκ ἀπὸ τοῦ μέλλοντος, ὁ ὑποτακτικὸς ἀόριςτος, ὡς ἤλεγξεν ἡ πέμπτη ςυζυγία· ἔςτι γὰρ ὁ ἀόριςτος ἔκειρα καὶ ὁ μέλλων κερῶ, τὸ δὲ ὑποτακτικὸν οὐκ ἔςτιν ἐὰν κερῶ ἀλλ' ἐὰν κείρω.

Ἀορίςτου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τύπω — τύπῃς — τύπῃ.
Δυϊκά. Ἐὰν τύπητον — τύπητον.
Πληθ. Ἐὰν τύπωμεν — τύπητε — τύπωςιν.

Ὑποτακτικὰ παθητικά.

Χρόνου ἐνεςτῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Ἐὰν τύπτωμαι: ὁ ἐνεργητικὸς ἐνεςτὼς τῶν ὑποτακτικῶν προςθέςει τῆς μαι παθητικὸς γίνεται, ἐὰν λέγω ἐὰν λέγωμαι, ἐὰν βοῶ ἐὰν βοῶμαι, ἐὰν χρυςῶ ἐὰν χρυςῶμαι· [ὥςπερ γὰρ ἐν τοῖς ἐνεργητικοῖς τὰ δεύτερα καὶ τὰ τρίτα πρόςωπα τῆς δευτέρας καὶ τῆς τρίτης ςυζυγίας τῶν περιςπωμένων οὐ διενηνόχαςι πρὸς τὰ οριςτικά, οὕτω καὶ 1037b
ἐν τοῖς παθητικοῖς τὰ δεύτερα καὶ τρίτα πρόςωπα τῆς δευτέρας καὶ τρίτης ςυζυγίας τῶν περιςπωμένων τοῖς ὁριςτικοῖς ὡμοφώνηςεν.] ἐὰν τύπτῃ: καθόλου τὰ τρίτα ἐνεργητικὰ τῶν ὑποτακτικῶν δεύτερά εἰςι τῶν παθητικῶν, ἐὰν λέγω λέγῃς λέγῃ ἐὰν λέγωμαι λέγῃ, ἐὰν βοῶ βοᾷς βοᾷ ἐὰν βοῶμαι βοᾷ, ἐὰν χρυςῶ χρυςοῖς χρυςοῖ ἐὰν χρυςῶμαι χρυςοῖ. ἐὰν τύπτηται: τὸ δεύτερον πρόςωπον προςλαμβάνον τὴν ται τρίτον

[Discr. scr., in LCBGb] **1** ἀορίςτου καὶ μέλλοντος πρώτου Bb ‖ **2** ἐὰν τύψωμαι C ‖ **4** τύψωςιν Bb ‖ **5** *post* μέλλοντος *add* ἀορίςτου L | ὁ *ante* ὑποτ. *om* L | ἀόριςτος ὑποτακτ. *traiciunt* CG ‖ **6** ὡς — ςυζυγία *om* G | ἤλλεγξεν L | ὁ *ante* ἀόρ. *om* L | καὶ *om* CBGb ‖ **7** ἔςτιν] ἔτι C ‖ **8** ἀορ. καὶ μέλλοντος δευτ. Bb ‖ **11** τύπωςιν C, τυπῶςιν L, τύπωςι BGb | *post* τύπωςι *add* πρόδηλος ἡ κλίςις Bb ‖ **14** Ἐὰν *om* L ‖ **15** ἐὰν *ante* λέγω *et* βοῶ *et* χρυςῶ (**16**) *om* C | ἐὰν λέγῳ λέγωμαι, ἐὰν βοῷ βοῶμαι, ἐὰν χρυςῷ χρυςῶμαι G | ἐὰν βοῶ *om* L ‖ **16** ἐὰν χρυςῶ *om* L | ὥςπερ — ὡμοφ. (**20**)] *haec verba non suo stare loco, sed potius post poster.* χρυςοῖ (**23**) *esse collocanda nemo non videt* ‖ **17** τὰ *ante* τρίτα *om* CBGb | τῆς *ante* τρίτης *om* CBGb ‖ **18** οὐ διενηνόχαςι — περιςπωμένων (**20**) *om* L | διενηνόχαςιν C ‖ **19** τῆς δευτ. — περιςπωμένων (**20**) *om* CBb ‖ **20** τοῖς ὁριςτικοῖς LG, τῆς ὁριςτικῆς C, *om* Bb | ὡμοφώνηςεν L, ὁμοφώνηςεν G, ὡμοφώνηςαν CBb ‖ **21** τρίτα] τρία L | εἰςι] ἐπι L, ἐςτι G ‖ **22** λέγῳ G | *post* λέγωμαι *add* ἐὰν Bb | βοῷ G ‖ **23** *prius* βοᾷ *om* L | *ante* ἐὰν χρυςῶ *add* ὁ L ‖ **24** πρόςωπον *om* G | προςλαμβάνον BGb, προςλαμβάνων L, προςλαβὸν C

[Testim. ex ΣE] **16—20** ὥςπερ — ὡμοφ.] *iam Choeroboscum et Characem haec minus apto loco inserta legisse verba diserte docent* Σ^{χ} (*807, 7* g) Σ^{σ}; *ex* Σ^{χ} (*807, 11—15* g) *autem apparet, verba quae in* L *interciderunt in Choerobosci canonum exemplo exstitisse* ‖ **24** προςλαμβάνον Σ^{χ} *808, 18* g (*in* VO), προςλαβὸν

γίνεται· περὶ γὰρ τῆς δευτέρας καὶ τῆς τρίτης συζυγίας τῶν περισπωμένων, ὅτι ὁμοφωνεῖ τοῖς ὁριστικοῖς, προείρηται. Εἰρηναῖος δὲ ὁ περὶ Ἀττικῆς συνηθείας γράψας φησὶ τοὺς Ἀττικοὺς τὰ τρίτα πρόσωπα τῆς τρίτης συζυγίας διὰ τοῦ ω̅ λέγειν, ἐὰν χρυσῶται, ἐὰν στεφανῶται.

Δυϊκά. Ἐὰν τυπτώμεθον: ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν. ἐὰν τύπτησθον: ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν. ἐὰν τύπτησθον: ὁμοφωνεῖ τῷ δευτέρῳ.

Πληθ. Ἐὰν τυπτώμεθα: πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ̅ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς ἐσχάτης εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ. ἐὰν τύπτησθε, ἐὰν τύπτωνται: ἀπὸ τοῦ τρίτου ἑνικοῦ ἄμφω γέγονεν, τὸ μὲν τροπῇ, τὸ δὲ προσθήκῃ τοῦ ν̅.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Ἐὰν τετυμμένος ὦ — ᾖς — ᾖ: εἴπομεν ὡς ἐὰν ὁ παθητικὸς παρακείμενος σύμφωνον ἔχῃ πρὸ τοῦ μ̅, οὐ ποιεῖ οὔτε εὐκτικὸν οὔτε ὑποτακτικόν, ἀλλὰ διὰ μετοχῆς αὐτὰ ἡ χρῆσις ἀναπληροῖ· εἰ μέντοι καθαρεύει τὸ ὁριστικόν, πρὸ τοῦ μ̅ δεξάμενον τὸ ω̅ ὑποτακτικὸν ποιεῖ, κέκτημαι ἐὰν κεκτῶμαι, μέμνημαι ἐὰν μεμνῶμαι προπερισπωμένως.

Δυϊκά. Ἐὰν τετυμμένω ἦτον — ἦτον.

Πληθ. Ἐὰν τετυμμένοι ὦμεν — ἦτε — ὦσι.

Ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τυφθῶ: πᾶσα μετοχὴ εἰς ς̅ λήγουσα μετ' ὀξείας διὰ τοῦ ντ̅ κλινομένη τρέπουσα τὴν ἐσχάτην εἰς ω̅ μετὰ περισπωμένης τὸ ὑποτακτικὸν ποιεῖ, τυφθείς ἐὰν τυφθῶ, διδούς ἐὰν διδῶ. ἐὰν τυφθῇς — τυφθῇ.

1038 b Δυϊκά. Ἐὰν τυφθῆτον — τυφθῆτον.

Πληθ. Ἐὰν τυφθῶμεν — τυφθῆτε — τυφθῶσι.

[Discr. scr. in LCBGb] **1** γίνεται] γέγονε *et in marg.* γρ. γίνεται C[1] | τῆς *ante* τρίτης *om* CBGb | συζυγίας *om* C ‖ **3** τρίτα] τρία L ‖ **4** *post* χρυσῶται *add* ἐὰν γυψῶται CBb ‖ **5** τυπτόμεθον L | ἀπὸ — πληθυντικῶν *om* Bb ‖ **6** ἐὰν τύπτησθον — πληθυντικῶν *om* L | ἀπὸ — πληθυντικῶν *om* Bb ‖ **7** ὁμοφωνῇ L | ὁμοφωνεῖ τῷ δευτέρῳ] εἴρηται Bb | *ante* δευτέρῳ *add* ἰδίῳ G ‖ **8** πᾶν — ποιεῖ (**9**) *om* Bb | πὰν πρῶτον ἑνικὸν (*sic*) τὸ μ̅ κλητικὸν μεταμακρᾶς L | *ante* ἔχον *add* ἑνικὸν G ‖ **10** τύπτεσθε L | ἀπὸ — τοῦ ν̅ (**11**)] εἴρηται. ἀπὸ τῶν ἑνικῶν Bb, *om* C | ἑνικοῦ L, τῶν ἑνικῶν G | γέγονε G ‖ **13** ἐὰν *ante* τετ. *om* G | ᾖ] ΝΙ L | ἐὰν ὁ G, ἐὰν L, ὁ C, ὅταν ὁ Bb ‖ **14** *post* παθητικὸς *add* ὁριστικὸς CBGb, *om* L; *cfr. p. 70, 21* | ἔχει C ‖ **16** καθαρεύει L, καθαριεύοι CBb, καθαρεύοι G | τὸ ω̅] τοῦ ω̅ C ‖ **17** μέμνημαι] κέκτημαι *sed supra* η *posito signo* ⁖ C | προπερισπωμένως] περισπώμεν (*sic*) L ‖ **19** ὦσιν CBGb ‖ **20** ἀορ. καὶ μέλλοντος πρώτου Bb ‖ **21** *post* ὀξείας *add* καὶ CBb ‖ **23** τυφθείς] τυφεῖς L | ἐὰν *ante* τυφθῶ *et ante* διδῶ *om* C | ἐὰν *ante* τυφθῇς *om* L ‖ **24** *ante* τυφθῇ *add* ἐὰν BGb ‖ **25** *ante poster.* τυφθῆτον *add* ἐὰν Bb ‖ **26** *ante* τυφθῆτε *et* τυφθῶσι *add* ἐὰν b | τυφθῶσιν CBb

---

[Testim. ex ΣE] **Σ**[χ] (*in* C), προσλαβὼν (*sic*) **E**[s] *et* **E**[b] ‖ **4** ἐὰν γυψῶται *exemplum ne apud* **Σ**[χ] *quidem legitur* ‖ **13** ὅταν ὁ **E**[s], ἡνίκα — ἔχει **Σ**[χ] *810, 26*

Ἀορίστου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τυπῶ — τυπῇς — τυπῇ.
Δυϊκά. Ἐὰν τυπῆτον — τυπῆτον.
Πληθ. Ἐὰν τυπῶμεν — τυπῆτε — τυπῶσιν: ἡ αὐτὴ τεχνολογία ἐστὶν ἐπὶ τοῦ πρώτου καὶ δευτέρου ἀορίστου.

Μέσου ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τύψωμαι: ὁ πρῶτος μέσος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ γίνεται ἀορίστου ὑποτακτικοῦ προσθέσει τῆς μαι, ἐὰν τύψω ἐὰν τύψωμαι· δύναιο δ' ἂν καὶ ἑτέρως κανονίσαι, ὡς πᾶν παθητικὸν ἢ μέσον πρὸ τῆς μαι δεχόμενον τὸ ω ὑποτακτικὸν γίνεται. ἐὰν τύψῃ — τύψηται.
Δυϊκά. Ἐὰν τυψώμεθον — τύψησθον — τύψησθον.
Πληθ. Ἐὰν τυψώμεθα — τύψησθε — τύψωνται.

Μέσου ἀορίστου δευτέρου καὶ μέλλοντος.

Ἑνικά. Ἐὰν τύπωμαι: ὁμοίως τῷ πρώτῳ κανονίζεται, εἴτε ἀπὸ ἐνεργητικοῦ θέλεις κατὰ πρόσθεσιν τῆς μαι, εἴτε ἀπὸ τοῦ τυποῦμαι τροπῇ τῆς ου εἰς ω. ἐὰν τύπῃ — τύπηται.
Δυϊκά. Ἐὰν τυπώμεθον — τύπησθον — τύπησθον.
Πληθ. Ἐὰν τυπώμεθα — τύπησθε — τύπωνται.

Μετ' ὀλίγον μέλλοντος τοῦ καὶ Ἀττικοῦ.

Ἑνικά. Ἐὰν τετύψωμαι — τετύψῃ — τετύψηται.
Δυϊκά. Ἐὰν τετυψώμεθον — τετύψησθον — τετύψησθον. 1039b
Πληθ. Ἐὰν τετυψώμεθα — τετύψησθε — τετύψωνται.

[Discr. scr. in LCBGb] **1** Ἀορ. καὶ μέλλοντος δευτ. b ‖ **3** *ante poster.* τυπῆτον *add* ἐὰν L ‖ **4** τυπῶσι C ‖ **5** τοῦ *om* CBGb ‖ **6** Μέσου *om* L | ἀορ. καὶ μέλλ. πρώτου (β^ου B) *traic.* Bb ‖ **9** *pro* ἑτέρως *parv. vac. spatium habet* L | κηνονίσαι L | παθητικὸς L ‖ **11** *ante* τύψηται *add* ἐὰν LBb ‖ **12** ἐὰν τυψώμεθον — Πληθ. (**13**) *om* C | τυψώμεθον] τυψωμεν L | *ante prius* τύψησθον *add* ἐὰν L ‖ **14** Μέσου *om* L | ἀορ. καὶ μέλλ. δευτ. *traic.* Bb ‖ **15** τυπῶμαι C | πρώτῳ] πρότω L | εἴτε] ἤτε L ‖ **16** *ante* ἐνεργ. *add* τοῦ CG | θέλης L | πρόσθεσιν L, προσθέσιν G, πρόθεσιν C, προσθήκην Bb | εἴτε] ἤτε L ‖ **17** *post* ο^υ *add* διφθόγγου C | ἐὰν *om* Bb | τυπῆ τυπῆται C | τύπητε G ‖ **18** τυπῆσθον τυπῆσθον C ‖ **19** τυπῆσθε τυπῶνται C ‖ **20** ὀλίγου G | *post* ὀλίγον *add* καὶ L | τοῦ καὶ Ἀττ. *om* C ‖ **23** *post* τετύψωνται *add* τέλος τοῦ τύπτω ῥήματος L

[Testim. ex *ΣE*] **16** προσθήκῃ τῆς μαι *Σ*^χ *813, 14* g

Περὶ μετοχῶν.

Μετοχαὶ ἐνεργητικαί.

Χρόνου ἐνεςτῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Τύπτων: πᾶν ῥῆμα ὁριστικὸν εἰς ω̄ λῆγον προςθέςει τοῦ ν̄ ποιεῖ τὴν μετοχήν, λέγω λέγων, τύπτω τύπτων, τύψω τύψων. τύπτουςα: πᾶςα μετοχὴ διὰ τοῦ ν̄τ̄ κλινομένη, τρέπουςα τὸ τέλος τῆς γενικῆς εἰς ς̄ᾱ καὶ τὴν παραλήγουςαν φύςει μακρὰν ποιοῦςα, τὸ θηλυκὸν ποιεῖ, λέγοντος λέγουςα, θέντος θεῖςα, ζευγνύντος ζευγνῦςα. τύπτον: πᾶςα μετοχὴ διὰ τοῦ ν̄τ̄ κλινομένη ἀποβολῇ τῆς τ̄ο̄ς̄ τὸ οὐδέτερον ποιεῖ, λέγοντος λέγον, ποιοῦντος ποιοῦν.

Δυϊκά. Τύπτοντε: πᾶςα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουςα τροπῇ τοῦ ῑ εἰς ε̄ τὸ δυϊκὸν ποιεῖ, Αἴαντι Αἴαντε.· τυπτούςα: πᾶςα δοτικὴ ἑνικῶν εἰς η̄ λήγουςα τροπῇ τοῦ η̄ εἰς ᾱ τὸ δυϊκὸν ποιεῖ, τῷ Πέρςῃ τὼ Πέρςα· οὕτω τῇ τυπτούςῃ τὰ τυπτούςα.

Πληθ. Τύπτοντες: πᾶςα εὐθεῖα δυϊκῶν εἰς ε̄ λήγουςα προςθέςει τοῦ ς̄ τὸ πληθυντικὸν ποιεῖ, ἔρωτε ἔρωτες, τύπτοντε τύπτοντες. τύπτουςαι: πᾶςα εὐθεῖα δυϊκῶν εἰς ᾱ λήγουςα προςθέςει τοῦ ῑ τὸ πληθυντικὸν ποιεῖ, τὼ Αἰνεία οἱ Αἰνεῖαι, τὰ λεγούςα αἱ λέγουςαι. τύπτοντα: πᾶν πληθυντικὸν οὐδέτερον εἰς ᾱ λήγει· τὸ γὰρ βέλη τείχη ἀπὸ ςυναιρέςεως γέγονε τοῦ βέλεα τείχεα.

[Discr. scr. in LCBGb] **1** Περὶ μετοχῶν *om* CG ‖ **3** *ad* παρατατικοῦ *in marg. add* τῶν τριῶν γενῶν τε καὶ προςώπων C ‖ **4** *ante* Τύπτων *add* ὁ CG ‖ **5** λέγω λέγων *om* C | λέγων *om* L | τύπτων — τύψων *om* C | *ante* τύπτουςα *add* ἡ CG | τυποῦςα L ‖ **6** πᾶςα *om* B | τρέπουςα *post* γενικῆς (7) *transp.* C ‖ **7** εἰς ς̄ᾱ] εἰς ᾱ LCBGb | ποιοῦςαν G ‖ **8** ζευγνῦντος CBG | *ante* τύπτον *add* τὸ C ‖ **9** *post* πᾶςα *add* γενικὴ C | τῆς τος] τοῦ τος C ‖ **10** *ante* λέγον *et* ποιοῦν *add* τὸ Bb | *post* ποιοῦν *add* βοῶντος βοῶν C, βοῶντος τὸ βοῶν Bb ‖ **11** τύπτονται L, τύπτετον G | εἰς ῑ] εἰς ς̄ῑ C ‖ **12** Αἴαντι Αἴαντε *om* C | *post* Αἴαντε *add* ἄραντι ἄραντε Bb | τύπτουςα LCG ‖ **14** τῷ — τυπτούςα *om* G | τὼ Πέρςα] τὰ Πέρςα L | τῇ τύπτουςα τῇ τυπτούςῃ B | τυποῦςα L, τύπτουςα C ‖ **15** εὐθεία G | δυϊκῶν] τῶν L ‖ **16** ποιεῖ τὸ πληθυντικὸν CG | ἔρωτε — τύπτοντες *om* G | τύπτουςαι] τυποῦςα L ‖ **17** εὐθεία G ‖ **18** τὼ — λέγουςαι *om* G | τὼ] τὸ L | λεγούςα Bb, λέγουςα L, λήγουςα C | αἱ λήγουςαι C ‖ **19** λήγει] λῆγον C | τὸ γὰρ — τείχεα (20) *om* G ‖ **20** γέγονε τοῦ L, γέγονεν τοῦ C, γέγονεν ἐκ τοῦ Bb

---

[Testim. ex *ΣE*] **4** *articulum ante* Τύπτων, *item v. 5 ante* τύπτουςα *et v. 8 ante* τύπτον *add* ***E***, *om* Σ^{χ} ‖ **6** τὸ τέλος τῆς γενικῆς τρέψαςα ***E*** ‖ **7** εἰς ς̄ᾱ Σ^{ϑ} E^{b} (*in Bas. II*), εἰς ᾱ Σ^{χ} (*824, 30* g) E^{g} E^{b} (*in Bas. I, ed. princ. et Wald.*) ‖ **9** πᾶςα μετοχὴ E^{b}, πᾶςα γενικὴ μετοχῆς Σ^{χ} (*825, 28* g) E^{g} | τῆς τ̄ο̄ς̄ Σ^{χ} E^{g} E^{b} (*in Bas. I ed. princ. et Wald.*), τοῦ τ̄ο̄ς̄ E^{b} (*in Bas. II*) ‖ **10** βοῶν βοῶντος *inter multa exempla additum est in* Σ^{χ} *825, 31* g ‖ **12** ἄραντι ἄραντε *non legitur in* Σ^{χ}, *ubi omnino participiorum neque dualis neque pluralis numerus memoratur*

Παρακειμένου καὶ ὑπερςυντελίκου.

Ἑνικά. Τετυφώς: ὁ ἐνεργητικός τε καὶ μέςος παρακείμενος τρέ- 1040 b
πων τὸ α̅ εἰς ω̅ς̅ τὴν μετοχὴν ποιεῖ, λέλεχα λελεχώς, τέτυπα τετυπώς· μόνη δὲ αὕτη ἡ τοῦ παρακειμένου μετοχὴ διὰ μόνου τοῦ τ̅ τὴν γενικὴν ἔχει, ἴςως μιμουμένη τὴν ὀνοματικὴν κλίςιν· οὐδὲν γὰρ τῶν εἰς ω̅ς̅ ὀνομάτων διὰ τοῦ ν̅τ̅ κλίνεται. τετυφυῖα: δύο ζητοῦμεν ἐν ταύτῃ τῇ μετοχῇ, διὰ τί καθαρὸν ἔχει τὸ α̅ καὶ διὰ τί τῇ υ̅ι̅ παραλήγεται· φαμὲν οὖν ὡς αἱ θηλυκαὶ μετοχαὶ ἧττονα ἔχουςι ςύμφωνα ἐπὶ τῆς ἐςχάτης τῶν παραληγόντων τῇ γενικῇ τοῦ ἀρςενικοῦ, οἷον ἡ λέγοντος δύο ἔχει, ἀλλ' ἡ λέγουςα ἕν· ἐπεὶ οὖν ἡ γενικὴ τοῦ παρακειμένου ἓν εἶχε τὸ τ̅, ἀναγκαίως ἡ θηλυκὴ οὐδ' ἓν ἔςχεν; ἀλλὰ διὰ καθαροῦ τοῦ α̅ ἐξηνέχθη· τῇ δὲ υ̅ι̅ παρελήφθη, ἐπεὶ τρία αὐτῇ ἐκεχρεώςτητο φωνήεντα, πρῶτον μὲν τὸ ο̅ τῆς γεγραφότος γενικῆς, ἔπειτα τὸ υ̅· οὕτω γὰρ ἐκτείνεται τὸ ο̅, ὡς καὶ ἐπὶ τῶν ἄλλων, λέγουςα φέρουςα· καὶ τρίτον τὸ ι̅, ἐπεὶ τὰ παρεςχηματιςμένα θηλυκὰ εἰς α̅ καθαρὸν λήγοντα ὡς ἐπὶ πᾶν τῷ ι̅ θέλει παραλήγεςθαι, ὀξεῖα Ῥοδία ἀλλοία· ἐκπεςόντος οὖν τοῦ ο̅ ἔμεινεν τὸ υ̅ καὶ τὸ ι̅. τετυφός: καὶ τοῦτο ἀπὸ τῆς γενικῆς τοῦ ἀρςενικοῦ γέγονεν· ἀλλ' ἐπεὶ ἀποβαλλομένης τῆς ἐςχάτης εἰς ο̅ λήγειν ἔμελλεν, ὅπερ ἀδύνατον, προςλαμβάνει τὸ ς̅· οὐ γὰρ τὸ ν̅, ἐπεὶ μηδὲ διὰ τοῦ ν̅τ̅ ἡ κλίςις τοῦ ἀρςενικοῦ.

Δυϊκά. Τετυφότε, τετυφυία: πᾶςα δοτικὴ ἑνικῶν εἰς ι̅ ἐκφωνούμενον λήγουςα ἢ εἰς α̅ τὸ μὲν ι̅ εἰς ε̅ μεταβάλλει καὶ ποιεῖ τὴν

[Disch. scr. in LCBGb] **2** τε *om* L ‖ **3** τέτυπα] τύπτω C ‖ **5** ἴςως LBGb, εἰς ω̅ς̅ C | ὀνοματικὴν Gb, ὀνομαςτικὴν LCB | κλῆςιν L ‖ **6** *ante* τετυφυῖα *add* ἡ L ‖ **7** *bis* διατὶ G | τῇ υ̅ι̅] τῇ υ̅ C ‖ **8** ὡς αἱ] ὅςαι B ‖ **10** ἐπεὶ] ἐπι L ‖ **11** εἶχεν L | ἀναγκαίος L | οὐδ' ἓν] οὐδὲν LCG, οὐδὲ ἓν Bb ‖ **12** υ̅ι̅] υ̅ C | παρελήφθη L, παρελύθη C, παρελήχθη BGb | αὐτῇ LBGb, αὕτη C | ἐκεχρεώςτητο G, ἐκεχρεώςτητὸ L, ἠκεχρεωςτεῖτο C, ἐχρεωςτεῖτο Bb ‖ **13** πρῶτον] πρωτῆς L ‖ **14** ἐκτίνεται L | καὶ *post* ὡς *om* G ‖ **15** *ante* τρίτον *add* τὸ L | ἐπεὶ τὰ] ἔπειτα L | *post* θηλυκὰ *add* ἀρςενικοῖς Bb, τοῖς ἀρςενικοῖς καὶ C, ἀρςενικοῖς καὶ G ‖ **16** πᾶν] περ C | τῷ ι̅] τὸ ι̅ LC | παραλήγεται C | ἀλλοία b, ἀλοῖα L *et Bachmannus AG I 438, 5 adnot.*, ἀλλοῖα CG, ἀλοία B | ἐκπεςοῦντος L, ἐκπεςῶντος C ‖ **17** ἔμεινε Bb ‖ **18** τοῦ ἀρςενικοῦ τῆς γενικῆς B | ἀλλ' *om* B | ἐπεὶ LG, ἐπειδὴ CBb | *post* ἐςχάτης *add* ςυλλαβῆς BGb ‖ **19** ἔμελλεν LCG, ἤμελλεν Bb | ὅπερ ἀδύνατον *om* C | τὸ ν̅] τοῦ ν̅ L ‖ **20** μηδὲ] μὴ CG ‖ **21** τετυφυῖα CG | πᾶςα — Αἰνεία (**79, 2**) *om* C ‖ **22** ἢ *om* L

[Testim. ex ΣE] **2** τε *habent etiam* $Σ^χ$ (*826, 15* g) *E* ‖ **5** ὀνοματικὴν $Σ^χ$ *828, 1* g, ὀνομαςτικὴν E^s ‖ **11** οὐδὲν Σ *830, 25* g (*in* CV), οὐδὲ ἓν $Σ^χ$ (*in* O) ‖ **15** τοῖς ἀρςενικοῖς καὶ *add* E^s; *et paulo post* E^s: τὰ εἰς α̅ λήγοντα θηλυκὰ παρεςχηματιςμένα ἀρςενικοῖς καὶ εἰς α̅ καθαρὸν λήγοντα E^s ‖ **16** ἀλλοία $Σ^χ$ *831, 28* g ‖ **18** ἀλλ' ἐπεὶ E^s, καὶ ἐπειδὴ $Σ^χ$ *832, 29* g | ἀποβαλλομένης τῆς τος ςυλλαβῆς εἰς ο̅ λήγειν ἔμελλεν $Σ^χ E^s$ ‖ **19** ὅπερ ἀδύνατον E^s, ὅπερ ἀδύνατόν ἐςτι $Σ^χ$ *832, 30* g

εὐθεῖαν τῶν δυϊκῶν, τὸ δὲ α̅ τηρεῖ καὶ ἐπὶ τῆς εὐθείας τῶν δυϊκῶν, τῷ Νέστορι τὼ Νέστορε, τῷ Αἰνείᾳ τὼ Αἰνεία.

Πληθ. Τετυφότες, τετυφυῖαι, τετυφότα.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Τετυπώς, τετυπυῖα, τετυπός.
Δυϊκά. Τετυπότε, τετυπυία.
1041b Πληθ. Τετυπότες, τετυπυῖαι, τετυπότα: πρόδηλος ἡ κλίσις ὁμοία οὖσα τῇ τοῦ παρακειμένου.

Ἀορίστου πρώτου.

Ἑνικά. Τύψας, τύψασα, τύψαν: ὁ εἰς α̅ λήγων ἀόριστος προσθέσει τοῦ c̅ καὶ συστολῇ τῆς ἀρχούσης κλιτικῆς ἐκτάσεως ποιεῖ τὴν μετοχήν, ἔλεξα λέξας, ἤχησα ἀχήσας.
Δυϊκά. Τύψαντε, τυψάσα.
Πληθ. Τύψαντες, τύψασαι, τύψαντα.

Ἀορίστου δευτέρου.

Ἑνικά. Τυπών, τυποῦσα, τυπόν: ὁ εἰς ο̅ν̅ ἀόριστος τρέπων τὸ ο̅ εἰς ῶ̅ καὶ συστέλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν μετοχὴν ποιεῖ ἐν ὀξείᾳ τάσει, ἔνυγον νυγών, ἔτυπον τυπών.
Δυϊκά. Τυπόντε, τυπούσα.
Πληθ. Τυπόντες, τυποῦσαι, τυπόντα.

Μέλλοντος πρώτου.

Ἑνικά. Τύψων, τύψουσα, τύψον.
Δυϊκά. Τύψοντε, τυψούσα.
Πληθ. Τύψοντες, τύψουσαι, τύψοντα: ἡ αὐτὴ τεχνολογία ἐστὶ τῷ ἐνεστῶτι.

[Discr. scr. in LCBGb] **1** α̅ καὶ ῶ̅ τηρεῖ G ‖ **2** τῷ Νέστ. — Αἰνεία *om* G ‖ **3** τετυφότε C | τετυφυῖα L | τετυφῶτα C ‖ **5** τυπυῖα C ‖ **6** τετυποῖα L, τετυπυῖα C ‖ **7** τετυπότε. τετυποῖαι L | πρόδ. — παρακ. (8) *om* G | κλίσης L ‖ **8** οὖσα *om* B ‖ **9—81, 4** (καλαί) *om* L; *in paginis, ubi haec exstare debuerunt, leguntur varia a diversis manibus scripta*

[Discr. scr. in CBGb] **10** τύψασα τύψαν *post* ἀχήσας (**12**) *transp.* G | λῆγον G ‖ **12** ἀχήσας G, ἤχησας C, ἠχήσας Bb | *post* ἠχήσας *add* ἔτυψα τύψας Bb ‖ **13** τύψαντες. τύψασθαι C | τύψασα G ‖ **14** τύψασαι. τύψαντα *om* C ‖ **16** τυποῦσα τυπόν *post* τυπών (**18**) *transp.* G | *post* ον *add* δεύτερος G | τρέπον C ‖ **17** συστέλλον C | τὴν μετοχὴν G ‖ **19** τυποῦσα C ‖ **23** τύψουσα CG ‖ **24** ἡ αὐτή ἐστι τεχνολ. G

[Testim. ex ΣE] **11** τῆς κατ' ἀρχὴν (ἀρχούσης O) κλιτικῆς ἐκτάσεως Σ^{χ} *834, 22* g | κλιτικῆς ἐκτάσεως *om* *E* | τὴν μετοχὴν ποιεῖ $\Sigma^{\chi} E$ ‖ **12** ἤχησα ἀχήσας *exemplum in* Σ^{χ} *non legitur* ‖ **16** *ante* ἀόριστος *add* δεύτερος Σ^{χ} (*834, 30* g) *E* ‖ **17** καὶ συστ. — ποιεῖ] καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων (ἀποβαλὼν *E*) τὴν μετοχὴν ποιεῖ $\Sigma^{\chi} E$

Μέλλοντος δευτέρου.

Ἑνικά. **Τυπῶν, τυποῦσα, τυποῦν**: ἡ τοῦ δευτέρου μέλλοντος μετοχὴ ὁμοφωνεῖ μὲν τῇ τοῦ δευτέρου ἀορίστου, οὐ μὴν καὶ ὁμοτονεῖ· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου ἀεὶ ὀξύνεται καὶ διὰ τοῦ ο̅ κλίνεται καὶ τὸ οὐδέτερον εἰς ο̅ν̅ λῆγον ἔχει, ἡ δὲ τοῦ δευτέρου μέλλοντος ἀεὶ περισπᾶται καὶ διὰ τῆς ο̅υ̅ διφθόγγου κλίνεται καὶ τὸ οὐδέτερον εἰς ουν λῆγον ἔχει.

Δυϊκά. **Τυποῦντε, τυπούσα.**

Πληθ. **Τυποῦντες, τυποῦσαι, τυποῦντα.**

Μετοχαὶ παθητικαί. 1042 b

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. **Τυπτόμενος**: πᾶν ῥῆμα παθητικὸν ἢ μέσον ἔχον τὸ μ̅ κλιτικὸν τροπῇ τῆς ἐσχάτης εἰς μ̅ε̅ν̅ο̅ς̅ τὴν μετοχὴν ποιεῖ, τύπτομαι τυπτόμενος, τέτυμμαι τετυμμένος· πρόσκειται «⟨ἔχον⟩ τὸ μ̅ κλιτικόν», ἐπεὶ τὸ ἐδάμην θεματικὸν αὐτὸ ἔχον οὐκέτι ποιεῖ δάμενος τὴν μετοχήν. **τυπτομένη**: ὁμοίως τοῖς εἰς ν̅ο̅ς̅ ὀνόμασι ποιοῦνται τὸν παρασχηματισμὸν τῶν γενῶν καὶ τὴν κλίσιν· ὡς γὰρ δερμάτινος δερματίνη δερμάτινον, οὕτω καὶ τυπτόμενος τυπτομένη τυπτόμενον· πᾶν τοίνυν εἰς ο̅ς̅ μετὰ συμφώνου πλὴν τοῦ ρ̅ ὅτε ἔχει θηλυκὸν εἰς η̅ αὐτὸ ποιεῖ, σοφός σοφή, καλός καλή. **τυπτόμενον**: πᾶν ἀρσενικὸν ἰσοσυλλάβως κλινόμενον ἡνίκα ποιεῖ οὐδέτερον ὁμόφωνον αὐτὸ ποιεῖ τῇ ἰδίᾳ αἰτιατικῇ, καλός καλοῦ τὸν καλόν καὶ τὸ καλόν, εὔγηρως εὔγηρω τὸν εὔγηρων καὶ τὸ εὔγηρων, εὔνους εὔνου τὸν εὔνουν καὶ τὸ εὔνουν· ὅθεν σεσημείωται τὸ ἄλλο τοιοῦτο ἐκεῖνο καὶ τὰ παραπλήσια.

Δυϊκά. **Τυπτομένω**: πᾶσα δοτικὴ ἑνικῶν εἰς α̅ ἢ εἰς ω̅ λήγουσα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν. **τυπτομένα**: εἴπομεν ὡς πᾶσα δοτικὴ εἰς η̅ λήγουσα τροπῇ τοῦ η̅ εἰς α̅ τὸ δυϊκὸν ποιεῖ, τῷ Πέρσῃ τὼ Πέρσα, τῇ καλῇ τὰ καλά, τῇ τυπτομένῃ τὰ τυπτομένα.

[Discr. scr. in CBGb] **1** μέλλων β̅ος B ‖ **2** ὁ τυπὼν G | τυποῦσα τυποῦν *post* ἔχει (7) *transp.* G ‖ **3** ὁμοφωνῆ C ‖ **5** λῆγον *om* Bb ‖ **6** διφθόγγου *om* G ‖ **8** τυποῦνται C | τυποῦσα Bb ‖ **11** χρόνου *om* G ‖ **12** πᾶν παθητικὸν ῥῆμα μέσον C ‖ **13** κλητικὸν B ‖ **14** ἔχον *om* CBGb | κλιτικὸν τὸ μ̅ C ‖ **15** οὐκ ἔτι G ‖ **16** *ante* τυπτομένη *add* ἡ C | ὁμοί. ὡς C | τὸν *om* G | παρεσχηματισμὸν C ‖ **18** καὶ *om* BGb ‖ **19** τοῦ ρ̅] τοῖς ρ̆ C ‖ **21** ποιεῖ οὐ οὐδέτ. G ‖ **22** τὸν καλὸν καὶ τὸ *om* G | εὔγηρως κτέ.] *omnes huius nominis formas paroxytonas praebent* CBGb | τὸν εὔγ. καὶ τὸ *om* G | τὸν εὔγηρον C ‖ **23** τὸν εὔν. καὶ τὸ *om* G | *ante* ὅθεν *add* χωρὶς τῶν ἰταλικῶν G ‖ **24** τοιοῦτο B, τοῦτο CGb ‖ **25** δοτικὴ ἑνικῶν CGb, γενικὴ ἑνικὴ B | εἰς α̅ ἢ *om* G | ἢ *om* C ‖ **26** εὐθεῖαν C, εὐθείαν G, ὀρθὴν Bb; *cfr. p. 5, 9. 16, 16* | τυπτόμενα C; *item v. 28* ‖ **27** τῷ Πέρσῃ — τὰ καλά (28) *om* B ‖ **28** τὼ] τὰ G

[Testim. ex ΣE] **5** λῆγον *hab. etiam* E[s] ‖ **14** ἔχον *addidi ex* Σ[χ] *836, 6* g ‖ **18** καὶ *ante* τυπτ *add etiam* Σ[χ] *837, 27* g ‖ **24** τοιοῦτο *hab. etiam* Σ[χ] *838, 14* g

Πληθ. Τυπτόμενοι: πᾶϲα εὐθεῖα δυϊκῶν εἰϲ ω̅ λήγουϲα εἰϲ ο̅ι̅ ποιεῖ τὸ πληθυντικόν, Ὁμήρω Ὅμηροι, Σαπφώ Σαπφοί. τυπτόμεναι: πᾶϲα εὐθεῖα δυϊκῶν εἰϲ α̅ λήγουϲα προϲθέϲει τοῦ ι̅ ποιεῖ τὸ πληθυντικόν, Πέρϲα Πέρϲαι, καλά καλαί. τυπτόμενα: εἴπομεν ὡϲ πᾶν οὐδέτερον εἰϲ α̅ λήγει κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν.

1043 b Παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Τετυμμένοϲ, τετυμμένη, τετυμμένον.
Δυϊκά. Τετυμμένω, τετυμμένα.
Πληθ. Τετυμμένοι, τετυμμέναι, τετυμμένα.

Ἀορίϲτου πρώτου.

Ἑνικά. Τυφθείϲ: πᾶν ῥῆμα εἰϲ ν̅ λῆγον μετὰ φυϲικῆϲ μακρᾶϲ μὴ ἔχον τὸ μ̅ι̅ κλιτικὸν τὴν μετοχὴν ἔχει εἰϲ ϲ̅ ὀξύτονον, ἐτετύφειν τετυφώϲ, ἐδάμην δαμείϲ· τὸ μέντοι ἐποίουν ἐβόων οὐ φυϲικὴν ἔχουϲι τὴν μακρὰν ἀλλ' ἐκ πάθουϲ· διὸ οὐκ εἰϲ ϲ̅ αὐτῶν ἡ μετοχή· τὸ ἐτυπτόμην τὸ μ̅ι̅ ἔχει κλιτικόν. τυφθεῖϲα, τυφθέν: ἀμφότερα γέγονεν ἀπὸ τῆϲ γενικῆϲ τοῦ ἀρϲενικοῦ, τὸ μὲν τροπῇ τῆϲ ἐϲχάτηϲ εἰϲ α̅ καὶ ἐκτάϲει τῆϲ παραληγούϲηϲ, τὸ δὲ οὐδέτερον ἀποβολῇ τῆϲ τελευταίαϲ.
Δυϊκά. Τυφθέντε, τυφθείϲα.
Πληθ. Τυφθέντεϲ, τυφθεῖϲαι, τυφθέντα.

Ἀορίϲτου δευτέρου.

Ἑνικά. Τυπείϲ, τυπεῖϲα, τυπέν.
Δυϊκά. Τυπέντε, τυπείϲα.
Πληθ. Τυπέντεϲ, τυπεῖϲαι, τυπέντα.

Μέϲου ἀορίϲτου πρώτου.

Ἑνικά. Τυψάμενοϲ, τυψαμένη, τυψάμενον: εἴπομεν ὡϲ τὰ ἔχοντα τὸ μ̅ι̅ κλιτικὸν τροπῇ τῆϲ ἐϲχάτηϲ εἰϲ μ̅ε̅ν̅ο̅ϲ̅ καὶ ϲυϲτολῇ τῆϲ κλι-

[Discr. scr. in CBGb] **1** εὐθεία G; *item v. 3* | *post* ω̅ *add* μέγα B ‖ **2** Σαπφώ Σαπφοί Cb, καλὼ καλοὶ G, *om* B ‖ **3** *ante* πᾶϲα *add* εἴρηται ὡϲ Bb | προϲθέϲει — καλαί (**4**) *om* B ‖ **4** *post* καλαί *iterum inc.* L *p. 201*

[Discr. scr. in LCBGb] **4** τυπουμένα L | εἴπομεν LCG, εἴρηται Bb ‖ **5** λήγει] λῆγον B | κατὰ τὴν εὐθ. τῶν πληθ.] κατευθείαν (κατεύθείαν G) τῶν πληθυντικῶν LG, κατὰ τὸ πληθυντικὸν Cb, *om* B; *cfr. p. 33, 7. 77, 19* ‖ **8** τετυμμένα] τετυμμένω L ‖ **10** ἀόριϲτοϲ α̅^{οϲ} G | πρώτου *om* L ‖ **11** ὁ τυφθείϲ G ‖ **12** κλητικὸν L; *item v. 15 et 26* | *post* κλιτικὸν *add* τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκταϲιν ἀποβαλὸν G | τὴν μετοχὴν — ὀξύτονον LBb, εἰϲ ϲ̅ ὀξύτονον ποιεῖ τὴν μετοχὴν C, τὴν μετοχὴν εἰϲ ϲ̅ ὀξύτονον ποιεῖ G ‖ **16** ἐϲχάτηϲ LCG, τελευταίαϲ Bb | ἐκϲτάϲει L ‖ **18** τυφθέντοϲ . τυφθεῖϲα C ‖ **21** τυπεῖϲ C ‖ **22** τυπεῖϲα C ‖ **23** τυπέντα *om* C ‖ **24** Μέϲου — πρώτου] μέλλοντοϲ α̅^{ου} καὶ ἀορίϲτου *in marg.* C ‖ **26** καὶ ϲυϲτ. — ἐκτάϲεωϲ (**82, 1**) *om* C; *cfr. p. 80, 13*

[Testim. ex *ΣE*] **12** εἰϲ ϲ̅ ὀξύτονον ποιεῖ τὴν μετοχὴν *E*, εἰϲ ϲ̅ μετ' ὀξείαϲ τύϲεωϲ ἔχει τὴν μετοχὴν $Σ^{χ}$ *840, 12 g*

τικῆc ἐκτάcεωc τὴν μετοχὴν ποιεῖ· ἔcτιν οὖν ἐτυψάμην καὶ cυcτολῇ τῆc ἀρχούcηc καὶ τροπῇ τῆc τελευταίαc cυλλαβῆc εἰc μενοc γίνεται τυψάμενοc.

Δυϊκά. Τυψαμένω, τυψαμένα.
Πληθ. Τυψάμενοι, τυψάμεναι, τυψάμενα.

Μέcου ἀορίcτου δευτέρου. 1044 b

Ἑνικά. Τυπόμενοc, τυπομένη, τυπόμενον.
Δυϊκά. Τυπομένω, τυπoμένα.
Πληθ. Τυπόμενοι, τυπόμεναι, τυπόμενα.

Μέλλοντοc πρώτου.

Ἑνικά. Τυφθηcόμενοc, τυφθηcομένη, τυφθηcόμενον.
Δυϊκά. Τυφθηcομένω, τυφθηcομένα.
Πληθ. Τυφθηcόμενοι, τυφθηcόμεναι, τυφθηcόμενα.

Μέλλοντοc δευτέρου.

Ἑνικά. Τυπηcόμενοc, τυπηcομένη, τυπηcόμενον.
Δυϊκά. Τυπηcομένω, τυπηcομένα.
Πληθ. Τυπηcόμενοι, τυπηcόμεναι, τυπηcόμενα.

Μέcου μέλλοντοc πρώτου.

Ἑνικά. Τυψόμενοc, τυψομένη, τυψόμενον.
Δυϊκά. Τυψομένω, τυψομένα.
Πληθ. Τυψόμενοι, τυψόμεναι, τυψόμενα.

Μέcου μέλλοντοc δευτέρου.

Ἑνικά. Τυπούμενοc, τυπουμένη, τυπούμενον.
Δυϊκά. Τυπουμένω, τυπουμένα.
Πληθ. Τυπούμενοι, τυπούμεναι, τυπούμενα.

Μετ' ὀλίγον μέλλοντοc τοῦ καὶ Ἀττικοῦ.

Ἑνικά. Τετυψόμενοc, τετυψομένη, τετυψόμενον.
Δυϊκά. Τετυψομένω, τετυψομένα.
Πληθ. Τετυψόμενοι, τετυψόμεναι, τετυψόμενα.

Τέλοc τοῦ μεγάλου ῥήματοc καὶ τῶν μετοχῶν.

[Discr. scr. in LCBGb] **1** ἐκcτάcεωc L | *ante* μετοχὴν *add* παθητικὴν LBb | ποιεῖ *post* ἐκτάcεωc *transp.* Bb ‖ **4** τυψάμενα C ‖ **6** Μέcου] μέλλοντοc C, *om* G ‖ **7** τυπούμενοc L | τυπτόμενοc . τυπτομένη . τυπτόμενον C ‖ **8** τυπτομένω . τυπτομένα C ‖ **9** *pluralem totum om* C | τυπόμενα *om* L ‖ **12** τυφθηcόμενα G ‖ **13** τυφθηcόμεναι . τυφθηcόμενα *om* L ‖ **16** τυπηcόμενα (*sic*) LG; *hoc verbo desinit* L *in media p. 202*

[Discr. scr. in CBGb] **20** τυψόμενα C ‖ **22** Μέcου *om* B ‖ **26** ὀλίγου G | τοῦ καὶ Ἀττ. *om* C ‖ **30** Τέλοc — μετοχῶν *om* C | καὶ τῶν μετ. *om* G

1045b

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν ἁπλοῦν παράγωγον συζυγίας πρώτης τῶν εἰς μ̅ι̅.

Ἑνικά. **Τίθημι**: τινὲς ἐνόμισαν τὰ εἰς μ̅ι̅ πάντα τῆς Αἰολίδος εἶναι διαλέκτου· πολλὴ γάρ ἐστι παρ' αὐτοῖς ἡ εἰς μ̅ι̅ κατάληξις· γέλαιμι γὰρ καὶ ἀσυνέτημι φασίν· ἀλλ' ἐλέγχονται ἐκ πολλῶν, μάλιστα δὲ ἐξ αὐτῆς τῆς κλίσεως· ἐκεῖνοι γὰρ ὁμοίως τοῖς εἰς ω̅ καὶ τὰ εἰς μ̅ι̅ κλίνουσι, τίθημι τίθης τίθη, γέλαιμι γέλαις γέλαι λέγοντες· ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλὰ τὸ τρίτον εἰς σ̅ι̅. Πᾶν τοίνυν εἰς μ̅ι̅ λῆγον φύσει μακρᾷ παραλήγεται, πλὴν τῆς ε̅ι̅ διφθόγγου· ὅθεν ἡμάρτηται τὸ εἰμί· πᾶν εἰς μ̅ι̅ λῆγον βαρύνεται, πλὴν τοῦ εἰμί φημί ἠμί· τῶν εἰς μ̅ι̅ ἡ πρώτη μὲν καὶ δευτέρα συζυγία τῷ η̅ παραλήγεται, ἡ δὲ τρίτη τῷ ω̅ καὶ ἡ τετάρτη διχρόνῳ ἐκτεταμένῳ. **τίθης**: τὰ εἰς μ̅ι̅ τροπῇ τῆς μ̅ι̅ εἰς σ̅ τὸ δεύτερον ποιεῖ, ἵστημι ἵστης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς. **τίθησι**: πᾶν δεύτερον τῶν εἰς μ̅ι̅ προσθέσει τοῦ ι̅ τὸ τρίτον ποιεῖ, δίδως δίδωσι, ζεύγνυς ζεύγνυσι.

Δυϊκά. **Τίθετον, τίθετον**: πρῶτον οὐκ ἔστι πρόσωπον διὰ τὸ ἐν τοῖς πληθυντικοῖς εἶναι τὸ μ̅· τὸ δὲ τρίτον συνέπεσε τῷ δευτέρῳ, ὅτι τὸ τρίτον τῶν πληθυντικῶν εἰς σ̅ι̅.

Πληθ. **Τίθεμεν**: εἴπομεν ὡς ἐνεστώτων καὶ μελλόντων ἡ γενικὴ τῆς μετοχῆς ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν καὶ πρὸ τοῦ ν̅ δεξαμένη τὸ μ̅ε̅ πληθυντικὸν ποιεῖ, τιθείς τιθέντος τίθεμεν, ἱστάς ἱστάντος ἵσταμεν, διδούς διδόντος δίδομεν, ζευγνύς ζευγνύντος ζεύγνυμεν. **τίθετε**: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μ̅ε̅ν̅ εἰς τε· ἡ δὲ παραλήγουσα πεφύλακται, ἐπείπερ εἰς σ̅ ἡ μετοχή. **τιθεῖσι**: εἴπομεν ὡς ἐν-
1046b ἐστώτων καὶ μελλόντων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμοφωνεῖ ταῖς δοτικαῖς πληθυντικαῖς τῶν ἰδίων μετοχῶν· τὸ δὲ φασί μόνον ἐν τόνῳ διήλλαξε· τὸ μὲν γὰρ ῥῆμα φασί ὀξύνεται, ἡ δὲ μετοχὴ φᾶσι

[Discr. scr. in CBGb] **1** *ante* Ῥῆμα *add* κλίσις τῶν εἰς μ̅ι̅ ῥημάτων Bb ‖ **2** *post* μ̅ι̅ *add* ῥημάτων τῶν τριῶν προσώπων τε καὶ ἀριθμῶν χρόνου ἐνεστῶτος BGb ‖ **5** ἀσυνέτημι φασὶν BGb, συνέτιμί φησιν C | *post* ἐλέγχονται *add* μὲν B | *post* πολλῶν *add* μὲν G | δὲ *om* Bb ‖ **6** κλίνουσι BGb, κλίνουσιν C | τίθημι — τίθη (**7**) *om* BGb ‖ **8** εἰς σ̅ι̅ν̅ C ‖ **9** ε̅ι̅ CGb, ἐν B | εἰμί] εἰς μ̅ι̅ C ‖ **10** ἠμί *om* CBb | μὲν *om* G ‖ **11** τῷ η̅] τὸ η̅ C | δὲ *om* G | τρίτη δὲ *traic.* Bb | τῷ ω̅] τὸ ω̅ C ‖ **14** τὸ *om* C ‖ **16** *ante* Τίθετον *add* τίθησι C ‖ **19** καὶ *om* C ‖ **20** ἀποβάλουσα C | συλλαβὴν *om* Bb; *cfr. p. 44, 15* ‖ **21** τὸ μ̅ε̅] μ̅ C | τὸ πληθ. G | ἱστάς — ἵσταμεν (**22**) *om* G ‖ **22** διδούς — δίδομεν *om* C | ζευγνύς — ζεύγνυμεν *om* G | ζευγνῦντος C | *post* ζεύγνυμεν *add* λέγοντος λέγομεν. λέξοντος λέξομεν C ‖ **24** τιθεῖσιν Bb ‖ **25** καὶ μέλλ. *om* G ‖ **26** μόνον — διήλλ. (**27**)] σεσημείωται μόνον ἐν τόνῳ διαλλάξαν G ‖ **27** τόνῳ] τῶ ν̈ *et in marg. eadem manu* γ̈ οἶμαι C | διήλλαξεν C | φᾶσι Gb, φασί C, φάσι B

[Testim. ex ***ΣE***] **1 – 2** *inscriptionem quam e* C *in contextum recepimus praeb. etiam* E^{u} ‖ **5** *neque* ἀσυνέτημι *neque* συνέτημι *in* Σ^{χ} *legitur* ‖ **11** ἡ δὲ τρίτη E^{s} ‖ **14** τὸ *habent* Σ^{χ} (*855, 1* g) ***E*** ‖ **20** συλλαβὴν *add* Σ^{χ} (*858, 30* g) ***E***

βαρύνεται. Ταῦτα δὲ τὰ τρίτα Ἴωνες προσόδῳ τοῦ ᾱ καὶ συστολῇ τῆς παραληγούσης προφέρονται, τιθέασι διδόασι ζευγνύασι· ἐπὶ γὰρ τῆς δευτέρας τοῦτο οὐ ποιοῦσι διὰ τὴν κακοφωνίαν τοῦ ἱστάασι· καὶ ἀπὸ οὖν τοῦ ἵημι ἵησι ἱεῖσι ἰωνικῶς ἱέασι καὶ κατὰ κρᾶσιν Ἀττικὴν ἱᾶσι, καὶ ἐν συνθέσει ἀφιᾶσιν. [ἱᾶσι πέμπουσιν, ἴασι πορεύονται.]

Παρατατικοῦ.

Ἑνικά. Ἐτίθην: τὰ εἰς μ̅ι̅ τροπῇ τῆς μ̅ι̅ εἰς ν̅ καὶ κλιτικῇ ἐκτάσει τῆς ἀρχούσης τὸν παρατατικὸν ποιεῖ, τίθημι ἐτίθην, δίδωμι ἐδίδων. ἐτίθης: τὰ εἰς ν̅ μακροκατάληκτα μετὰ φυσικῆς μακρᾶς μὴ ἔχοντα τὸ μ̅ κλιτικὸν τροπῇ τοῦ ν̅ εἰς ς̅ τὸ δεύτερον ποιεῖ, ἔστην ἔστης, ἐδίδων ἐδίδως. ἐτίθη.

Δυϊκά. Ἐτίθετον, ἐτιθέτην.

Πληθ. Ἐτίθεμεν, ἐτίθετε, ἐτίθεσαν: εἴπομεν ὡς τὰ εἰς ν̅ μὴ ἔχοντα τὸ μ̅ κλιτικὸν πρὸ τοῦ ν̅ δεχόμενα τὸ μ̅ε̅ πληθυντικὸν ποιεῖ· ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται διὰ τὴν πρὸς τὸν ἐνεστῶτα συμπάθειαν· τὸ δὲ τρίτον εἰς σα̅ν̅, ἐπεὶ τὰ εἰς μ̅ε̅ν̅ πληθυντικὰ ἀπὸ τῶν εἰς ν̅ φύσει μακροκαταλήκτων κεκλιμένα εἰς σαν ποιεῖ τὸ τρίτον, ἐφθάρην ἐφθάρημεν ἐφθάρησαν.

Παρακειμένου.

Ἑνικά. Τέθεικα: εἰ θέματα τῶν παρακειμένων οἱ μέλλοντες, μέλλων δὲ τοῦ τίθημι θήσω, δικαίως ὁ παρακείμενος τέθηκα, διὰ μὲν τὸ ς̅ ἔχων τὸ κ̅, ἀναδιπλασιάζων δὲ τὴν ἀρχὴν διὰ τὸ ἀπὸ ἁπλοῦ συμφώνου ἄρξασθαι· τὸ μέντοι τέθεικα Βοιώτιόν ἐστι, τροπὴν ποιησάμενον τοῦ η̅ 1047 b
εἰς τὴν ε̅ι̅ δίφθογγον, ὡς ἥρωες εἵρωες. τέθεικας, τέθεικε.

Δυϊκά. Τεθείκατον, τεθείκατον.

Πληθ. Τεθείκαμεν, τεθείκατε, τεθείκασι.

[Discr. scr. in CBGb] **1** τρία G ‖ **2** διδόασι] δὲ καὶ δόασι C | ζευγνύασιν CG | γὰρ] δὲ G ‖ **3** τοῦτο οὐ CG, οὐκέτι τοῦτο Bb | ἱστᾶσι C | γοῦν G ‖ **4** ἵημι — ἱεῖσι Bb, ἵημι ἣν εἵησι C, ἵημι ἵης ἱεῖσι G | ἱέασιν C | καὶ κράσει ἀττικῇ G | ἱᾶσιν C ‖ **5** ἀμφιᾶσιν C | ἱᾶσι G, ἱᾶσιν C, ἱᾶσι Bb | ἴασι G, ἱᾶσιν C, ἱᾶσι Bb ‖ **6** παρατατικός CG ‖ **7** ἐτίθην *ex* ἐτύθην *corr.* C | τῆς μ̅ι̅ *bis hab.* B ‖ **9** *ante* τὰ *add* εἴπομεν B, εἴπομεν ὡς b ‖ **10** ἐδίδων] ἐδίδου *sed supra pos. signo* ·.· C ‖ **12** ἐτίθητον G ‖ **14** τὸ *post* ἔχοντα *om* C | δεχόμενα τὸ μ̅ε̅] τὸ μ̅ε̅ προσλαμβάνοντα G ‖ **15** καὶ *om* G ‖ **16** σα̅ν̅] αν C ‖ **17** εἰς ν̅] εἰς υ̅ν̅ C | κεκλιμένα Gb, κεκλημένα C, *om* B; *cfr. p. 51, 11. 59, 4 adn.* ‖ **18** σα̅ν̅ G, αν CBb | ἐφθάρην — ἐφθάρησαν *om* G ‖ **19** παρακείμενος G ‖ **21** τέθεικα C | μὲν b, μέντοι CBG ‖ **22** ἔχον C | ἀναδιπλασιάζον C ‖ **26** τεθείκασιν C

[Testim. ex ΣE] **3** οὐδὲν τοιοῦτον ποιοῦσι Σ^{χ} *859, 31* g ‖ **5** *quomodo ortum sit additamentum patet ex* Σ^{χ} *861, 3—9* g ‖ **17** κεκλιμένα *hab. etiam* Σ^{χ} *869, 21* g ‖ **21** μὲν Σ^{χ} *869, 30* g

Περὶ τοῦ μέcου παρακειμένου.

Μέcοc παρακείμενοc οὐκ ἔcτιν ἐν τοῖc εἰc μι δι' αἰτίαν τοιαύτην· ὅτε ὁ δεύτεροc ἀόριcτοc ἐνδεῖ τοῦ πρώτου cυλλαβῇ, τότε καὶ ὁ μέcοc παρακείμενοc ἐνδεῖ τοῦ ἐνεργητικοῦ, οἷον ἐλήκηcα ἔλακον λελήκηκα λέληκα· ἐν τοῖc εἰc μι τοίνυν καθόλου ὁ δεύτεροc ἀόριcτοc ἐνδεῖ τοῦ πρώτου, ἔcτηcα ἔcτην, καὶ ὁ μέcοc παρακείμενοc ὀφείλων ἐνδεῖν τοῦ ἐνεργητικοῦ εἰc διcυλλαβίαν περιΐcτατο, ὅπερ ἀδύνατον· πᾶc γὰρ παρακείμενοc ὑπερβαίνειν θέλει τὴν διcυλλαβίαν, ἡμαρτημένου τοῦ οἶδα.

Ὑπερcυντελίκου.

Ἑνικά. Ἐτεθείκειν, ἐτεθείκειc, ἐτεθείκει.
Δυϊκά. Ἐτεθείκειτον, ἐτεθεικείτην.
Πληθ. Ἐτεθείκειμεν, ἐτεθείκειτε, ἐτεθείκειcαν.

Ἀορίcτου πρώτου.

Ἑνικά. Ἔθηκα, ἔθηκαc, ἔθηκεν: εἰ ὁ μέλλων θήcω, ὤφειλεν ὁ ἀόριcτοc εἶναι ἔθηcα· ὁμοίωc καὶ ἀπὸ τοῦ δώcω ἔδωcα καὶ ἥcω ἧcα· ἀλλά φαμεν cεcημειῶcθαι τοὺc τρεῖc τούτουc ἀορίcτουc ἐν τοῖc εἰc μι, ὥcπερ ἐν τοῖc εἰc ω τὸν εἶπα καὶ τὸν ἤνεγκα.
Δυϊκά. Ἐθήκατον, ἐθηκάτην.
Πληθ. Ἐθήκαμεν, ἐθήκατε, ἔθηκαν.

Ἀορίcτου δευτέρου.

Ἑνικά. Ἔθην, ἔθηc, ἔθη: πᾶc μέλλων τῶν εἰc μι τὴν τελευταίαν cυλλαβὴν τρέπων εἰc ν καὶ τὴν ἄρχουcαν ἐκτείνων κλιτικῶc τὸν δεύτερον ἀόριcτον ποιεῖ, δώcω ἔδων, θήcω ἔθην, ἥcω ἧν.
Δυϊκά. Ἔθετον, ἐθέτην.
Πληθ. Ἔθεμεν, ἔθετε, ἔθεcαν.

1048 b Cεcημείωνται κατὰ πολλοὺc τρόπουc οἱ τρεῖc οὗτοι δεύτεροι ἀόριcτοι, λέγω δὴ ὁ ἔθην ἔδων ἧν, πρῶτον ὅτι cυcτέλλουcι τὴν ἐcχάτην ἐν τοῖc πληθυντικοῖc, τῶν ἄλλων φυλαccόντων αὐτήν, ἔθεμεν ἔδομεν

[Discr. scr. in CBGb] **1** Περὶ — παρακ. *om* CBb, *sed in marg. add* μέcοc παρακείμενοc C ‖ **2** πακείμενοc B; *item v. 7* | ἐν τοῖc εἰc μι οὐκ ἔcτι G ‖ **3** ἐνδεῖ BGb, ἐνδεία C ‖ **4** ἐλήκηcαν C ‖ **6** *post* μέcοc *add* τοίνυν BGb | ὀφείλων *ex* ὀφείλον *corr.* C¹ ‖ **9** Ὑπερc.] ὑποτακτικοῦ *in marg.* C, ὑπερcυντέλικοc G ‖ **10** ἐτεθείκην *sed supra* η *posito* ει C¹ | ἐτεθείκηc C ‖ **12** ἐτεθείκηcαν C ‖ **14** ἔθηκαc ἔθηκεν *post* ἤνεγκα (17) *transp.* G | εἰ θήcω ὁ μέλλων Bb | ὁ ἀόριcτοc ὤφειλεν εἶναι ἔθηcα Bb, ὤφειλεν εἶναι ὁ ἀόρ. ἔθηκα G ‖ **15** καὶ ἥcω ἧcα G, καὶ ἥcω ἧcα C, ἥcω τὲ ἧcα B, ἥcω τε ἧcα b ‖ **16** ἀλλὰ φαμὲν G ‖ **17** εἴνεγκα C | *post* ἤνεγκα *add* εἶπα γὰρ καὶ οὐχὶ εἶπον B ‖ **18** ἐθήκατον *ex* ἐθείκατον *corr.* C¹ ‖ **21** ἔθηc ἔθη *post* ἧν (23) *transp.* G ‖ **23** ἧν Gb, ἦν CB ‖ **27** ὁ ἔθην CBG, τὸ ἔθην b | ἔδων CGb, ἔδω B

ἕμεν, ἕστημεν δὲ καὶ ἔγνωμεν οἱ ἄλλοι· εἶτα ὅτι ἐν τοῖς ἀπαρεμφάτοις διφθόγγῳ παραλήγονται, θεῖναι δοῦναι εἶναι, τῶν εἰς ναι ἀπαρεμφάτων μὴ θελόντων διφθόγγῳ παραλήγεσθαι· τρίτον ὅτι μὴ εἰς θ̅ι̅ ποιοῦσι τὰ προστακτικὰ ἔχοντες εἰς ς̅ ὀξυτόνους τὰς μετοχάς, ἀλλὰ θές δός ἕς.

Μέλλοντος πρώτου.

Ἑνικά. Θήσω, θήσεις, θήσει: τὰ εἰς μ̅ι̅ λήγοντα τρέποντα τὴν μι εἰς σ̅ω̅ μέλλοντα ποιεῖ τὸν ἐν ἀρχῇ διπλασιασμὸν ἀποβάλλοντα, δίδωμι δώσω, ἵστημι στήσω, φημί φήσω.

Δυϊκά. Θήσετον, θήσετον.

Πληθ. Θήσομεν, θήσετε, θήσουσι.

Δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς μ̅ι̅· ὅτε γὰρ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου συλλαβῇ, τότε καὶ ὁ δεύτερος μέλλων ἐνδεῖ τοῦ πρώτου μέλλοντος, ἐμύκησα ἔμυκον μυκήσω μυκῶ· εἰς μονοσυλλαβίαν οὖν περιΐσταντο, ὅπερ ἀδύνατον ἐπὶ μελλόντων· διὸ σεσιώπηνται.

Περὶ παθητικῶν.

Ὁριστικὰ παθητικά.

Χρόνου ἐνεστῶτος.

Ἑνικά. Τίθεμαι: τὰ εἰς μ̅ι̅ τρέποντα τὴν μ̅ι̅ εἰς μ̅α̅ι̅ καὶ τὴν παραλήγουσαν συστέλλοντα πρὸς τὴν παραλήγουσαν τῶν πληθυντικῶν ἐνεργητικῶν παθητικὰ γίνεται, τίθημι τίθεμαι, δίδωμι δίδομαι, ἵστημι ἵσταμαι, ζεύγνυμι ζεύγνυμαι. τίθεσαι: εἴπομεν ὡς ὅσα τῶν παθητικῶν

[Discr. scr. in CBGb] **1** ἕστημεν] ἔφημεν CBGb ‖ **2** δοῦναι θεῖναι G | εἶναι *om* C ‖ **3** τρίτον BGb, τρίτα C | τὰ προστακτικὰ C, τὸ προστακτικὸν BGb ‖ **4** ἔχοντες] ἔχοντα CBGb | ὀξυτόνους BGb, ὀξυτόνως C | ἕς G ‖ **5** μέλλων α̅ος B ‖ **6** θήσεις θήσει *post* φήσω (8) *transp.* G ‖ **7** εἰς σ̅ω̅] εἰς ω̅ C ‖ **11** ἐν τοῖς BGb, ἐνεργη̅ς̅ *sed supra* γ *signum* ·.· C | *post* μ̅ι̅ *add* δι' αἰτίαν τοιαύτην G ‖ **12** συλλαβῇ BGb, συλλαβὴν C; *cfr. p. 85, 3* ‖ **13** τοῦ πρώτου μέλλοντος G, τοῦ δευτέρου C. τοῦ δευτέρου ἀορίστου Bb ‖ **14** περιΐστατο G | σεσηώπηται *in* σεσιώπηται *mutavit* C¹ ‖ **15** Περὶ παθ. *om* G | παθητικοῦ C ‖ **18** *poster.* μ̅ι̅ *om* C ‖ **19** συστέλλοντα — παραλήγ. *om* CBb ‖ **20** *ante* παθ. *add* φυλάσσοντα CBb | γίνονται C ‖ **21** ζεύγ. ζεύγ. *om* G | τίθεσαι] τίθεσθαι *sed supra* αι *signum* ·.· *et in marg.* ·.· οὕτως C

[Testim. ex *ΣE*] **1** ἕστημεν *test. E; praeterea* ἕστην *et* ἔγνων *opponuntur aoristis secundis verborum* τίθημι δίδωμι ἵημι *Σ 874, 16 sq.* g ‖ **4** ἔχοντες] *neutrum* ἔχοντα *irrepsisse videtur ex Σ 874, 14* g: ὅτι τὰ ἔχοντα | ὀξυτόνους] μετ' ὀξείας τάσεως Σ^{χ} *874, 14 et 18* g ‖ **7** εἰς ω̅ *falso habent etiam* E^{g} Σ^{χ} *875, 13* g (*in* CO) ‖ **11** ἐν τοῖς *test.* E^{g} Σ^{χ} *875, 33* g ‖ **12** συλλαβῇ E^{g} ‖ **13** τότε καὶ ὁ δεύτερος μέλλων ἐνδεῖ τοῦ πρώτου E^{g}. *ex eis autem quae* Σ^{χ} *876, 4–15* g *exstant apparere videtur, Choeroboscum legisse* ὁ δεύτερος μέλλων ἐνδεῖ τοῦ δευτέρου ἀορίστου. *tamen sic non scripsisse Theodosium docent futuri primi exempla addita* μυκήσω *et* βλαστήσω Σ^{χ} *876, 4* g, *quae non de suo videtur addidisse Choerob.*

εἶχε τὴν ἐνεργητικὴν μετοχὴν εἰς ϲ ὀξύτονον, ταῦτα τροπῇ τοῦ κατὰ
1049b τὸ τρίτον τ εἰς ϲ τὸ δεύτερον ποιεῖ, πεποίηται πεποίηϲαι ὅτι πεποιηκώϲ, τίθεται τίθεϲαι ὅτι τιθείϲ. **τίθεται**: τὰ εἰϲ μαι τροπῇ τῆϲ μαι εἰϲ ται τὸ τρίτον ποιεῖ, φυλάϲϲει δὲ τὴν παραλήγουϲαν, ὅτε τὴν ἐνεργητικὴν μετοχὴν ἔχει εἰϲ ϲ ὀξύτονον.

Δυϊκά. Τιθέμεθον, τίθεϲθον, τίθεϲθον.

Πληθ. Τιθέμεθα, τίθεϲθε, τίθενται.

Παρατατικοῦ.

Ἑνικά. Ἐτιθέμην, ἐτίθεϲο, ἐτίθετο: πᾶϲ ἐνεϲτὼϲ παθητικὸϲ τρέπων τὴν μαι εἰϲ μην καὶ τὴν ἄρχουϲαν ἐκτείνων κλιτικῶϲ τὸν παρατατικὸν ποιεῖ, δίδομαι ἐδιδόμην, ἵϲταμαι ἱϲτάμην.

Δυϊκά. Ἐτιθέμεθον, ἐτίθεϲθον, ἐτιθέϲθην.

Πληθ. Ἐτιθέμεθα, ἐτίθεϲθε, ἐτίθεντο.

Παρακειμένου.

Ἑνικά. Τέθειμαι, τέθειϲαι, τέθειται: ὁ ἐνεργητικὸϲ παρακείμενοϲ τὴν τελευταίαν τρέπων εἰϲ μαι καὶ τὴν παραλήγουϲαν ϲυϲτέλλων παθητικὸϲ γίνεται, δέδωκα δέδομαι, ἕϲτηκα ἕϲταμαι, τέθηκα τέθεμαι· τὸ δὲ τέθειμαι ἐν πλεοναϲμῷ τοῦ ι.

Δυϊκά. Τεθείμεθον, τέθειϲθον, τέθειϲθον.

Πληθ. Τεθείμεθα, τέθειϲθε, τέθεινται.

Ὑπερϲυντελίκου.

Ἑνικά. Ἐτεθείμην, ἐτέθειϲο, ἐτέθειτο: πᾶϲ παρακείμενοϲ παθητικὸϲ τρέπων τὴν μαι εἰϲ μην καὶ τὴν ἄρχουϲαν ἐκτείνων κλιτικῶϲ ὑπερϲυντέλικοϲ γίνεται, δέδομαι ἐδεδόμην, ἕϲταμαι ἑϲτάμην.

Δυϊκά. Ἐτεθείμεθον, ἐτέθειϲθον, ἐτεθείϲθην.

Πληθ. Ἐτεθείμεθα, ἐτέθειϲθε, ἐτέθειντο.

[Discr. scr. in CBGb] **2** εἰϲ ϲ ποιεῖ τὸ δεύτερον BGb ‖ **3** τίθεϲαι] τίθεται C | εἰϲ μαι] εἰϲ μι C ‖ **5** ἔχει *om* G ‖ **9** ἐτίθεϲο ἐτίθετο *post* ἱϲτάμην (11) *transp.* G ‖ **10** ἐκτίνων C | τὸν *om* Bb; *cfr. p. 55, 17* ‖ **11** δίδομαι *ex* δίδωμι *corr.* C¹ ‖ **14** παρακείμενοϲ C ‖ **15** τέθειϲαι τέθειται *post* τοῦ ι (18) *transp.* G ‖ **16** τὴν τελευταίαν τρέπων εἰϲ μαι CG, τρέπων τὴν μαι εἰϲ μην B, τρέπων τὴν κα εἰϲ μαι b ‖ **17** ἕϲτακα G | τέθηκα C, τέθεικα BGb ‖ **21** ὑπερϲυντέλικοϲ C ‖ **22** πᾶϲ παρακ. παθητικὸϲ Cb, ὁ παρακείμενοϲ B, ὁ παθ. παρακ. G ‖ **23** κλιτικῶϲ ἐκτείνων BGb; *cfr. v. 10* ‖ **26** ἐτέθεινται *sed supra* αι *signum* ∴ C

[Testim. ex ΣE] **2** τὸ δεύτερον ποιεῖ *E*, ποιοῦϲι τὰ δεύτερα πρόϲωπα *Σ*^χ *878, 32 g* ‖ **10** τὸν *hab.* *EΣ*^χ *880, 17 g* ‖ **16** τρέπων τὴν τελευταίαν ϲυλλαβὴν εἰϲ μαι *Σ 883, 18 g*. *E hacc tantum habent*: ὁ παθητικὸϲ παρακείμενοϲ ἐκ τοῦ ἐνεργητικοῦ γίνεται ‖ **22** πᾶϲ παθητικὸϲ παρακείμενοϲ *E*; *Σ*^χ *884, 7 g haec tantum*: πῶϲ δὲ κανονίζεται ὁ ὑπερϲυντέλικοϲ ἐν τοῖϲ εἰϲ ω μεμαθήκαμεν. *cfr. p. 58, 2* ‖ **23** ἐκτείνων κλιτικῶϲ *E*^s

Ἀορίστου πρώτου. 1050 b

Ἑνικά. Ἐτέθην, ἐτέθηc, ἐτέθη: ὁμοίωc τοῖc ἀπὸ τῶν εἰc ω ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γίνεται τροπῇ τῆc μαι εἰc θην καὶ ἀποβολῇ τοῦ κατ' ἀρχὴν cυμφώνου· ἦν οὖν τέθεμαι ἐτέθην· ἐπειδὴ γὰρ ἔδει πάντωc εἰc θην λήγειν τὸν ἀόριcτον, τὸ παραλῆγον θ τέτραπται διὰ τὴν εὐφωνίαν, οὐ τὸ τελευταῖον.

Δυϊκά. Ἐτέθητον, ἐτεθήτην.

Πληθ. Ἐτέθημεν, ἐτέθητε, ἐτέθηcαν.

Ἀόριcτοc δεύτεροc ἐν τοῖc παθητικοῖc τῶν εἰc μι οὐκ ἔcτι· τὴν γὰρ κατάληξιν αὐτοῦ προϋφήρπαcαν οἱ ἐνεργητικοὶ ἀόριcτοι δεύτεροι· ὁ μέντοι ἔcτην ἀόριcτοc ἐνεργητικὸc ὢν τῇ φωνῇ τῇ cυντάξει ἐcτὶ παθητικόc· ὡc γὰρ ἐcτάθην ὑπὸ cοῦ οὕτωc ἔcτην ὑπὸ cοῦ.

Μέcου ἀορίcτου πρώτου.

Ἑνικά. Ἐθηκάμην, ἐθήκω, ἐθήκατο.

Δυϊκά. Ἐθηκάμεθον, ἐθήκαcθον, ἐθηκάcθην.

Πληθ. Ἐθηκάμεθα, ἐθήκαcθε, ἐθήκαντο.

Μέcου ἀορίcτου δευτέρου.

Ἑνικά. Ἐθέμην, ἔθεcο, ἔθετο: ἐν τοῖc εἰc μι ὁ εἰc θην ἀόριcτοc τρέπων τὸ θ εἰc μ μέcον ποιεῖ, ἐφάθην ἐφάμην, ἐπτάθην ἐπτάμην· πάλιν μέντοι τὸ τίθημι καὶ ἵημι κἀν τούτῳ παρηνομήθη· ἐποίηcε γὰρ μέcα ὁμοίωc τοῖc εἰc ω, ἐθηκάμην ἡκάμην· τοῦ μέντοι ἐθέμην ἐδόμην τὰ δεύτερα ἔθεcο ἔδοcο τροπῇ τοῦ κατὰ τὸ τρίτον τ εἰc c, ἐπεὶ καὶ ἡ ἐνεργητικὴ μετοχὴ θείc καὶ δούc· γίνονται δὲ κατὰ ἔνδειαν τοῦ c καὶ κρᾶcιν ἔθου καὶ ἔδου, ἐπῄνεc' ἔργον καὶ πρόνοιαν ἣν ἔθου, Σοφοκλῆc ⟨Ai. 536⟩.

Δυϊκά. Ἐθέμεθον, ἔθεcθον, ἐθέcθην. 1051 b

Πληθ. Ἐθέμεθα, ἔθεcθε, ἔθεντο.

[Discr. scr. in CBGb] **2** ἐτέθηc ἐτέθη *post* τελευταῖον (**6**) *transp.* G ‖ **4** ἐτέθην *et supra* τ *posito* θ B ‖ **9** Ἀόρ. δεύτ.] ἀόριcτοc β *in marg.* C | τοῖc *om* CG | τὴν γὰρ — ἔcτην (**11**) *om* C ‖ **10** αὐτοῦ] αὐτῶν BGb | δεύτ. ἀόρ. G ‖ **11** ἔcτην] ἔcτιν G; *item v. 12* ‖ **13** Μέcου — ἐθήκαντο (**16**) *om* G | Μέcου] μέλλοντοc C; *item v. 17* ‖ **14** ἐθηκάμην ἐθήκω] ἔθηκα ἔθηκα C ‖ **17** μέcοc ἀόριcτοc β^oc G ‖ **19** εἰc μ G, εἰc μι C, εἰc τὸ μ Bb ‖ **20** ἵημι C | κἀν τούτῳ Bb, καὶ ἐν τούτῳ G, καὶ τοῦτο C | παρηνομήθη BG, παρενομίcθη C, παρενομήθη b ‖ **21** τοῖc εἰc ω BGb, τοῦ ω C | ἡκάμην] ἐκάμην G ‖ **23** δὲ καὶ κατ' ἔνδειαν G ‖ **24** ἐπῄνεcα B ‖ **25** cοφοκλῆc G

[Testim. ex *ΣE*] **9** τοῖc *habent E et Σ^X 885, 15* g ‖ **10** αὐτοῦ *E* ‖ **19** εἰc μ *E^g Σ^X 886, 19* g (*in* O) *et 886, 20* g (*in* O), εἰc μι *886, 19* g (*in* C), εἰc τὸ μ *Σ^X 886, 20* g (*in* C) ‖ **20** *formae et a* παρα-νομέω *et a* παρ-ανομέω *derivatae exstant in Σ^X 887, 10* g ‖ **21** τοῖc εἰc ω *testantur Σ 887, 12* g

Μέλλοντος πρώτου.

Ἑνικά. Τεθήσομαι, τεθήσῃ, τεθήσεται: καὶ οὗτος ὁμοίως τοῖς ἀπὸ τῶν εἰς ω̄ ληγόντων ἀπὸ τοῦ παθητικοῦ ἀορίστου γίνεται προσθέσει τῆς σομαι κατὰ τὸ τρίτον πρόσωπον καὶ συστολῇ τῆς ἀρχούσης, ἐτέθη τεθήσομαι, ἐδόθη δοθήσομαι.

Δυϊκά. Τεθησόμεθον, τεθήσεσθον, τεθήσεσθον.

Πληθ. Τεθησόμεθα, τεθήσεσθε, τεθήσονται.

Μέσου μέλλοντος πρώτου.

Ἑνικά. Θήσομαι, θήσῃ, θήσεται: ὁμοίως τοῖς ἀπὸ τῶν εἰς ω̄ γίνεται ἀπὸ τοῦ πρώτου μέλλοντος τροπῇ τοῦ ω̄ εἰς ο̄ καὶ προσθέσει τῆς μαι.

Δυϊκά. Θησόμεθον, θήσεσθον, θήσεσθον.

Πληθ. Θησόμεθα, θήσεσθε, θήσονται.

Μετ' ὀλίγον μέλλοντος.

Ἑνικά. Τεθείσομαι, τεθείσῃ, τεθείσεται: καὶ οὗτος ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου γίνεται πρὸ τῆς αι δεχόμενος τὸ ομ, τέθειμαι τέθεισαι τεθείσομαι, εἴγε ἄρα γίνεται.

Δυϊκά. Τεθεισόμεθον, τεθείσεσθον, τεθείσεσθον.

Πληθ. Τεθεισόμεθα, τεθείσεσθε, τεθείσονται.

Περὶ ἀπαρεμφάτων.

Ἀπαρέμφατα ἐνεργητικά.
Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Τιθέναι: εἴπομεν ὡς πᾶσα μετοχὴ εἰς σ̄ ὀξύτονος διὰ τοῦ ντ κλινομένη εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον· ἣν οὖν τιθείς τιθέντος τιθέναι,
1052 b διδούς διδόντος διδόναι· ἄλλως τε καὶ πᾶν πληθυντικὸν ἐνεργητικὸν ἐνεστῶτος χρόνου τροπῇ τῆς μεν εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον ἐπὶ τῶν εἰς μι, τίθεμεν τιθέναι, ἵσταμεν ἱστάναι, δίδομεν διδόναι, ζεύγνυμεν ζευγνύναι.

[Discr. scr. in CBGb] **2** τεθήσῃ τεθήσεται *post* δοθήσομαι (5) *transp.* G | οὗτος BGb, οὕτως C || **3** εἰς ω̄ ληγόντων BGb, εἰς ω̄ν λήγει C || **4** σομαι BGb, μαι C || **5** ἐτέθη CBG, ἐτέθην b | ἐδόθη δοθήσομαι *om* C || **8** μέσος μέλλων α̅ος B | Μέσου *om* C || **10** τροπῇ — μαι (11) *om* Bb | τροπὴ C | προσθήκῃ G || **14** ὀλίγου G | *post* μέλλοντος *add* τοῦ καὶ ἀττικοῦ Bb || **15** τεθήσομαι τεθήσῃ τεθήσεται CG | καὶ οὗτος *om* B || **17** δεχόμενον B | τὸ ομ] τοῦ ομ G | τεθήσομαι CB | *post* γίνεται *add* τεθήσῃ τεθήσεται B || **18** τεθησόμεθον CG | τεθήσεσθον τεθήσεσθον BG || **19** τεθησόμεθα τεθήσεσθε G | τεθήσονται BG || **20** Περὶ ἀπαρεμφ. *om* CB || **23** εἴπομεν ὡς *om* G || **24** τιθέντος *om* CG || **25** διδόντος *om* CG | ἄλλως τε BGb, ἀλλ' ὥστε C || **26** μεν] μαι G || **27** εἰς μι] εἰς μ̄ B | ἵσταμεν ἱστάναι *om* C | δίδομεν διδόναι . ἵσταμαι (*sic*) ἱστάναι G | ζεύγνυμι G || **28** ζευγνῦναι C

[Testim. ex *ΣE*] **10–11** *eadem quae* C *habent* ***E*** *et* ***Σ*** *888, 10* g

Παρακειμένου καὶ ὑπερσυντελίκου: Τεθεικέναι.

Ἀορίστου πρώτου οὐκ ἔστιν οὐδεμία κλίσις μετὰ τὰ ὁριστικά· ἡμαρτημένοι γὰρ ὁ ἔθηκα ἔδωκα ἧκα οὐκ ἐποίησαν μετοχάς, ἅπαξ δὲ μὴ ἔχοντες μετοχὰς οὔτε ἀπαρέμφατα, οὐ προστακτικά, οὐκ εὐκτικά, οὐχ ὑποτακτικὰ ποιοῦσιν· ὁ μέντοι ἔστησα ἔφησα ὁμοίως τοῖς εἰς ω̄ ποιοῦσι στῆσαι φῆσαι τὸ ἀπαρέμφατον.

Ἀορίστου δευτέρου.

Θεῖναι: ἀναλόγως μὲν τῇ εἰς ς̄ μετοχῇ ὀξυτόνῳ εἰς ναι ἐστὶ τὸ ἀπαρέμφατον· ἔδει μέντοι αὐτὸ εἶναι θῆναι· τὸ γὰρ τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου προσθέσει τῆς ναι καὶ συστολῇ τῆς ἀρχούσης τὸ ἀπαρέμφατον ποιεῖ, ἔστη στῆναι, ἔφη φῆναι, ἔγνω γνῶναι· ἀλλ' εἴπομεν ὅτι ἡμάρτηται τὸ θεῖναι δοῦναι εἶναι.

Μέλλοντος πρώτου: Θήσειν.

Ἀπαρέμφατα παθητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Τίθεσθαι: εἴπομεν ὡς πᾶν τρίτον παθητικὸν ἢ μέσον ἔχον τὸ τ̄ κλιτικὸν τροπῇ τῆς ἐσχάτης εἰς θαι καὶ συστολῇ τῆς κατὰ τὴν ἀρχὴν κλιτικῆς ἐκτάσεως τὸ ἀπαρέμφατον ποιεῖ· ἀλλ' εἰ μὲν καθαρεύοι τὸ τ̄, καὶ ς̄ προσλαμβάνει τὸ ἀπαρέμφατον, εἰ δὲ ψιλῷ παραλήγοιτο, εἰς δασὺ αὐτὸ τρέπει· ἢν οὖν τίθεμαι τίθεσαι τίθεται τίθεσθαι, δίδοται δίδοσθαι.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Τέθειμαι τέθεισαι τέθειται τεθεῖσθαι.

Ἀορίστου πρώτου.

Τεθῆναι: ἐτέθην τὸ ῥῆμα, τεθείς ἡ μετοχή, τεθῆναι τὸ ἀπαρέμφατον.

[Discr. scr. in CBGb] 1 *nominativum habet* G | τεθηκέναι C, *om* G ‖ 2 *ante* Ἀορίστου *add* ἀόριστος β̄. στῆναι C ‖ 3 ἔδωκα ἔθηκα G ‖ 4 οὐ πρ. C, οὔτε πρ. BGb | οὐκ εὐκτικά *om* C ‖ 5 ἔστησα Gb, ἔστηκα C, ἔστη B | ποιοῦσιν στῆναι C ‖ 7 ἀόριστος β̄ος B ‖ 8 θῆναι C | ὀξυτόνως C | εἰς ναι BGb, εἶναι C ‖ 9 αὐτὸ BGb, τοιοῦτο C | θεῖναι CG | γὰρ *om* C ‖ 10 συστολὴν C ‖ 12 εἶναι G ‖ 13 Μέλλ. — θήσειν *om* b ‖ 15 Χρόνου *om* C ‖ 17 κατὰ τὸ ἄρχον CG ‖ 18 κλιτικὸν ἐκτάσεως C | καθαριεύοι CBb ‖ 19 *post* ἀπαρέμφ. *add* ποιεῖ B ‖ 21 Παρακ. καὶ ὑπερσυντ. *om* Bb | *post* ὑπερσυντ. *add* ἑνικὸν G ‖ 22 τέθεσαι B ‖ 24 ἐτέθη C

[Testim. ex ΣE] 8 Σ^{χ} *891, 14* g: ἀναλόγως τῇ μετοχῇ εἰς ς̄ οὔσῃ ὀξυτόνῳ .. | *idem fere mendum quod* C *hab. etiam* Σ *891, 15* g (*in* C): εἶναι ‖ 24 *Choeroboscum legisse* ἐτέθη *apparet ex* Σ^{χ} *892, 9—11* g

1053b Μέσου ἀορίστου δευτέρου.

Θέσθαι: ἐθέμην ἔθεσο ἔθετο, τροπῇ τῆς ἐσχάτης εἰς σθαι καὶ συστολῇ τῆς ἀρχούσης θέσθαι, ἔδοτο δόσθαι.

Μέλλοντος πρώτου: Τεθήσεσθαι.

Μέσου μέλλοντος πρώτου: Θήσεσθαι.

Μετ' ὀλίγον μέλλοντος: Τεθείσεσθαι.

Περὶ προστακτικῶν.

Προστακτικὰ ἐνεργητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. **Τίθετι**: ὧν εἰς σ̄ ὀξύτονος ἡ μετοχὴ διὰ τοῦ ν̄τ̄ κλινομένη, τούτων εἰς θ̄ι̅ τὸ προστακτικόν, διδούς δίδοθι, ἱστάς ἵσταθι, ζευγνύς ζεύγνυθι, τιθείς τίθεθι, ἀλλὰ διὰ τὸ εὔφωνον τίθετι· ἰστέον δὲ ὡς τὰ προστακτικὰ τοῦ ἐνεστῶτος βραχείᾳ θέλει παραλήγεσθαι. **τιθέτω**: τὰ εἰς θ̄ι̅ προστακτικὰ τροπῇ τοῦ θ̄ι̅ εἰς τ̄ω̄ τὸ τρίτον ποιεῖ.

Δυϊκά. **Τίθετον**: ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν. **τιθέτων**: ἐκ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ ο̄ εἰς ω̄.

Πληθ. **Τίθετε, τιθέτωσαν**: πᾶν τρίτον ἑνικὸν τροπῇ μὲν τοῦ ω̄ εἰς ε̄ τὸ δεύτερον τῶν πληθυντικῶν ποιεῖ, προσθέσει δὲ τῆς σ̄ᾱν̄ τὸ τρίτον, διδότω δίδοτε διδότωσαν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. **Τέθεικε, τεθεικέτω.**

Δυϊκά. **Τεθείκετον, τεθεικέτων.**

Πληθ. **Τεθείκετε, τεθεικέτωσαν**: πρόδηλος ἡ τεχνολογία ὁμοία οὖσα τοῖς ἀπὸ τῶν εἰς ω̄.

1054b Ἀορίστου πρώτου.

Ἑνικά. Ἔδει μὲν θῆκον ὡς τύψον· ἀλλ' εἴπομεν ὡς τοῦ ἔθηκα ἐπιλέλοιπεν ἡ κλίσις· κλίνομεν οὖν ἀντ' αὐτοῦ τὸ **στῆσον, στησάτω.**

[Discr. scr. in CBGb] **1** Μέσου — δευτ.] μέσος ἀόριστος ᾱοc *in marg.* C ‖ **2** εἰς σθαι] εἰς θ̄ᾱι̅ CBGb ‖ **3** *post* ἀρχούσης *add* ἔθετο G ‖ **4** μέλλων ᾱοc *in marg.* C | τεθήσεσθαι — πρώτου (**5**) *om* C ‖ **6** ὀλίγου G | μέλλων C | *post* μέλλ. *add* τοῦ καὶ ἀττικοῦ G | τεθεῖσθαι C ‖ **7** Περὶ — παρατατ. (**9**) *om* C ‖ **10** ὧν *ex* τῶν *corr.* C^1 ‖ **12** ἀλλὰ] καὶ G ‖ **13** βραχείᾳ Gb, βραχεῖα C, βαχείᾳ B ‖ **16** ἐκ τοῦ ἰδίου δευτ. *om* C ‖ **17** ἑνικὸν *ex* ἑνικῶν *corr.* C^1 | μὲν *om* Bb ‖ **18** ω̄ εἰς ε̄ BGb, ο̄ εἰς ᾱι̅ C | ποιεῖ τῶν πληθ. G | προθέσει G | δὲ *om* G | σ̄ᾱν̄ BGb, ᾱν̄ C ‖ **19** διδότω — διδότωσαν *om* Bb ‖ **23** πρόδηλος — εἰς ω̄ (**24**) *om* C ‖ **26** ἔθηκα *ex* ἔθεικα *corr.* C^1

[Testim. ex ΣE] **1** *primum aoristum medii Theodosium silentio praeteriisse diserte docemur* Σ^χ *892, 16* g; *om* E

Δυϊκά. Cτῆcατον, cτηcάτων.

Πληθ. Cτῆcατε, cτηcάτωcαν: πρόδηλοc ἡ τεχνολογία ὁμοία οὖcα τοῖc ἀπὸ τῶν εἰc ω̅.

Ἀορίcτου δευτέρου.

Ἑνικά. Θέc, θέτω: ἔδει μὲν τῆc μετοχῆc οὔcηc θείc θέντοc θέτι εἶναι τὸ προcτακτικόν· ἀλλ᾽ εἴπομεν ὡc ἡμάρτηται αὐτό τε καὶ τὸ δόc καὶ τὸ ἕc.

Δυϊκά. Θέτον, θέτων. Πληθ. Θέτε, θέτωcαν.

Προcτακτικὰ παθητικά.

Χρόνου ἐνεcτῶτοc καὶ παρατατικοῦ.

Ἑνικά. Τίθεcο, τιθέcθω: ἀπὸ τοῦ δευτέρου προcώπου τοῦ παθητικοῦ παρατατικοῦ γίνεται cυcτολῇ τῆc ἀρχούcηc ἐδίδοcο δίδοcο· πᾶν δὲ τρίτον ἑνικὸν παθητικὸν ἢ μέcον τῶν προcτακτικῶν τρέπον τὸ ε̅ εἰc ω̅ τοῦ ἰδίου ὁριcτικοῦ πληθυντικοῦ γίνεται, τίθεcθε τιθέcθω, τέθειcθε τεθείcθω, ἐτέθητε τεθήτω, ἔθεcθε θέcθω.

Δυϊκά. Τίθεcθον, τιθέcθων.

Πληθ. Τίθεcθε, τιθέcθωcαν.

Παρακειμένου καὶ ὑπερcυντελίκου.

Ἑνικά. Τέθειcο, τεθείcθω: καὶ οὗτοc ἀπὸ τοῦ δευτέρου προcώπου γίνεται τοῦ παθητικοῦ ὑπερcυντελίκου, ἐδεδόμην ἐδέδοcο δέδοcο.

Δυϊκά. Τέθειcθον, τεθείcθων.

Πληθ. Τέθειcθε, τεθείcθωcαν.

[Discr. scr. in CBGb] **1** θήcατον θηcάτων *et* (**2**) θήcατε θηcάτωcαν, *ubique* θ *rubro* B ‖ **2** πρόδηλοc — εἰc ω̅ (**3**) *om* CBb | ὁμοῖα G ‖ **4** *post* δευτέρου *add* καὶ μέλλοντοc C ‖ **7** *post* ἕc *add* καὶ τὸ cχὲc G ‖ **10** Χρόνου *om* C ‖ **12** πᾶν — τεθήτω (**15**)] *ad haec verba anteposito rubro titulo* ἄλλωc ὃ καὶ κάλλιον *in marg. addit* B[1], *pro eis autem in contextu habent* Gb *haec*: τίθεcθω (τίθ. *om* Bb). πᾶν δεύτερον πρόcωπον τῶν (τῶν *om* G) πληθυντικῶν παθητικῶν (παθητικὸν τῶν G) ὁριcτικῶν τρέπον τὴν θε̅ εἰc θω̅ τρίτον προcτακτικὸν γίνεται, τίθεcθε τιθέcθω, τέθειcθε τεθείcθω, τέθητε (*l.* ἐτέθητε) τεθήτω (θέcθε θέcθω *add* G). *hanc regulae formam, quam* b *in contextum recepit,* C *omnino non habet* ‖ **13** τρέπων B ‖ **15** ἐτέθητε] τέθητε C, ἐτέθη B | ἔθεcθε θέcθω *om* B | ἔθεcθε] θέcθε C ‖ **18** παρατατικὸc (*sic*) καὶ ὑπερcυντέλικοc C ‖ **20** τοῦ παθ. ὑπερcυν. γίνεται cυcτολῇ τῆc ἀρχούcηc G | ἐδιδόμην C | δέδοcο *om* C

[Testim. ex ΣE] **4** *Choeroboscum* καὶ μέλλοντοc *non legisse apparet ex* Σ^{χ} *895, 18—20* g; ἀόριcτοc δεύτεροc καὶ μέλλων E^{s} ‖ **12—15** *canonem de formanda tertia imperativi persona neque* Σ^{χ} *neque* E *praebent. canonum codex Monac. 284 post* εἰc ω̅ *add*: μετὰ τὸ cυcτεῖλαι τὴν κλιτικὴν ἔκταcιν. *quo additamento non opus esse docemur p. 66, 2—5*

Ἀορίcτου πρώτου.

Ἑνικά. Τέθητι, τεθήτω: τὸ ῥῆμα ἐτέθην, ἡ μετοχὴ τεθείc, τὸ προcτακτικὸν τέθητι.

Δυϊκά. Τέθητον, τεθήτων.

Πληθ. Τέθητε, τεθήτωcαν.

1055 b Μέcου ἀορίcτου δευτέρου.

Ἑνικά. Θοῦ, θέcθω: εἴπομεν ὡc τοῦ ἐθέμην ἐδόμην διχῶc ἐcτι τὸ δεύτερον, εἰc c̄ō καὶ εἰc οῡ· ἀπὸ οὖν τοῦ ἑτέρου γέγονε τὸ προcτακτικὸν εἰc ōυ, οὐκ εἰc c̄ō.

Δυϊκά. Θέcθον, θέcθων. Πληθ. Θέcθε, θέcθωcαν.

Περὶ εὐκτικῶν.

Εὐκτικὰ ἐνεργητικά.

Χρόνου ἐνεcτῶτοc καὶ παρατατικοῦ.

Ἑνικά. Τιθείην, τιθείηc, τιθείη: εἴπομεν ὡc ἡ εἰc c̄ ὀξύτονοc μετοχὴ διὰ τοῦ ν̄τ̄ κλινομένη τρέπουcα τὸ τέλοc τῆc γενικῆc εἰc ην καὶ πρὸ αὐτοῦ τὸ ῑ δεχομένη εὐκτικὸν ποιεῖ· ἣν οὖν τιθείc τιθέντοc τιθείην.

Δυϊκά. Τιθείητον, τιθειήτην.

Πληθ. Τιθείημεν, τιθείητε, τιθείηcαν.

Παρακειμένου καὶ ὑπερcυντελίκου.

Ἑνικά. Τεθείκοιμι, τεθείκοιc, τεθείκοι: τὸ ῥῆμα τέθεικα, ἡ μετοχὴ τεθεικώc τεθεικότοc, καὶ τὸ εὐκτικὸν τεθείκοιμι· οὐ γὰρ εἰc ην, ἐπεὶ μὴ διὰ τοῦ ν̄τ̄ ἡ κλίcιc τῆc μετοχῆc.

Δυϊκά. Τεθείκοιτον, τεθεικοίτην.

Πληθ. Τεθείκοιμεν, τεθείκοιτε, τεθείκοιεν.

[Discr. scr. in CBGb] **1** *post* πρώτου *add* καὶ μέλλοντοc G ‖ **2** ἡ *om* CBb | ὁ τεθείc G | τὸ *ante* προcτ. *om* C ‖ **6** Μέcου *om* C | *post* δευτέρου *add* καὶ μέλλοντοc CG ‖ **8** *ante* εἰc c̄ō *add* καὶ Bb | εἰc c̄ō] εἰc ō CBGb | γοῦν G | τοῦ *om* B ‖ **9** εἰc cō] εἰc ōν C, εἰc ō BGb ‖ **10** θέcθων] *hic desinit* G *in fine folii 164*[v]

[Discr. scr. in CBb] **11** Περὶ εὐκτ. *om* C ‖ **13** Χρόνου — παρατ. *om* C ‖ **14** τεθείην τεθείηc τεθείη C | ὡc εἰc c̄ ὀξυτόνωc ἡ μετοχὴ *sed* ωc *in* οc *corr.* C ‖ **15** γενικῆc Cb, μετοχῆc B ‖ **17** τιθείην *om* C | *post* τιθείην *add* τιθείηc τιθείη Bb ‖ **21** τεθήκοιμι τεθήκοιc τεθήκοι B | τέθεικα *ex* τέθηκα *corr.* B[1] ‖ **22** καὶ *om* Bb

---

[Testim. ex *ΣE*] **1** καὶ μέλλοντοc *add* Σ^{χ} (*895, 32* g) E^{g} ‖ **2** *et* ἡ *et* τὸ *add* E^{g} Σ^{χ} *895, 33 sq.* g ‖ **6** καὶ μέλλοντοc *non legisse Choeroboscum docemur* Σ^{χ} *896, 12* g. μέcοc ἀόριcτοc δεύτεροc καὶ μέλλων E^{g} ‖ **8** καὶ *ante* εἰc c̄ō *om etiam* E^{g} | εἰc ō E^{g}, *item v. 9* ‖ **15** γενικῆc *test.* *E* ‖ **22** καὶ *hab.* E^{g}

Ἀορίστου πρώτου.

Ἑνικά. Ἔδει μὲν θήκαιμι, ἀλλ' ἐπέλειψεν· κλίνομεν δὲ ἀντ' αὐτοῦ τὸ στήσαιμι, στήσαις, στήσαι.
Δυϊκά. Στήσαιτον, στησαίτην.
Πληθ. Στήσαιμεν, στήσαιτε, στήσαιεν.

Ἀορίστου δευτέρου.

Ἑνικά. Θείην, θείης, θείη: τὸ ῥῆμα ἔθην, ἡ μετοχὴ θείς θέντος, θείην τὸ εὐκτικόν.
Δυϊκά. Θείητον, θειήτην. 1056 b
Πληθ. Θείημεν, θείητε, θείησαν.

Μέλλοντος πρώτου.

Ἑνικά. Θήσοιμι, θήσοις, θήσοι.
Δυϊκά. Θήσοιτον, θησοίτην.
Πληθ. Θήσοιμεν, θήσοιτε, θήσοιεν.

Εὐκτικὰ παθητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Τιθείμην, τιθεῖο, τιθεῖτο: πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ μ̅ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μην καὶ πρὸ τοῦ μ̅ δεχόμενον τὸ ι̅ τὸ εὐκτικὸν ποιεῖ, τίθεμαι τιθείμην, δίδομαι διδοίμην.
Δυϊκά. Τιθείμεθον, τιθεῖσθον, τιθείσθην.
Πληθ. Τιθείμεθα, τιθεῖσθε, τιθεῖντο.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Τεθείμην, τεθεῖο, τεθεῖτο: τῷ αὐτῷ λόγῳ ἀπὸ τοῦ τέθεμαι γέγονε τεθείμην.
Δυϊκά. Τεθείμεθον, τεθεῖσθον, τεθείσθην.
Πληθ. Τεθείμεθα, τεθεῖσθε, τεθεῖντο.

[Discr. scr. in CBb] **2** ἐπέλειψεν *ex* ἐπέληψεν *corr.* C¹, ἐπέλειψε b ‖ **3—5** *ubique* B *pro* στ *habet* θ, *tribus primis locis in rasura, reliquis rubro* ‖ **3** στήσαις *om* C ‖ **12** *post* θήσοι *add* τὸ ῥῆμα θήσω (θήσων B), μετοχὴ θήσων θήσοντος, καὶ θήσοιμι τὸ εὐκτικὸν Bb ‖ **16** Χρόνου *om* C ‖ **17** τίθειο τίθειτο CB ‖ **19** τὸ *ante* εὐκτ. *om* C ‖ **20** τιθέμεθον C | τίθεισθον CB | τιθείσθην] τίθεισθον *sed supra* ο *signum* ∴ C ‖ **21** τίθεισθε τίθειντο CB ‖ **23** τέθειο τέθειτο CB ‖ **24** τέθεμαι B, τέθεμαι *in* τέθειμαι *mut.* C¹, τέθειμαι b; *cfr. p. 96, 28* | γέγονεν C ‖ **25** τεθείμεθον *om* B | τέθεισθον CB | τεθείσθην] τέθεισθον *sed supra* ο *signum* ∴ C ‖ **26** τέθεισθε τέθειντο CB

[Testim. ex *ΣE*] **12** *E*ᵍ: τίθημι. ὁ μέλλων θήσω. ἡ μετοχὴ ὁ θήσων τοῦ θήσοντος. καὶ τὸ εὐκτικὸν θήσοιμι. *E*ᵇ: ὁ μέλλων. θήσοιμι ‖ **17—26** *de accentu optativi cfr. quae docet Herodianus apud Arcadium p. 195, 14 et 17* (*Schm.*)

Ἀορίστου πρώτου.

Ἑνικά. Τεθείην, τεθείης, τεθείη: τὸ ῥῆμα ἐτέθην, ⟨ἡ⟩ μετοχὴ τεθεὶς τεθέντος, τεθείην τὸ εὐκτικόν.

Δυϊκά. Τεθείητον, τεθειήτην.

Πληθ. Τεθείημεν, τεθείητε, τεθείησαν.

Μέσου ἀορίστου δευτέρου.

Ἑνικά. Θείμην, θεῖο, θεῖτο: τὸ ῥῆμα ἐθέμην, προσθήκῃ τοῦ ῑ καὶ συστολῇ τῆς ἀρχούσης θείμην τὸ εὐκτικόν.

Δυϊκά. Θείμεθον, θεῖσθον, θείσθην.

Πληθ. Θείμεθα, θεῖσθε, θεῖντο.

1057 b

Μέλλοντος πρώτου.

Ἑνικά. Τεθησοίμην, τεθήσοιο, τεθήσοιτο.

Δυϊκά. Τεθησοίμεθον, τεθήσοισθον, τεθησοίσθην.

Πληθ. Τεθησοίμεθα, τεθήσοισθε, τεθήσοιντο.

Μέσου μέλλοντος πρώτου.

Ἑνικά. Θησοίμην, θήσοιο, θήσοιτο.

Δυϊκά. Θησοίμεθον, θήσοισθον, θησοίσθην.

Πληθ. Θησοίμεθα, θήσοισθε, θήσοιντο.

Περὶ ὑποτακτικῶν.

Ὑποτακτικὰ ἐνεργητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Ἐὰν τιθῶ — τιθῇς — τιθῇ: εἴπομεν ὡς παρατατικὸς παρακείμενος ἀόριστος τὸ τέλος τρέποντες εἰς ω̅ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν συστέλλοντες τὸ ὑποτακτικὸν ποιοῦσιν, ἐτίθην ἐὰν τιθῶ, ἐδίδων ἐὰν διδῶ, ἔφην ἐὰν φῶ· τὰ μέντοι τῆς τετάρτης ἄρρητα ἔμεινεν· ὤφειλε γὰρ ἀπὸ τοῦ ἐζεύγνυν ἐπήγνυν ἐὰν ζευγνῶ καὶ ἐὰν πηγνῶ μετὰ περισπωμένης εἶναι· καθόλου γὰρ ὧν ἡ μετοχὴ εἰς σ̅ ὀξύτονος διὰ τοῦ ν̅τ̅ κλινομένη, τούτων περισπᾶται τὸ ὑποτακτικόν· τὰ μέντοι δεύτερα καὶ τρίτα τῆς μὲν πρώτης συζυγίας διὰ τοῦ η̅, τῆς δὲ δευτέρας διὰ τοῦ α̅, τῆς δὲ τρίτης διὰ τοῦ ω̅· ⟨Eurip. Or. 685⟩ δύναμιν ἣν διδῷ θεός.

Δυϊκά. Ἐὰν τιθῆτον — τιθῆτον.

Πληθ. Ἐὰν τιθῶμεν — τιθῆτε — τιθῶσιν.

[Discr. scr. in CBb] **2** ἡ *om* CBb ‖ **7** προσθήκην C ‖ **12** τεθείσοιο B ‖ **18** θήσοιτο B ‖ **19** Περὶ ὑποτ. *om* C ‖ **21** Χρόνου — παρατ. *om* C ‖ **22** *ante* τιθῇς *et* τιθῇ *add* ἐὰν Bb ‖ **24** συστέλλοντες Cb, συστείλαντες B ‖ **26** *post* γὰρ *iterum add* ἔφην. ἐὰν φῶ C | ζεύγνυν C | ἐπήγνυν *om* C | πηγνῶ] ἐπιγνῶ C ‖ **30** *post* δύναμιν *add* ὁ εὐριπίδης B, *ante* δύναμιν b ‖ **32** *ante poster.* τιθῆτον *add* ἐὰν Bb ‖ **33** τιθῶσι Bb

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Ἐὰν τεθείκω — τεθείκῃς — τεθείκῃ.
Δυϊκά. Ἐὰν τεθείκητον — τεθείκητον.
Πληθ. Ἐὰν τεθείκωμεν — τεθείκητε — τεθείκωσιν. 1058b

Ἀορίστου πρώτου καὶ μέλλοντος.

Ἑνικά. Ἔδει μὲν ἐὰν θήκω, ἀλλ' ἄρρητον ἔμεινεν· ἀντ' αὐτοῦ οὖν κλίνομεν τὸ ἐὰν στήσω — στήσῃς — στήσῃ.
Δυϊκά. Ἐὰν στήσητον — στήσητον.
Πληθ. Ἐὰν στήσωμεν — στήσητε — στήσωσιν.

Ἀορίστου δευτέρου.

Ἑνικά. Ἐὰν θῶ — θῇς — θῇ: ὁμοίως καὶ ἐπὶ τοῦ δευτέρου ἀορίστου ὅλα τὰ δεύτερα καὶ τρίτα τῶν ὑποτακτικῶν διὰ τοῦ η̄· τὰ μέντοι τῆς τρίτης συζυγίας διὰ τοῦ ω̄, ἐὰν γνῶ γνῷς γνῷ, ἐὰν βιῶ βιῷς βιῷ· ῥᾷον γένηται καὶ βιῷ.
Δυϊκά. Ἐὰν θῆτον — θῆτον.
Πληθ. Ἐὰν θῶμεν — θῆτε — θῶσιν.

Ὑποτακτικὰ παθητικά.

Χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. Ἐὰν τιθῶμαι — τιθῇ — τιθῆται: εἴπομεν ὡς πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ μ̄ι κλιτικὸν τὴν ἐσχάτην μεταποιοῦν εἰς μαι καὶ τὴν παραλήγουσαν τρέπον εἰς ω̄ τὸ ὑποτακτικὸν ποιεῖ, τίθεμαι ἐὰν τιθῶμαι, ἵσταμαι ἐὰν ἱστῶμαι· τὰ δὲ τρίτα τῶν ἐνεργητικῶν ὑποτακτικῶν δεύτερά ἐστι τῶν παθητικῶν, καὶ ἀπ' αὐτῶν προσθέσει τῆς ται τὸ τρίτον γίνεται, ἐὰν τιθῇ τιθῆται, ἐὰν ἱστᾷ ἱστᾶται, ἐὰν διδῷ διδῶται.
Δυϊκά. Ἐὰν τιθώμεθον — τιθῆσθον — τιθῆσθον.
Πληθ. Ἐὰν τιθώμεθα — τιθῆσθε — τιθῶνται.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. Ἐὰν τεθῶμαι — τεθῇ — τεθῆται: τέθεμαι τὸ ὁριστι- 1059b

---

[Discr. scr. in CBb] **2** ἐὰν τεθήκω τεθήκῃς τεθήκῃ B ‖ **3** ἐὰν τεθήκητον B ‖ **5** καὶ μέλλοντος *om* Bb ‖ **6** Ἔδει μὲν *om* B | ἄρρητον Bb, ἄρητος C ‖ **7** κλίνομεν *om* Bb | τὸ] ὁ Bb, *om* C; *cfr. p. 91, 27 et 94, 3* ‖ **9** στήσωσι C ‖ **10** *post* δευτέρου *add* καὶ μέλλοντος C; *idem ante* δευτ. *add* B ‖ **11** τοῦ *om* B ‖ **13** ἐὰν βοῶ βοῷς βοῶ C ‖ **14** ῥᾷον] ῥᾶον CB, ῥᾴων b ‖ **16** θῶσι C ‖ **18** Χρόνου — παρατ. *om* C ‖ **21** τρέπων CBb | ὑποτακτ.] ὑπερσυντέλικον C | ἐὰν τεθῶμαι B ‖ **23** ἀπ' αὐτῶν *om* C | ται] μαι C ‖ **25** τιθώμεθον *om* C | τιθῆσθον τιθεῖσθον B ‖ **28** τιθῶμαι *sed supra* τι *signum* ∵ C | τεθῆται] τεθῆτε B

[Testim. ex ΣE] **5** *Choeroboscum legisse* καὶ μέλλοντος *patet ex* Σ^{χ} *899, 30* g ‖ **10** καὶ μέλλοντος *non legit Choeroboscus; vide* Σ^{χ} *900, 9* g

κόν, καὶ τροπῇ τῆc παραληγούcηc εἰc ω̅ τεθῶμαι. Ἀπολλώνιοc δὲ ἐὰν τεθείκωμαι φηcὶν αὐτὸ εἶναι ἀμαρτύρωc, ὥc φηcιν Ἡρωδιανόc.

Δυϊκά. Ἐὰν τεθώμεθον — τεθῆcθον — τεθῆcθον.

Πληθ. Ἐὰν τεθώμεθα — τεθῆcθε — τεθῶνται.

Ἀορίcτου πρώτου καὶ μέλλοντοc.

Ἑνικά. Ἐὰν τεθῶ — τεθῇc — τεθῇ: εἴπομεν ὡc ὧν ἡ μετοχὴ εἰc c̅ ὀξύτονοc διὰ τοῦ ν̅τ̅ κλινομένη, τούτων εἰc ω̅ περιcπώμενον τὸ ὑποτακτικόν· ἣν οὖν τὸ ῥῆμα ἐτέθην, ἡ μετοχὴ τεθείc, τὸ ὑποτακτικὸν ἐὰν τεθῶ, ἐὰν δοθῶ.

Δυϊκά. Ἐὰν τεθῆτον — τεθῆτον.

Πληθ. Ἐὰν τεθῶμεν — τεθῆτε — τεθῶcιν.

Μέcου ἀορίcτου δευτέρου καὶ μέλλοντοc.

Ἑνικά. Ἐὰν θῶμαι — θῇ — θῆται: εἴπομεν ὡc πᾶν παθητικὸν ἢ μέcον ἔχον τὸ μ̅ι̅ κλιτικὸν τρέπον τὴν ἐcχάτην εἰc μ̅α̅ι̅ καὶ ἐν τῇ παραληγούcῃ λαμβάνον τὸ ω̅ ὑποτακτικὸν ποιεῖ cυcτέλλον τε τὴν κλιτικὴν ἔκταcιν· ἣν οὖν ἐθέμην ἐὰν θῶμαι, ἐδόμην ἐὰν δῶμαι, ἐφάμην ἐὰν φῶμαι.

Δυϊκά. Ἐὰν θώμεθον — θῆcθον — θῆcθον.

Πληθ. Ἐὰν θώμεθα — θῆcθε — θῶνται.

Περὶ μετοχῶν.

Μετοχαὶ ἐνεργητικαί.

Χρόνου ἐνεcτῶτοc καὶ παρατατικοῦ.

Ἑνικά. Τιθείc, τιθεῖcα, τιθέν: πᾶν ῥῆμα εἰc ν̅ λῆγον μετὰ φυcικῆc μακρᾶc μὴ ἔχον τὸ μ̅ι̅ κλιτικὸν εἰc c̅ ὀξύτονον ποιεῖ τὴν μετοχήν, ἐτετύφειν τετυφώc, ἐτύφθην τυφθείc, ἐτίθην τιθείc.

Δυϊκά. Τιθέντε, τιθείcα.

Πληθ. Τιθέντεc, τιθεῖcαι, τιθέντα.

[Discr. scr. in CBb] **2** εἶναι αὐτὸ ἀμαρτ. Bb | ἡροδιανὸc C ‖ **3** ἐὰν τεθώμεθα τεθεῖcθον τεθεῖcθον τεθῆcθον (*sic*) C ‖ **4** Ἐὰν *om* C ‖ **5** καὶ μέλλοντοc *om* Bb; *cfr. p. 75, 20* ‖ **8** ἣν οὖν — ὑποτακτ. *om* C ‖ **10** *alterum* τεθῆτον *om* C ‖ **11** τεθῶcι Bb ‖ **12** καὶ μέλλοντοc *om* Bb; *cfr. p. 76, 14* ‖ **13** θῆτε B | εἴπομεν — φῶμαι (**17**) *post* θῶνται (**19**) *transp.* Bb | πανθητικὸν B ‖ **14** τρέπων C ‖ **15** παραλήcῃ B | λαμβάνων C | cυcτέλλοντα τε C ‖ **16** ἐδόμην ἐὰν δῶμαι *om* B ‖ **18** θώμεθον] θῶμαι C ‖ **20** Περὶ μετ. b, κλίcιc τῶν εἰc μ̅ι̅ μετοχῶν B, *om* C ‖ **22** Χρόνου *om* C ‖ **26** τιθεῖcα C

[Testim. ex *ΣE*] **2** αὐτὸ εἶναι *E*[s] ‖ **5** καὶ μέλλοντοc *add* *Σ*[χ] *901, 10* g. ἀόριcτοc πρῶτοc καὶ μέλλων *E*[s] ‖ **12** καὶ μέλλοντοc *add* *Σ*[χ] *901, 14* g. μέcοc ἀόριcτοc δεύτεροc καὶ μέλλων *E*[s]

Παρακειμένου καὶ ὑπερϲυντελίκου. 1060 b

Ἑνικά. Τεθεικώϲ, τεθεικυῖα, τεθεικόϲ.
Δυϊκά. Τεθεικότε, τεθεικυία.
Πληθ. Τεθεικότεϲ, τεθεικυῖαι, τεθεικότα.

Ἀορίϲτου πρώτου.

Ἑνικά. Ἔδει μὲν εἶναι θήκαϲ, ἀλλ' ἐϲιωπήθη· ἀντ' αὐτοῦ δὲ κλίνομεν τὸ ϲτήϲαϲ, ϲτήϲαϲα, ϲτῆϲαν.
Δυϊκά. Ϲτήϲαντε, ϲτηϲάϲα.
Πληθ. Ϲτήϲαντεϲ, ϲτήϲαϲαι, ϲτήϲαντα.

Ἀορίϲτου δευτέρου.

Ἑνικά. Θείϲ, θεῖϲα, θέν: καὶ αὕτη ὁμοίωϲ τῇ τοῦ παρατατικοῦ ἀπὸ τοῦ ἔθην γέγονεν.
Δυϊκά. Θέντε, θείϲα.
Πληθ. Θέντεϲ, θεῖϲαι, θέντα.

Μέλλοντοϲ πρώτου.

Ἑνικά. Θήϲων, θήϲουϲα, θῆϲον.
Δυϊκά. Θήϲοντε, θηϲούϲα.
Πληθ. Θήϲοντεϲ, θήϲουϲαι, θήϲοντα.

Μετοχαὶ παθητικαί.

Χρόνου ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ.

Ἑνικά. Τιθέμενοϲ, τιθεμένη, τιθέμενον.
Δυϊκά. Τιθεμένω, τιθεμένα.
Πληθ. Τιθέμενοι, τιθέμεναι, τιθέμενα.

Παρακειμένου καὶ ὑπερϲυντελίκου.

Ἑνικά. Τεθειμένοϲ, τεθειμένη, τεθειμένον.
Δυϊκά. Τεθειμένω, τεθειμένα.
Πληθ. Τεθειμένοι, τεθειμέναι, τεθειμένα.

Ἀορίϲτου πρώτου.

Ἑνικά. Τεθείϲ, τεθεῖϲα, τεθέν.
Δυϊκά. Τεθέντε, τεθείϲα.
Πληθ. Τεθέντεϲ, τεθεῖϲαι, τεθέντα.

Μέϲου ἀορίϲτου δευτέρου. 1061 b

Ἑνικά. Θέμενοϲ, θεμένη, θέμενον.

[Discr. scr. in CBb] **3** τεθεικυῖα C || **6** εἶναι Bb, οὖν C | κλίνομεν τὸ ϲτήϲαϲ C, τὸ ϲτήϲαϲ κλίνομεν οἷον ϲτήϲαϲ Bb || **8** ϲτῆϲαϲα C || **13** θεῖϲα C || **17** θήϲουϲα C || **20** Χρόνου — παρατ. *om* C || **24** παρακείμενοϲ καὶ ὑπερϲυντέλικοϲ C || **30** τεθεῖϲα C || **32** δευτέρου] α̅ C

Δυϊκά. Θεμένω, θεμένα.
Πληθ. Θέμενοι, θέμεναι, θέμενα.

Μέλλοντος πρώτου.

Ἑνικά. Τεθησόμενος, τεθησομένη, τεθησόμενον.
Δυϊκά. Τεθησομένω, τεθησομένα.
Πληθ. Τεθησόμενοι, τεθησόμεναι, τεθησόμενα.

Μέσου μέλλοντος πρώτου.

Ἑνικά. Θησόμενος, θησομένη, θησόμενον.
Δυϊκά. Θησομένω, θησομένα.
Πληθ. Θησόμενοι, θησόμεναι, θησόμενα.

Μετ' ὀλίγον μέλλοντος.

Ἑνικά. Τεθεισόμενος, τεθεισομένη, τεθεισόμενον.
Δυϊκά. Τεθεισομένω, τεθεισομένα.
Πληθ. Τεθεισόμενοι, τεθεισόμεναι, τεθεισόμενα.

Τέλος τῶν εἰς μι ῥημάτων.

[Discr. scr. in CBb] **7** Μέσου — θησόμενα (**10**) *om* Bb ‖ **15** Τέλος — ῥημάτων *om* C

[Testim. ex *ΣE*] **7—10** *futurum primum medii habent* Σ^{χ} *904, 18* g *et* E^{g}

GEORGII CHOEROBOSCI

DIACONI. ET OECVMENICI MAGISTRI



PROLEGOMENA ET SCHOLIA

IN

THEODOSII ALEXANDRINI

CANONES ISAGOGICOS

DE

FLEXIONE NOMINVM

SVBSCRIPTIS

DISCREPANTIIS SCRIPTVRAE CODICVM



p. 1 g

Προλεγόμενα τῶν Θεοδοσίου ὀνοματικῶν κανόνων ἀπὸ φωνῆς Γεωργίου Χοιροβοσκοῦ.

Ἐπειδὴ ὁ Θεοδόσιος ἐν συντόμῳ παραδίδωσιν ἡμῖν τοὺς κανόνας, μάθωμεν καὶ ἡμεῖς ἐν συντόμῳ τὰ προλεγόμενα τῶν κανόνων. Cκοπὸν ἔχει ὁ τεχνικὸς περὶ κλίσεως ὀνομάτων διαλαβεῖν· τὸ δὲ εἰδέναι τὴν κλίσιν τῶν ὀνομάτων χρήσιμόν ἐστιν εἰς τὸ μήτε βαρβαρίζειν μήτε σολοικίζειν. Ἰστέον δὲ ὅτι ἄλλο τὸ βαρβαρίζειν καὶ ἄλλο τὸ σολοικίζειν· βαρβαρίζειν μὲν οὖν ἐστι τὸ ἁμαρτάνειν περὶ μίαν λέξιν, εἴτε περὶ τόνον εἴτε περὶ γραφὴν εἴτε περὶ κλίσιν εἴτε περὶ χρόνον εἴτε περὶ πνεῦμα· καὶ περὶ τόνον μέν, ὡς ὅταν τις τὸ ἄνθρωπος ὀφείλων προπαροξῦναι ὀξύνῃ καὶ εἴπῃ ἀνθρωπός· περὶ γραφὴν δέ, ὡς ὅταν τις τὸ Λάχης ὀφείλων γράψαι διὰ τοῦ η̄ γράψῃ αὐτὸ διὰ τοῦ ῑ· περὶ κλίσιν δέ, ὡς ὅταν τις τὸ Αἴας Αἴου κλίνῃ ὀφείλων Αἴαντος κλῖναι· περὶ χρόνον δέ, ὡς ὅταν τις τοῦ Αἴας τὸ ᾱς̄ συστείλῃ ὀφείλων ἐκτεῖναι αὐτό· περὶ πνεῦμα δέ, ὡς ὅταν τις τὴν ὑπό πρόθεσιν ψιλώσῃ ὀφείλων αὐτὴν δασῦναι. Σολοικίζειν δέ ἐστι τὸ περὶ τὴν σύνταξιν καὶ τὴν φράσιν ἁμαρτάνειν, τουτέστιν ἑκάστης λέξεως καθ' ἑαυτὴν κειμένης καλῶς

[Discr. scr. ex NCVP] **1** Προλεγόμενα — Χοιροβοσκοῦ (**4**) NC, Γεωργίου διακόνου καὶ χαρτοφύλακος. μεγάλου γραμματικοῦ καὶ οἰκουμενικοῦ διδασκάλου. ἑρμηνεία εἴς τε τὰ προλεγόμενα καὶ εἰς τοὺς εἰσαγωγικοὺς κανόνας Θεοδοσίου γραμματικοῦ τοῦ Ἀλεξανδρέως V, Προλεγόμενα τῶν Θεοδοσίου κανόνων ἀπὸ φωνῆς Γεωργίου διακόνου καὶ οἰκουμενικοῦ διδασκάλου P ‖ **5** *in marg. add* πρᾶξις πρώτη N[1] | Ἐπειδὴ — κανόνων (**6**) NC, ἐπειδὴ κανόνων εἰσαγωγικῶν μέλλομεν ἄρχεσθαι, ἐν ἐπιτομῇ δὲ τούτους παραδίδωσιν ἡμῖν ὁ Θεοδόσιος, τί ἐστι κανὼν μάθωμεν (μάθ. τί ἐστι κ. P), καὶ τί ἐστιν εἰσαγωγή, καὶ τί ἐστιν ἐπιτομή. κανὼν τοίνυν ἐστὶ λόγος ἔντεχνος ἀπευθύνων ὁμοιότητι πρὸς τὸ καθόλου τὸ διεστραμμένον τῆς λέξεως, τουτέστι λόγος μετὰ τέχνης διὰ τῶν ὁμοίων ἐπ' (ἀπ' P) εὐθείας ἄγων ἢ ἐλέγχων πρὸς τὰ πλείονα τὸ διεστραμμένον καὶ ἡμαρτημένον τῆς λέξεως· τὰ γὰρ πλείονα τῶν ἐλαττόνων κανόνες. εἰσαγωγὴ δέ ἐστιν ὁδήγησις τῶν λόγων ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω. ἐπιτομὴ δέ ἐστι σύντομος τῶν κεφαλαίων παράδοσις. Μέλλοντες οὖν ἐπιτομὴν ποιεῖσθαι τῶν κανόνων τοῦ ὀνόματος, εὔλογον ἡγούμεθα πρὸ τοῦ παραδοῦναι τοὺς κανόνας αὐτοὺς ὀλίγα τινὰ ὡς (ὡς *om* P) ἐν συντάξει (τάξει P) προλεγομένων εἰπεῖν VP ‖ **6—104, 11** (σολοικίζειν)] *de horum versuum quales in* NCVP *leguntur forma cfr. praefat. cap. Xa*

ἐχούcηc, ἐν δὲ τῇ cυντάξει καὶ τῇ φράcει ἀτάκτωc καὶ ἀνακολούθωc παραλαμβανομένηc, ὡc ἐπὶ τοῦ «ἐγὼ περιπατῶν ὁ τοῖχοc ἔπεcεν» ἀντὶ τοῦ «ἐμοῦ περιπατοῦντοc ὁ τοῖχοc ἔπεcεν»· ἰδοὺ γὰρ ἐνταῦθα ἑκάcτη λέξιc καθ' ἑαυτὴν οὖcα καλῶc νοεῖται, ἀλλ' ἐν τῇ cυντάξει ἀτάκτωc 2 g καὶ ἀνακολούθωc παραλαμβάνονται· ὅθεν καὶ cολοικιcμὸc λέγεται, οἱονεὶ τοῦ cώου λόγου αἰκιcμόc, ἤγουν ὕβριc τοῦ ὁλοκλήρου λόγου. Καὶ ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, εἴπερ cολοικιcμὸc τὸ περὶ τὴν cύνταξιν καὶ τὴν φράcιν ἁμαρτάνειν ἐcτί, τὸ δὲ περὶ τὴν κλίcιν ἁμάρτημα βαρβαριcμοῦ ἐcτιν ἴδιον, πῶc λέγομεν τὴν κλίcιν τῶν ὀνομάτων cυμβάλλεcθαι ἡμῖν καὶ εἰc τὸ μὴ cολοικίζειν. Ἔcτιν οὖν εἰπεῖν, ὅτι εἰ μὴ πρότερόν τιc μάθῃ τὴν κλίcιν τοῦ ὀνόματοc καὶ τὴν κλίcιν τοῦ ῥήματοc καὶ ἁπλῶc εἰπεῖν ἑκάcτου μέρουc λόγου τὰ ἴδια, οὐ δύναται γνῶναι τὴν cύνταξιν τὴν ἐκ τούτων cυνεcτηκυῖαν· τούτου οὖν χάριν λέγομεν τὴν κλίcιν τοῦ ὀνόματοc cυμβάλλεcθαι ἡμῖν καὶ εἰc τὸ μὴ cολοικίζειν· εἰ γὰρ εἰc τὴν cύνταξιν cυμβάλλεται ἡμῖν, δηλονότι καὶ εἰc τὸ μὴ cολοικίζειν cυμβάλλεται· ὡc γὰρ ἐμάθομεν τὸ περὶ τὴν cύνταξιν ἁμάρτημα cολοικιcμοῦ ἐcτιν ἴδιον. Ἐν οἷc cὺν θεῷ καὶ ἡ παροῦcα πρᾶξιc.

Τούτων οὕτωc ἐχόντων δεῖ γινώcκειν, ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰcίν, ὄνομα ῥῆμα μετοχὴ ἄρθρον ἀντωνυμία πρόθεcιc ἐπίρρημα καὶ cύνδεcμοc. Πρὸ τούτου δὲ διάφοροι δόξαι γεγόναcιν· οἱ μὲν γὰρ δύο μόνα μέρη τοῦ λόγου εἶναι ἔλεγον, οἱ δὲ πέντε, οἱ δὲ ὀκτώ, οἱ δὲ ἐννέα, οἱ δὲ δέκα, οἱ δὲ ἕνδεκα, οἱ δὲ ἀκριβέcτερον δοξάcαντεc ὀκτὼ μόνα τὰ μέρη τοῦ λόγου λέγουcιν εἶναι, ἅπερ καὶ εἴπομεν. [Ἐν δὲ τούτοιc κατὰ Πλάτωνα ἔχομεν cὺν θεῷ γνῶναι, πῶc λέγουcιν οἱ δοξάcαντεc ὀκτὼ μέρη τοῦ λόγου.] Καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν ὀκτὼ μέρη τοῦ λόγου εἰcὶ καὶ μὴ πλείονα ἢ ἐλάττονα· καὶ ἔcτιν εἰπεῖν, διὰ τοῦτο ὀκτὼ μέρη τοῦ λόγου εἰcίν, ἐπειδὴ καὶ τέccαρα μέρη τῆc γραμματικῆc εἰcι καὶ τέccαρα ὄργανα· μέρη μὲν ἀναγνωcτικὸν ἐξηγητικὸν διορθωτικὸν καὶ κριτικόν, ὄργανα δὲ γλωccηματικὸν ἱcτορικὸν μετρικὸν καὶ τεχνικόν· ἐκ τῶν τεccάρων οὖν τούτων μερῶν καὶ τῶν τεccάρων ὀργάνων cυνίcταται ἡ γραμματική, καὶ τούτου χάριν ὀκτώ εἰcι τὰ μέρη τοῦ λόγου.

Τούτων οὕτωc ἐχόντων τὸ ὄνομα καὶ τὸ ῥῆμα προτερεύουcι τῶν ἄλλων μερῶν τοῦ λόγου· τὰ γὰρ ἄλλα μέρη τοῦ λόγου εἰc χρείαν τοῦ ὀνόματοc καὶ τοῦ ῥήματοc ἐπενοήθηcαν· τὰ δὲ εἰc χρείαν τινῶν ἐπι- 3 g νοούμενα δεύτερα ὑπάρχουcιν ἐκείνων ὧν χάριν ἐπενοήθηcαν· οἷον εἰc χρείαν τοῦ βαcιλέωc ἐπενοήθηcαν οἱ ἄρχοντεc καὶ τὴν πρώτην τάξιν

[Discr. scr. ex NCVP] **8** τὸ cολοικ. NC ‖ **19** *in marg.* πρᾶξιc β̄ N²P ‖ **22** οἱ δὲ πέντε *om* V ‖ **23** οἱ δὲ δέκα *om* V | δοξάcαντεc VP, ἐξετάcαντεc *et supra* δοξα N¹, ἐξετάcαντεc C ‖ **24** Ἐν — λόγου (**26**) *om* VP ‖ **26** ποῖαν N ‖ **30** γλωccιμαντικὸν N ‖ **31** ἐκ τῶν — γραμματική (**32**) V, ἐκ τούτων (δὲ τῶν τεccάρων μερῶν *add* P) cυνίcταται ἡ γραμματικὴ καὶ τῶν δ̄ ὀργάνων NCP ‖ **32** καὶ τούτου χάριν VP, διὰ τοῦτο καὶ NC ‖ **33** τὰ *om* NC ‖ **37** ἐπενοήθη NC

φέρειν οὐ δύνανται, καὶ πάλιν τὸ ἱμάτιον τὸ εἰς χρείαν τινὸς ἐπινοηθὲν δεύτερόν ἐστιν οὗτινος χάριν ἐπενοήθη. Τὸ δὲ ὄνομα προτερεύει τοῦ ῥήματος, ἐπειδὴ τὸ μὲν ὄνομα οὐσίας ἐστὶ σημαντικόν, τὸ δὲ ῥῆμα συμβεβηκότος, αἱ δὲ οὐσίαι προτερεύουσι τῶν συμβεβηκότων· καὶ γὰρ ὁ Σωκράτης προτερεύει τοῦ γράφειν αὐτὸν καὶ τοῦ τύπτειν· εἰκότως οὖν καὶ τὸ ὄνομα ὡς σημαντικὸν ὑπάρχον τῆς οὐσίας προτερεύει τοῦ ῥήματος τοῦ σημαντικοῦ ὑπάρχοντος συμβεβηκότος. Κατὰ δεύτερον δὲ λόγον προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὅτι τὸ μὲν ὄνομα συναναιρεῖ τὸ δὲ ῥῆμα συναναιρεῖται· καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ γράφειν αὐτὸν καὶ τὸ τύπτειν· τὰ δὲ συναναιροῦντα προτερεύουσι τῶν συναναιρουμένων· οἷον τὸ καθόλου φυτὸν προτερεύει τῆς ἐλαίας· καὶ γὰρ ἀναιρουμένου τοῦ καθόλου φυτοῦ συναναιρεῖται καὶ ἡ ἐλαία, μὴ ὄντος γὰρ φυτοῦ πῶς δύναται εἶναι ἡ ἐλαία; τῆς δὲ ἐλαίας ἀναιρουμένης οὐκ ἀναιρεῖται τὸ καθόλου φυτόν, εἰσὶ γὰρ ἄλλα φυτὰ παρὰ τὴν ἐλαίαν, οἷον ἄμπελος συκῆ καὶ τὰ τοιαῦτα· οὕτως οὖν καὶ τῆς οὐσίας ἀναιρουμένης συναναιρεῖται καὶ τὰ συμβεβηκότα — καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ γράφειν αὐτὸν καὶ τὸ τύπτειν — τῶν δὲ συμβεβηκότων ἀναιρουμένων οὐκ ἀναιρεῖται ἡ οὐσία· δύναται γὰρ ὁ Σωκράτης ἠρεμεῖν καὶ μήτε γράφειν μήτε τύπτειν. Ταῦτα μὲν ἔχομεν εἰπεῖν περὶ τῆς τάξεως αὐτῶν, ὅτι τὸ ὄνομα προτερεύει τοῦ ῥήματος· ἐν οἷς ἡ πρᾶξίς ἐστιν.

Ἔλθωμεν οὖν ἀκολούθως καὶ εἴπωμεν, τί ἐστιν ὄνομα, τουτέστι τὸν ὅρον τοῦ ὀνόματος. Ὄνομα τοίνυν ἐστὶ μέρος λόγου πτωτικὸν ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν οὐσίαν ἀπονέμον. «Μέρος λόγου» πρόσκειται, ἐπειδὴ ἔχομεν ὅτι μέρη τοῦ λόγου εἰσὶν ὀκτώ, τὸ δὲ ὄνομα ἓν ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου 4 g ἐστί· «πτωτικόν» δὲ τὸ πτώσεις ἐπιδεχόμενον· ἔχει γὰρ τὸ ὄνομα πτώσεις, οἷον ὀρθὴν γενικὴν δοτικὴν αἰτιατικὴν καὶ κλητικήν. «Ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων»· ὑποκείμενα καλοῦσιν οἱ γραμματικοὶ τὰ ὄντα καὶ ὑπάρχοντα, σώματα δὲ τὰ ὑποπίπτοντα τῇ αἰσθήσει, οἷον λίθος ξύλον ἄνθρωπος καὶ τὰ τοιαῦτα· δεῖ δὲ γινώσκειν ὅτι αἰσθήσεις εἰσὶ πέντε, ὅρασις ὄσφρησις ἀκοὴ γεῦσις καὶ ἁφή· τὰ οὖν ὑποπίπτοντα τῇ αἰσθήσει καλοῦσι σώματα, πράγματα δὲ καλοῦσι τὰ ὑποπίπτοντα μόνῳ τῷ νῷ, οἷον ῥητορικὴ γραμματικὴ καὶ τὰ τοιαῦτα· ταῦτα γὰρ οὐδεμιᾷ τῶν αἰσθήσεων ὑποπίπτουσιν ἀλλὰ μόνῳ τῷ νῷ, οὐδὲ γάρ εἰσιν αἰσθητὰ ἀλλὰ νοητά. «Κοινὴν ἢ ἰδίαν οὐσίαν»· κοινὴν δὲ οὐσίαν λέγομεν τὴν κατὰ πολλῶν τιθεμένην, ὡς ἐπὶ τοῦ ἄνθρωπος

[Discr. scr. ex NCVP] **2** οὗτινος N ‖ **15** συκὴ NP | οὕτως — σημαινόμενον (**107, 34** *adnot.*) *om* P *duobus excisis foliis*

[Discr. scr. ex NCV] **20** μὲν *om* NC ‖ **21** *post* ῥήματος *add*: περὶ δὲ τῆς τάξεως τῶν λοιπῶν τοῦ λόγου μερῶν ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ, εἰ θεῷ φίλον, μαθησόμεθα V ‖ **22** *in marg.* πρᾶξις γ̄. ὅρα N ‖ **23** ὅρον VC, ὁρισμὸν N ‖ **25** ἀπονέμον *cfr. Apollon. synt. 103, 13 sqq.*] σημαῖνον NV, σημαῖνον *et supra scr.* ἀπονέμον C[1] ‖ **30** σώματα — τοιαῦτα (**31**) *om* V

ἵππος ἐλαία, ἰδίαν δὲ τὴν καθ' ἑνὸς παραλαμβανομένην, οἷός ἐστι Cωκράτης Πλάτων, ταῦτα γὰρ ἰδίαν οὐcίαν cημαίνουcιν· «ἀπονέμον» δὲ τὸ παρέχον ἐcτίν. Δεῖ δὲ γινώcκειν ὅτι τινές, ὧν ἔcτιν ὁ Φιλόπονος καὶ ὁ Ῥωμανὸς ὁ τούτου διδάcκαλος, «ποιότητα» λέγουcιν ἐν τῷ ὅρῳ ἀντὶ τοῦ «οὐcίαν», οἷον «ὄνομά ἐcτι μέρος λόγου πτωτικὸν ἑκάcτου τῶν ὑποκειμένων cωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν ποιότητα ἀπονέμον», ἐπειδὴ καὶ ἡ ποιότης ἐν οὐcίᾳ θεωρεῖται· καὶ ἰcτέον ὅτι οὐcία μέν ἐcτιν ἡ αὐθυπόcτατος ὕπαρξις, οἷον ἄνθρωπος ἵππος καὶ τὰ τοιαῦτα, ποιότης δὲ αὐτὸ τὸ ποιόν, οἷον τὸ λευκὸν τὸ ξανθὸν τὸ μέλαν καὶ τὰ τοιαῦτα. Ὁ δὲ «ἤ» cύνδεcμος ὁ κείμενος ἐν τῷ ὅρῳ παραδιαζευκτικός ἐcτιν· ἰcοδυναμεῖ δὲ ὁ παραδιαζευκτικὸς τῷ ἤ τῷ διαζευκτικῷ καὶ τῷ καί cυνδέcμῳ τῷ cυμπλεκτικῷ. [Δεῖ γὰρ γινώcκειν ὅτι ψιλούμενον καὶ ὀξυνόμενον cημαίνει πέντε· cύνδεcμον διαζευκτικόν, τὸν τὰ ἐναντία τῇ cυντάξει διϊcτῶντα, οἷον «ἢ ζῇ ἢ τέθνηκεν, ἢ νύξ ἐcτιν ἢ ἡμέρα»· ταῦτα γὰρ παραλαμβάνεcθαι ὁμοῦ ἀδύνατον ὡς ἕν τι διΐcτηcιν ὁ ἤ cύνδεcμος· καὶ cύνδεcμον παραδιαζευκτικόν, τὸν ἐν τοῖc δυναμένοιc ὁμοῦ εἶναι καταγινόμενον καὶ τὸν διάφορα πράγματα τιθέντα καὶ μηδέτερον ἐν τῇ αἰτήcει διαιροῦντα, ὡc καὶ Ὅμηρος ⟨Ξ 108⟩ ἢ νέος ἠὲ παλαιός, τουτέcτι cυμβουλευcάτω ἢ νέος καὶ μὴ παλαιός, ἢ παλαιὸς καὶ μὴ νέος, ἢ καὶ νέος καὶ παλαιός· καὶ διαcαφητικόν, τὸν αἱρούμενον ἓν δύο προτεθέντων, οἷον ⟨Greg. Naz. III p. 968, 1 ed. Migne⟩ θέλω τύχης cταλαγμὸν ἢ φρενῶν πίθον, ὃc καὶ τὸν περ προcλαμβάνει, οἷον «πλουτεῖν ἐθέλω ἤπερ πένεcθαι»· διαcαφεῖ γὰρ τὸ ἕτερον ὅπερ αἱρεῖται, ὡc ἐν τῷ ποιητῇ ⟨Α 117⟩ βούλομ' ἐγὼ λαὸν cῶν ἔμμεναι ἢ ἀπολέcθαι· καὶ ἀντωνυμίαν παράγωγον τρίτου προcώπου, καὶ τὸν καταγινόμενον ἐν τοῖc μαχομένοιc καὶ μὴ δυναμένοιc ὁμοῦ εἶναι.] Καὶ ὁ μὲν διαζευκτικὸc ἐν τοῖc μαχομένοιc καὶ μὴ δυναμένοιc εἶναι ὁμοῦ θέλει καταγίνεcθαι, οἷον «ἢ ζῇ ἢ τέθνηκεν, ἢ νύξ ἐcτιν ἢ ἡμέρα, ἢ κάθημαι ἢ ἵcταμαι»· ἰδοὺ ἐνταῦθα διαζευκτικόc ἐcτι, ταῦτα γὰρ ὁμοῦ παραλαμβάνεcθαι ἀδύνατον· ὁ δὲ παραδιαζευκτικὸc ἐν τοῖc δυναμένοιc ὁμοῦ εἶναι καταγίνεται, ὡc παρὰ τῷ ποιητῇ ⟨Ξ 108⟩ ἢ νέος ἠὲ παλαιός, τουτέcτι cυμβουλευcάτω ἢ νέος καὶ μὴ παλαιός, ἢ παλαιὸς καὶ μὴ νέος, ἢ καὶ νέος καὶ παλαιός. Οὕτωc οὖν ἐνταῦθα «κοινὴν ἢ ἰδίαν» ἀντὶ τοῦ κοινὴν καὶ μὴ ἰδίαν, ἢ ἰδίαν καὶ μὴ κοινήν, ἢ ⟨καὶ⟩ κοινὴν καὶ ἰδίαν. Ταῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ ὅρου· ἐν οἷc cὺν θεῷ καὶ ἡ πρᾶξιc.

[Discr. scr. ex NCV] **1** ἐλαῖα NC, *om* V ‖ **4** ποιότητα NC (*cfr. Bekk. AG II 843, 7*), ἰδιότητα V ‖ **11** ὁ παραδ. — cυμπλεκτ. (**12**) NC, καὶ τῷ ἢ τῷ διαζευκτικῷ V ‖ **12** Δεῖ — εἶναι (**27**) *om* V ‖ **18** μηδέτερον (*coll. AO I 188, 31*)] μηδὲν ἕτερον NC ‖ **19** ἠὲ] ἢ NC ‖ **21** προτεθέντων *KSKontos*, προτεθῆναι NC ‖ **22** θέλω — πίθον] *cfr. apophthegm. collect. a CWachsmuthio ad salut. XXXVI philolog. conventum editae p. 6* | ⁚ *supra* ὃc *add* ὁμοῦ N[1]C[1] ‖ **24** αἱρεῖται *PEgenolffus*, διαιρεῖται NC ‖ **25** cῶον NC ‖ **29** ἐcτιν *om* N ‖ **31** ἐν τοῖc μαχομένοιc καὶ δυναμένοιc V ‖ **32** ἠὲ V, ἢ NC ‖ **34** ἀντὶ — καὶ ἰδίαν (**35**) *om* V ‖ **35** καὶ *ante* κοινὴν *add Egenolffus*

Εἰπόντες οὖν τὸν ὅρον τοῦ ὀνόματος ἔλθωμεν ἀκολούθως καὶ εἴπωμεν τὰ παρεπόμενα αὐτῶν. Παρέπονται τοίνυν τῷ ὀνόματι πέντε, γένη εἴδη σχήματα ἀριθμοὶ πτώσεις. Γένη μὲν οὖν εἰσι τρία, ἀρσενικὸν θηλυκὸν καὶ οὐδέτερον· καὶ ἀρσενικὸν μὲν οὖν ἐστιν οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, οἷον ὁ Σωκράτης· θηλυκὸν δὲ οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οἷον ἡ Ἑλένη· οὐδέτερον δὲ οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό, οἷον τὸ βῆμα· οὐδὲ γὰρ δεχόμεθα τοὺς λέγοντας ἀρσενικὸν μὲν εἶναι τὸ σπέρματος ἀποβλητικόν, θηλυκὸν δὲ τὸ σπέρματος δεκτικόν, οὐδέτερον δὲ τὸ μήτε σπέρματος ἀποβλητικὸν μήτε σπέρματος δεκτικόν· ἰδοὺ γὰρ ὁ οἶκος ἀρσενικόν ἐστι καὶ οὐκ ἔστι σπέρματος ἀπο-
6 g βλητικόν, καὶ πάλιν ἡ αὐλὴ θηλυκόν ἐστι καὶ οὐκ ἔστι σπέρματος δεκτικόν· ὁμοίως καὶ τὸ γύναιον οὐδέτερόν ἐστι καὶ ὅμως σπέρματος δεκτικόν ἐστιν· καλῶς οὖν ἔχει ἡ ἀνωτέρα παραφυλακή, τουτέστι τὸ ἐκ τοῦ ἄρθρου γινώσκεσθαι αὐτά.

Τινὲς δὲ προστιθέασι τούτοις τοῖς τρισὶ γένεσι καὶ ἄλλα δύο γένη, κοινόν τε καὶ ἐπίκοινον. Καὶ κοινὸν μέν ἐστι τὸ ἀρσενικῶς καὶ θηλυκῶς λεγόμενον μετὰ διαφόρου ἄρθρου, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ κύων καὶ ἡ κύων· ἐπίκοινον δέ ἐστιν ὅπερ ἢ μόνως θηλυκῶς ἢ μόνως ἀρσενικῶς λέγεται, ἐπικρατοῦντος μέντοι τοῦ ἑνὸς γένους, οἷον ἡ χελιδών ὁ ἀετός ἡ κορώνη· καὶ δεῖ γινώσκειν ὅτι ἐκεῖνα καλοῦσι κοινά, ὅσα ἐξ αὐτῆς τῆς φύσεως πᾶσίν εἰσιν ἐγνωσμένα εἴτε ἀρσενικὰ εἴτε θηλυκά εἰσιν, ὡς ἐπὶ ἀνθρώπου καὶ ἵππου καὶ κυνὸς καὶ τῶν τοιούτων· ἐπίκοινα δὲ καλοῦσιν, ὅσα ἐξ αὐτῆς τῆς φύσεως οὐκ εἰσὶ πᾶσιν ἐγνωσμένα εἴτε ἀρσενικὰ εἴτε θηλυκά εἰσιν, ὡς ἐπὶ περιστερᾶς καὶ χελιδόνος καὶ ἀετοῦ καὶ τῶν τοιούτων· ταῦτα γὰρ ἢ ἀπὸ κεφαλῆς γνωρίζονται ἢ ἀπὸ ῥάμφους ἢ ἀπὸ ἄλλων τινῶν, καὶ οὐκ ἐξ αὐτῆς τῆς φύσεως, κατά τε τὸ ἀρσενικὸν καὶ θηλυκόν· ἡ χελιδὼν γὰρ καὶ ἡ κορώνη μόνως λέγομεν θηλυκόν, καὶ ὁ ἀετός μόνως λέγομεν ἀρσενικόν. Οὐ δεχόμεθα δὲ ταῦτα δύο ἕτερα γένη εἶναι παρὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον, ἐπειδὴ οὔτε φωνὴν ἰδίαν ἔχουσιν οὔτε σημασίαν· τούτων γὰρ τὸ σημαινόμενον ἢ ἀρσενικόν ἐστιν ἢ θηλυκόν, καὶ ἡ φωνὴ ὁμοίως ἢ ἀρσενική ἐστιν ἢ θηλυκή, καὶ τὰ ἄρθρα ὁμοίως ἢ ἀρσενικὰ ἢ θηλυκά εἰσιν· ἐπειδὴ οὖν οὐδὲν ἔχουσιν ἴδιον, ἀλλὰ παραλαμβάνονται ἐκ τῶν ἄλλων γενῶν, οὐ δυνάμεθα ταῦτα λέγειν ἴδια γένη παρὰ τὸ ἀρσενικὸν θηλυκὸν οὐδέτερον, ἀλλ' οὔτε δὲ πᾶσίν εἰσιν ἐγνωσμένα.

[Discr. scr. ex NCV] **1** *in marg.* πραξ. δ̄ N² ‖ **3** *post* πτώσεις *add* V(P) *ea quae leguntur p. 108, 5* (Δεῖ) — *30* ‖ **30** Οὐ δεχόμεθα δὲ V, ἐρχόμεθα οὖν NC ‖ **31** ἐπειδὴ — σημασίαν (**32**) *unus* V, *40 fere litt. vac. spat.* NC ‖ **34** *post* θηλυκά εἰσιν *add:* ἐὰν γὰρ εἴπω ὁ ἄνθρωπος, κατὰ πάντα ἀρσενικόν ἐστι, κατά τε τὸ σημαινόμενον (*hic iterum incipit* P) καὶ τὴν φωνὴν καὶ τὸ ἄρθρον· ἐὰν δὲ εἴπω ἡ ἄνθρωπος, κατὰ πάντα θηλυκόν ἐστιν VP

[Discr. scr. in NCVP] **36** ἀλλ' — ἐγνωσμένα NC, ταῦτα μὲν περὶ τῶν γενῶν VP

Εἴδη δέ εἰcι δύο, πρωτότυπον καὶ παράγωγον· καὶ πρωτότυπον μὲν οὖν ἐcτι τὸ κατὰ τὴν πρώτην θέcιν λεχθέν, οἷον γῆ, παράγωγον δὲ τὸ ἀφ' ἑτέρου τὴν γένεcιν ἐcχηκόc, οἷον γαιήϊοc· καὶ ἔοικε τὸ μὲν πρωτότυπον τῷ πρωτοπλάcτῳ ἀνθρώπῳ, τὸ δὲ παράγωγον τοῖc ἐξ αὐτοῦ τοῦ πρωτοπλάcτου γενομένοιc. Δεῖ δὲ γινώcκειν ὅτι ὁ μὲν 7 g Διονύcιοc τὰ γένη προέταξε τῶν εἰδῶν, οἷον γένη εἴδη, κατὰ μίμηcιν τοῦ γένουc καὶ εἴδουc τοῦ παρὰ τοῖc φιλοcόφοιc· καὶ γὰρ ἐπ' ἐκείνων τὰ γένη προτάττονται τῶν εἰδῶν· τὸ γὰρ ζῷον γένοc ὂν ἀνθρώπου καὶ ἵππου καὶ κυνὸc προτάττεται αὐτῶν, ἐπειδὴ ἐξ αὐτοῦ διαιροῦνται· κατὰ μίμηcιν οὖν ἐκείνων, φημὶ δὴ τοῦ γένουc καὶ τοῦ εἴδουc τῶν παρὰ τοῖc φιλοcόφοιc, καὶ τὰ παρὰ τοῖc γραμματικοῖc γένη, φημὶ δὴ τὸ ἀρcενικὸν θηλυκὸν οὐδέτερον, προέταξεν ὁ Διονύcιοc τῶν εἰδῶν, φημὶ δὴ τοῦ πρωτοτύπου καὶ παραγώγου. Οἱ δὲ περὶ Ἀπολλώνιον καὶ Ἡρωδιανὸν καὶ Ῥωμανὸν τὰ εἴδη προτάττουcι τῶν γενῶν, οἷον εἴδη γένη, ἐπειδὴ ὅπου μὲν γένοc ἐκεῖ πάντωc καὶ εἶδοc ἔcτι παρὰ τοῖc γραμματικοῖc, ὅπου δὲ εἶδοc οὐ πάντωc καὶ γένοc ἔcτιν· ἰδοὺ γὰρ ἐν τοῖc ὀνόμαcιν εἰcὶ γένη, ἀρcενικὸν θηλυκὸν οὐδέτερον, ἀλλὰ καὶ εἴδη, πρωτότυπον καὶ παράγωγον· [οἷον ἄρδω, ἀρδεύω· ὅπου δὲ εἶδοc, οὐ πάντωc καὶ γένοc ἔcτιν· ἰδοὺ γὰρ] ἐν δὲ τοῖc ῥήμαcιν εἰcὶν εἴδη, πρωτότυπον καὶ παράγωγον, οἷον ἄρδω ἀρδεύῳ, καὶ οὐκ ἔcτι γένη· οὐδὲ γὰρ ἔχει τὸ ῥῆμα ἀρcενικὸν θηλυκὸν καὶ οὐδέτερον· πάλιν ἐν τοῖc ἐπιρρήμαcιν ἔcτιν εἴδη, πρωτότυπον καὶ παράγωγον, οἷον ἐγγύc ἐγγύθεν, καὶ οὐκ εἰcὶ γένη· οὐδὲ γὰρ ἔχει τὰ ἐπιρρήματα ἀρcενικὸν θηλυκὸν οὐδέτερον· ἐπειδὴ οὖν ὅπου μὲν εἶδοc οὐ πάντωc καὶ γένοc ἔcτι παρὰ τοῖc γραμματικοῖc, ὅπου δὲ γένοc ἐκεῖ πάντωc καὶ εἶδοc, τούτου χάριν προτερεύουcι τὰ εἴδη τῶν γενῶν. Πρόcκειται «παρὰ τοῖc γραμματικοῖc», ἐπειδὴ παρὰ τοῖc φιλοcόφοιc ὅπου γένοc ἐκεῖ πάντωc καὶ εἶδοc, καὶ ὅπου εἶδοc ἐκεῖ πάντωc καὶ γένοc ἔcτιν· ἰδοὺ γὰρ τὸ ζῷον γένοc ὂν ἀνθρώπου καὶ ἵππου καὶ κυνὸc καὶ τῶν τοιούτων ἔχει εἴδη, φημὶ δὴ ταῦτα, καὶ ταῦτα πάλιν εἴδη ὄντα ἔχουcι γένοc, φημὶ δὴ τὸ ζῷον. Ταῦτα μὲν περὶ τῶν εἰδῶν.

Σχήματα δέ εἰcι τρία, ἁπλοῦν cύνθετον παραcύνθετον· καὶ ἁπλοῦν μέν ἐcτι τὸ μὴ ἐκ διαφόρων λέξεων ἀλλ' ἐκ μιᾶc λέξεωc cυγκείμενον,

---

[Discr. scr. ex NCVP] **1** *ante* Εἴδη *in contextu add* πρᾶξιc ε̅. περὶ εἰδῶν N[1] C[1] | εἰcι *om* NC ‖ **3** γαιήϊοc NC, γήϊνοc VP ‖ **5** Δεῖ — ζῷον (**30**) *post* πτώcειc (*107, 3*) *transp.* V (P) ‖ **6** Διονύcιοc] *cfr. Dion. Thr. p. 24, 6* (*Uhl.*)

[Discr. scr. ex NCV] **8** γένοc ζῶον N ‖ **9** κυνὸc V, κυνῶν NC; *item v. 29* ‖ **10** οὖν *om* NC ‖ **15** πάντωc *om* NC | παρὰ τοῖc γραμμ. *om* V ‖ **16** γὰρ V, γοῦν NC ‖ **18** οἷον — ἰδοὺ γὰρ (**19**) *om* V ‖ **19** δὲ *om* NC ‖ **20** *post* ἀρδεύω *add* ἄρχω ἀρχεύω V ‖ **21** ἀρcενικὸν — οὐδέτερον NC, ἀρcενικὸν ἢ θηλυκὸν V ‖ **29** ἔχει V, ἔχουcιν NC | δὴ ταῦτα V, διαταῦτα N, διὰ ταῦτα C ‖ **30** τὸ *om* N

[Discr. scr. ex NCVP] **32** *in marg. add* περὶ cχημάτων N[1]C[1], πρᾶξιc δ'. περὶ cχημάτων P

8 g οἷον Μέμνων· σύνθετον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων λέξεων γινόμενον, ἐκ δύο μέν, οἷον Ἀγαμέμνων, παρὰ τὸ ἄγαν καὶ τὸ μένειν, καὶ τὸ Μενέλαος, παρὰ τὸ μένειν γὰρ καὶ τὸ λαός· ἀπὸ δὲ πλειόνων, οἷον πεντεκαίδεκα· τοῦτο γὰρ ἀπὸ τριῶν σύγκειται λέξεων, ἀπὸ γὰρ τοῦ πέντε ἀριθμοῦ καὶ τοῦ καί συνδέσμου καὶ τοῦ δέκα ἀριθμοῦ· παρασύνθετον δέ ἐστι τὸ ἀπὸ συνθέτου παραγόμενον μὴ μέντοι προσλαμβάνον ἑτέραν λέξιν, οἷον ὡς ἀπὸ τοῦ Ἀγαμέμνων συνθέτου Ἀγαμεμνόνειος παρασύνθετον, καὶ ἀπὸ τοῦ Ἀρίσταρχος συνθέτου Ἀριστάρχειος παρασύνθετον· ἀπὸ γὰρ τοῦ ἄριστος καὶ τοῦ ἄρχω ἐστίν· καὶ πάλιν ἀπὸ τοῦ Ἀτρεύς συνθέτου Ἀτρείδης παρασύνθετον [καὶ Ἀγαμέμνων Ἀγαμεμνονίδης, καὶ Ἀτρεύς Ἀτρείδης]· ἔστι δὲ τὸ Ἀτρεύς σύνθετον παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ τρεῖν τὸ σημαῖνον τὸ φοβεῖσθαι, οἱονεὶ ὁ ἐστερημένος τοῦ φοβεῖσθαι. Πρόσκειται «μὴ μέντοι προσλαμβάνον ἑτέραν λέξιν», ἐπειδὴ ἐὰν προσλάβῃ ἑτέραν λέξιν οὐκέτι παρασύνθετον καλεῖται ἀλλ' ἔτι μένει σύνθετον, ὡς ἐπὶ τοῦ συνήγορος εὐσυνήγορος, σύμβουλος εὐσύμβουλος, κένταυρος ἱπποκένταυρος· ἔστι δὲ τὸ κένταυρος σύνθετον παρὰ τὸ κεντᾶν τὴν αὖραν, ἤγουν τὴν πνοήν· φασὶ γὰρ ὅτι ὁ Ἰξίων τῆς Ἥρας ὁμοιωθείσης νεφέλῃ συνεγένετο αὐτῇ, ἐξ ἧς ἐτέχθησαν οἱ κένταυροι. Καὶ ταῦτα μὲν περὶ σχημάτων.

Ἀριθμοί εἰσι τρεῖς, ἑνικὸς δυϊκὸς καὶ πληθυντικός· καὶ ἑνικὸς μέν ἐστιν ὁ ἕν τι σημαίνων, οἷον Αἴας· δυϊκὸς δὲ ὁ δύο σημαίνων, οἷον Αἴαντε· πληθυντικὸς δὲ ὁ τρεῖς ἢ πλείονας σημαίνων, οἷον Αἴαντες· ἀρχὴ γὰρ πλήθους ὁ τρεῖς ἀριθμός ἐστιν.

Περὶ τῶν πτώσεων τοίνυν θέλομεν διαλαβεῖν· ἡ γὰρ ἀκολουθία τοῦτο ἀπαιτεῖ. Ἰστέον δὲ ὅτι πτώσεις ὀνομάτων εἰσὶ πέντε, ὀρθὴ γενικὴ δοτικὴ αἰτιατικὴ καὶ κλητική· πτώσεις δὲ πέντε οὐ κυρίως ἀλλὰ καταχρηστικῶς· ἡ γὰρ εὐθεῖα οὐκ ἔστι κυρίως πτῶσις ἀλλὰ καταχρηστι-
9 g κῶς. Καὶ λέγουσί τινες, ναί, καὶ ἡ εὐθεῖα κυρίως ἐστὶ πτῶσις· καθὸ μὲν γάρ, φασίν, ἔπεσεν ἀπὸ τοῦ γενικοῦ ὀνόματος, τουτέστιν ἀπὸ τοῦ περιέχοντος ἑκάστην λέξιν ὀνόματος, κατὰ τοῦτο πτῶσις λέγεται, καθὸ δὲ πεσοῦσα ὀρθῶς ἔπεσε, κατὰ τοῦτο ὀρθὴ καὶ εὐθεῖα καλεῖται, ὥσπερ καὶ τὸ γραφεῖον τὸ ὀρθῶς πίπτον ὀρθὸν καλεῖται· ἤ, ὅπερ βέλτιόν ἐστιν εἰπεῖν, ὥσπερ ἐπὶ τῶν κύβων· ταῦτα γὰρ ὡς ἂν πέσωσιν ὀρθῶς πίπτουσιν. Ἔστι δὲ εἰπεῖν πρὸς αὐτούς, ὅτι οὐ δύναται ἡ εὐθεῖα κυρίως

[Discr. scr. ex NCVP] **2** *post* γινόμενον *add* καὶ ἓν σῶμα (σῶμα *om* P) ἀποτελούμενον VP ‖ **6** προσλαμβάνων NC ‖ **7** ἀγαμεμνόνιος NC ‖ **8** ἀριστάρχου NC | ἀριστάρχιος NC ‖ **9** παρασύνθ. — τοῦ φοβεῖσθαι (**13**) *om* P ‖ **10** παρας. — τὸ φοβεῖσθαι (**12**) NC, ἀπὸ γὰρ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ τρεῖν, ὃ δηλοῖ τὸ φοβεῖσθαι V ‖ **11** τὸ Ἀτρ. C, καὶ Ἀτρ. N ‖ **16** *post* εὐσύμβ. *add* ἀρίσταρχος φιλαρίσταρχος VP ‖ **17** φασὶ — κένταυροι (**19**)] φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ὁμοιωθείσης νεφέλῃ συνεγένετο αὐτῇ, ἐξ ἧς ἐτέχθ. οἱ κέντ. NC, φασὶ γὰρ ὅτι (ὡς P) ὁ Ζεὺς ὁμοιωθεὶς (ὡμ. P) νεφέλῃ συνεγένετο τῇ Ἥρᾳ, κἀκεῖθεν (καὶ ἐκ. P) ἐτ. οἱ κέντ. VP. *cfr. Et. Gud. 314, 43 et 51. Et. M. 503, 50* ‖ **20** *ante* Ἀριθ. *add* περὶ ἀριθμῶν NCVP ‖ **24** *ante* Περὶ *add* περὶ πτώσεων NCV, πρᾶξις ε̄. περὶ πτώσεων P ‖ **33** ὡς ἂν VP, ὡς ἐὰν NC

πτῶcιc εἶναι· καὶ δῆλον ἐντεῦθεν· αἱ προθέcειc μετὰ τῶν ἀπτώτων καὶ τῶν εὐθειῶν ἐν cυνθέcει εἰcί, μετὰ δὲ τῶν πλαγίων ἐν παραθέcει, δηλονότι χωρὶc εἰ μὴ ἀπὸ εὐθείαc γένοιτο ἡ cύνθεcιc καὶ ἐκεῖθεν ἡ κλίcιc, οἷον Ἀπολλωνίου ὑπὲρ Ἀπολλωνίου, Ἀπολλωνίῳ cὺν Ἀπολλωνίῳ, Ἀπολλώνιον πρὸc Ἀπολλώνιον, ἐμοῦ ὑπ' ἐμοῦ, ἐμοί cὺν ἐμοί, ἐμέ δι' ἐμέ· ἰδοὺ ἐνταῦθα αἱ προθέcειc μετὰ τῶν πτώcεων, ἀλλὰ χωρίc εἰcιν αἱ προθέcειc· μετὰ δὲ τῶν ἀπτώτων ἐν cυνθέcει εἰcὶν αἱ προθέcειc, τουτέcτιν ἡνωμέναι, οἱονεὶ γράψον κατάγραψον, ἐλθέ περίελθε, κεῖται κατάκειται· ἰδοὺ ταῦτα ἄπτωτά εἰcι, ῥήματα γάρ εἰcι καὶ ἐν cυνθέcει εἰcὶ μετὰ τῶν προθέcεων· καὶ πάλιν ἐγγύc cύνεγγυc, πάλαι πρόπαλαι· ἰδοὺ ταῦτα ἄπτωτα, ἐπιρρήματα γάρ εἰcι, καὶ ἐν cυνθέcει εἰcὶ μετὰ τῶν προθέcεων· ὡcαύτωc καὶ μετὰ τῶν εὐθειῶν ἐν cυνθέcει εἰcὶν αἱ προθέcειc, τουτέcτιν ἡνωμέναι, οἱονεὶ ὁδόc κάθοδοc πάροδοc, ἐργάτηc cυνεργάτηc, οἶκοc cύνοικοc, δοῦλοc cύνδουλοc· ἰδοὺ ἐνταῦθα αἱ προθέcειc μετὰ τῶν εὐθειῶν ἐν cυνθέcει εἰcὶ [καὶ τῆc γενικῆc καὶ δοτικῆc καὶ αἰτιατικῆc] καὶ οὐκ εἰcὶν ἐν παραθέcει. Πρόcκειται ἀνωτέρω «χωρὶc εἰ μὴ ἀπὸ εὐθείαc γένοιτο ἡ cύνθεcιc καὶ ἐκεῖθεν ἡ κλίcιc» διὰ τὸ πάροδοc παρόδου παρόδῳ· ἰδοὺ γὰρ ἐνταῦθα αἱ προθέcειc μετὰ τῶν πτώcεων ἐν cυνθέcει εἰcίν· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ἀπὸ τῆc πάροδοc εὐθείαc ἐγένετο ἡ cύνθεcιc καὶ ἐκεῖθεν ἡ κλίcιc. Ἐμάθομεν δὲ ὅτι αἱ προθέcειc μετὰ τῶν εὐθειῶν ἐν cυνθέcει εἰcίν· εἰ ἄρα οὖν, ὡc εἴρηται, αἱ προθέcειc μετὰ μὲν τῶν πτώcεων ἐν παραθέcει εἰcί, μετὰ δὲ τῶν ἀπτώτων ἐν cυνθέcει ὡcαύτωc δὲ καὶ μετὰ τῶν εὐθειῶν ἐν cυνθέcει εἰcί, δηλονότι ἡ εὐθεῖα οὐκ ἔcτι πτῶcιc κυρίωc· εἰ γὰρ ἦν κυρίωc πτῶcιc, ἐν παραθέcει εἶχεν εἶναι μετὰ τῶν προθέcεων. Ταῦτα μὲν ἐν τούτοιc. 10 g

Ἄξιον δέ ἐcτι ζητῆcαι, εἰ οὖν οἱ ὅροι τῶν εὐθειῶν εἰcιν, — τί γάρ ἐcτιν ἄνθρωποc ὁριζόμεθα, καὶ οὐχὶ τί ἐcτιν ἀνθρώπου — ἡ δὲ εὐθεῖα, ὡc εἴρηται, οὐκ ἔcτι κυρίωc πτῶcιc, διατί ὁριζόμενοι τὸ ὄνομα λέγομεν ὅτι «ὄνομά ἐcτι μέροc λόγου πτωτικόν». Ἔcτιν οὖν εἰπεῖν, ὅτι ὥcπερ γελαcτικὸν λέγομεν τὸ πεφυκὸc γελᾶν καὶ χρεμετιcτικὸν τὸ πεφυκὸc χρεμετίζειν, τὸν αὐτὸν τρόπον καὶ πτωτικὸν ἐνταῦθα λέγομεν τὸ πεφυκὸc ἐπιδέχεcθαι πτώcειc· καὶ γὰρ ἡ εὐθεῖα πτῶcιc μὲν οὐκ ἔcτι, κλίνεται δὲ εἰc πτώcειc, τουτέcτιν εἰc γενικὴν δοτικὴν αἰτιατικὴν καὶ κλητικήν. Ταῦτα μὲν ἐν τούτοιc. Εἰ δέ τιc τὴν ἀκρίβειαν cκοπήcει, εὑρή-

---

[Discr. scr. ex NCVP] **1** μετὰ τῶν ἀπτ. — παραθέcει (**2**) NC, μετὰ μὲν (μὲν *om* P) τῶν πτώcεων ἐν παραθέcει εἰcὶν VP ‖ **3** γένηται NC; *item v. 17* ‖ **6** μετὰ τῶν πτώcεων *om* NC ‖ **7** προθέcειc VP, πτώcειc NC ‖ **10** εἰcὶ *post* cυνθέcει *om* NC | καὶ πάλιν — προθέcεων (**12**) *om* VP ‖ **14** *post* οἶκοc *add* πάροικοc V ‖ **15** καὶ τῆc γενικῆc — αἰτιατικῆc *om* VP ‖ **16** *post* παραθέcει *add* V *quae leguntur p. 112, 9—12* (καὶ ὥcπερ — εὐθεῖα) *et tum*: ὀνομαcτικὴ δὲ ἐπειδὴ δι' αὐτῆc ποιούμεθα τὰc ὀνομαcίαc, οἷον Cωκράτηc λεγέcθω, ἵπποc ὀνομαζέcθω (*cfr. p. 111, 13—15*) ‖ **17** ἐκεῖθεν VP, ἐκεῖcε N, ἐκεῖcεν C ‖ **18** γὰρ *om* NC | πτώcεων CVP, προθέcεων N ‖ **22** μὲν *om* NC ‖ **25** εἶναι] εἶ N ‖ **33** καὶ κλητικὴν *om* NC

cει ὅτι οὐδὲ ἡ κλητική ἐστι κυρίως πτῶσις· καὶ δῆλον ἐντεῦθεν· αἱ γὰρ πτώσεις οὐ σημαίνουσιν ὀρθῶς τὴν οὐσίαν τοῦ πράγματος ἀλλ' ἐκ πλαγίου· ἢ γὰρ ἕνεκεν κτήματος παραλαμβάνονται ἢ ἕνεκεν πράγματος· ἕνεκεν μὲν κτήματος, οἷον Ἀριστάρχου ἀγρός, Ἀριστάρχου οἶκος, ἕνεκεν δὲ πράγματος, οἷον Ἀριστάρχου ἤκουσα, Ἀριστάρχῳ δέδωκα· ὅθεν καὶ πτώσεις καλοῦνται, ὡς ἐκπεσοῦσαι τῆς ὀρθῆς σημασίας, καὶ πλάγιοι, ὡς μὴ σημαίνουσαι ὀρθῶς τὴν οὐσίαν τοῦ πράγματος ἀλλ' ἐκ πλαγίου· ἡ δὲ κλητικὴ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος· ἄρα οὖν οὔτε ἡ κλητική ἐστι κυρίως πτῶσις. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Μαθόντες οὖν πόσαι πτώσεις εἰσίν, ἔλθωμεν ἀκολούθως καὶ διαλάβωμεν περὶ τῆς ὀνομασίας αὐτῶν. Δεῖ γινώσκειν ὅτι ἡ μὲν ὀρθὴ ὀνομαστικὴ λέγεται καὶ εὐθεῖα· καὶ ὀρθὴ μὲν καὶ εὐθεῖα λέγεται, ἐπειδὴ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος, οἷον ἄνθρωπος ἵππος· ὀνομαστικὴ δέ, ἐπειδὴ δι' αὐτῆς τὰς ὀνομασίας ποιούμεθα, οἷον ἄνθρωπος λεγέσθω, Σωκράτης ὀνομαζέσθω. Ἡ δὲ γενικὴ λέγεται κτητική τε καὶ πατρική, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰ γένη, τὰ κτήματα καὶ τὰς πατρίδας, οἷον Ἀριστάρχου υἱός, Ἀριστάρχου ἀγρός, Ἀριστάρχου πατήρ, Ἀριστάρχου οἶκος. Ἡ δὲ δοτικὴ λέγεται ἐπισταλτική, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰς δόσεις καὶ τὰς ἐπιστολάς, οἷον Ἀριστάρχῳ δίδωμι, Ἀριστάρχῳ ἐπιστέλλω. Ἡ δὲ αἰτιατικὴ κατ' αἰτίαν, ἐπειδὴ αἰτίαν σημαίνει, οἷον διὰ τὸν Ἀρίσταρχον ἐτιμήθην καὶ διὰ τὸν Ἀρίσταρχον ὑβρίσθην. Ἡ δὲ κλητικὴ λέγεται καὶ προσαγορευτικὴ παρὰ τὸ καλεῖν καὶ προσαγορεύειν δι' αὐτῆς, οἷον ὦ Σώκρατες, ὦ Ἀρίσταρχε. Ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ διαλάβωμεν περὶ τῆς τάξεως αὐτῶν. Δεῖ γινώσκειν ὅτι τινὲς τὴν κλητικὴν πρώτην ἠθέλησαν τάξαι, λέγοντες ὅτι ἡ μὲν κλητικὴ δευτέρου προσώπου ἐστὶ σημαντική, οἷον ὦ Ἀρίσταρχε, αἱ δὲ ἄλλαι πτώσεις τρίτου προσώπου εἰσὶ σημαντικαί, οἷον Ἀρίσταρχος Ἀριστάρχου Ἀριστάρχῳ Ἀρίσταρχον· τὰ δὲ δεύτερα [πρόσωπα] προτερεύουσι τῶν τρίτων· οὐκοῦν καὶ ἡ κλητικὴ δευτέρου προσώπου οὖσα ὀφείλει προτερεῦσαι τῶν ἄλλων πτώσεων τρίτου προσώπου οὐσῶν. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἡ μὲν κλητικὴ μόνον δευτέρου προσώπου ἐστίν, οἱονεὶ σὺ Ἀρίσταρχε, αἱ δὲ ἄλλαι πτώσεις οὐ μόνον τρίτου προσώπου εἰσὶν ἀλλὰ καὶ πρώτου καὶ δευτέρου, οἷον ἐγὼ Ἀρίσταρχος, σὺ Ἀρίσταρχος, ἐκεῖνος Ἀρίσταρχος, ἐμοῦ Ἀριστάρχου, σοῦ Ἀριστάρχου, ἐκείνου Ἀριστάρχου,

---

[Discr. scr. ex NCVP] **1** καὶ *om* NC ‖ **7** ἀλλ' ἐκ πλαγίου — πράγματος (8) *om* VP ‖ **9** πτῶσις *om* NC | καὶ *om* NC ‖ **10** *in marg. add* πρᾶξις ϛ' NCP ‖ **11** τῆς VP, τὰς NC ‖ **12** μὲν *om* NC ‖ **13** *post* ἵππος *add*: ταῦτα γὰρ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος VP ‖ **15** Σωκράτης NC, ἵππος VP ‖ **16** *post* γένη *add* καὶ VP | καὶ τὰς πατρίδας *om* VP ‖ **18** Ἀριστ. οἶκος *om* VP | λέγεται *om* NC ‖ **19** Ἀριστ. δίδ. Ἀριστ. ἐπιστ. NCP, Γεωργίῳ δίδ. Γεωργίῳ ἐπιστ. V ‖ **20** κατ' αἰτίαν — σημαίνει NC, οὕτω λέγεται παρὰ τὸ αἰτίαν σημαίνειν VP ‖ **22** καὶ *post* λέγεται *om* NC ‖ **29** πρόσωπα *om* VP ‖ **31** τρίτων προσώπων NC ‖ **34** πρώτου καὶ *om* V | ἐγὼ ὁ ἀρίστ. NC

ἐμοὶ Ἀριστάρχῳ, σοὶ Ἀριστάρχῳ, ἐκείνῳ Ἀριστάρχῳ, ἐμὲ Ἀρίσταρχον, σὲ Ἀρίσταρχον, ἐκεῖνον Ἀρίσταρχον· τὰ δὲ πρῶτα προτερεύουσι τῶν δευτέρων· οὐκοῦν καὶ αἱ ἄλλαι πτώσεις εἰκότως προτερεύουσι τῆς κλητικῆς. Ἡ δὲ εὐθεῖα πασῶν τῶν ἄλλων πτώσεων προτερεύει, πρῶτον μέν, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰς ὀνομασίας, δεύτερον δέ, ἐπειδὴ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος· αἱ δὲ ἄλλαι πτώσεις, ἤγουν ἡ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική, οὐκ ὀρθῶς σημαίνουσι τὴν οὐσίαν τοῦ πράγματος ἀλλ' ἐκ πλαγίου· ὅθεν καὶ πλάγιοι λέγονται, ὡς ἐκ πλαγίου σημαίνουσαι τὴν οὐσίαν τοῦ πράγματος καὶ οὐκ ὀρθῶς· καὶ ὥσπερ ὁ στύλος κυρίως μὲν λέγεται στύλος παρὰ τὸ ἵστασθαι, ἐὰν δὲ πέσῃ οὐκ ἔτι κυρίως καλεῖται στύλος ἀλλὰ πλάγιος στύλος, οὕτως καὶ ἡ εὐθεῖα ὀρθῶς σημαίνουσα τὴν οὐσίαν τοῦ πράγματος λέγεται εὐθεῖα, αἱ δὲ ἄλλαι πτώσεις μὴ σημαίνουσαι τὴν οὐσίαν τοῦ πράγματος ὀρθῶς πλάγιοι λέγονται. Προτέτακται δὲ ἡ γενικὴ τῆς δοτικῆς καὶ αἰτιατικῆς, ἐπειδὴ δύο ἐπιδέχεται συντάξεις, τήν τε πρὸς πρᾶγμα καὶ τὴν πρὸς 12g κτῆμα· πρὸς πρᾶγμα μέν, οἷον Ἀριστάρχου ἤκουσα, Ἡροδότου ἠκροασάμην, πρὸς κτῆμα δέ, οἷον Ἡροδότου ἀγρός, Ἀριστάρχου οἶκος· ἡ γὰρ δοτικὴ καὶ αἰτιατικὴ μίαν μόνον ἐπιδέχονται σύνταξιν, τὴν πρὸς πρᾶγμα, οἷον Ἀριστάρχῳ δίδωμι, Ἀρίσταρχον ἐτίμησα. Ἡ δὲ δοτικὴ προτέτακται τῆς αἰτιατικῆς, ἐπειδὴ καὶ αὐτή ἐστιν ὅτε ἐπιδέχεται σύνταξιν πρὸς κτῆμα καταχρηστικῶς, ὡς ἐπὶ τοῦ ⟨Ξ 459⟩ Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν, ἀντὶ τοῦ Αἴαντος τὸν θυμὸν ὤρινε· καὶ πάλιν ⟨Α 74⟩ Διὶ φίλε, ἀντὶ τοῦ Διὸς φίλε· ἡ δὲ αἰτιατικὴ οὐδὲ καταχρηστικῶς παραλαμβάνεται πρὸς κτῆμα, εἰ μὴ πάνυ σπανίως, ὡς ἐπὶ τοῦ ⟨Ω 58⟩ γυναῖκά τε θήσατο μαζόν, ἀντὶ τοῦ γυναικὸς μαζὸν ἐθήλασεν· τούτου οὖν χάριν προτέτακται ἡ δοτικὴ τῆς αἰτιατικῆς. Ἡ δὲ αἰτιατικὴ προτέτακται τῆς κλητικῆς, ἐπειδὴ ἡ μὲν αἰτιατικὴ καὶ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου ἐστίν, οἷον ἐμὲ Ἀρίσταρχον, σὲ Ἀρίσταρχον, ἐκεῖνον Ἀρίσταρχον, ἡ δὲ κλητικὴ δευτέρου μόνου προσώπου ἐστίν, οἷον σὺ Ἀρίσταρχε· τὰ δὲ πρῶτα προτερεύουσι τῶν δευτέρων· εἰκότως οὖν καὶ ἡ αἰτιατικὴ προτερεύει τῆς κλητικῆς. Ταῦτα ἔχομεν

[Discr. scr. ex NCVP] **2** δὲ *om* NC ‖ **5** *post* ὀνομασίας *add*: οἷον ἵππος καλείσθω, ἄνθρωπος ὀνομαζέσθω. πῶς δὲ δυνάμεθα κλίνειν τὸ μήπω ὀνομασθέν; VP | δέ *om* NC ‖ **6** αἱ δὲ — πλαγίου (8) NC, ἡ δὲ γενικὴ δευτέρα τάσσεται τῆς εὐθείας, ἐπειδὴ οὐκ ὀρθῶς ἀλλ' ἐκ πλαγίου. ἢ γὰρ ἕνεκεν κτήματος ἢ ἕνεκεν (ἕνεκα P) πράγματος παραλαμβάνεται. ἕνεκεν μὲν κτήματος, οἷον Ἀριστάρχου ἀγρός (Ἀριστάρχου οἶκος *add* P), ἕνεκεν δὲ πράγματος, οἷον Ἀριστάρχου ἤκουσα. ὁμοίως καὶ ἡ δοτικὴ καὶ ἡ αἰτιατική, οἷον Ἀριστάρχῳ δίδωμι, Ἀρίσταρχον ἐτίμησα VP; *cfr. p. 111, 1—5* ‖ **7** σημαίνει N ‖ **9** *post* ὀρθῶς *add*: καὶ πτώσεις ὡς ἐκπεσοῦσαι τῆς ὀρθῆς σημασίας VP; *cfr. p. 111, 6* ‖ **10** κυρίος N ‖ **12** ὀρθῶς — εὐθεῖα *om* VP ‖ **16** Ἡροδ. ἠκροασ. *om* VP ‖ **17** Ἡροδ. — οἶκος NC, ἀριστάρχου ἀγρὸς VP ‖ **19** *post* ἐτίμησα *add*: πρᾶγμα δὲ νοητέον τὸ ῥῆμα VP ‖ **22** ὄρινεν V, ὤρινε NCP ‖ **26** *post* ἐθήλασεν *add*: καὶ ⟨ο 199⟩ μή με πάρεξ (παρὲξ P) ἄγε νῆα, διοτρεφὲς (διοτρεφεὺς P), ἀντὶ τοῦ ἐκ τῆς νηός VP

εἰπεῖν περὶ τῶν πτώcεων καὶ τῶν παρεπομένων τῷ ὀνόματι· ἐν οἷc cὺν θεῷ καὶ ἡ πρᾶξιc.

Ἀκόλουθόν ἐcτιν εἰπεῖν, πόcα τελικά εἰcιν ἀρcενικῶν ὀνομάτων. Τελικὰ τοίνυν ἀρcενικῶν ὀνομάτων εἰcὶ πέντε, ν̄ ξ̄ ρ̄ c̄ ψ̄, οἷον Δίων Φοῖνιξ Νέcτωρ Πάριc Πέλοψ· χρεία δέ ἐcτι προcθεῖναί τινα καὶ εἰπεῖν οὕτωc· τελικὰ ἀρcενικῶν ὀνομάτων ἀνεπεκτάτων κοινῶν κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶcίν εἰcι πέντε, ν̄ ξ̄ ρ̄ c̄ ψ̄. Πρόcκειται δὲ «ἀρcενικῶν» διὰ τὰ θηλυκὰ καὶ οὐδέτερα· «ὀνομάτων» δὲ διὰ τὰ ἄλλα μέρη τοῦ λόγου, οἷον διὰ τὰc ἀντωνυμίαc καὶ τὰc μετοχάc· «ἀνεπεκτάτων» δὲ διὰ τὸ τοιόcδε καὶ τοcόcδε, τοιουτοcί καὶ τηλικουτοcί· ταῦτα γὰρ ἐπέκταcιν ἀνεδέξαντο, οἷον προcθήκην τοῦ δε̄ καὶ τοῦ ῑ· «κοινῶν» δὲ
13g πρόcκειται διὰ τὰ βάρβαρα, οἷον διὰ τὸ Ἀβραάμ Ἰωcήφ Δανιήλ· ἔτι «κοινῶν» πρόcκειται διὰ τὰ ποιητικά, οἷον ἱππότα ἀντὶ τοῦ ἱππότηc καὶ μητιέτα ἀντὶ τοῦ μητιέτηc καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτηc· ἔτι «κοινῶν» πρόcκειται διὰ τὰ κατὰ διάλεκτον, ἐπειδὴ οἱ Αἰολεῖc πολλάκιc εἰc ᾱ ποιοῦcι τὴν εὐθεῖαν, Ἀρχύτα γὰρ λέγουcιν ἀντὶ τοῦ Ἀρχύταc καὶ Ὑβραγόρα ἀντὶ τοῦ Ὑβραγόραc· «κατ' εὐθεῖαν» δὲ πρόcκειται διὰ τὰc ἄλλαc πτώcειc, οἷον γενικὴν δοτικὴν αἰτιατικὴν καὶ κλητικήν· «ἑνικήν» δὲ πρόcκειται διὰ τὰ δυϊκὰ καὶ πληθυντικά. Τινὲc δὲ ἠθέληcαν τὸ λ̄ τελικὸν λέγειν τῶν ἀρcενικῶν ὀνομάτων, ἐπειδὴ τὸ Βάκαλ κλινόμενον εὑρέθη, οἷον ὁ Βάκαλ τοῦ Βάκαλοc [τῷ Βάκαλι τὸν Βάκαλα] καὶ οἱ Βάκαλεc, ὡc παρὰ Καλλιμάχῳ ⟨fragm. 517 Schn.⟩ τέκνα cοὶ μὲν Βάκαλεc· ἀλλ' ἔcτιν εἰπεῖν, ὅτι οὐδὲν τῆc πρώτηc δυοκαιδεκάδοc τῶν cτοιχείων εὑρίcκεται τελικὸν τῶν ἀρcενικῶν ὀνομάτων· εἰ οὖν τὸ λ̄ τῆc πρώτηc δυοκαιδεκάδοc τῶν cτοιχείων ἐcτί — πρώτη γὰρ δυοκαιδεκὰc τῶν cτοιχείων ἐcτὶν ἀπὸ τοῦ ᾱ ἕωc τοῦ μ̄ — δηλονότι οὐ δύναται εἶναι τελικὸν τῶν ἀρcενικῶν ὀνομάτων. Τὸ δὲ ἀναγκαιότερόν ἐcτιν εἰπεῖν οὕτωc· τὰ τελικὰ οὐκ ἐν ἑνὶ μέρει λόγου μόνον εὑρίcκονται, ἀλλὰ καὶ ἐν ἑτέροιc μέρεcι τοῦ λόγου, οἷον τὸ ν̄ ἐcτὶ τελικὸν τῶν ἀρcενικῶν ὀνομάτων ὡc ἐπὶ τὸ πλεῖcτον, οἷον Δίων Πλάτων, ἀλλὰ καὶ ῥημάτων, ὡc ἐπὶ τοῦ ἔτυπτον ἔγραφον, καὶ μετοχῶν, ὡc ἐπὶ τοῦ τύπτων, καὶ προθέcεων, ὡc ἐπὶ τοῦ cύν ἔν, καὶ ἐπιρρημάτων, ὡc ἐπὶ τοῦ ἔνδον, καὶ cυνδέcμων, ὡc ἐπὶ τοῦ ἐάν ἄν· πάλιν τὸ ρ̄ τελικόν ἐcτι τῶν ἀρcενικῶν ὀνομάτων, ὡc ἐπὶ τοῦ Νέcτωρ, ἀλλὰ καὶ προθέcεων, ὡc ἐπὶ τῆc ὑπέρ, καὶ ἐπιρρημάτων, ὡc ἐπὶ τοῦ ἄφαρ, καὶ cυνδέcμων, ὡc

[Discr. scr. ex NCVP] 3 *in marg.* πρᾶξιc ἔη NC ‖ 5 Φοῖνιξ *post* Πάριc *transp.* NC ‖ 7 Πρόcκειται — τοῦ ῑ (11) *post* πτώcειc (18) *transp.* VP ‖ 9 οἷον — μετοχὰc VP, οἷον προcθήκην τοῦ δε̄ καὶ τοῦ ῑ NC ‖ 11 οἷον προcθήκην *om* NC | κοινῶν — Δανιήλ (12) *om* VP ‖ 12 ἀβρααμ N | ἔτι *om* VP ‖ 13 οἷον *om* N ‖ 16 *post* εὐθεῖαν *add* οἷον NC ‖ 17 Ἀρχύταc VP, Ἀρχύτηc NC | δὲ *om* NC ‖ 21 τῷ Βακ. τὸν Βακ. *om* VP ‖ 23 cοὶ NCVP; ⟨ὅπου⟩ τέκνα cύεccι μένοc Βάκαλεc ⟨τίκτουcιν ὅμοια⟩ *OSchneiderus* ‖ 26 δυοκαιδεκὰc] δυοδεκὰc NCP, δωδεκὰc V ‖ 31 ἔγραπτον (*sic*) N, *om* VP | μετοχῶν VP, μετοχῆc NC ‖ 32 προθέcεωc N ‖ 34 ἀρcενικῶν *om* NC; *item p. 114, 1* | προθέcεωc NC; *item p. 114, 5* ‖ 35 καὶ cυνδ. — μάψ (114, 8)] καὶ τῶν ἄλλων ὁμοίωc. καὶ τὸ c̄ ἐπὶ

ἐπὶ τοῦ αὐτάρ· πάλιν τὸ c̄ τελικόν ἐστι τῶν ἀρσενικῶν ὀνομάτων, ὡς ἐπὶ τοῦ Αἴας, ἀλλὰ καὶ ῥημάτων, ὡς ἐπὶ τοῦ ἔτυψας, καὶ μετοχῶν, ὡς ἐπὶ τοῦ τύψας, καὶ ἄρθρων, [οἷον τοῖς] ὡς ἐπὶ τοῦ ὅς, καὶ προθέσεων, ὡς ἐπὶ τῆς πρός, καὶ ἐπιρρημάτων, ὡς ἐπὶ τοῦ ἔναγχος· πάλιν τὸ ξ̄ τελικόν ἐστι τῶν ἀρσενικῶν ὀνομάτων, ὡς ἐπὶ τοῦ Φοῖνιξ, ἀλλὰ καὶ προθέσεων, ὡς ἐπὶ τῆς ἔξ, καὶ ἐπιρρημάτων, ὡς ἐπὶ τοῦ πύξ λάξ· πάλιν τὸ ψ̄ τελικόν ἐστι τῶν ἀρσενικῶν ὀνομάτων, ὡς ἐπὶ τοῦ Κύκλωψ, ἀλλὰ καὶ 14g ἐπιρρημάτων, ὡς ἐπὶ τοῦ μάψ· εἰ οὖν τὸ λ̄ θέλουσι δοῦναι τελικὸν τῶν ἀρσενικῶν ὀνομάτων, παρασχέτωσαν αὐτὸ τελικὸν καὶ ἄλλου μέρους λόγου· οὐκ ἔστι δὲ τελικὸν οὔτε ῥήματος οὔτε μετοχῆς οὔτε ἄρθρου οὔτε ἀντωνυμίας οὔτε προθέσεως οὔτε ἐπιρρήματος οὔτε συνδέσμου· ἄρα οὖν οὔτε τῶν ἀρσενικῶν ὀνομάτων δύναται εἶναι τελικόν. Ταῦτα μὲν ἐν τούτοις.

Διαλαμβάνει δὲ πρῶτον ὁ τεχνικὸς περὶ τῶν εἰς c̄ ληγόντων πρὸ τοῦ διαλαβεῖν περὶ τῶν εἰς ν̄ ρ̄ ξ̄ ψ̄. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν περὶ τῶν εἰς c̄ ληγόντων πρῶτον διαλαμβάνει πρὸ τοῦ διαλαβεῖν περὶ τῶν εἰς ν̄ ξ̄ ρ̄ ψ̄· καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο περὶ τῶν εἰς c̄ ληγόντων πρῶτον διαλαμβάνει, ἐπειδὴ τὰ εἰς c̄ λήγοντα πλατέως διδάσκονται· πῆ μὲν γὰρ περιττοσυλλάβως κλίνονται, οἷον Αἴας Αἴαντος, πῆ δὲ ἰσοσυλλάβως, οἷον κοχλίας κοχλίου· τὰ δὲ ἄλλα, φημὶ δὴ τὰ εἰς ν̄ ξ̄ ρ̄ ψ̄, συντόμως διδάσκονται· μίαν γὰρ ἔχει κλίσιν τὴν περιττοσύλλαβον, οἷον Πλάτων Πλάτωνος, Φοῖνιξ Φοίνικος, Νέστωρ Νέστορος, Κύκλωψ Κύκλωπος· τὰ δὲ πλατέως διδασκόμενα σαφέστερά εἰσι τῶν συντόμως διδασκομένων, ὡς καὶ Εὐριπίδης ἐδήλωσεν εἰπὼν ⟨Orest. 640⟩ τὰ μακρὰ τῶν σμικρῶν λόγων Ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν. Κατὰ δεύτερον δὲ λόγον διὰ τοῦτο περὶ τῶν εἰς c̄ ληγόντων πρῶτον διαλαμβάνει ὁ τεχνικός, ἐπειδὴ εἰ διέλαβε πρῶτον περὶ τῶν εἰς ν̄ ξ̄ ρ̄ ψ̄, ἠναγκάζετο πρῶτον ἢ περὶ τῶν εἰς ᾱν̄ διαλαβεῖν ἢ περὶ τῶν εἰς αξ ἢ περὶ τῶν εἰς αρ ἢ περὶ τῶν εἰς ᾱψ̄, ἐπειδὴ τὸ ᾱ προτερεύει πάντων τῶν στοιχείων· οὐδέποτε δὲ τὰ εἰς ᾱν̄ οὔτε

[Discr. scr. ex NCVP] πάντων τῶν μερῶν τοῦ λόγου τελικὸν εὑρίσκεται, καὶ τὸ ξ̄ καὶ τὰ ἄλλα τελικὰ τῶν ἀρσενικῶν ὀνομάτων τελικά εἰσι καὶ ἄλλων τινῶν μερῶν τοῦ λόγου ἢ πάντων P ‖ **2** ἀλλὰ — ἔτυψας *om* V | καὶ τῶν ῥημάτων NC ‖ **3** καὶ ἄρθρων — ὅς *om* V ‖ **4** τῆς πρός CV, τοῦ πρός N ‖ **6** τῆς ἔξ V, τοῦ ἔξ NC ‖ **12** τῶν ἀρσενικῶν *om* NC ‖ **14** *in marg. add* πρᾶξις η̄η NC | Διαλ. — ψ̄ (**15**) NC, δεῖ δὲ γινώσκειν, ὅτι διάλεκτοί εἰσι πέντε· Ἀτθὶς ἡ τῶν Ἀθηναίων, Αἰολὶς ἡ τῶν Αἰολέων, Δωρὶς ἡ τῶν Δωριέων, Ἰὰς ἡ τῶν Ἰώνων, κοινὴ καθ' ἣν ἡμεῖς διαλεγόμεθα V *et similiter* P; *tum*: Ἔλθωμεν δὴ (δὲ P) λοιπὸν καὶ ἐπ' αὐτὴν τὴν κλίσιν τοῦ ὀνόματος, καὶ ἀρξώμεθα ἀπὸ τῶν εἰς ᾱc̄ (ἐπειδὴ τὸ ᾱ προτέτακται πάντων τῶν στοιχείων *add* P) VP ‖ **15** ποῖαν N ‖ **16** *post* διαλαμβ. *add* ὁ τεχνικὸς VP ‖ **17** ψ̄ ρ̄ NC ‖ **18** διδάσκονται VP, εὑρίσκονται NC, *sed supra scr.* διδάσκεται N[1] *et* διδάσκονται C[1] ‖ **19** πῆ V, ποῖ CP, πῆ *ex* ποῖ *corr.* N[1] ‖ **23** πλατέως VP, πλατέα N, πλατέα *in* πλατέως *corr.* C[1] ‖ **24** εἰπὼν V, εἰ P, εἰπὼν εἰ NC ‖ **25** ἐστι NCP, εἰσι V ‖ **30** ᾱν̄ οὔτε VP, ᾱν̄ ἢ NC

τὰ εἰς αξ οὔτε τὰ εἰς αρ οὔτε τὰ εἰς αψ εἰσὶ πεντάπτωτα, ἀλλὰ τετράπτωτα· τὴν γὰρ αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον Ἀλκμάν ὦ Ἀλκμάν, Φαίαξ ὦ Φαίαξ, μάκαρ ὦ μάκαρ, Ἄραψ ὦ Ἄραψ· τὰ δὲ
15g εἰς ας λήγοντα οὐ μόνον τετράπτωτά εἰσιν, ὡς ἐπὶ τοῦ Ἀρκάς ὦ Ἀρκάς, φυγάς ὦ φυγάς, ἀλλὰ καὶ πεντάπτωτά εἰσιν, ὡς ἐπὶ τοῦ Αἴας ὦ Αἶαν, ⟨N 824⟩ Αἶαν ἁμαρτοεπές, βουγάϊε, ποῖον ἔειπες, Πολυδάμας ὦ Πολυδάμα ⟨C 285⟩ Πολυδάμα, cὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· [εἰκότως οὖν πρῶτον περὶ τῶν εἰς c ληγόντων διαλαμβάνει·] ἵνα οὖν διδάξῃ ἡμᾶς τὰ ἔχοντα τὰς πέντε πτώσεις, τούτου χάριν περὶ τῶν εἰς c ληγόντων πρῶτον διαλαμβάνει. Ἄλλοι δὲ λέγουσιν, ὅτι διὰ τοῦτο περὶ τῶν εἰς c ληγόντων πρῶτον διαλαμβάνει, ἐπειδὴ τὰ εἰς c λήγοντα δυσχερέστερά εἰσι τῶν εἰς ν ξ ρ ψ ληγόντων· ἐπειδὴ δὲ κατὰ τὸν συγγραφέα Θουκυδίδην ⟨II 8, 1⟩ ἀρχόμενοι πάντες ὀξύτερον ἀντιλαμβάνονται, καὶ Καλλίμαχος δὲ τὸ αὐτὸ τοῦτο λέγει ⟨fragm. 487 Schn.⟩ ἀρχόμενοι μανίην ὀξυτάτην ἔχομεν, τούτου χάριν ἀπὸ τῶν δυσχερεστέρων πρῶτον ἤρξατο, ἵνα ἐν ὅσῳ εἰσὶ πρόθυμοι οἱ νέοι μάθωσιν αὐτά. Οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· τοὐναντίον γὰρ ἀπὸ τῶν σαφεστέρων δεῖ ἄρχεσθαι, ἵνα μὴ εἰς σύγχυσιν ἀγάγωμεν τοὺς ἀναγινώσκοντας. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Ἰστέον δὲ ὅτι περὶ τῶν εἰς ας μονοσυλλάβων οὐδὲν εἶπεν ὁ Θεοδόσιος, ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος καὶ συντομίας φροντίζων. Ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς ας μονοσύλλαβα εἰ μὲν περισπῶνται ἀποβολῇ τοῦ c ποιοῦσι τὴν γενικὴν καὶ ἰσοσυλλάβως κλίνονται, εἰ δὲ ὀξύνονται περιττοσυλλάβως κλίνονται. Τῶν μὲν περισπωμένων εἰσὶ παραδείγματα τοιαῦτα, οἷον ὁ Γρᾶς τοῦ Γρᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Λᾶς τοῦ Λᾶ (τοῦτο δὲ ποταμὸν καὶ πόλιν καὶ λίθον σημαίνει)· γέγονε δὲ τοῦτο τοῦτον τὸν τρόπον· ἔστι λάας λάαος, καὶ κράσει τῶν δύο αα εἰς ἓν ᾱ μακρὸν γίνεται λᾶος, οἷον ⟨M 462⟩ λᾶος ὑπαὶ ῥιπῆς, τουτέστιν ὑπὸ τῆς βολῆς τοῦ λίθου· αὕτη ἡ λᾶος γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ λᾶος, ὥσπερ ὁ Τρώς τοῦ Τρωός καὶ ὁ Τρωός, ὁ δμώς τοῦ δμωός καὶ ὁ δμωός, ⟨Hes. Opp. 470⟩ δμωὸς
16g ἔχων μακέλην, ἀντὶ τοῦ δοῦλος· καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ αο εἰς ᾱ μακρὸν γίνεται ὁ λᾶς, ὥσπερ Μενέλαος Μενέλας, Πτερέλαος Πτερέλας. Ἀναδράμωμεν δὲ ἐπὶ τὰ λοιπὰ παραδείγματα τῶν εἰς

[Discr. scr. ex NCVP] **2** ἔχει NC ‖ **6** ἔειπας V ‖ **6—7** *ter* Πολωδ. *in* Πωλοδ. *mutavit* N, Πολυδ. VP, Πολοδ. C, *versu exigente* Πουλυδ. ‖ **8** εἰκότως — διαλαμβ. (**9**) *om* VP ‖ **10** περὶ *om* N ‖ **13** δὲ *om* NC | πάντες NC, παντὸς VP ‖ **14** ἀντιλαμβ. VP, διαλαμβάνονται NC ‖ **20** *in marg. add* πρᾶξις θ NC | οὐδὲν CVP, οὐ μὲν N ‖ **23** καὶ ἰσος. — τοιαῦτα (**25**) *om* VP ‖ **27** ἔστι δὲ λάας NC ‖ **28** λᾶος — ῥιπῆς (**29**)] ὑπὸ ῥιπῆς τοῦ λᾶος NC ‖ **30** ὥσπερ — δοῦλος (**32**) *om* VP ‖ **31** ὁ Τρῶος *et* ὁ δμῶος NC; *cfr. adnot. ad Herod. I 112, 2* ‖ **32** μακέλλην NC ‖ **33** *post* Μενέλας *add* Ἰόλαος Ἰόλας P | Πτερ. Πτερ. V, Περέλαος Περέλας NCP ‖ **34** Ἀναδράμ. — οἷον (**116, 1**) *om* VP | δὲ *om* NC

α̅ϲ̅ περιϲπωμένων μονοϲυλλάβων, οἷον ὁ Θᾶϲ τοῦ Θᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Χνᾶϲ τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται), ὁ Δᾶϲ τοῦ Δᾶ (ὄνομα δὲ τοῦτο ποταμοῦ), ὁ Βᾶϲ τοῦ Βᾶ (ἱϲτορεῖται δὲ οὗτοϲ βαϲιλεὺϲ Πόντου). Τὸ δὲ πᾶϲ, ὅτε μέν ἐϲτι προϲηγορικὸν καὶ ϲημαίνει τὸν πατέρα, ἀποβολῇ τοῦ ϲ̅ ποιεῖ τὴν γενικήν, οἷον τοῦ πᾶ, ὅτε δὲ ἐπίθετόν ἐϲτι καὶ δηλοῖ τριγένειαν, οἷον πᾶϲ πᾶϲα πᾶν, διὰ τοῦ ν̅τ̅ κλίνεται, οἷον πᾶϲ παντόϲ· πρὸϲ γὰρ διάφορον ϲημαινόμενον εἰκότωϲ καὶ ἡ κλίϲιϲ διάφοροϲ γέγονεν. Ταῦτα μὲν περὶ τῶν περιϲπωμένων. Τῶν δὲ ὀξυτόνων εἰϲὶ παραδείγματα ταῦτα, οἷον Ζάϲ Ζαντόϲ (ϲημαίνει δὲ τὸν Δία), Πράϲ Πραντόϲ (ἔϲτι δὲ ὄνομα πόλεωϲ· τοῦτο δὲ κατὰ ἀκρίβειαν ὀξύνεται καὶ διὰ τοῦ ν̅τ̅ κλίνεται· ἰϲτέον δὲ ὅτι ὁ Ἡρωδιανὸϲ ἐν μὲν τῷ Ὀνοματικῷ λέγει αὐτὸ περιϲπᾶϲθαι καὶ διὰ τοῦ ν̅τ̅ κλίνεϲθαι, ἐν δὲ τῇ Καθόλου ὀξύνεϲθαι καὶ ὁμοίωϲ διὰ τοῦ ν̅τ̅ κλίνεϲθαι), Φθάϲ Φθάντοϲ (ὄνομα δὲ τοῦτο κύριον)· τοῦτο δὲ κατὰ τὴν γενικὴν βαρύνεται, τουτέϲτι παροξύνεται· μετοχικὸν γὰρ ὑπάρχον καὶ τὸν τόνον τῆϲ μετοχῆϲ ἀνεδέξατο, φημὶ δὴ τῆϲ φθάντοϲ τῆϲ ϲημαινούϲηϲ τὸ προλαβόντοϲ· ἡ δὲ μετοχὴ βαρύνεται κατὰ τὴν γενικὴν ὁμοίωϲ τῇ ϲτάϲ ϲτάντοϲ καὶ βάϲ βάντοϲ καὶ φάϲ φάντοϲ· καὶ βάϲ μέν ἐϲτιν ὁ πορευθείϲ, φάϲ δὲ ὁ εἰπών. Τὸ δὲ κράϲ, ὃ ϲημαίνει τὴν κεφαλήν, διὰ τοῦ τ̅ ἐκλίθη, οἷον ⟨Α 530⟩ κρατὸϲ ἀπ' ἀθανάτοιο· καὶ ἔχει ἀπολογίαν τοιαύτην, ὅτι τὰ εἰϲ α̅ϲ̅ μονοϲύλλαβα ὀξύτονα ὀνόματα κύριά εἰϲιν, οἷον Πράϲ Ζάϲ Φθάϲ, τοῦτο δὲ μόνον, φημὶ δὴ τὸ κράϲ, προϲηγορικόν ἐϲτι· τὴν γὰρ κεφαλὴν ϲημαίνει· ἐπειδὴ οὖν διήλλαξε περὶ τὸ ϲημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίϲιν, καὶ οὐκ ἐκλίθη ὁμοίωϲ ἐκείνοιϲ διὰ τοῦ ν̅τ̅, ἀλλὰ διὰ μόνου τοῦ τ̅. Ἔχομεν δὲ τὴν χρῆϲιν τῆϲ εὐθείαϲ παρὰ Ϲιμμίᾳ τῷ Ῥοδίῳ οὕτωϲ· χρυϲῷ τοι φαέθοντι πολύλλιτοϲ 17g ἐμφέρεται κράϲ· πολύλλιτοϲ δὲ οἱονεὶ πολυλιτάνευτοϲ. Ταῦτα μὲν ἔχομεν εἰπεῖν περὶ τῶν εἰϲ α̅ϲ̅ μονοϲυλλάβων· ἐν οἷϲ ϲὺν θεῷ ἡ πρᾶξιϲ.

Ἐπειδὴ τόνου ἐμνημονεύϲαμεν ἐν τῇ προλαβούϲῃ πράξει — εἰρήκαμεν

[Discr. scr. ex NCVP] **3** Χνᾶ NVP, ὀχνᾶ C | δὲ *om* N ‖ **4** ὅτε — ἐν (**18**) *deleta in* P *parte folii 55 abscisa* ‖ **6** οἷον ὁ πᾶϲ NC ‖ **7** ν̅τ̅] τ̅ N ‖ **8** Ταῦτα — ταῦτα (**9**)] εἰ δὲ ὀξύνονται τὰ εἰϲ α̅ϲ̅ μονοϲύλλαβα, περιττοϲυλλάβωϲ κλίνονται, τουτέϲτι περιττὴν ϲυλλαβὴν ἔχουϲιν ἐν τῇ γενικῇ τῆϲ εὐθείαϲ V | Ταῦτα] ἐνταῦθα NC ‖ **12** δὲ *ante* ὅτι *om* NC | μὲν *om* NC | τῷ ὀνοματικῷ NC, τοῖϲ ὀνόμαϲι V ‖ **14** ὁμοίωϲ καὶ *traiciunt* NC | Φθαντόϲ N ‖ **16** ὑπάρχον VP, ὑπάρχει NC ‖ **18** καὶ φάϲ φάντοϲ VP, φθάϲ φθάντοϲ NC | καὶ βάϲ μὲν — εἰπών (**19**) VP, βὰϲ δέ ἐϲτιν ὁ πορευθεὶϲ καὶ φθὰϲ ὁ προλαβὼν NC ‖ **20** οἷον *om* N ‖ **21** ὀνόματα VP, ἅπαντα NC ‖ **24** ἐκείνοιϲ τοῖϲ διὰ NC ‖ **26** παρὰ Ϲιμμίᾳ V, παρὰ Ϲιμωνίδῃ NC, παρ' ἀμμία P | ῥωδίῳ N | χρυϲῷ — κράϲ (**27**) *Lobeckius Paral. p. 78 adn. 14*, χρυϲῶτυφαέθοντι πολύλιϲτοϲ φαίνεται κρὰϲ NC, χρυϲόϲ τοι φαέθοντι πολύλλιτοϲ φθέγγεται (*et suprascr.* φαίνε V[1]) κρὰϲ V, χρυϲῶ τοι φαέθοντι πολύλιτοϲ φθέγγεται κρὰϲ P, χρυϲῷ τοι, φαέθων, τὸ πολύλλιϲτον φλέγεται κράϲ *Cobetus*, χρυϲῷ τοι φαέθοντι πολύλλιτοϲ ὃϲ (ὡϲ) φλέγεται κράϲ *Sternbachius* ‖ **27** πολύλλιτοϲ V, πολύλιϲτοϲ NC, πολύλιτοϲ P ‖ **29** *ante* Ἐπειδὴ *add* πρᾶξιϲ ῑ NC, *in marg.* πρᾶξιϲ θ' P | τόνου P, περὶ τόνου NC, τόνων V | πράξει VC, τάξει NP

γὰρ ὅτι ἡ Φθάντος γενικὴ βαρύνεται ἤγουν παροξύνεται — δεῖ εἰδέναι ὅτι πᾶσα λέξις ἢ μίαν ὀξεῖαν δέχεται ἢ μίαν περισπωμένην· οἱ γὰρ κύριοι τόνοι τῶν λέξεων δύο εἰσίν, ἥ τε ὀξεῖα καὶ ἡ περισπωμένη· ἡ γὰρ βαρεῖα οὐκ ἔστι λέξεως τόνος, ἀλλὰ συλλαβῆς. Καὶ δεῖ γινώσκειν ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως, φημὶ δὴ τὴν ὀξεῖαν ἢ τὴν περισπωμένην, βαρεῖαν δέχεται, οἷον Ὅμὴρὸς δὴμὸς φίλὸς. Ἐὰν δὲ εὑρεθῇ παροξύτονος ἡ λέξις ἢ προπαροξύτονος ἢ προπερισπωμένη, ἡ τελευταία συλλαβὴ τῆς λέξεως ἐκείνης βαρεῖαν δέχεται, καὶ αἱ ἄλλαι συλλαβαὶ ὁμοίως αἱ μὴ ἔχουσαι τὸν κύριον τόνον τῆς λέξεως, οἷον φίλὸς ἄνθρὼπὸς δὴμὸς· καὶ ἐπειδὴ ἀπὸ τοῦ τέλους κανονίζομεν τοὺς τόνους — ὀξύτονον γὰρ λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον καλός, καὶ παροξύτονον τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν οἷον φίλος, καὶ προπαροξύτονον τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν, οἷον ἄνθρωπος, καὶ πάλιν περισπώμενόν φαμεν τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην, οἷον Ἑρμῆς, προπερισπώμενον δὲ τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον μῆλον — τούτου χάριν τὰ παροξύτονα καὶ προπαροξύτονα καὶ προπερισπώμενα καλοῦμεν βαρύτονα τῷ κοινῷ ὀνόματι, ὡς ἔχοντα τὴν βαρεῖαν ἐν τῇ τελευταίᾳ συλλαβῇ, οἷον φίλὸς ἄνθρὼπὸς μῆλὸν· ἐὰν δὲ εὑρεθῇ ὀξύτονος ἡ λέξις ἢ περισπωμένη, τουτέστιν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχουσα τὴν ὀξεῖαν ἢ τὴν περισπωμένην, οὐ δύναται ἡ τοιαύτη λέξις καλεῖσθαι βαρύτονος, οἷον σοφός Ἑρμῆς, ἐπειδὴ οὐκ ἔστιν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἡ βαρεῖα. Τούτου χάριν τὸ μὲν Αἴὰς ἐπειδή ἐστι παροξύτονον, καλεῖται βαρύτονον, καὶ τὸ δῆμὸς ἐπειδή ἐστι προπερισπώμενον καλεῖται βαρύτονον, ὡς ἔχοντα ἐν τῇ τε-
18g λευταίᾳ συλλαβῇ τὴν βαρεῖαν τάσιν· τὸ δὲ Ἀχιλλεύς καὶ τὸ καλός καὶ τὸ σοφός καὶ τὸ ταχύς, ἐπειδὴ ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχουσι τὴν ὀξεῖαν, οὐ δύνανται καλεῖσθαι βαρύτονα, οὐδὲ γὰρ ἔχουσιν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὴν βαρεῖαν· ἔχομεν γὰρ κανόνα, ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως βαρεῖαν δέχεται καὶ ὅτι ἀπὸ τοῦ τέλους κανονίζομεν τοὺς τόνους.

Ἰστέον δὲ ὅτι καὶ τὰ περισπώμενα δύνανται δυνάμει καλεῖσθαι βαρύτονα· εἰ γὰρ βαρύτονον λέγεται τὸ ἐπὶ τέλους ἔχον τὴν βαρεῖαν, οἷον φίλὸς ἄνθρὼπὸς δὴμὸς, τὰ δὲ περισπώμενα ἐν τῷ τέλει ἔχουσι τὴν βαρεῖαν, οἷον Ἑρμῆς Ἡρακλῆς — ἡ γὰρ περισπωμένη ἐξ ὀξείας καὶ βαρείας σύγκειται, ἡ δὲ βαρεῖα τελευταία ἐστίν — δηλονότι δύνανται τὰ περισπώμενα δυνάμει καλεῖσθαι βαρύτονα. Δεῖ δὲ γινώσκειν ὅτι φασί τινες, εἰ καὶ λέγομεν ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης

[Discr. scr. ex NCVP] **1** δεῖ — **118, 15** (τούτοις)] *pro his haec praebet* V: δεῖ γινώσκειν ὅτι *v. 32 — p. 118, 2* (βαρείας). βαρεῖαν γὰρ δέχεται *v. 6–31. v. 32 — p. 118, 15.* P *autem tantummodo v. 32 — p. 118, 15 praebet* ‖ **7** δὲ *om* NC ‖ **8** τελευταῖα N ‖ **24** Αἴας V, ἄλας NC ‖ **26** ἀχιλεὺς N ‖ **31** τοῦ *om* NC ‖ **32** *in marg.* πρᾶξις ια NC | καὶ *om* NC | δυνάμει *om* NC ‖ **38** εἰ *om* N | τῆς μὴ ἐχούσης V

τὸν κύριον τόνον τῆς λέξεως βαρεῖαν δέχεται, ἀλλ' οὖν οὐ δεῖ τιθέναι τὸν τύπον τῆς βαρείας, ἵνα μὴ τὰ βιβλία καταχαράττωνται. Κακῶς δὲ λέγουσι· τούτῳ γὰρ τῷ λόγῳ ἐὰν εὕρωμεν βιβλίον πάνυ ἐσφαλμένον οὐκ ὀφείλομεν διορθώσασθαι αὐτό, ἵνα μὴ καταχαράξωμεν αὐτό. Κρεῖττον οὖν ἐστιν εἰπεῖν, ὅτι ὥσπερ ἐπάνω τοῦ η̄ καὶ τοῦ ω̄ οὐ τίθεμεν τὸν τύπον τῆς μακρᾶς, ἐπειδὴ ὡμολόγηται ὅτι μακρά εἰσι ταῦτα, καὶ ὥσπερ ἐπάνω τοῦ ε̄ καὶ τοῦ ο̄ οὐ τίθεμεν τὸν τύπον τῆς βραχείας, ἐπειδὴ ὡμολόγηται ὅτι βραχέα εἰσὶ ταῦτα, ἐπάνω δὲ τῶν διχρόνων, φημὶ δὴ τοῦ ᾱ καὶ τοῦ ῑ καὶ τοῦ ῡ, τίθεμεν πῆ μὲν τὸν τύπον τῆς μακρᾶς πῆ δὲ τὸν τύπον τῆς βραχείας, ἐπειδὴ ἀμφιβάλλονται ταῦτα καὶ πῆ μὲν ἐκτείνονται πῆ δὲ συστέλλονται, τὸν αὐτὸν τρόπον καὶ ἐπάνω τῆς συλλαβῆς τῆς μὴ ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως οὐ δεῖ προσθεῖναι τὸν τύπον τῆς βαρείας, ἐπειδὴ ὡμολόγηται, ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως βαρεῖαν δέχεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ κανόνων εἰσαγωγικῶν μέλλομεν ἄρχεσθαι, ἐν ἐπιτομῇ δὲ τούτους παραδίδωσιν ἡμῖν ὁ Θεοδόσιος, μάθωμεν τί ἐστι κανών, καὶ τί ἐστιν εἰσαγωγή, καὶ τί ἐστιν ἐπιτομή. Κανὼν τοίνυν ἐστὶ λόγος ἔν- 19 g τεχνος ἀπευθύνων ὁμοιότητι πρὸς τὸ καθόλου τὸ διεστραμμένον τῶν λέξεων, τουτέστι λόγος μετὰ τέχνης διὰ τῶν ὁμοίων ἐπ' εὐθείας ἄγων ἢ ἐλέγχων πρὸς τὰ πλείονα τὸ διεστραμμένον καὶ ἡμαρτημένον τῶν λέξεων· τὰ γὰρ πλείονα τῶν ἐλαττόνων κανόνες. Εἰσαγωγὴ δέ ἐστιν ὁδήγησις τῶν λόγων ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζονα. Ἐπιτομὴ δέ ἐστι σύντομος τῶν κεφαλαίων παράδοσις ἢ διήγησις. Ταῦτα ἔχομεν εἰπεῖν ὡς ἐν προλεγομένοις.



Σχόλια σὺν θεῷ εἰς τοὺς ὀνοματικοὺς κανόνας ἀπὸ φωνῆς Γεωργίου τοῦ Χοιροβοσκοῦ. 88 g

Ἀρχὴ σὺν θεῷ τῶν ἀρσενικῶν ὀνομάτων.

Κανὼν πρῶτος.

Ἑνικά. Ὁ Αἴας τοῦ Αἴαντος. Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῆς κλίσεως τῶν εἰς ᾱς̄ δισυλλάβων, τουτέστι τοῦ Αἴας καὶ τῶν ὁμοίων, λέγων οὕτως· τὰ εἰς ᾱς̄ καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ντ̄ κλίνονται, οἷον Θόας Θόαντος, Ὕας Ὕαντος, Αἴας Αἴαντος. Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν 89 g

---

[Discr. scr. ex NCVP] **2** κακῶς δὲ N, καλῶς δὲ C, ἀλλ' οὐ καλῶς V, οὗτοι δὲ οὐκ ἀκριβῶς P ‖ **8** *ante* ἐπάνω *parv. vac. spat. et in marg.* ση^{αι}. εἰ (*sic*) λείπει φύλλον ἢ λόγος ἐντεῦθεν N¹ | δὲ *om* NC ‖ **9** τιθέαμεν NCP ‖ **12** τῆς λέξεως — τόνον (**14**) *om* P ‖ **16** Ἐπειδὴ — προλ. (**25**) *om* VP; *cfr. p. 103, 5—6* ‖ **19** ὁμοιότητα NC ‖ **20** ἀπ' εὐθείας NC ‖ **21** τῶν διεστραμμένων καὶ ἡμαρτημένων NC ‖ **25** ὡς *om* N ‖ **26** σχόλαια NC ‖ **33** μακροκατ. *om* C, *hab.* NVP

περὶ τῶν εἰς ας πρῶτον διαλαμβάνει ὁ τεχνικός· καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο περὶ τῶν εἰς ας πρῶτον διαλαμβάνει, ἐπειδὴ τὸ α προτέτακται τῶν ἄλλων στοιχείων. Ταῦτα μὲν ἐν τούτοις. Ἔλθωμεν οὖν καὶ σαφηνίσωμεν τὸν κανόνα. «Εἰς ας» εἶπε διὰ τὰ ἔχοντα ἄλλο φωνῆεν, οἷον διὰ τὸ γόης· τοῦτο γὰρ καὶ καθαρόν ἐστι καὶ δισύλλαβον καὶ βαρύτονον καὶ περιττοσυλλάβως κλίνεται, γόητος γάρ, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ ἀλλὰ διὰ τοῦ τος, οἷον γόης γόητος, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν εἰς ας ἀλλ' εἰς ης. «Καθαρόν» δὲ πρόσκειται διὰ τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ α, οἷον διὰ τὸ Γέτας Γέτα καὶ Δέρδας Δέρδα· ταῦτα γὰρ σύμφωνον ἔχοντα πρὸ τοῦ α οὐ κλίνονται διὰ τοῦ ντ ἀλλ' ἰσοσυλλάβως, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ πάντα τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ α ἰσοσυλλάβως κλίνονται· ἰδοὺ γὰρ τὸ Κάλχας καὶ γίγας σύμφωνον ἔχοντα πρὸ τοῦ α περιττοσυλλάβως κλίνονται, ἤγουν διὰ τοῦ ντ, οἷον Κάλχαντος καὶ γίγαντος. Σκόπει δὲ ὅτι «καθαρόν» εἶπε, καὶ οὐ «καθαρά»· τοῦτο γὰρ βούλεται σημαίνειν τὰ εἰς ας καθαρόν, ἤγουν τὰ μὴ ἔχοντα πρὸ τοῦ α σύμφωνον. Ταῦτα μὲν ἐν τούτοις.

«Ὀνόματα» δὲ πρόσκειται οὐ πρὸς ἀντιδιαστολὴν ἑτέρου τινός ἀλλ' αὐτὸ τὸ ὄν· ὥσπερ μώνυχας ἵππους λέγομεν τοὺς μονώνυχας οὐ πρὸς ἀντιδιαστολήν, ὡς ἄλλων ἵππων μὴ ὄντων μονωνύχων, ἀλλ' αὐτὸ τὸ ὄν, καὶ πάλιν γάλα λευκὸν λέγομεν οὐχ ὡς ἄλλου γάλακτος μὴ ὄντος λευκοῦ, ἀλλ' αὐτὸ τὸ ὄν. Τινὲς δὲ λέγουσιν, ὅτι «ὀνόματα» πρόσκειται πρὸς ἀντιδιαστολὴν τοῦ εἴας ῥήματος τοῦ σημαίνοντος τὸ συνεχώρεις· τοῦτο γὰρ καὶ εἰς ας ἐστὶ καθαρὸν καὶ δισύλλαβον καὶ βαρύτονον, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ· ἀλλ' οὐκ ἔστιν ὄνομα ἀλλὰ ῥῆμα. Οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· πρῶτον μὲν γὰρ περὶ τῶν εἰς ας εὐθειῶν ἐστιν ὁ λόγος τῷ τεχνικῷ, τοῦτο δὲ ἄπτωτόν ἐστιν· τὰ γὰρ ῥήματα 90g πτώσεις οὐκ ἐπιδέχονται· δεύτερον δὲ οὔτε ἔστι τοῦτο φύσει εἰς ας οὔτε δὲ φύσει δισύλλαβον, ἀπὸ γὰρ τοῦ εἴαες ἐγένετο εἴας κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α μακρόν [εἴαες γὰρ καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρὸν εἴας]. Ἄλλοι δὲ λέγουσιν ὅτι «ὀνόματα» πρόσκειται πρὸς ἀντιδιαστολὴν τῆς χεύας μετοχῆς· οὐδ' οὗτοι λέγουσι καλῶς· πρῶτον μὲν τοῦτο οὐκ ἔστι φύσει καθαρόν, χεύσας γὰρ ἦν ὥσπερ πλεύσας καὶ κατὰ ἀποβολὴν τοῦ σ γέγονε χεύας· δεύτερον δέ, ὅτι καὶ αὐτὸ διὰ τοῦ ντ κλίνεται ὁμοίως τοῖς προκειμένοις ὀνόμασι διὰ τοῦ ντ κλινομένοις, οἷον χεύας χεύαντος, διατί εἶχε προσθεῖναι πρὸς ἀντιδιαστολὴν τούτου, ὅτι καὶ αὐτὸ ὁμοίως τοῖς προκειμένοις ὀνόμασι διὰ τοῦ ντ κλίνεται; τὰ γὰρ ἀντιδιαστελλόμενα οὐχ ὅμοια· ὥστε οὖν, ὡς εἴρηται, «ὀνόματα» πρόσκειται οὐ πρὸς ἀντιδιαστολὴν ἑτέρου τινός, ἀλλ' αὐτὸ τὸ ὄν. «Δισύλλαβα» δὲ πρόσκειται διὰ τὰ ὑπὲρ δύο συλλαβάς, οἷον διὰ τὸ κοχλίας

[Disch. scr. ex NCVP] **1** ὁ τεχν. — διαλαμβάνει (**2**) *om* N ‖ **6** γόητος — κλίνεται *om* N ‖ **9** δέρας δέρα NC ‖ **12** σύμφωνον P, σύμφωνα NC, σύμφων (*sic*) V ‖ **25** γὰρ *om* NC ‖ **26** δὲ V, γὰρ NCP ‖ **29** εἴαες γὰρ — εἴας (**30**) *om* V, *post* δισύλλαβον (*v. 28*) *pro verbis* ἀπὸ — α μακρὸν (**29**) *habet* P

κοχλίου, Αἰνείας Αἰνείου· ταῦτα γὰρ εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, ἀλλ' οὐκ εἰσὶ δισύλλαβα ἀλλ' ὑπὲρ δύο συλλαβάς. Βαρύτονα δὲ λέγονται πάντα τὰ παροξύτονα καὶ προπαροξύτονα καὶ προπερισπώμενα διὰ τὸ ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ βαρεῖαν, οἷον φίλὸς ἄνθρωπὸς δῆμὸς· ἔχομεν γὰρ ἀνωτέρω, ὅτι οἱ κύριοι τόνοι τῆς λέξεως δύο εἰσίν, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη, καὶ ὅτι πᾶσα λέξις ἢ μίαν ὀξεῖαν δέχεται ἢ μίαν περισπωμένην — ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστίν — καὶ ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως βαρεῖαν δέχεται· εἰκότως οὖν τὸ Αἴας ἔχον εἰς τὸ αι τὴν ὀξεῖαν καλεῖται παροξύτονον, ἔχον δὲ εἰς τὸ ας τὴν βαρεῖαν, τουτέστιν εἰς τὸ τέλος, καλεῖται βαρύτονον· ὁ δὲ λόγος περὶ τῶν ὁμοίων. «Βαρύτονα» δὲ πρόσκειται οὐ πρὸς ἀντιδιαστολὴν τοῦ τριάς καὶ Ἰάς, ὥς τινες λέγουσιν· περὶ γὰρ τῶν εἰς ας ἀρσενικῶν ἐστιν ὁ λόγος τῷ τεχνικῷ, ταῦτα δὲ θηλυκά εἰσιν· καὶ πάλιν περὶ τῶν εἰς ας τῶν ἐχόντων τὸ ᾱ ἐκτεταμένον βούλεται διαλαμβάνειν, ταῦτα δὲ συνεσταλμένον ἔχουσι τὸ ᾰ· ἐπειδὴ ἐάν τις λέγῃ, ὅτι «βαρύτονα» πρόσκειται ἐν τῷ κανόνι πρὸς ἀντιδιαστολὴν τούτων [τὸ γὰρ Ἰάς καὶ τριάς συνεσταλμένον 91 B ἔχουσι τὸ ᾰ], λέγομεν, ἰδοὺ τὸ κρέας καὶ εἰς ας ἐστὶ καθαρὸν καὶ δισύλλαβον καὶ βαρύτονον καὶ περιττοσυλλάβως κλίνεται, κρέατος γάρ, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ· ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλ' οὐδέτερον, καὶ δηλονότι οὐκ ἀντίκειται τῷ κανόνι· ὁ γὰρ κανὼν περὶ τῶν εἰς ας ἀρσενικῶν, ὡς εἴρηται, διαλαμβάνει καὶ περὶ τῶν ἐχόντων τὸ ᾱ ἐκτεταμένον, τὸ δὲ Ἰάς καὶ τριάς καὶ τὸ κρέας οὔτε ἀρσενικά εἰσιν οὔτε ἔχουσι τὸ ᾱ ἐκτεταμένον, ἀλλὰ συνεσταλμένον. Δεῖ ⟨δὲ⟩ γινώσκειν ὅτι νῦν μοναστήριον ἔστιν παρὰ τοῖς Ἀλεξανδρεῦσι καὶ λέγεται τοῦ Παία, ὡς ἀπὸ τοῦ Παίας· καὶ ἰδοὺ πάντα ἔχει τὰ τοῦ κανόνος, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ· ἀλλ' οὐκ ἔστιν ἐν τῇ χρήσει τῶν Ἑλλήνων. Ταῦτα μὲν ἐν τούτοις.

Εἰσὶ δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Θόας Θόαντος, Δρύας Δρύαντος, Ὕας Ὕαντος· Ὕαντες δὲ λέγονται οἱ κατοικοῦντες τὴν Βοιωτίαν. Σεσημείωται τὸ Λάας· τοῦτο γὰρ ὅτε μέν ἐστι κύριον ἀντίκειται τῷ κανόνι· εἰς ας γάρ ἐστιν ὄνομα δισύλλαβον καθαρὸν βαρύτονον μακρὸν ἔχον τὸ ᾱ, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ ἀλλ' ἰσοσυλλάβως· κατὰ ἀποβολὴν γὰρ τοῦ ς ποιεῖ τὴν γενικήν, οἷον ὁ Λάας τοῦ Λάα· «Λάα περὶ λίθων γλυφῆς·» οὗτος γὰρ λιθογλύφος ἦν· ὅτε δὲ προσηγορικόν ἐστι καὶ σημαίνει τὸν λίθον, οὐκ ἀντίκειται τῷ κανόνι· συνεσταλμένον γὰρ ἔχει τὸ ᾰ, οἷον ⟨Δ 521⟩ λᾶας ἀναιδής, καὶ λοιπὸν ὡς συστέλλον τὸ ᾰ οὐκ ἠκολούθησε τῷ κανόνι τούτῳ· ὁ γὰρ κανὼν περὶ τῶν ἐχόντων τὸ ᾱ ἐκτεταμένον διαλαμβάνει· κλίνεται δὲ τοῦτο τὸ λᾶας διὰ καθαροῦ τοῦ ος, οἷον λᾶας λάαος καὶ κατὰ κρᾶσιν

[Discr. scr. ex NCVP] **5** ἀνωτέρω] *cfr. p. 117, 2* ‖ **7** συλλαβικῶς NC ‖ **17** τὸ γὰρ — τὸ ᾰ (**18**) *habent* NC, *om* VP ‖ **18** ἰδοὺ P, ὅτι V, ὅτι ἰδοὺ NC ‖ **23** εἰσιν VP, ἔχουσιν NC ‖ **24** δὲ *om* NCVP ‖ **26** ὅμως V, *om* NCP ‖ **36** ἐστι *om* NCP ‖ **37** λάας NC; *item bis v. 40*

τῶν δύο ᾱᾱ εἰς ἓν ᾱ δηλονότι μακρὸν τοῦ λᾶος, οἷον ⟨Μ 462⟩ λᾶος ὑπὸ ῥιπῆς. Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὸ Λάας τὸ κύριον πάντα ἔχον τὰ τοῦ κανόνος οὐ κλίνεται διὰ τοῦ ν̅τ̅ ἀλλ' ἰσοσυλλάβως, οἷον ὁ Λάας τοῦ Λάα. Καὶ λέγουσί τινες, ὅτι ἀπὸ τοῦ Λᾶς τοῦ μονοσυλλάβου γέγονε κατὰ πλεονασμὸν τοῦ ᾱ Λάας καὶ λοιπὸν τὴν
92g αὐτὴν ἐφύλαξε κλίσιν, φημὶ δὴ τὴν ἰσοσύλλαβον· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· τοὐναντίον γὰρ τὸ Λᾶς τὸ μονοσύλλαβον ἀπὸ τοῦ Λάας τοῦ δισυλλάβου γέγονε κατὰ κρᾶσιν τῶν δύο ᾱᾱ εἰς ἓν ᾱ μακρόν, ὡς ἐν τοῖς προλεγομένοις μεμαθήκαμεν. Κρεῖττον οὖν ἐστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· ἡ γενικὴ Λάαος τρισυλλάβως· αὕτη ἡ τρισύλλαβος γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ Λάαος, ὥσπερ ὁ Καππάδοξ τοῦ Καππάδοκος καὶ ὁ Καππάδοκος, ὁ διάκων τοῦ διάκονος καὶ ὁ διάκονος, ὁ Τρώς τοῦ Τρωός καὶ ὁ Τρωός, ὁ δμώς τοῦ δμωός καὶ ὁ δμωός, ὥσπερ παρ' Ἡσιόδῳ ⟨Opp. 470⟩ δμωὸς ἔχων μακέλην, ἀντὶ τοῦ δοῦλος, καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ ᾱ καὶ ο̅ εἰς ᾱ μακρὸν γίνεται Λάας, ὥσπερ Πτερέλαος Πτερέλας καὶ Μενέλαος Μενέλας, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ ⟨486⟩ τοῦ στρατηλάτα Μενέλα· καὶ ἐπεὶ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ συνῃρημένα τῶν ἐντελῶν φυλάττουσι τὴν κλίσιν, οἷον Ἑρμέας Ἑρμέου Ἑρμῆς Ἑρμοῦ, χρύσεος χρυσέου χρυσοῦς χρυσοῦ, τιμήεις τιμήεντος τιμῆς τιμῆντος, Σιμόεις Σιμόεντος Σιμοῦς Σιμοῦντος, τούτου χάριν τὸ Λάας τὸ κύριον ἰσοσυλλάβως κλίνεται, οἷον ὁ Λάας τοῦ Λάα, ἐπειδὴ καὶ τὸ ἐντελὲς αὐτοῦ ἰσοσυλλάβως κλίνεται, οἷον ὁ Λάαος τοῦ Λαάου. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα οὖν τὸ ἐντελὲς αὐτοῦ εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχει τὴν γενικήν, οἷον ὁ Λάαος τοῦ Λαάου, διατί μὴ καὶ αὐτὸ τὸ συνῃρημένον εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχει τὴν γενικὴν ἀλλ' εἰς ᾱ, οἷον ὁ Λάας τοῦ Λάα. Ἔστιν οὖν εἰπεῖν, ὅτι πρῶτον μὲν εἰ καὶ τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν, ἀλλ' οὐ πάντως τὴν αὐτὴν φυλάττουσι κατάληξιν, οἷον ὁ ζωός τοῦ ζωοῦ καὶ ὁ ζώς τοῦ ζῶ καὶ πάλιν ὁ σῶος τοῦ σώου καὶ ὁ σῶς τοῦ σῶ· ἰδοὺ ταῦτα τὴν αὐτὴν κλίσιν ἐφύλαξαν, φημὶ δὴ τὴν ἰσοσύλλαβον, ὥσπερ γὰρ τὰ ἐντελῆ αὐτῶν ἰσοσυλλάβως κλίνονται, οὕτω καὶ τὰ συν-
93g ῃρημένα, οὐ τὴν αὐτὴν δὲ κατάληξιν ἐφύλαξαν· τὸν αὐτὸν τρόπον καὶ τὸ ὁ Λάαος τοῦ Λαάου καὶ ὁ Λάας τοῦ Λάα εἰ καὶ μὴ τὴν αὐτὴν κατάληξιν ἐφύλαξεν ἀλλ' οὖν τὴν αὐτὴν κλίσιν ἐφύλαξεν, φημὶ δὴ τὴν ἰσοσύλλαβον. Δεύτερον δὲ Δωρικόν ἐστι τὸ Λάας, ὡς ἐμάθομεν, Δωρικὴν γάρ, ὡς εἴρηται, κρᾶσιν πέπονθε· Δωρικὸν δὲ ὂν πῶς ἠδύνατο εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχειν τὴν γενικήν; οἱ γὰρ Δωριεῖς καὶ ἐπὶ τῶν

[Discr. scr. ex NCVP] **1** λᾶος ὑπαὶ ῥιπῆσιν V ‖ **8** ἐν τοῖς προλεγ.] *cfr. p. 115, 27* ‖ **13** Τρωός *et* δμωός *nominativos* (*quorum prior secundum Herodiani doctrinam* Τρῷός *erat scribendus*) *properispomena praeb.* NC. *cfr. Herod. I 112, 2** | ὁ δμῶς N ‖ **14** δμωὸς VP, δμῶος NC *et edd. Hesiod.* ‖ **16** Πτερ. Πτερ. VP, περέλαος περέλας NC ‖ **18** ὅτι V, *om* NCP ‖ **22** αὐτοῦ VP, αὐτὸ NC ‖ **25** τὸ *ante* συνῃρ. *om* N ‖ **29** ζώς] ζῶς N ‖ καὶ *post* σώου *om* N

ἐχόντων εἰc τὴν ου δίφθογγον τὴν γενικὴν εἰc ᾱ ποιοῦcιν αὐτήν, οἷον ὁ κοχλίας τοῦ κοχλίου καὶ τοῦ κοχλία δωρικῶc, ὁ Παπίας τοῦ Παπίου καὶ τοῦ Παπία δωρικῶc, ὁ Αἰνείας τοῦ Αἰνείου καὶ τοῦ Αἰνεία δωρικῶc. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώcκειν ὅτι καθόλου τὰ εἰc ᾱc ὀνόματα βαρύτονα ἀρcενικὰ μακρὸν ἔχουcι τὸ ᾱ, οἷον Θόας Δρύας Αἴας Κάλχας γίγας κοχλίας Αἰνείας Ἑρμείας Παπίας· πρόcκειται «βαρύτονα» διὰ τὸ Ἀρκάς καὶ φυγάς· ταῦτα γὰρ cυνεcταλμένον ἔχουcι τὸ ᾰ, ἀλλ᾽ οὐκ εἰcὶ βαρύτονα ἀλλ᾽ ὀξύτονα· πρόcκειται «ἀρcενικά» διὰ τὸ κρέας· τοῦτο γὰρ βαρύτονον ὂν cυνεcταλμένον ἔχει τὸ ᾰ, ἀλλ᾽ οὐκ ἔcτιν ἀρcενικὸν ἀλλ᾽ οὐδέτερον. Δεῖ προcθεῖναι «χωρὶc τοῦ λᾶας τοῦ προcηγορικοῦ», ὅπερ cημαίνει τὸν λίθον, «καὶ τοῦ μέγας τοῦ ἐπιθέτου»· ταῦτα γὰρ cυνεcταλμένον ἔχουcι τὸ ᾰ· τὰ γὰρ κύρια, φημὶ δὴ τὸ Λάας τὸ κύριον καὶ τὸ Μέγας τὸ κύριον, καὶ ἐκτεταμένον ἔχουcι τὸ ᾱ καὶ ἀποβολῇ τοῦ c ποιοῦcι τὴν γενικήν, οἷον ὁ Λάας τοῦ Λάα καὶ ὁ Μέγας τοῦ Μέγα· τὸ δὲ λᾶας τὸ προcηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον καὶ cυνεcταλμένον ἔχουcι τὸ ᾰ καὶ διὰ καθαροῦ τοῦ οc κλίνονται, οἷον ὁ λᾶας τοῦ λάαος καὶ κατὰ κρᾶcιν τῶν δύο ᾰᾰ εἰc ἓν μακρὸν τοῦ λᾶος, ⟨M 462⟩ λᾶος ὑπὸ ῥιπῆς· καὶ πάλιν ὁ μέγας τοῦ μέγαος, ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐcτιν ὡc ἀπὸ τῆc μεγάλος εὐθείας, ἐξ ἧc καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μεγάλοι. Ταῦτα μὲν ἐν τούτοις.

Καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ λᾶας τὸ προcηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον cυνεcταλμένον ἔχουcι τὸ ᾰ. Καὶ περὶ μὲν τοῦ λᾶας τοῦ προcηγορικοῦ ἔcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰc ᾱc 94 g
καθαρὸν ὀνόματα διcύλλαβα ἀρcενικὰ οὐδέποτέ εἰcι προcηγορικά, ἀλλ᾽ ἢ κύρια, ὡc τὸ Δρύας Θόας Αἴας, ἢ ἐθνικά, ὡc τὸ Ὕας Ὕαντος (Ὕαντες δὲ λέγονται οἱ κατοικοῦντες τὴν Βοιωτίαν), ἢ ἐπίθετα, ὡc τὸ Εὔας Εὔαντος (τὸ δὲ Εὔας ἐπίθετόν ἐcτι τοῦ Διονύcου)· ἐπεὶ οὖν τὸ λᾶας προcηγορικόν ἐcτι, τὸν γὰρ λίθον cημαίνει, εἰκότως ὡc διαλλάξαν περὶ τὸ cημαινόμενον διήλλαξε καὶ περὶ τὸν χρόνον. Πρόcκειται ἐν τῷ κανόνι «καθαρόν» διὰ τὸ γίγας· τοῦτο γὰρ προcηγορικόν ἐcτιν, ἀλλ᾽ οὐκ ἔcτι καθαρόν· πρόcκειται «διcύλλαβα» διὰ τὸ κοχλίας· καὶ τοῦτο γὰρ προcηγορικόν ἐcτιν, ἀλλ᾽ οὐκ ἔcτι διcύλλαβον· πρόcκειται «ἀρcενικά» διὰ τὸ κρέας· καὶ τοῦτο γὰρ προcηγορικόν ἐcτιν, ἀλλ᾽ οὐκ ἔcτιν ἀρcενικὸν ἀλλ᾽ οὐδέτερον. Περὶ δὲ τοῦ μέγας τοῦ ἐπιθέτου ἔcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· δεῖ γινώcκειν, ὅτι διὰ τοῦτο τὸ μέγας τὸ ἐπίθετον cυνεcταλμένον ἔχει τὸ ᾰ, ἐπειδὴ ἀποβολῇ τοῦ c ποιεῖ τὸ οὐδέτερον, οἷον τὸ μέγα· καὶ καθόλου δὲ τὰ εἰc c λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ c τὸ οὐδέτερον ποιοῦντα cυνεcταλμένον ἔχουcι τὸ δίχρονον, οἷον

[Disck. scr. ex NCVP] **5** δὲ V, *om* NCP | ὀνόματα V, *om* NCP ‖ **11** λᾶας] λάας NC; *item v. 16. 17. 22. 24. 29. p. 123, 4* ‖ **12** μέγας VP, μέγα NC ‖ **16** τὸ *ante* ἐπίθ. *om* NC ‖ **19** ὑπαὶ V; *cfr. p. 121, 1* ‖ **27** ἐπίθετα VP, ἐπίθετον NC ‖ **29** τὸν VP, τὸ NC | διαλλάξαν P, παραλλάξαν V, διήλλαξε NC ‖ **33** ἀρcενικά VP, ἀρcενικὸν NC

ὁ ὀξύς τὸ ὀξύ, ὁ ταχύς τὸ ταχύ, ὁ βραδύς τὸ βραδύ, ὁ φυγόπολις τὸ φυγόπολι, ὁ λιπόπατρις τὸ λιπόπατρι, ὁ ἄχαρις τὸ ἄχαρι, ὁ τίς τὸ τί· οὕτως οὖν καὶ ὁ μέγας τὸ μέγα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οὐ μόνον τὸ λᾶας τὸ προσηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον σημειούμεθα ἔχειν τὸ ᾱ συνεσταλμένον, ἀλλὰ καὶ τὸ Αἶας τὸ παρ' Ἀλκμᾶνι ἔχομεν σεσημειωμένον ὡς συστέλλον τὸ ᾱ· ἐκεῖνος γὰρ συνέστειλεν αὐτὸ εἰπὼν ⟨fragm. 68 B[4]⟩ δουρὶ δὲ ξυστῷ μέμηνεν Αἶας αἱματᾷ τε Μέμνων· ἔστι δὲ τροχαϊκὸν τὸ μέτρον καὶ μετρεῖται οὕτως· δουρὶ | δὲ ξυσ|τῷ μέ|μηνεν | Αἶας | αἱμα|τᾷ τε | Μέμνων· ἐν τῇ πέμπτῃ γὰρ χώρᾳ κεῖται, ἐν ᾗ οὐ τίθεται σπονδεῖος ἐν τροχαϊκῷ μέτρῳ. Εἰσὶ δὲ καὶ ἄλλα τινὰ Δωρικὰ συστέλλοντα τὸ ᾱ, ὡς παρ' Ἡσιόδῳ ⟨Theog. 521⟩ δῆσας ἀλυκτοπέδῃσι Προμηθέα, καὶ παρὰ 95g τῷ Ῥιανῷ λίθος μέγας. Ταῦτα μὲν ἔχομεν εἰπεῖν ἐν τῇ παρούσῃ πράξει.

Χρὴ δὲ γινώσκειν, ὅτι τὸ Κλεύας καὶ Κέας ἰσοσυλλάβως κλινόμενα οὐκ ἀντίκεινται τῷ κανόνι τοῦ τεχνικοῦ· λέγομεν γὰρ ὅτι οὐκ εἰσὶ φύσει εἰς ᾱς· εἰς η̅ς γὰρ ἦσαν, Κλεύης γὰρ καὶ Κέης εἰσίν, καὶ κατὰ τροπὴν Δωρικὴν τοῦ η̅ εἰς ᾱ μακρὸν ἐγένετο Κλεύας καὶ Κέας, καὶ ἐφύλαξε τὴν ἰσοσύλλαβον κλίσιν. Ὅτι γὰρ ταῦτα ἰσοσυλλάβως κλίνονται δηλοῦσι τὰ πατρωνυμικὰ αὐτῶν, Κλευάδης καὶ Κεάδης ὄντα, ὥσπερ Αἰνειάδης· εἰ γὰρ ἐκλίνοντο διὰ τοῦ ν̅τ̅, ἤμελλον εἶναι τὰ πατρωνυμικὰ αὐτῶν Κλευαντίδης καὶ Κεαντίδης, ὥσπερ Θοαντίδης. Ἔτι δεῖ παραφυλάξασθαί τινα παρὰ τοῖς ποιηταῖς πάντα ἔχοντα τοῦ κανόνος καὶ ἰσοσυλλάβως κλιθέντα, οἷον ὁ Βίας τοῦ Βία, ὁ Δρύας τοῦ Δρύα, ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ ⟨fragm. 139 K.⟩ ἣ δὲ Θόαν τέκεν υἱόν, ὁ Αἴας τοῦ Αἴα, ὡς παρὰ Ἀλκαίῳ, Αἴαν τὸν ἄριστον· ταῦτα πάντα κατὰ ποιητικὴν ἄδειαν διὰ τὴν ἀνάγκην τοῦ μέτρου ἰσοσυλλάβως ἐκλίθησαν· ὅθεν μέμφομαι τοὺς πεζολόγους, ὅσοι τὰ τοιαῦτα ἰσοσυλλάβως ἔκλιναν· διὰ τοῦτο γὰρ ἁμαρτάνουσιν οἱ πεζολόγοι· ἐκεῖνοι γὰρ μὴ δουλεύοντες μέτρῳ οὐκ εἶχον ἀνάγκην ἰσοσυλλάβως κλῖναι αὐτά. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, διὰ ποίαν αἰτίαν τὴν Θόαν καὶ τὴν

[Discr. scr. ex NCVP] **5** αἴας NC ‖ **6** ἀλκμάνι N ‖ **8** αἱματᾷ τε Μέμνων] αἱματά τε μέμνων NCVP, αἰχματάς τε Μέμνων *ASchaeferus* | ἔστι δὲ — Μέμνων (**9**) *om* VP ‖ **9** αἵμα|τά τε | μέμνων NC ‖ **11** ὡς V, *om* NCP ‖ **12** δῆσας] δήσας NCVP; *in edd. Hesiod.* δῆσε δ' | καὶ παρὰ — μέγας (**13**) *om* V ‖ **13** Ῥιανῷ] ῥιάνω N, ἀρϊάνω C, ριάνω P; *corr. IBekkerus AG III 1463 (in indice, non in contextu p. 1182)* | μέγας NCP, μέλας *Bekkerus, cum de* μέγας *epitheto* ᾱ *corripiente iam dictum sit supra p. 122, 16; cfr. Meinekii Anall. Alex. p. 203* ‖ **15** δὲ VP, *om* NC | κέας P, καίας NCV; *item v. 18. p. 123, 15 et 16*; κέας *etiam EM 498, 31 et 210, 15 et Choer. 30, 29* g ‖ **17** κέης P, καίης NCV ‖ **20** *ante* Κλευάδης *add* τὸ NC | κεάδης P, καιάδης CV, καάδης N ‖ **21** κλευαντίδης καὶ καιαντίδης ὥσπερ θοαντίδης V, κλευαντείδης καὶ καιαντείδης ὥσπερ θοαντείδης NC, κλευαντιάδης καὶ κεαντιάδης ὥσπερ θοαντιάδης P ‖ **26** αἶαν N ‖ **27** ἐκλίθη NC

Αἴαν αἰτιατικὴν μὴ λέγομεν ἀπὸ τῶν Θόαντα καὶ Αἴαντα αἰτιατικῶν γεγενῆcθαι κατὰ ἀποκοπὴν τῆς τα cυλλαβῆς, καὶ μὴ ἀπὸ ἰcocυλλάβου κλίcεως. Καὶ ἔcτιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ διὰ τοῦ ντ κλινομένη πάcχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν, οἷον Ξενοφῶν Ξενοφῶντος Ξενοφῶντα, Κτηcιφῶν Κτηcιφῶντος Κτηcιφῶντα· ἀμέλει τὸ Ποcειδῶν Ποcειδῶνος μὴ κλινόμενον διὰ τοῦ ντ πάcχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν, οἷον τὸν Ποcειδῶνα τὸν Ποcειδῶ, 〈Aristoph. Nub. 83〉 νὴ τὸν Ποcειδῶ τουτονὶ τὸν ἵππιον· ὥcτε οὖν ἀπὸ ἰcocυλλάβου κλίcεως ταῦτα.

Τούτων οὕτως ἐχόντων δεῖ προcθεῖναί τινα ἐν τῷ κανόνι τοῦ τε- 96g χνικοῦ καὶ εἰπεῖν οὕτως· τὰ εἰς ᾱς καθαρὸν ὀνόματα διcύλλαβα βαρύτονα 〈μακροκατάληκτα〉 μὴ ἀπὸ Δωρίδος διαλέκτου μηδὲ κατὰ ποιητικὴν ὄντα ἄδειαν διὰ τοῦ ντ κλίνονται· οὕτω γὰρ λεγόντων ἡμῶν οὐδὲν εὑρίcκεται ἀντικείμενον τῷ κανόνι τοῦ τεχνικοῦ· διὰ μὲν γὰρ τοῦ εἰπεῖν «μὴ ἀπὸ Δωρίδος διαλέκτου» ἀντιδιαcτέλλομεν τὸ Κλεύας καὶ τὸ Κέας καὶ τὸ Λάας τὸ κύριον· τὸ μὲν γὰρ Κλεύας καὶ Κέας, ὡς εἴρηται, Δωρικὴν τροπὴν πεπόνθαcιν, τὸ δὲ Λάας τὸ κύριον Δωρικὴν κρᾶcιν· διὰ δὲ τοῦ εἰπεῖν «μὴ κατὰ ποιητικὴν ἄδειαν ὄντα» ἀντιδιαcτέλλομεν ὅcα οἱ ποιηταὶ διὰ τὴν ἀνάγκην τοῦ μέτρου ἰcocυλλάβως ἔκλιναν. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώcκειν ὅτι εἰπὼν ὁ τεχνικός «διὰ τοῦ ντ κλίνονται» ἐδήλωcεν, ὅτι καὶ διὰ τοῦ ος ἐκφέρονται· ὥcπερ γὰρ λαμβάνει ὁμολογούμενα τελικὰ τῆς εὐθείας τῶν ἑνικῶν πέντε εἶναι cτοιχεῖα, ν ξ ρ c ψ, οἷον Δίων Φοῖνιξ Νέcτωρ Πάρις Πέλοψ, οὕτω λαμβάνει ὁμολογούμενα τελικὰ τῆς μὲν περιττοcυλλάβου γενικῆς τὸ ος, οἷον Λάχης Λάχητος, τῆς δὲ ἰcocυλλάβου τὸ ῡ καὶ τὸ ᾱ, οἷον κοχλίας κοχλίου, Μηνᾶς Μηνᾶ. Καὶ ἀποροῦcί τινες λέγοντες, διατί τὸ Ὀρόντης Ὀρόντου διὰ τοῦ ντ κλινόμενον οὐκ ἐκφέρεται διὰ τοῦ ος κατὰ τὴν γενικὴν καὶ περιττοcυλλάβως κλίνεται. Καὶ ἔcτιν εἰπεῖν, ὅτι οὐ κλίνεται τοῦτο διὰ τοῦ ντ· ἀπὸ γὰρ τῆς εὐθείας ἔχει τὸ ν καὶ τὸ τ, ἐκεῖνα δὲ λέγονται κλίνεcθαι διὰ τοῦ ντ, ὅcα ἀπὸ κλίcεως ἔχουcι τὸ ντ, τουτέcτιν ἐν τῇ γενικῇ ἔcχον, οἷον Αἴας Αἴαντος. Ἄξιον δέ ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ Αἴας Αἴαντος λέγομεν καὶ μὴ Αἴας Αἰάντου. Καὶ ἔcτιν εἰπεῖν ὅτι, ὡς ἐμάθομεν, τὸ ῡ τελικόν ἐcτι κατὰ τὴν γενικὴν ἰcocυλλάβου κλίcεως, οἷον κοχλίας κοχλίου, Αἰνείας Αἰνείου· ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐcτιν ὡς ἀπὸ τῆς μεγάλος εὐθείας, ἐξ ἧς καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μεγάλοι· ἐὰν οὖν γένηται ἡ γενικὴ Αἴας Αἰάντου, μέλλει ἡ γενικὴ ἰcocυλλάβου κλίcεως ἔχειν τελικὸν περιττοcύλλαβος οὖcα, ὅπερ 97g ἐcτὶν ἄτοπον. [Ἐν οἷς cὺν θεῷ καὶ ἡ πρᾶξις.] Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCVP] **1** αἴαν P, αἶαν NCV ‖ **2** τῆς τα *om* N ‖ **10** δεῖ V, δέον NCP | προcθεῖναι τινὰ ἐν τῷ P, προcθεῖναι τῷ NCV ‖ **12** μακροκατάληκτα *om* NCVP; *cfr. p. 118, 33* | μηδὲ V, μὴ NCP ‖ **21** δὲ VP, *om* NC ‖ **26** οἷον *ante* κοχλ. *om* N ‖ **27** διατί V, πῶς P, διατί πῶς NC ‖ **33** Αἴας *post* μὴ *om* NC ‖ **39** Ἐν οἷς — πρᾶξις *om* VP

Πάλιν ἀποροῦсί τινεс λέγοντεс, διὰ ποίαν αἰτίαν Αἴαс Αἴαντοс λέγομεν καὶ μὴ Αἴαс Αἰάντεοс· καὶ ἔсτιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ περιττοсυλλαβεῖ δύο сυλλαβὰс τῆс ἰδίαс εὐθείαс ἀλλὰ μίαν, οἷον Λάχητοс Πάριδοс βότρυοс· ἐὰν οὖν γένηται Αἴαс Αἰάντεοс, μέλλει ἡ γενικὴ δύο сυλλαβὰс περιττεύειν τῆс ἰδίαс εὐθείαс, ὅπερ ἐсτὶν ἀδύνατον.

Πάλιν ἀποροῦсί τινεс λέγοντεс, εἰ ἄρα τὰ εἰс с̄ λήγοντα περιττοсυλλάβωс κλινόμενα ἢ διὰ τοῦ δ̄ ἢ διὰ τοῦ θ̄ ἢ διὰ τοῦ τ̄ ἢ διὰ καθαροῦ τοῦ ο̄с̄ κλίνονται, οἷον Πάριс Πάριδοс, ὄρνιс ὄρνιθοс, Λάχηс Λάχητοс, βότρυс βότρυοс — πρόсκειται «περιττοсυλλάβωс κλινόμενα» διὰ τὸ κοχλίαс κοχλίου, Αἰνείαс Αἰνείου· ταῦτα γὰρ εἰс с̄ λήγοντα οὔτε διὰ τοῦ δ̄ οὔτε διὰ τοῦ θ̄ οὔτε διὰ τοῦ τ̄ οὔτε διὰ καθαροῦ τοῦ ο̄с̄ κλίνονται, ἀλλ' οὔτε κλίνονται περιττοсυλλάβωс ἀλλ' ἰсοсυλλάβωс — πῶс τὸ Θόαс Θόαντοс καὶ Αἴαс Αἴαντοс καὶ τὰ τοιαῦτα διὰ τοῦ ν̄τ̄ κλίνονται. Καὶ ἔсτιν εἰπεῖν, ὅτι ὥсπερ τὰ εἰс ν̄ λήγοντα πεφύκαсι πολλάκιс πλεονάζειν τὸ τ̄ κατὰ τὴν γενικήν, ὡс ἐπὶ τοῦ Ξενοφῶν Ξενοφῶντοс, Κτηсιφῶν Κτηсιφῶντοс, Ἀγλαοφῶν Ἀγλαοφῶντοс — τὰ γὰρ εἰс ἀμετάβολον λήγοντα δι' αὐτοῦ τοῦ ἀμεταβόλου θέλουсιν ἐκφέρεсθαι κατὰ τὴν γενικήν, οἷον Πλάτων Πλάτωνοс, Ἕλλην Ἕλληνοс — τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ εἰс с̄ λήγοντα πεφύκαсι πλεονάζειν πολλάκιс τὸ ν̄ κατὰ τὴν γενικήν, ὡс ἐπὶ τοῦ χαρίειс χαρίεντοс καὶ Αἴαс Αἴαντοс καὶ τῶν ὁμοίων.

Πάλιν ἀποροῦсί τινεс λέγοντεс, διατί ἀπὸ τῶν εἰс ᾱс̄ βαρυτόνων ἤρξατο ὁ τεχνικὸс πρῶτον, καὶ μὴ ἀπὸ τῶν εἰс ᾱс̄ ὀξυτόνων ἢ ἀπὸ τῶν εἰс ᾱс̄ περιсπωμένων. Καὶ ἔсτιν εἰπεῖν, ὅτι ἀπὸ τῶν εἰс ᾱс̄ ὀξυτόνων διὰ τοῦτο οὐκ ἤρξατο ὁ τεχνικόс, ἐπειδὴ οὐκ εἰсὶ τὰ εἰс ᾱс̄ ὀξύτονα ὑπὲρ μίαν сυλλαβὴν μόνωс ἀρсενικά, ἀλλ' ἢ μόνωс θηλυκά, ὡс ἐπὶ τοῦ ἡ τριάс, ἢ κοινὰ τῷ γένει [τουτέсτιν ἀρсενικοῦ καὶ θηλυκοῦ], ὡс ὁ
98g φυγάс καὶ ἡ φυγάс, ὁ Ἀρκάс καὶ ἡ Ἀρκάс, ὑπεсταλμένου τοῦ ἀνδριάс ἀνδριάντοс καὶ ἱμάс ἱμάντοс, ἅτινα καὶ παραλόγωс ὀξύνονται, ὥс φηсιν Ἡρωδιανὸс ἐν τῇ Καθόλου· [τὸ γὰρ ἱμάс καὶ ἀνδριάс μόνωс ἀρсενικὰ ὄντα ὀξυνόμενα οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδή, ὥс φηсιν Ἡρωδιανὸс ἐν τῇ Καθόλου, παραλόγωс ὀξύνονται]· ἐπειδὴ οὖν περὶ ἀρсενικῶν αὐτῷ ἐсτιν ὁ λόγοс, τούτου χάριν οὐκ ἤρξατο ἀπὸ τῶν εἰс ᾱс̄ ὀξυτόνων. Πρόсκειται ἀνωτέρω «ὑπὲρ μίαν сυλλαβήν» διὰ τὸ ὁ Ζάс καὶ ὁ Πράс· ταῦτα γὰρ ἀρсενικὰ μόνα εἰсὶν ὀξύτονα, ἀλλ' οὐκ εἰсὶν ὑπὲρ μίαν сυλλαβὴν ἀλλὰ μονοсύλλαβα. Ἀπὸ δὲ τῶν εἰс ᾱс̄ περιсπωμένων διὰ τοῦτο οὐκ ἤρξατο ἀλλ' ἀπὸ τῶν εἰс ᾱс̄ βαρυτόνων, ἐπειδή, ὡс ἐν τοῖс προλεγομένοιс μεμαθήκαμεν, καὶ τὰ περιсπώμενα δυνάμει

[Discr. scr. ex NCVP] 3 περιττοсυλλαβεῖ — εὐθείαс P, περιττοсυλλαβούсαс ἔχει δύο сυλλ. τῆс ἰδ. εὐθείαс NC, περιττοсυλλαβοῦсα τῆс ἰδ. εὐθ. δύο сυλλαβὰс περιττεύει V ‖ 4 οὖν *om* NC ‖ 27 τουτέсτιν — θηλυκοῦ *om* VP ‖ 28 ὑπεсταλμένου — Καθόλου (30)] *pro his* P *ea habet, quae* NC *praebent v. 30—32* (τὸ γὰρ — ὀξύνονται), V *autem omittit* | τοῦ ἀνδριάс] τὸ ἀνδριάс NC ‖ 29 ὥс - Καθόλου (30)] ὡс ἔφηсεν ὁ ἡρωδιανόс NC ‖ 38 ἐν τοῖс προλ.] *p. 117,32*

βαρύτονά εἰσιν ὡς ἔχοντα ἐν τῇ τελευταίᾳ συλλαβῇ τὴν βαρεῖαν· καὶ λοιπὸν τῶν βαρυτόνων προϋπαρχόντων εἰκότως ἀπὸ τούτων ἤρξατο. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι οἱ Αἰολεῖς τὸ τάλας τάλαις λέγουσι καὶ τὸ μέλας μέλαις καὶ τὸ Θόας Θόαις προστιθέντες τὸ ῑ, τὸ δὲ Αἴας Αἴαις οὐ λέγουσι τῇ προσθέσει τοῦ ῑ διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων, ἤγουν τῆς α̅ι̅ διφθόγγου· ηὑρίσκετο γὰρ ἀλλεπάλληλος ἡ α̅ι̅ δίφθογγος, καὶ ἐκ τούτου κακόφωνος ἐγένετο ἡ λέξις. Ταῦτα μὲν ἐν τούτοις.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί οἱ Αἰολεῖς ἐν τοῖς εἰς α̅ς̅ τοῖς ἔχουσι τὸ ᾱ μακρὸν προστιθέασι τὸ ῑ, ὡς ἐν τῷ Θόας Θόαις, μέλας μέλαις καὶ τάλας τάλαις. Καὶ ἔστιν εἰπεῖν, ὅτι οἱ Αἰολεῖς βαρείᾳ τάσει χαίρουσιν, ἅμα δὲ καὶ τῇ βραχυτέρᾳ συλλαβῇ· τὸ γὰρ Πηλεύς Πήλευς λέγουσι βαρυτόνως καὶ τὸ Ἀτρεύς Ἄτρευς, καὶ τὸ κείρω κέρρω λέγουσι βαρυτόνως καὶ τὸ φθείρω φθέρρω· ἡ γὰρ θέσει μακρὰ ἐλάττων ἐστὶ τῆς φύσει μακρᾶς. Ἐπειδὴ οὖν τὸ ᾱ τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς α̅ι̅ διφθόγγου τῆς ἐχούσης τὸ ῑ ἐκφωνούμενον, — καὶ γὰρ ὁ στρατιώτης ὁ δυνάμενος ἔργον ποιῆσαι δύο στρατιωτῶν ἰσχυρότερός ἐστιν ἐκείνων — ἔτι δὲ τὰ εἰς α̅ι̅ς̅ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον παῖς καλαῖς σοφαῖς μεγάλαις ἀρίσταις — χωρὶς τοῦ δαίς, ὃ σημαίνει τὴν εὐωχίαν, τοῦτο γὰρ ὀξύνεται, — τούτου χάριν οἱ Αἰολεῖς ἐπὶ τῶν εἰς α̅ς̅ τῶν ἐχόντων μακρὸν 99g τὸ ᾱ προστιθέασι τὸ ῑ, ἵνα ἐν ταὐτῷ καὶ χαρακτῆρα μεταδιώξωσιν ἀποστρέφεσθαι τὴν ὀξεῖαν τάσιν καὶ βραχυτέραν τὴν συλλαβὴν ἀπεργάσωνται. Πρόσκειται ἀνωτέρω «τῆς α̅ι̅ διφθόγγου τῆς ἐχούσης τὸ ῑ ἐκφωνούμενον», ἐπειδὴ τῆς αι διφθόγγου τῆς ἐχούσης τὸ ῑ ἀνεκφώνητον οὐκ ἔστι μεῖζον τὸ ᾱ τὸ φύσει μακρόν· καὶ αὐτὴ γὰρ τὸ ᾱ φύσει μακρὸν ἔχει, ὅθεν καὶ τὸ ῑ ἀνεκφώνητόν ἐστιν [τὸ ᾱ μακρόν ἐστι φύσει καὶ μεῖζον, ἐν ταύτῃ γὰρ τὸ ᾱ φύσει μακρὸν ἔχει], οἷον τῷ κοχλίᾳ, τῷ Αἰνείᾳ. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Τῷ Αἴαντι. Κανονίζων τὴν δοτικὴν ἀπὸ τῆς γενικῆς αὐτὴν κανονίζει λέγων, ὅτι πᾶσα γενικὴ εἰς ος λήγουσα τροπῇ τοῦ ο̅ς̅ εἰς ῑ τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον, οἷον Αἴαντος Αἴαντι· ἰδοὺ τοῦτο ἔτρεψε τὸ ο̅ς̅ εἰς ῑ καὶ ἐποίησε τὴν δοτικὴν ὁμότονον καὶ ὁμόχρονον· ὁμότονον μέν, ὅτι ὃν τόνον ἔχει ἡ γενικὴ τὸν αὐτὸν ἔχει καὶ ἡ δοτική, ὁμόχρονον δέ, ὅτι ὥσπερ ἡ γενικὴ ἔχει τὸ ος βραχὺ οὕτω καὶ ἡ δοτικὴ τὸ ῑ συνεσταλμένον ἔχει, οἷον φωτός φωτί, ἀνδρός ἀνδρί, χηνός χηνί, μηνός μηνί, παιδός παιδί, καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως· ταῦτα γὰρ καὶ τὸν τόνον ἐφύλαξαν τῆς γενικῆς καὶ τὸν χρόνον, τουτέστι συνεσταλμένον. Τὸ δὲ ⟨Ξ 459⟩ Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε κοινὴν ἔχει τὴν τ̅ι̅ συλλαβήν· ἀπαρτίζει γὰρ εἰς μέρος λόγου τὸ ῑ καὶ τούτου χάριν ἀντὶ μακρᾶς παρα-

[Discr. scr. ex NCVP] **3** Ταῦτα — τούτοις *om* NC ‖ **18** τὰ] τὰς N ‖ **21** μεταδιώξωσιν V, δόξωσιν NC, διώξωσιν P ‖ **23** τῆς ἐχούσης τὸ ῑ ἐκφωνούμενον α̅ι̅ διφθόγγου NC ‖ **25** τὸ *ante* φύσει *om* NC ‖ **26** τὸ ᾱ μακρὸν — ἔχει (**27**) *om* VP

λαμβάνεται, ὡς ἐπὶ τοῦ ⟨Ξ 1⟩ Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης ἡ θεν συλλαβὴ ἀπαρτίζει εἰς μέρος λόγου καὶ ἀντὶ μακρᾶς παραλαμβάνεται. Ἀναδράμωμεν δὲ ἐπὶ τὰ λοιπὰ παραδείγματα τοῦ κανόνος, ταχέος ταχέϊ, ἡδέος ἡδέϊ· ἰδοὺ ταῦτα ὁμότονά εἰσι καὶ ὁμόχρονα, ὅτε δὲ γίνονται κατὰ συναίρεσιν τῷ ταχεῖ καὶ τῷ ἡδεῖ, τὸ ε̄ καὶ τὸ ῑ εἰς τὴν ει̅ δίφθογγον συνελθόντα, τότε οὔτε τόνον τῆς γενικῆς φυλάττουσιν οὔτε χρόνον, ἐπειδὴ πέπονθεν ἡ δοτική. Ταῦτα μὲν ἐν τούτοις.

100 g Λέγουσι δέ τινες, ὅτι κακῶς εἶπεν ὁ τεχνικός τροπῇ τοῦ ος̅ εἰς ῑ τὴν δοτικὴν ποιεῖ· ἄτοπον γάρ φασι τροπὴν ποιεῖσθαι συμφώνου εἰς φωνῆεν, ἀλλὰ μᾶλλον ὤφειλεν εἰπεῖν ἀποβολῇ τοῦ ς̅ καὶ τροπῇ τοῦ ο̅ εἰς ῑ. Καὶ ἔστιν εἰπεῖν καὶ ἀπολογήσασθαι ὑπὲρ τοῦ τεχνικοῦ, ὅτι καλῶς εἶπε «τροπῇ τοῦ ος̅ εἰς ῑ»· ἡ γὰρ τροπὴ πολλαχῶς γίνεται· ἔστι γὰρ τροπὴ παραγωγῆς, καὶ ἔστι τροπὴ διαλέκτου, καὶ ἔστι τροπὴ πάθους, καὶ ἔστι τροπὴ κλίσεως· καὶ τροπὴ μὲν παραγωγῆς ἐστιν, ὡς ἐπὶ τοῦ νέμω νόμος, λέγω λόγος, ἐπιστέλλω ἐπιστολή· διαλέκτου δέ, ὡς ἐπὶ τοῦ ὄνειρος ὄνοιρος· τοῦτο γὰρ κατὰ Αἰολικὴν διάλεκτόν ἐστι, τρέπον τὸ ε̄ εἰς τὸ ο̅· καὶ τὸ τρέχω τράχω καὶ τὸ Ἄρτεμις Ἄρταμις, τρέποντα τὸ ε̄ εἰς τὸ α̅· πάθους δέ, ὡς ἐπὶ τοῦ ἐλαφοβόλος ἐλαφηβόλος, στεφανοφόρος στεφανηφόρος. Ἐν τούτοις οὖν, ἤγουν ἐν τῇ τροπῇ τῇ κατὰ παραγωγὴν καὶ τῇ κατὰ διάλεκτον καὶ τῇ κατὰ πάθος, οὐ τρέπεται ὡς ἔτυχεν οὔτε σύμφωνον εἰς φωνῆεν οὔτε φωνῆεν εἰς σύμφωνον, ἐν δὲ τῇ τροπῇ τῇ κατὰ κλίσιν ἀδιάφορόν ἐστιν· καὶ φωνῆεν γὰρ εἰς σύμφωνον τρέπεται καὶ σύμφωνον εἰς φωνῆεν, ὡς ἐπὶ τοῦ καλαί καλάς, Μοῦσαι Μούσας. Τί τοίνυν ἄτοπον, εἰ καὶ σύμφωνον εἰς φωνῆεν τρέπεται, ὡς ἐπὶ τοῦ Αἴαντος Αἴαντι, Λάχητος Λάχητι ἐνταῦθα, ἐπειδὴ περὶ κλίσεώς ἐστιν ὁ λόγος τῷ τεχνικῷ; καλῶς οὖν εἶπε «τροπῇ τοῦ ος̅ εἰς ῑ». Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Τὸν Αἴαντα. Κανονίζων ὁ τεχνικὸς τὴν αἰτιατικὴν ἀπὸ τῆς δοτικῆς κανονίζει αὐτὴν λέγων, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον τροπῇ τοῦ ῑ εἰς α̅ αὐτὴν ποιεῖ, οἷον Αἴαντι Αἴαντα, Λάχητι Λάχητα. Καλῶς εἶπεν «εἰς ῑ ἐκφωνούμενον λήγουσα», ἐπειδὴ ἐὰν εὑρεθῇ τὸ ῑ ἀνεκφώνητον, οὐ ποιεῖ τροπῇ τοῦ ῑ εἰς α̅ τὴν αἰτιατικήν· ἰδοὺ γάρ ἐστι τῷ Χρύσῃ, καὶ ἐπειδὴ τὸ ῑ ἀνεκφώνητόν ἐστιν, οὐ ποιεῖ τροπῇ τοῦ ῑ εἰς α̅ τὴν αἰτιατικήν· τὸν Χρύσην γάρ ἐστιν ἡ αἰτιατική. Ἰστέον δὲ ὅτι τότε εὑρίσκεται τὸ ῑ ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ α̅
101 g μακροῦ ἢ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἐν μιᾷ συλλαβῇ, οἷον τῷ κοχλίᾳ,

[Discr. scr. ex NCVP] **5** γίνονται V, γένωνται NC, γένονται P | τὸ ε̄ — συνελθόντα (**6**) *om* V ‖ **6** συνελθόντα P, μετελθόντα NC ‖ **9** δὲ *om* NC ‖ **16** *post* λόγος *add* φθείρω φθορά, δείρω δορά V ‖ **17** τοῦτο — τὸ ο̅ (**18**)] λέγουσιν αἱ διάλεκτοι τρέπουσαι τὸ ε̄ εἰς τὸ ο̅ P ‖ **18** τρέπον — τὸ ο̅ *om* V | τρέπον *om* NC ‖ **19** τρέποντα] τρέποντες NC | τρέποντα — τὸ α̅] καὶ ταῦτα γὰρ κατὰ Δωρίδα διάλεκτόν εἰσιν V ‖ **25** τοίνυν *om* NC ‖ **37** δὲ *om* NC

τῷ Χρύcῃ, τῷ καλῷ· πρόcκειται «ἐν μιᾷ cυλλαβῇ» διὰ τὸ Λάϊοc (ἔcτι δὲ ὄνομα κύριον) καὶ ἠϊών (cημαίνει δὲ τὸν αἰγιαλόν) καὶ ἥρωϊ· ἰδοὺ γὰρ ἐνταῦθα τὸ ι̅ μετὰ τοῦ α̅ μακροῦ καὶ μετὰ τοῦ η̅ καὶ μετὰ τοῦ ω̅ οὐκ ἔcτιν ἀνεκφώνητον ἀλλ' ἐκφωνούμενον, ἀλλ' οὐκ ἔcτι μετ' αὐτῶν ἐν μιᾷ cυλλαβῇ· ἐὰν δὲ εὑρεθῇ μετ' ἄλλων τὸ ι̅, εἴτε μετὰ cυμφώνου εἴτε μετὰ φωνήεντοc, χωρὶc δηλονότι τοῦ η̅ καὶ ω̅ καὶ α̅ μακροῦ, οὐκ ἔcτιν ἀνεκφώνητον ἀλλ' ἐκφωνούμενον, οἷον Λάχητι λέβητι ἡδεῖ ταχεῖ Cαπφοῖ Λητοῖ. Ταῦτα μὲν ἐν τούτοιc.

Δεῖ δὲ γινώcκειν, ὅτι οἱ μὲν γραμματικοὶ ὡc πρὸc τὴν ἐκφώνηcιν ἀποβλέποντεc λέγουcι τὸ ι̅ ἀνεκφώνητον εἶναι, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ α̅ μακροῦ ἢ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἐν μιᾷ cυλλαβῇ, οἷον τῷ Χρύcῃ τῷ cοφῷ τῷ Αἰνείᾳ. Οἱ δὲ μουcικοὶ τῆc ἀκριβείαc φροντίζοντεc λέγουcιν, ὅτι ἐκφωνεῖται μέν, οὐκ ἐξακούεται δὲ διὰ τὸ μέγεθοc τῶν μακρῶν φωνηέντων· εἰ γὰρ φωνῆέν ἐcτιν, φαcί, πῶc δύναται ἀνεκφώνητον εἶναι; ἀλλ' ὥcπερ αὐλοῦ, φαcί, καὶ ὀργάνου ἠχούντων ὁ αὐλὸc οὐκ ἐξακούεται διὰ τὸ μείζονα ἦχον ἔχειν τὸ ὄργανον καὶ καλύπτειν τὸν τοῦ αὐλοῦ ἦχον ἀcθενέcτερον ὄντα, τὸν αὐτὸν τρόπον καὶ τὸ ι̅ ἀcθενέcτερον ὑπάρχον πάντων τῶν φωνηέντων, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ α̅ μακροῦ ἢ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἐν μιᾷ cυλλαβῇ, οὐκ ἐξακούεται διὰ τὸ μέγεθοc τούτων. Ὅτι δὲ τὸ ι̅ ἀcθενέcτερόν ἐcτι πάντων τῶν φωνηέντων, δῆλον ἐντεῦθεν· τῶν φωνηέντων τὰ μέν εἰcι προτακτικὰ τὰ δὲ ὑποτακτικά· καὶ προτακτικὰ μέν εἰcι ταῦτα, α̅ ε̅ η̅ ο̅ ω̅, ὑποτακτικὰ δὲ δύο, ι̅ καὶ υ̅· καὶ τὸ υ̅ δὲ τὸ ὑποτακτικὸν πολλάκιc εὑρίcκεται τοῦ ι̅ προτακτικόν, ὡc ἐν τῷ μυῖα καὶ ἅρπυια καὶ υἱόc καὶ ἐν τοῖc ὁμοίοιc· εἰ ἄρα οὖν τὸ ι̅ καὶ τοῦ ὑποτακτικοῦ ὑποτακτικόν ἐcτι, δηλονότι ἀcθενέcτερόν ἐcτι πάντων τῶν φωνηέντων. Ἐν οἷc cὺν θεῷ καὶ ἡ πρᾶξιc.

Καλῶc δὲ προcέθηκεν ὁ τεχνικόc ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcοcύλλαβον· ἰδοὺ γάρ ἐcτι τῷ βότρυϊ, καὶ οὐ λέγομεν τὴν αἰτιατικὴν τὸν βότρυα ἀλλὰ τὸν βότρυν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ τὴν αἰτιατικὴν οὐκ ἔχει ἰcοcύλλαβον ἡ δοτική. Τὸ ζητούμενον δὲ ἔλαβεν ὁμολογουμένωc ὁ τεχνικόc· τοῦτο γὰρ αὐτὸ ζητοῦμεν τὸ πότε ἔχει τὴν αἰτιατικὴν ἰcοcύλλαβον ἡ δοτική. Ἔcτιν οὖν εἰπεῖν ὅτι, ὡc ἐμάθομεν, πέντε τελικά εἰcι τῶν ἀρcενικῶν ὀνομάτων cτοιχεῖα, ν̅ ξ̅ ρ̅ c̅ ψ̅· τὰ οὖν 102g ἀπὸ τῶν εἰc ν̅ ξ̅ ρ̅ ψ̅ ὀνόματα ἔχουcι τὴν αἰτιατικὴν ἰcοcύλλαβον τῇ δοτικῇ, καὶ εἰc ι̅ ἐκφωνούμενον λήγει ἡ δοτικὴ καὶ δηλονότι τρέπει τὸ ι̅ εἰc α̅ καὶ ποιεῖ τὴν αἰτιατικήν, οἷον Πλάτων Πλάτωνοc Πλάτωνι Πλάτωνα, Φοῖνιξ Φοίνικοc Φοίνικι Φοίνικα, Νέcτωρ Νέcτοροc Νέcτορι Νέcτορα, Πέλοψ Πέλοποc Πέλοπι Πέλοπα· τὸ γὰρ Ἀπόλλω καὶ Ποcειδῶ ἀπὸ τοῦ Ἀπόλλωνα καὶ Ποcειδῶνα γεγόναcι κατὰ ἀποκοπὴν τῆc να̅

[Discr. scr. ex NCVP] **4** ἀλλ' οὐκ ἔcτι — ἐκφωνούμενον (7) P, *om* NCV ‖ **8** *et ante* Cαπφοῖ *et ante* Λητοῖ *add* τῇ NC ‖ **11** ἐν μιᾷ cυλλ. VP, *om* NC ‖ **18** ἢ *post* εὑρεθῇ *om* NC ‖ **24** καὶ ἅρπυια *om* N ‖ **28** δὲ *om* NC ‖ **33** ὡc ἐμάθομεν] *cfr. p. 113, 4* ‖ **35** *ante* ψ̅ *add* c̅ NC ‖ **37** Πλάτων — Πλάτωνα

συλλαβῆς· καὶ τὰ ἀπὸ τῶν εἰς $\overline{\text{c}}$ ληγόντων ἔχουσι τὴν αἰτιατικὴν ἰσοσύλλαβον τῇ δοτικῇ· καὶ δηλονότι ἐὰν ἔχωσι τὸ $\overline{\text{ι}}$ ἐκφωνούμενον, τρέπουσιν αὐτὸ εἰς τὸ $\overline{\text{α}}$ καὶ ποιοῦσι τὴν αἰτιατικήν, οἷον Αἴας Αἴαντος Αἴαντι Αἴαντα, Λάχης Λάχητος Λάχητι Λάχητα, ἱδρώς ἱδρῶτος ἱδρῶτι ἱδρῶτα· τὸ γὰρ ⟨Χ 2⟩ ἱδρῶ ἀπεψύχοντο ἀπὸ τοῦ ἱδρῶτα γέγονε κατὰ ἀποκοπὴν τῆς $\overline{\text{τα}}$ συλλαβῆς. Δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς $\overline{\text{ουc}}$ καὶ χωρὶς τῶν ἐχόντων εἰς $\overline{\text{οc}}$ καθαρὸν τὴν γενικὴν διχρόνῳ παραληγομένου τοῦ $\overline{\text{οc}}$»· ἐπὶ τούτων γὰρ ἔστιν ὅτε ἰσοσυλλαβεῖ ἡ αἰτιατικὴ τῇ δοτικῇ καὶ ἔστιν ὅτε οὐκ ἰσοσυλλαβεῖ, οἷον βότρυς βότρυος βότρυϊ βότρυν, στάχυς στάχυος στάχυϊ στάχυν, μάντις μάντιος μάντιϊ μάντιν, ὄφις ὄφιος ὄφιϊ ὄφιν, βοῦς βοός βοΐ βοῦν, χοῦς χοός χοΐ χόα καὶ χοῦν διχῶς. Πρόσκειται ἀνωτέρω «ἐὰν ἔχωσι τὸ $\overline{\text{ι}}$ ἐκφωνούμενον», ἐπειδὴ ἐὰν ἔχωσι τὸ $\overline{\text{ι}}$ ἀνεκφώνητον οὐ τρέπουσιν αὐτὸ εἰς τὸ $\overline{\text{α}}$ καὶ ποιοῦσι τὴν αἰτιατικήν· ἰδοὺ γάρ ἐστι τῷ κοχλίᾳ, καὶ ἰδού ἐστιν ἐνταῦθα ἡ δοτικὴ εἰς $\overline{\text{ι}}$ καὶ ἔχει τὴν αἰτιατικὴν ἰσοσύλλαβον, τὸν κοχλίαν γάρ ἐστιν ἡ αἰτιατική, καὶ ὅμως οὐ ποιεῖ τροπῇ τοῦ $\overline{\text{ι}}$ εἰς $\overline{\text{α}}$ τὴν αἰτιατικήν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ τὸ $\overline{\text{ι}}$ ἀνεκφώνητόν ἐστι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, εἰ ἄρα πᾶσα δοτικὴ εἰς $\overline{\text{ι}}$ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ $\overline{\text{ι}}$ εἰς $\overline{\text{α}}$ τὴν αἰτιατικὴν ποιεῖ, διατί μὴ ἀπὸ
103g τοῦ Λητοῖ καὶ Σαπφοῖ γίνεται τροπῇ τοῦ $\overline{\text{ι}}$ εἰς $\overline{\text{α}}$ ἡ αἰτιατικὴ Λητόα καὶ Σαπφόα. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἡ Λητόα καὶ Σαπφόα αἰτιατικαὶ ἐντελεῖς οὖσαι ἀπὸ τῶν ἐντελῶν δοτικῶν κανονίζονται τῇ Λητόϊ καὶ Σαπφόϊ· ἀπὸ γὰρ τῆς Λητοῖ καὶ Σαπφοῖ οὐκ ἠδύναντο κανονισθῆναι, ἐπειδὴ πρόσκειται ἐν τῷ κανόνι «ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον»· ταῦτα δέ, φημὶ τὰ συνῃρημένα, οὐκ ἔχουσι τὴν αἰτιατικὴν ἰσοσύλλαβον, τὴν Λητόα φημὶ καὶ Σαπφόα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τινὲς τὴν αἰτιατικὴν ἀπὸ τῆς γενικῆς κανονίζουσι λέγοντες, ὅτι πᾶσα γενικὴ εἰς $\overline{\text{οc}}$ λήγουσα ἔχουσα πρὸ τοῦ $\overline{\text{οc}}$ σύμφωνον τροπῇ τοῦ $\overline{\text{οc}}$ εἰς $\overline{\text{α}}$ τὴν αἰτιατικὴν ποιεῖ, οἷον Αἴαντος Αἴαντα, Λάχητος Λάχητα, λέβητος λέβητα, χωρὶς τῶν οὐδετέρων· ἔστι γὰρ ἅρματος καὶ βήματος ἡ γενικὴ καὶ οὐ ποιεῖ τροπῇ τοῦ $\overline{\text{οc}}$ εἰς $\overline{\text{α}}$ τὴν αἰτιατικήν· οὐδὲ γὰρ λέγομεν ἅρματα καὶ βήματα τὴν αἰτιατικὴν τῶν ἑνικῶν ἀλλ' ἅρμα καὶ βῆμα ὁμοφώνως τῇ εὐθείᾳ· τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ μέλι τοῦ μέλιτος τῷ μέλιτι τὸ μέλι ὦ μέλι, τὸ δένδρον τοῦ δένδρου τῷ δένδρῳ τὸ δένδρον ὦ δένδρον· καὶ χωρὶς τῶν πεπονθότων· Ἀπόλλωνος γὰρ καὶ Ποσειδῶνος ἡ γενική, καὶ γίνεται ἡ αἰτιατικὴ τὸν Ἀπόλλω καὶ τὸν Ποσειδῶ κατὰ ἀποκοπὴν τῆς $\overline{\text{να}}$ συλλαβῆς. Δείκνυται δὲ οὗτος ὁ λόγος ὅτι οὐ πάντως ἀληθεύει· καὶ γὰρ εἰσί τινα εἰς $\overline{\text{ιc}}$ περισπώμενα θηλυκὰ μετὰ συμφώνου ἔχοντα τὴν γενικὴν εἰς $\overline{\text{οc}}$, καὶ ἔχουσι τὴν αἰτιατικὴν εἰς $\overline{\text{ν}}$

[Discr. scr. ex NCVP] *post* Πέλοπα (**128**, **39**) *transp.* NC ‖ **4** Λάχητι *om* N | ἱδρῶτι *om* N ‖ **14** τῷ] τὸ N ‖ **21** ὅτι *om* N ‖ **23** τῆς λητοῖς N ‖ **34** καὶ κλητικὴν VP, *in marg. add* C[1], *om* N ‖ **38** $\overline{\text{να}}$] $\overline{\text{ν}}$ N

καὶ οὐκ εἰc ᾱ, οἷον Μενδῖc Μενδῖδοc Μενδῖδι Μενδῖν, Μολῖc Μολῖδοc Μολῖδι Μολῖν, Ἀταργατῖc Ἀταργατῖδοc Ἀταργατῖδι Ἀταργατῖν· ταῦτα δέ εἰcιν ὀνόματα δαιμόνων τιμωμένων παρὰ Θρᾳξίν· καὶ τὸ μῆνιc δὲ μήνιδοc εἰc ν̄ ἔχει τὴν αἰτιατικήν, οἷον ⟨Α 1⟩ μῆνιν ἄειδε, ⟨Α 75⟩ μῆνιν Ἀπόλλωνοc, καὶ οὐδέποτε εἰc ᾱ κατὰ χρῆcιν, ὥc φηcιν Ἡρωδιανόc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι ἐν τῷ προειρημένῳ κανόνι τῷ λέγοντι, ὅτι «πᾶcα δοτικὴ ἑνικῶν εἰc ῑ ἐκφωνούμενον λήγουcα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcοcύλλαβον τροπῇ τοῦ ῑ εἰc ᾱ τὴν αἰτιατικὴν ποιεῖ», δεῖ παραφυλάξαcθαι τὰ πεπονθότα· ἔcτι γὰρ τῇ ὑcμίνῃ καὶ τῇ Δωδώνῃ διὰ τοῦ η̄ καὶ [104 g] ῑ, καὶ γίνονται κατὰ μεταπλαcμὸν τῇ ὑcμῖνι καὶ τῇ Δωδῶνι διὰ τοῦ ῑ μόνου, οἷον ὡc παρὰ τῷ ποιητῇ ⟨Θ 56⟩ μέμαcαν δὲ καὶ ὣc ὑcμῖνι μάχεcθαι, καὶ παρὰ Καλλιμάχῳ ⟨fragm. 306 Sch.⟩ μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν· ἰδοὺ ἐπὶ τούτων εἰc ῑ ἐκφωνούμενον λήγει ἡ δοτική, καὶ ὅμωc οὐ ποιοῦcι τροπῇ τοῦ ῑ εἰc ᾱ τὴν αἰτιατικὴν ἀλλ' εἰc ν̄· οὐδὲ γὰρ λέγομεν τὴν ὑcμῖνα καὶ τὴν Δωδῶνα· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ δοτικὴ ἐπὶ τούτων, καὶ τούτου χάριν εἰc ῑ ἐκφωνούμενον ἐγένετο. Ταῦτα ἔχομεν εἰπεῖν περὶ τῆc αἰτιατικῆc· ἐν οἷc cὺν θεῷ ἡ πρᾶξιc.

Ὦ Αἶαν. Κανονίζων τὴν κλητικὴν ἀπὸ τῆc γενικῆc αὐτὴν κανονίζει λέγων, ὅτι πᾶcα γενικὴ διὰ τοῦ ν̄τ̄ κλινομένη καὶ μὴ διφθόγγῳ παραληγομένη ἀποβολῇ τῆc τ̄ο̄c̄ ποιεῖ τὴν κλητικήν, οἷον Αἴαντοc Αἶαν, Θόαντοc Θόαν, Ξενοφῶντοc Ξενοφῶν· προcτίθηcιν ὁ τεχνικόc εἰ μὴ διφθόγγῳ παραλήγοιτο· λέγει γάρ πλακοῦντοc δὲ πλακοῦ καὶ Cιμοῦντοc Cιμοῦ, χωρὶc τοῦ ν̄· ἰδοὺ γὰρ ἐπὶ τούτων οὐ μόνον τὸ τ̄ο̄c̄ ἀποβάλλει ἀλλὰ καὶ τὸ ν̄. Ταῦτα μὲν ἐν τούτοιc.

Δεῖ δὲ ἡμᾶc προcθεῖναι ἐν τῷ κανόνι «χωρὶc τῶν μετοχῶν», οἷον γράψαc γράψαντοc καὶ ὦ γράψαc, ποιήcαc ποιήcαντοc καὶ ὦ ποιήcαc ὁμοφώνωc τῇ εὐθείᾳ· «καὶ χωρὶc τῶν μετοχικῶν»· ἱμάc γὰρ ἱμάντοc καὶ ὦ ἱμάc, ἀνδριάc ἀνδριάντοc καὶ ὦ ἀνδριάc ὁμοφώνωc τῇ εὐθείᾳ· αἱ γὰρ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα περιττοcυλλάβωc κλινόμενα τὰc αὐτὰc ἔχουcιν ὀρθὰc καὶ κλητικάc, οἷον τύψαc τύψαντοc ὦ τύψαc, λέξαc λέξαντοc ὦ λέξαc, τύπτων τύπτοντοc ὦ τύπτων, ὁ ὀδούc τοῦ ὀδόντοc ὦ ὀδούc. Πρόcκειται «περιττοcυλλάβωc κλινόμενα», ἐπειδὴ ὅτε ἰcοcυλλάβωc κλίνονται οὐκ ἔχουcι τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν· ἰδοὺ γὰρ ὁ τυπτόμενοc τοῦ τυπτομένου μετοχή, καὶ τούτου ἡ κλητικὴ ὦ τυπτόμενε ἐcτίν, καὶ ὁ ἐρώμενοc τοῦ ἐρωμένου ὄνομα μετοχικόν, καὶ τούτου ἡ κλητικὴ ὦ ἐρώμενε ἐcτίν. Λέγει δὲ περὶ τοῦ ἐρώμενοc ὁ

[Discr. scr. ex NCVΓ] **2** ἀταρτῖc ἀταρτῖδοc ἀταρτῖδι ἀταρτῖν NC ‖ **8** ἑνικῶν *om* V ‖ **10** τῇ ὑcμήνῃ (ὑcμήνῃ C) καὶ τῇ δωδώνῃ NC ‖ **11** ὑcμῆνι N, ὑcμῆνι C ‖ **12** ὑcμῆνι C, εἰc ὑcμῆνι N ‖ **16** ὑcμῆνα N, ὑcμῆνα C ‖ **20** Ὦ Αἶαν *om* NC ‖ **21** καὶ μὴ διφθ. παραλ. *om* V ‖ **28** δὲ ἡμᾶc *om* NC

105g Ἀπολλώνιος, ὅτι τὸ ἐρώμενος ἡνίκα μὲν cυντάccεται τῇ ὑπό προθέcει μετοχή ἐcτιν, οἷον ἐρώμενος ὑπὸ Πλάτωνος, ἡνίκα δὲ μὴ cυντάccεται τῇ ὑπό προθέcει ὄνομά ἐcτι μετοχικόν, οἷον ἐρώμενος Δίωνος, ἐρώμενος Θέωνος, ὡς ἵνα εἴπῃ τις φίλος Πλάτωνος, φίλος Δίωνος, φίλος Θέωνος. Ἐπειδὴ δὲ μετοχικῶν ἐμνημονεύcαμεν, δεῖ γινώcκειν ὅτι μετοχικὰ λέγονται τὰ ἔχοντα καὶ τόνον καὶ κλίcιν μετοχῆς, οἷον ἱμάς ἱμάντος, ἀνδριάς ἀνδριάντος, ἐπειδὴ καὶ τόνον καὶ κλίcιν μετοχῆς ἔχουcιν· ὥcπερ γὰρ ἱcτάς ἱcτάντος καὶ κιχράς κιχράντος, οὕτω καὶ ἱμάς ἱμάντος καὶ ἀνδριάς ἀνδριάντος· πάλιν τὸ ὀδούς ὀδόντος ὄνομα μετοχικὸν λέγεται, ἐπειδὴ καὶ τόνον καὶ κλίcιν μετοχῆς ἔχει· ὥcπερ γὰρ διδούς διδόντος οὕτω καὶ ὀδούς ὀδόντος. Ταῦτα μὲν ἐν τούτοις.

Ἔτι δεῖ προcθεῖναι ἐν τῷ κανόνι «χωρὶς τῶν Ἀττικῶν»· οἱ γὰρ Ἀττικοὶ τὰς αὐτὰς εἰώθαcι ποιεῖν ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Θόας ὦ Θόας, ὁ Αἴας ὦ Αἴας, οἷον ⟨Soph. Ai. 89⟩ ὦ οὗτος, Αἴας, δεύτερόν cε προcκαλῶ. Ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶς τῶν εἰς ᾱς ὑπὲρ δύο cυλλαβὰς βαρυτόνων παρὰ τὸ δάμνω cυντεθειμένων», οἷον Πολυδάμας Πολυδάμαντος ὦ Πολυδάμα, ⟨Σ 285⟩ Πολυδάμα, cὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, Λαοδάμας Λαοδάμαντος ὦ Λαοδάμα· ταῦτα δὲ λέγομεν εἶναι ποιητικά· ἢ λέγομεν ὅτι καθόλου τὰ εἰς ᾱς ὑπὲρ δύο cυλλαβὰς βαρύτονα οὐ θέλουcιν ἔχειν τὴν κλητικὴν εἰς ν̄, εἴτε περιττοcυλλάβως κλίνονται εἴτε ἰcοcυλλάβως, οἷον Εὐρυδάμας Εὐρυδάμαντος ὦ Εὐρυδάμα, Ἀλκιδάμας Ἀλκιδάμαντος ὦ Ἀλκιδάμα, κοχλίας κοχλίου ὦ κοχλία, Αἰνείας Αἰνείου ὦ Αἰνεία· δεῖ προcθεῖναι «χωρὶς εἰ μὴ ἀπὸ διcυλλάβων εὑρεθῶcι cύνθετα»· ἐκεῖνα γὰρ τὴν τῶν ἁπλῶν φυλάττουcι κλίcιν, οἷον Λυκοθόας Λυκοθόαντος ὦ Λυκοθόαν, τοῦ γὰρ Θόας τὴν κλίcιν ἐφύλαξεν, καὶ πάλιν παμμέλας παμμέλανος ὦ παμμέλαν, τριτάλας τριτάλανος ὦ τριτάλαν, τὴν γὰρ τοῦ τάλας καὶ μέλας κλίcιν ἐφύλαξαν. Παραφυλαττόμεθα δὲ ἐν τῷ νῦν εἰρημένῳ κανόνι, φημὶ δὴ τῷ λέγοντι, ὅτι «τὰ εἰς ᾱς ὑπὲρ δύο cυλλαβὰς βαρύτονα οὐ θέλουcιν ἔχειν τὴν κλητικὴν εἰς ν̄, εἴτε περιττοcυλλάβως κλίνονται εἴτε
106g ἰcοcυλλάβως», τὸ ὦ Εὐρυδάμαν παρὰ τῷ Ἀλκαίῳ ⟨fragm. 132 B[4]⟩ μετὰ τοῦ ν̄ λεγόμενον κατὰ τὴν κλητικήν, καὶ παρὰ Πινδάρῳ τὸ ὦ ἀκαμαντοχάρμαν, οἷον ⟨fragm. 184 B[4]⟩ ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν· περὶ οὗ ἔcτιν εἰπεῖν, ὅτι ἢ κατὰ cυνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἀκαμαντοχάρμαν μετὰ τοῦ ν̄, ἢ διὰ τὴν ἐπαλληλίαν τῶν φω-

---

[Discr. scr. ex NCVP] **4** φίλος Πλάτ. — Θέωνος (**5**) V, φιλοπλάτωνος. φιλοδίωνος (φιλωδίωνος N). φιλοθέωνος NC, φιλοπλάτων. φιλοδίων P ‖ **5** ἐμνημονεύcαμεν VP, ἐμνήcθημεν NC ‖ **7** ἱμάς ἱμάντος N; *item v. 8* ‖ **14** οἷον *post* Αἴας *om* NC | ὦ οὗτος Αἴας] οὗτος ὦ οὗτος NC, οὗτος Αἴας VP ‖ **16** cυντεθειμένον N ‖ **17** Πολυδάμα NCVP | cὺ μὲν οὐκέτ' VP, μὲν οὐκ ἔτι (*om* cὺ) NC ‖ **22** *post* Ἀλκιδάμα *add* Ἀκάμας Ἀκάμαντος ὦ Ἀκάμα P ‖ **26** Θόας VP, Θόαντος NC | κλίcιν VP, κλητικὴν NC | ὦ παμμέλα NC ‖ **27** ὦ τριτάλα NC ‖ **32** τὸ VP, *om* NC

νηέντων, ἐπεὶ εἰ οὕτω ἐγένετο ὦ ἀκαμαντοχάρμα Αἶαν, ἀλλεπαλληλία ἔμελλεν εἶναι τῶν φωνηέντων, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ τῷ λέγοντι, ὅτι «πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη καὶ μὴ διφθόγγῳ παραληγομένη ἀποβολῇ τῆς τος ποιεῖ τὴν κλητικήν», «καὶ χωρὶς τῶν εἰς ας μονοσυλλάβων ὀξυτόνων»· ἔστι γὰρ Ζάς Ζαντός καὶ Πράς Πραντός· καὶ ἰδοὺ ταῦτα οὐκ ἀποβολῇ τῆς τος ποιοῦσι τὴν κλητικήν, οὐδὲ γὰρ λέγομεν ὦ Ζάν καὶ ὦ Πράν, ἀλλ' ὦ Ζάς καὶ ὦ Πράς ὁμοφώνως τῇ εὐθείᾳ· τὰ γὰρ εἰς ας ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον φυγάς ὦ φυγάς, Ἀρκάς ὦ Ἀρκάς, χαλκοκράς ὦ χαλκοκράς, τριάς ὦ τριάς, Παλλάς ὦ Παλλάς. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, διατί ὥσπερ τὴν δοτικὴν ἀπὸ τῆς γενικῆς ἐκανόνισε καὶ τὴν αἰτιατικὴν ἀπὸ τῆς δοτικῆς, μὴ τὸν αὐτὸν τρόπον καὶ τὴν κλητικὴν ἀπὸ τῆς αἰτιατικῆς ἐκανόνισεν, ἀλλ' ἀπὸ τῆς γενικῆς. Καὶ ἔστιν εἰπεῖν, ὅτι ὅθεν εὗρεν εὐχερέστερον ὁ τεχνικὸς ἐκεῖθεν ἐκανόνισεν· ἀμέλει καὶ τὴν αἰτιατικὴν πολλάκις οὐκ ἀπὸ τῆς δοτικῆς κανονίζει, ἀλλ' ἔστιν ὅτε καὶ ἀπὸ τῆς εὐθείας, ὡς ἐπὶ τοῦ ὁ κοχλίας τὸν κοχλίαν, ὁ Αἰνείας τὸν Αἰνείαν. Ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

Τὼ Αἴαντε. Κανονίζων τὴν εὐθεῖαν τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζει αὐτὴν λέγων, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι εἰς ε τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ, οἷον Αἴαντι Αἴαντε, λέβητι λέβητε, βοΐ βόε. Καλῶς προσέθηκεν ὁ τεχνικός εἰς ι ἐκφωνούμενον λήγουσα· ἐμάθομεν γὰρ ὅτι εὑρίσκεται τὸ ι ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η ἢ 107 g μετὰ τοῦ ω ἢ μετὰ τοῦ α μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῷ κοχλίᾳ· τότε γὰρ οὐ ποιεῖ τροπῇ τοῦ ι εἰς ε τὴν εὐθεῖαν τῶν δυϊκῶν. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ ἡμᾶς προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶς τῶν μὴ δυναμένων κλιθῆναι εἰς δυϊκὰ καὶ χωρὶς τῶν ἀπὸ τῶν εἰς ω καὶ εἰς ως θηλυκῶν καὶ τῶν πεπονθότων». Πρόσκειται «χωρὶς τῶν μὴ δυναμένων κλιθῆναι εἰς δυϊκά» διὰ τὸ εἷς καὶ ἕν· ταῦτα γὰρ ἔχουσι τὴν δοτικὴν εἰς ι ἐκφωνούμενον λήγουσαν, ἑνί γάρ, καὶ ὅμως οὐ τρέπουσι τὸ ι εἰς ε καὶ ποιοῦσι τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἐπεὶ ὅλως δυϊκὰ οὐ δύνανται ἔχειν· τὸ γὰρ σημαινόμενον κωλύει· πῶς γὰρ τὸ εἷς καὶ τὸ ἓν εἰς δυϊκὰ κλίνεσθαι δύνανται δυϊκῷ ἀριθμῷ θεωρηθῆναι μὴ δυνάμενα; ἐὰν γὰρ παραληφθῶσιν ἐν δυϊκῷ ἀριθμῷ, καὶ τοῦ σημαινομένου ἐκπίπτουσι καὶ οὐκ ἔτι σημαίνουσι τὸν ἕνα ἀριθμόν, ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου ὁ δύο ἀριθμὸς οὐ δύναται ἑνικῷ ἀριθμῷ θεωρηθῆναι. Πρόσκειται «χωρὶς τῶν ἀπὸ τῶν εἰς ω καὶ εἰς ως θηλυκῶν», ἐπειδή ἐστιν ἡ Λητώ τῆς Λητοῦς

[Discr. scr. ex NCVΓ] **4** καὶ μὴ διφθ. παραλ. *om* V; *cfr. p. 130, 21* ‖ **13** γενικῆς] δοτικῆς N ‖ **17** ὁ *ante* κοχλ. *om* NC ‖ **18** *post* κοχλίαν *add* ὦ κοχλία N ‖ **19** Τὼ Αἴαντε *om* NC ‖ **22** οἷον — λέβητε] Νέστορι Νέστορε V ‖ **23** ἐμάθομεν] *cfr. p. 127, 37* ‖ **28** δὲ ἡμᾶς *om* NC ‖ **30** *post* θηλυκῶν *add* ὀνομάτων N

τῇ Λητοῖ καὶ ἡ αἰδώc τῆc αἰδοῦc τῇ αἰδοῖ· καὶ ἰδοὺ ταῦτα εἰc ῑ ἐκφωνούμενον λήγουcι καὶ οὐ τρέπουcι τὸ ῑ εἰc ε̄ καὶ ποιοῦcι τὴν εὐθεῖαν τῶν δυϊκῶν· οὐδὲ γὰρ λέγομεν τὰ Λητόε καὶ τὰ αἰδόε τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἀλλὰ τὰ Λητώ καὶ τὰ αἰδώ εἰc ω̄ ὁμοφώνωc τῇ αἰτιατικῇ τῶν ἑνικῶν. Πρόcκειται «χωρὶc τῶν πεπονθότων», ἐπειδή ἐcτι πατέρι καὶ μητέρι καὶ γίνονται κατὰ cυγκοπὴν πατρί καὶ μητρί· καὶ ἰδοὺ ταῦτα εἰc ῑ ἐκφωνούμενον λήγουcι καὶ ὅμωc οὐ τρέπουcι τὸ ῑ εἰc τὸ ε̄ καὶ ποιοῦcι τὴν εὐθεῖαν τῶν δυϊκῶν· οὐδὲ γὰρ λέγομεν μῆτρε καὶ πάτρε τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἀλλὰ μητέρε καὶ πατέρε, ὡc ἀπὸ τῆc ἐντελοῦc δοτικῆc μητέρι καὶ πατέρι. Ἐν οἷc cὺν θεῷ ἡ πρᾶξιc.

Τοῖν Αἰάντοιν. Κανονίζων τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν ἀπὸ τῆc εὐθείαc τῶν δυϊκῶν κανονίζει αὐτὴν λέγων, ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̄ ἢ εἰc ω̄ λήγουcα εἰc ο̅ι̅ν̅ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, οἷον Αἴαντε Αἰάντοιν, βόε βοοῖν, Ὁμήρω 108g Ὁμήροιν, ἀνθρώπω ἀνθρώποιν. Δεῖ προcθεῖναι «χωρὶc τῶν ἐπεκτεταμένων»· ἔcτι γὰρ τοιώδε καὶ τοcώδε ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ γίνεται ἡ γενικὴ καὶ δοτικὴ τοιοῖνδε καὶ τοcοῖνδε· ἰδοὺ γὰρ ἐνταῦθα εἰc ε̄ λήγουcα ἡ εὐθεῖα τῶν δυϊκῶν οὐ λήγει εἰc ο̅ι̅ν̅ ἡ γενικὴ καὶ δοτική· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐπέκταcιν ἀνεδέξατο, ἤγουν πρόcθεcιν τῆc δ̅ε̅ cυλλαβῆc· καὶ δεῖ γινώcκειν, ὅτι ἐν τούτοιc κατὰ πτῶcιν γίνεται ἡ ἐπέκταcιc, ἔcτι γὰρ τοίω καὶ τόcω, καὶ κατ' ἐπέκταcιν τῆc δ̅ε̅ cυλλαβῆc γίνεται τοιώδε καὶ τοcώδε· καὶ πάλιν ἐcτὶ τοίοιν καὶ τόcοιν, καὶ κατ' ἐπέκταcιν τῆc δ̅ε̅ cυλλαβῆc τοιοῖνδε καὶ τοcοῖνδε. Τούτων οὕτωc ἐχόντων τὸ ἄμφω καὶ δύο ἀναλόγωc ἔχουcι τὴν γενικὴν καὶ δοτικὴν εἰc ο̅ι̅ν̅, ἀμφοῖν καὶ δυοῖν· τὸ δὲ δυοῖν γίνεται καὶ δυεῖν διὰ τῆc ε̅ι̅ διφθόγγου κατὰ τροπὴν τοῦ ο̄ εἰc τὸ ε̄. Ἐν οἷc καὶ ἡ πρᾶξιc.

Ὦ Αἴαντε. Κανονίζων τὴν κλητικὴν τῶν δυϊκῶν λέγει, ὅτι τῶν δυϊκῶν καὶ πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική, οἷον τὼ Αἴαντε ὦ Αἴαντε, τὼ Λάχητε ὦ Λάχητε, οἱ Αἴαντεc ὦ Αἴαντεc, οἱ Λάχητεc ὦ Λάχητεc. Δεῖ γινώcκειν ὅτι ἐν τοῖc δυϊκοῖc cυνημμέναι εἰcὶν αἱ πτώcειc· ὀρθὴν γὰρ καὶ αἰτιατικὴν ὁμοῦ λέγομεν καὶ γενικὴν καὶ δοτικὴν πάλιν ὁμοῦ. Καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν ἐν τοῖc δυϊκοῖc cυνημμέναι εἰcὶν αἱ πτώcειc· καὶ ἔcτιν εἰπεῖν ὅτι πρὸc τὸ cημαινόμενον ἔcχον τὰ δυϊκὰ καὶ τὰc πτώcειc cυνεζευγμέναc· ἐπειδὴ ⟨γὰρ⟩ τὰ δυϊκὰ δύο πρόcωπα cημαίνουcιν, τούτου χάριν καὶ αἱ δύο πτώcειc ἐν μιᾷ φωνῇ δηλοῦνται· τὰ δὲ ἑνικὰ ἐπειδὴ ἓν πρόcωπον cημαίνουcιν, τούτου χάριν καὶ τὰc πτώcειc διακεχωριcμέναc ἔχουcιν, ἐν μιᾷ φωνῇ μίαν πτῶcιν δηλοῦντα καὶ ἐν ἑτέρᾳ φωνῇ ἑτέραν πτῶcιν. Τὰ δὲ πληθυντικὰ οὐκ ἠδύναντο πρὸc τὸ cημαινόμενον ἔχειν τὰc πτώ-

---

[Discr. scr. ex NCVP] **6** καὶ *ante* γίν. *om* N || **11** Τοῖν Αἰάντοιν *om* NC || **14** τῶν δυϊκῶν *om* C || **19** ἐπέκταcιν VP, ἔκταcιν NC || **20** καὶ *ante* δεῖ *om* NC || **22** τοιῶδε καὶ τοcῶδε NC || **26** *post* διφθ. *add* ἀττικῶc V || **27** Ὦ Αἴαντε *om* NC || **35** γὰρ *om* NCVP || **36** δὲ *om* N || **39** δὲ] γὰρ NCVP | *ante* πρὸc *iterum add* ἔχειν NC

σεις συνεζευγμένας, ἐπειδὴ οὐ μόνον τρία πρόσωπα σημαίνουσιν ἀλλὰ καὶ πλείονα· τὰ γὰρ πληθυντικὰ πλήθους εἰσὶ σημαντικά· ἄλλως τε δὲ εἰ ἔσχον τὰ πληθυντικὰ τὰς πτώσεις συνεζευγμένας, ἤμελλεν τρεῖς εἶναι ὁμοῦ καὶ δύο, ὅπερ ἐστὶν ἀνοίκειον πληθυντικοῦ ἀριθμοῦ· ὁ γὰρ δύο ἀριθμὸς οὐκ ἔστιν ἴδιος πληθυντικοῦ ἀριθμοῦ, ἀρχὴ γὰρ πλήθους ὁ τρεῖς ἀριθμός ἐστιν.

Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην αἰτίαν, δι' ἣν ἐν τοῖς δυϊκοῖς συνημμέναι 109 g εἰσὶν αἱ πτώσεις· ἔχει δὲ οὕτως. Τὰ δυϊκὰ ὑστερογενῆ εἰσιν· ὅθεν πολλάκις καὶ τοῖς πληθυντικοῖς κεχρήμεθα ἀντὶ τῶν δυϊκῶν ἐν τῇ κοινῇ διαλέκτῳ· ὅτι γὰρ ὑστερογενῆ εἰσι τὰ δυϊκά, δῆλον ἀφ' ὧν οὐ πᾶσαι αἱ διάλεκτοι ἔχουσι δυϊκά· ἰδοὺ γὰρ οἱ Αἰολεῖς οὐκ ἔχουσι δυϊκά, ὅθεν οὐδὲ οἱ Ῥωμαῖοι ἄποικοι ὄντες τῶν Αἰολέων κέχρηνται τῷ δυϊκῷ ἀριθμῷ· ἐπειδὴ οὖν τὰ δυϊκὰ ὑστερογενῆ εἰσι καὶ διὰ τῶν πληθυντικῶν, ὡς εἴρηται, πολλάκις ἀναπληροῦνται παρὰ τῇ κοινῇ διαλέκτῳ, εἰκότως οὐκ ἔχουσι πλατείας φωνάς. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐν τοῖς δυϊκοῖς ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν ὁμοῦ, καὶ πάλιν γενικὴν καὶ δοτικὴν ὁμοῦ λέγομεν, καὶ μὴ τυχὸν ὀρθὴν καὶ γενικὴν λέγομεν καὶ δοτικὴν καὶ αἰτιατικήν. Καὶ ἔστιν εἰπεῖν· εὐλόγως ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν, ἐπειδὴ συγγένειαν ἔχει ἡ ὀρθὴ πρὸς τὴν αἰτιατικήν· καὶ δῆλον ἐκ τῶν οὐδετέρων· καὶ γὰρ ἐν τοῖς οὐδετέροις τὴν αὐτὴν λέγομεν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. Δεικνύομεν δὲ καὶ ἀπὸ τοῦ τόνου τῆς εὐθείας τὴν συγγένειαν πρὸς τὴν αἰτιατικὴν καὶ τῆς γενικῆς πρὸς τὴν δοτικήν· ἰδοὺ γάρ ἐστιν ἄνθρωπος καὶ Ὅμηρος καὶ ταῦτα προπαροξύνονται κατὰ τὴν εὐθεῖαν, ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ πρὸ μιᾶς ἔχουσι τὸν τόνον, τουτέστι παροξύνονται, οἷον ἀνθρώπου ἀνθρώπῳ, Ὁμήρου Ὁμήρῳ· καὶ ἰδοὺ ἡ γενικὴ καὶ ἡ δοτικὴ τὸν αὐτὸν ἔχουσι τόνον· ἡ δὲ αἰτιατικὴ πρὸς τὴν εὐθεῖαν γίνεται, τουτέστι προπαροξύνεται, οἷον ἄνθρωπον Ὅμηρον, ὥσπερ ἄνθρωπος καὶ Ὅμηρος· καὶ ἰδοὺ εὑρίσκεται ἡ μὲν δοτικὴ ἔχουσα τὴν ὁμοιότητα πρὸς τὴν γενικήν, ἡ δὲ αἰτιατικὴ πρὸς τὴν εὐθεῖαν. Διὰ τοῦτο οὖν ἐν τοῖς δυϊκοῖς λέγομεν ὀρθὴν καὶ αἰτιατικὴν ὁμοῦ καὶ πάλιν γενικὴν καὶ δοτικήν. Ταῦτα μὲν ἐν τούτοις.

Πάλιν ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἐν τοῖς δυϊκοῖς ἡ αὐτή ἐστιν ὀρθὴ καὶ αἰτιατική [καὶ ὀρθὴ καὶ κλητική], τὼ Αἴαντε, καὶ κλητικὴ ὁμοίως ὦ Αἴαντε, διατί μὴ λέγομεν ὁμοῦ ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται ἡ κλητικὴ μετὰ τῆς ὀρθῆς καὶ αἰτιατικῆς 110 g

---

[Discr. scr. ex NCVP] **3** τρεῖς VP., τρία NC ‖ **16** Ἄξιον — ἐπειδὴ (**19**) NC, ἰστέον δὲ ὅτι VP | δὲ *om* NC ‖ **17** πάλιν *om* NC, *sed post* ὁμοῦ λέγομεν *add* καὶ πάλιν ‖ **23** τοῦ τόνου VP, τούτων NC ‖ **35** καὶ αἰτιατική — κλητικήν (**36**)] καὶ αἰτιατικὴ καὶ κλητική. ἔστι γὰρ τὼ Αἴαντε ὀρθῆς καὶ αἰτιατικῆς καὶ ὦ Αἴαντε κλητικῆς. διατί μὴ λέγομεν ὁμοῦ ὀρθῆς καὶ αἰτιατικῆς καὶ κλητικῆς VP ‖ **36** ὁμοῦ ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητικὴ NC ‖ **37** ὅτι *om* N

ὁμοῦ παραλαμβάνεσθαι, ἐπειδὴ τὸ ἄρθρον κωλύει καὶ τὸ σημαινόμενον· τὸ ἄρθρον μέν, ἐπειδὴ ἡ ὀρθὴ καὶ αἰτιατικὴ τῶν δυϊκῶν ἄρθρον ἔχουσιν· ἔχουσι γὰρ τὸ τώ καὶ τὸ τά, οἷον τὼ Αἴαντε, τὰ Μούσα· ἡ δὲ κλητικὴ ἄρθρον οὐκ ἔχει· τὸ γὰρ ὦ ἄρθρον οὐκ ἔστιν, ἀλλ' ἐπίρρημα κλητικόν, ὡς εἰ θεῷ φίλον ἐν τῷ περὶ ἄρθρων ῥηθήσεται· τῆς οὖν ὀρθῆς καὶ αἰτιατικῆς δεχομένης ἄρθρον, εἰκότως οὐ δύναται ἡ κλητικὴ μετ' αὐτῶν παραλαμβάνεσθαι, ἐπειδή, ὡς εἰρήκαμεν, ἡ κλητικὴ οὐκ ἔχει ἄρθρον. Τὸ δὲ σημαινόμενον κωλύει τὴν κλητικὴν μετὰ τῆς ὀρθῆς καὶ αἰτιατικῆς παραλαμβάνεσθαι, ἐπειδὴ ἡ μὲν ὀρθὴ καὶ αἰτιατικὴ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου ἐστίν, οἷον νῶϊ Αἴαντε, σφῶϊ Αἴαντε, σφῶε Αἴαντε· ἡ δὲ κλητικὴ δευτέρου μόνου προσώπου ἐστίν, οἷον ⟨ὦ⟩ σφῶϊ Αἴαντε· διαφόρου οὖν ὄντος τοῦ σημαινομένου πῶς δύνανται ὁμοῦ παραλαμβάνεσθαι; Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐπὶ μὲν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική, οἷον τὼ Αἴαντε ὦ Αἴαντε, οἱ Αἴαντες ὦ Αἴαντες, ἐπὶ δὲ τῶν ἑνικῶν οὐ πάντως· ἔστι γὰρ ὅτε διαλλάσσουσιν, οἷον ὁ Αἴας ὦ Αἶαν, καὶ ἔστιν ὅτε ὁμοφωνοῦσιν, οἷον ὁ Λάχης ὦ Λάχης. Ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην, ὅτι τῆς μὲν γενικῆς μήτηρ ἐστὶν ἡ εὐθεῖα, ἐξ αὐτῆς γὰρ τίκτεται ἡ γενική, τῶν δὲ ἄλλων πτώσεων μήτηρ ἐστὶν ἡ γενική· ἐπειδὴ οὖν ἐν τοῖς δυϊκοῖς ἕν ἐστι τελικὸν τῆς γενικῆς, φημὶ δὴ τὸ ν̄, οἷον τοῖν Αἰάντοιν, ταῖν Ἑλέναιν, ὁμοίως δὲ καὶ ἐν τοῖς πληθυντικοῖς ἀεὶ τὸ αὐτό ἐστι τελικὸν τῆς γενικῆς, φημὶ δὴ τὸ ν̄, οἷον τῶν Αἰάντων, τῶν Μουσῶν, εἰκότως ἐπειδὴ οὐκ ἐγένετο διάφορος ἡ γενικὴ πρὸς τὴν ἰδίαν εὐθεῖαν, οὐδὲ ἡ κλητικὴ διάφορος γέγονεν· ἐν δὲ τοῖς ἑνικοῖς ἐπειδὴ οὐκ ἔστιν ἓν τὸ τελικὸν τῆς γενικῆς — ἐμάθομεν γὰρ ὅτι τὰ τελικὰ τῆς γενικῆς τῶν ἑνικῶν διάφορά εἰσι, ποτὲ μὲν γάρ ἐστι τὸ c̄, οἷον Αἴας Αἴαντος, ποτὲ δὲ τὸ ῡ, οἷον κοχλίας κοχλίου, ποτὲ δὲ τὸ ᾱ, οἷον Μηνᾶς Μηνᾶ — εἰκότως ἐπειδὴ τῆς γενικῆς τῆς ἐν τοῖς ἑνικοῖς οὐκ ἔστιν ἡ κατάληξις μία ἀλλὰ 111 g διάφορος, καὶ ἡ κλητικὴ ὁμοίως ἐν τοῖς ἑνικοῖς πολλάκις πρὸς τὴν ἰδίαν εὐθεῖαν διάφορος γίνεται. Οἱ μέντοι Ἀττικοὶ τὰς αὐτὰς καὶ ἐπὶ τῶν ἑνικῶν εἰώθασι ποιεῖν ὀρθὰς καὶ κλητικάς, οἷον Αἴας ὦ Αἴας, ⟨Soph. Ai. 89⟩ Αἴας, δεύτερόν σε προσφωνῶ, οὗτος ὦ οὗτος, ἥλιος ὦ ἥλιος, ⟨Γ 277⟩ ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν εἰώθασιν οἱ Ἀττικοὶ ποιεῖν τὰς αὐτὰς ὀρθὰς καὶ κλητικάς. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπειδὴ ἐπὶ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὥσπερ ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική, τούτου χάριν καὶ ἐν τοῖς ἑνικοῖς τὴν αὐτὴν ὀρθὴν καὶ κλητικὴν ποιοῦσιν, ἵνα καὶ ἐπὶ αὐτῶν ἡ αὐτὴ ἀκολουθία φυλαχθῇ· ἄλλως τε δὲ πέντε τε-

---

[Discr. scr. ex NCVP] **4** ἄρθρον οὐκ ἔχουσιν NC ‖ **5** *post* ἄρθρων *add* ἀπολωνίου (*sic*) P ‖ **7** ἐπεὶ NC ‖ **8** (Τὸ) — **156, 35** *om* P ‖ **11** ὦ *om* NCV ‖ **16** τῶν ἑνικῶν V, τοῖς ἑνικοῖς NC ‖ **26** ἐμάθομεν] *cfr. p. 124, 24—26* ‖ **31** μέντι N ‖ **34** θ' *om* NCV ‖ **35** δέ *om* NC ‖ **39** αὐτῶν V, αὐτοῖς NC

λικά εἰcι τῶν ἀρcενικῶν ὀνομάτων cτοιχεῖα, ν̄ ξ̄ ρ̄ c̄ ψ̄· τὰ μὲν οὖν ἀπὸ τῶν εἰc ν̄ ξ̄ ρ̄ ψ̄ τὸ αὐτὸ cύμφωνον ἔχουcι καὶ ἐν τῇ κλητικῇ ὅπερ καὶ ἐν τῇ εὐθείᾳ, οἷον ὁ Πλάτων ὦ Πλάτων, Φοῖνιξ ὦ Φοῖνιξ, Ἕκτωρ ὦ Ἕκτορ, Πέλοψ ὦ Πέλοψ· τὰ δὲ ἀπὸ τῶν εἰc c̄ οὐ πάντωc ἔχουcι τὸ αὐτὸ cύμφωνον ἐν τῇ κλητικῇ ὅπερ καὶ ἐν τῇ εὐθείᾳ, οἷον Αἴαc ὦ Αἶαν, Χρύcηc ὦ Χρύcη· τούτου οὖν χάριν οἱ Ἀττικοὶ τὰc αὐτὰc ὀρθὰc καὶ κλητικὰc ποιοῦcιν, ἵνα καὶ ἐπὶ τῶν εἰc c̄ ληγόντων εὑρεθῇ ἡ κλητικὴ τὸ αὐτὸ cύμφωνον ἔχουcα ὅπερ καὶ ἡ εὐθεῖα. Ἐν οἷc cὺν θεῷ καὶ ἡ πρᾶξιc.

Οἱ Αἴαντεc. Κανονίζων τὴν εὐθεῖαν τῶν πληθυντικῶν ἀπὸ τῆc εὐθείαc τῶν δυϊκῶν κανονίζει αὐτὴν λέγων, ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̄ λήγουcα προcθέcει τοῦ c̄ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Αἴαντε Αἴαντεc, μύε μύεc, χάριτε χάριτεc, ἀcπίδε ἀcπίδεc. Δεῖ προcθεῖναι «χωρὶc τῶν οὐδετέρων»· τὼ βήματε γὰρ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰc ε̄, καὶ ὅμωc οὐ ποιεῖ προcθέcει τοῦ c̄ τὴν εὐθεῖαν τῶν πληθυντικῶν· τὰ βήματα γὰρ ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰc ᾱ. Ἰcτέον δὲ ὅτι ὁ κανὼν οὗτοc ἁρμόζει ἐπὶ τῶν ἀρcενικῶν καὶ θηλυκῶν, οἷον Αἴαντε Αἴαντεc, Λάχητε Λάχητεc, μητέρε μητέρεc, ἀcπίδε ἀcπίδεc, χάριτε χάριτεc. Καὶ ταῦτα μὲν ἐν τούτοιc.

Δεῖ δὲ γινώcκειν, ὅτι τὰ τελικὰ cτοιχεῖα τῆc εὐθείαc τῶν πληθυν- 112 g
τικῶν τέccαρά εἰcιν, ῑ c̄ ᾱ η̄, οἷον φίλοι Ἕκτορεc βιβλία βέλη· ἐκ τούτων οὖν τῶν τεccάρων τὰ μὲν δύο, τὸ ῑ καὶ τὸ c̄, τῶν ἀρcενικῶν καὶ τῶν θηλυκῶν εἰcι τελικά, οἷον φίλοι Ἕκτορεc, Μοῦcαι μητέρεc· τὸ δὲ ᾱ καὶ η̄ τῶν οὐδετέρων μόνων εἰcὶ τελικά, οἷον βήματα τείχη. Καὶ ἀποροῦcί τινεc λέγοντεc, εἰ ἄρα λέγομεν εἶναι τρία τελικὰ τῶν δυϊκῶν, ᾱ ε̄ ω̄, οἷον Ἀτρεΐδα Ἕκτορε φίλω, ὀφείλομεν καὶ τῶν πληθυντικῶν τελικὰ τρία λέγειν, οἷον ῑ c̄ ᾱ, καὶ οὐκ ὀφείλομεν προcθεῖναι τὸ η̄· τὸ γὰρ η̄ πεπονθότων ἐcτὶ τελικόν· ἀπὸ γὰρ τοῦ τείχεα γέγονε τείχη καὶ ἀπὸ τοῦ βέλεα βέλη κατὰ κρᾶcιν· ἐὰν δὲ cυναριθμῶμεν τὸ η̄ τοῖc τελικοῖc τῶν πληθυντικῶν, ὅπερ ἐcτὶν ἀπὸ πάθουc — τὰ γὰρ βέλη ἀπὸ τοῦ βέλεα ἐcτίν, ὡc εἴρηται, καὶ τὰ τείχη ἀπὸ τοῦ τείχεα — καὶ ἐπὶ τῶν δυϊκῶν ὀφείλομεν λέγειν μὴ μόνον τρία τελικὰ ἀλλὰ πλείονα, τουτέcτιν ᾱ ε̄ ω̄ καὶ τὸ η̄ καὶ τὴν ει̅ δίφθογγον· εὑρίcκεται γὰρ καὶ τὸ η̄ καὶ ἡ ει̅ δίφθογγοc τελικὰ τῆc εὐθείαc τῶν δυϊκῶν, οἷον Δημοcθένεε Δημοcθένη· τὰ γὰρ δύο εε εἰc τὸ η̄ ἐγένοντο· καὶ πάλιν τὼ πόλεε πόλει· τὰ γὰρ δύο εε̅ εἰc τὴν ει̅ δίφθογγον ἐγένοντο· ἔχομεν γὰρ παρὰ τῷ Αἰcχίνῃ τῷ Cωκρατικῷ πόλει διὰ τῆc ει̅ διφθόγγου, ἔνθα περὶ Ἀθηνῶν καὶ Λακεδαίμονοc διαλέγεται· εἰ ἄρα οὖν, ὡc εἰρήκαμεν, τέccαρα εἶναι λέγομεν τελικὰ τῶν πληθυντικῶν, ὀφείλομεν πέντε λέγειν τῶν δυϊκῶν, εἰ δὲ λέγομεν

[Discr. scr. ex NCV] **10** Οἱ Αἴαντεc *om* NC || **20** δὲ *om* NC || **24** μόνον N || **27** η̄ *post* γὰρ *om* N || **29** cυναριθμῶμεν V, cυναθροίcωμεν NC | τοῖc τελικοῖc V, τοῖc πολλοῖc NC || **31** *post* ἐπὶ *add* μὲν NC || **34** οἷον *om* N || **35** ἐγένετο NC; *item v. 36* || **37** Λακεδαίμονοc V, Λακεδαιμόνων NC

τρία τῶν δυϊκῶν, ὀφείλομεν τρία λέγειν καὶ τῶν πληθυντικῶν. Ἔcτιν οὖν εἰπεῖν, ὅτι ἐπειδὴ ὁ Διονύcιοc ὡc πρὸc εἰcαγομένουc τὸν λόγον ποιεῖται, τούτου χάριν τέccαρα τελικὰ εἶπεν ἔχειν τὴν εὐθεῖαν τῶν πληθυντικῶν, cυναριθμήcαc καὶ τὸ η̅· τῷ γὰρ η̅ κέχρηται ἡ cυνήθεια, οὐδὲ γὰρ λέγει ἡ κοινὴ διάλεκτοc τὰ τείχεα καὶ τὰ βέλεα ἀλλὰ τὰ τείχη καὶ τὰ βέλη· εἰκότωc οὖν ὡc πρὸc τὴν κοινὴν διάλεκτον ἀποβλέπων cυνηρίθμηcε καὶ τὸ η̅ τοῖc τελικοῖc τῆc εὐθείαc τῶν πληθυντικῶν· ἐπὶ γὰρ τῶν δυϊκῶν διὰ τοῦτο οὐ cυνηρίθμηcε τὸ η̅ καὶ τὴν ε̅ι̅ δίφθογγον τοῖc τελικοῖc τῆc εὐθείαc, ἐπειδὴ ἡ κοινὴ διάλεκτοc οὐ κέχρηται τῷ δυϊκῷ ἀριθμῷ. Ταῦτα μὲν ἐν τούτοιc.

113g Ἰcτέον δὲ ὅτι εἰπὼν ὁ τεχνικόc, ὡc «πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̅ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν», δῆλόc ἐcτι cυγκαταλέγων «χωρὶc τῶν ἐπεκτεταμένων»· τὸ γὰρ τοιώδε καὶ τοcώδε ἐπεκτεταμένα εἰcίν, ἤγουν ἐπέκταcιν καὶ προcθήκην τῆc δ̅ε̅ cυλλαβῆc ἀνεδέξαντο, καὶ οὐ ποιοῦcι προcθέcει τοῦ c̅ τὴν εὐθεῖαν τῶν πληθυντικῶν· οἱ τοιοῖδε γὰρ καὶ οἱ τοcοῖδε ἡ εὐθεῖα τῶν πληθυντικῶν· ἔcτι γὰρ τοίω τοῖοι καὶ τόcω τόcοι, καὶ κατ' ἐπέκταcιν τῆc δ̅ε̅ cυλλαβῆc, ἤγουν προcθήκην, γίνεται τοιώδε καὶ τοιοῖδε καὶ τοcώδε καὶ τοcοῖδε. Ἐν οἷc cὺν θεῷ καὶ ἡ πρᾶξιc.

Τῶν Αἰάντων. Κανονίζει τὴν γενικὴν τῶν πληθυντικῶν λέγων, ὅτι πᾶcα γενικὴ πληθυντικῶν εἰc ω̅ν̅ λήγει ἐπὶ παντὸc γένουc, οἷον Αἰάντων Λαχήτων Μουcῶν μαιῶν βημάτων δοράτων. Δεῖ προcθεῖναι «χωρὶc τῶν μονοπτώτων»· οἱ πέντε γὰρ τῶν πέντε καὶ οἱ ἑπτά τῶν ἑπτά καὶ οἱ ἑκατόν τῶν ἑκατόν· «καὶ χωρὶc τῶν ἐπεκτεταμένων»· τῶν τοιῶνδε γὰρ καὶ τῶν τοcῶνδε· «καὶ χωρὶc τῶν κατὰ μεταπλαcμόν»· τὸ ἱπποτᾶν γὰρ ἀντὶ τοῦ ἱπποτῶν καὶ τὸ ἀρχηγετᾶν ἀντὶ τοῦ ἀρχηγετῶν· «καὶ χωρὶc τῶν κατὰ διάλεκτον»· καὶ γὰρ οἱ Δωριεῖc διὰ τοῦ α̅ προφέρουcι τὰc περιcπωμέναc κοινὰc γενικάc· Ἀτρειδᾶν γὰρ λέγουcι καὶ νυμφᾶν ἀντὶ τοῦ Ἀτρειδῶν καὶ νυμφῶν. Ἐν οἷc cὺν θεῷ καὶ ἡ παροῦcα πρᾶξιc.

Τοῖc Αἴαcι. Λέγει ὁ τεχνικόc, ὅτι πᾶcα εὐθεῖα ἑνικῶν εἰc c̅ λήγουcα μετὰ μακρᾶc περιττοcυλλάβωc κλινομένη καὶ μὴ cυναιρουμένη κατὰ τὴν γενικὴν προcθέcει τοῦ ι̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον λέβηc λέβητοc λέβηcι, Τρώc Τρωόc Τρωcί, Πηλεύc Πηλέωc Πηλεῦcιν, Αἴαc Αἴαντοc Αἴαcιν. «Εἰc c̅ λήγουcα» εἶπε διὰ τὰ εἰc ν̅ λήγοντα, οἷον διὰ τὸ αὐχήν καὶ ποιμήν καὶ ὅcα τοιαῦτα· οὐδὲ γὰρ προcθέcει τοῦ ι̅ ποιοῦcι ταῦτα τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖc αὐχῆνι καὶ τοῖc ποιμῆνι, ἀλλὰ

[Discr. scr. ex NCV] **2** ἐπεὶ NC | ὁ Διονύcιοc] *cfr. Dion. Thr. ed. Uhlig. p. 16, 4* ‖ **3** ποιεῖται V, ποιούμενοc NC ‖ **4** τῷ γὰρ η̅] καὶ γὰρ η̅ N, τὸ γὰρ η̅ C, ἐπειδὴ τῷ η̅ V ‖ **16** οἱ τοιοῖδε V, οἷον τοιοῖδε NC | γὰρ *om* N | οἱ *ante* τοc. *om* NC | ἡ εὐθ. τῶν πληθ. *om* N ‖ **18** προcθήκῃ NC ‖ **20** Τῶν Αἰάντων *om* NC ‖ **21** *post* πληθ. *add* κοινὴ N ‖ **25** γὰρ *om* NC ‖ **31** Τοῖc Αἴαcι *om* NC | ἑνικῶν *om* NC

τοῖϲ αὐχέϲι καὶ τοῖϲ ποιμέϲι. Πρόϲκειται «μετὰ μακρᾶϲ» διὰ τὸ ταχύϲ καὶ βραδύϲ καὶ τὰ τοιαῦτα· οὐδὲ γὰρ προϲθέϲει τοῦ ῑ ποιοῦϲι ταῦτα τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ ταχύϲι καὶ τοῖϲ βραδύϲιν, ἀλλὰ τοῖϲ ταχέϲι καὶ τοῖϲ βραδέϲιν, ἐπειδὴ οὐκ ἔχουϲιν ἐκτεταμένον τὸ ῡ ἀλλὰ ϲυνεϲταλμένον. Πρόϲκειται «περιττοϲυλλάβωϲ κλι- 114 g νομένη» διὰ τὸ Αἰνείαϲ καὶ κοχλίαϲ καὶ τὰ τοιαῦτα· ταῦτα γὰρ οὐ ποιοῦϲι προϲθέϲει τοῦ ῑ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ κοχλίαϲι καὶ τοῖϲ Αἰνείαϲιν, ἀλλὰ τοῖϲ κοχλίαιϲ καὶ τοῖϲ Αἰνείαιϲ, ἐπειδὴ οὐ κλίνονται περιττοϲυλλάβωϲ ἀλλ' ἰϲοϲυλλάβωϲ. Πρόϲκειται «μὴ ϲυναιρουμένη κατὰ τὴν γενικήν» διὰ τὸ Δημοϲθένηϲ Δημοϲθένεοϲ· τοῦτο γὰρ εἰϲ ϲ̄ λήγει μετὰ μακρᾶϲ καὶ περιττοϲυλλάβωϲ κλίνεται, καὶ ὅμωϲ οὐ προϲλαμβάνει τὸ ῑ καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ Δημοϲθένηϲι διὰ τοῦ η̄, ἀλλὰ τοῖϲ Δημοϲθένεϲι διὰ τοῦ ε̄, ἐπειδὴ ϲυνῄρηται κατὰ τὴν γενικήν· Δημοϲθένεοϲ γὰρ καὶ Δημοϲθένουϲ. Λέγει δὲ ὁ τεχνικόϲ πλὴν τοῦ πούϲ ποδόϲ ποϲί· ἰδοὺ γὰρ τοῦτο εἰϲ ϲ̄ λήγει μετὰ μακρᾶϲ καὶ περιττοϲυλλάβωϲ κλίνεται καὶ οὐ ϲυναιρεῖται κατὰ τὴν γενικήν, καὶ ὅμωϲ οὐ προϲλαμβάνει τὸ ῑ καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ πουϲίν, ἀλλὰ τοῖϲ ποϲίν, ἐπειδὴ ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν κανονίζεται· πᾶϲα γὰρ δοτικὴ ἑνικῶν εἰϲ δι̅ λήγουϲα μὴ οὖϲα κατὰ μεταπλαϲμὸν τροπῇ τοῦ δ̄ εἰϲ ϲ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον Πάριδι Πάριϲιν, ἔριδι ἔριϲιν, Ἀδώνιδι Ἀδώνιϲιν, Ἀθήνιδι Ἀθήνιϲιν· οὕτωϲ οὖν καὶ ποδί ποϲί. Πρόϲκειται «μὴ οὖϲα κατὰ μεταπλαϲμόν», ἐπειδή ἐϲτιν ὁ κλάδοϲ τοῦ κλάδου τῷ κλάδῳ, καὶ κατὰ μεταπλαϲμὸν γίνεται κλαδί, καὶ οὐ τρέπει τὸ δ̄ εἰϲ ϲ̄ καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ κλαϲίν ἀλλὰ τοῖϲ κλάδοιϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Δεῖ δὲ προϲθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «καὶ χωρὶϲ τῶν εἰϲ υϲ̅ τῶν ἐχόντων τὸ ῡ ἐκτεταμένον»· ἐκεῖνα γὰρ προϲλαμβάνουϲι τὸ ῑ καὶ οὐ φυλάττουϲι τὸ ῡ ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἀλλὰ ϲυϲτέλλουϲιν αὐτό, οἷον ⟨Φ 127⟩ ἰχθῦϲ, ὅϲ κε φάγῃϲι Λυκάονοϲ ἀργέτα δημόν, ἰχθύοϲ ἰχθύϲι διὰ ϲυνεϲταλμένου τοῦ ῠ, ⟨μ 252⟩ ἰχθύϲι τοῖϲ ὀλίγοιϲι· καὶ πάλιν δρῦϲ δρυόϲ δρυϲίν ὁμοίωϲ διὰ 115 g ϲυνεϲταλμένου τοῦ ῠ, παρὰ δρυϲὶ καὶ παρὰ πεύκαιϲ· ταῦτα δὲ καθόλου ϲυϲτέλλουϲι τὸ ῡ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν. Καὶ λέγει ὁ Ἡρωδιανόϲ, χωρὶϲ τοῦ μῦϲ μυόϲ μυϲί· τοῦτο γὰρ φυλάττει τὸ ῡ, φηϲίν, ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν. Λαμβάνονται δὲ αὐτοῦ τινεϲ, ὧν ἐϲτι καὶ Ὦροϲ ὁ γραμματικόϲ, λέγοντεϲ μηδαμοῦ εὑρίϲκεϲθαι τὸ μυϲίν ἔχον τὸ ῡ ἐκτεταμένον, ἀλλ' οὔτε δὲ φύϲει ϲυν-

---

[Discr. scr. ex NCV] **9** κλίνεται NC ‖ **15** δὲ *om* NC ‖ **25** κλαδὶ V, κλάδι NC ‖ **26** κλαϲὶν V, κλάϲιν NC ‖ **28** δὲ *om* NC ‖ **31** ὅϲ κε φάγῃϲι V, ὃϲ καὶ φάγηϲ NC ‖ **32** ἰχθῦοϲ NCV ‖ **33** ὀλίγοιϲι V, λίγοιϲι NC ‖ **34** παρὰ — πεύκαιϲ] *cfr. Callim. ed. OSchn. 2, 760* ‖ **35** ϲυϲτέλλει NC ‖ **38** αὐτοῦ V, αὐτὸ N, αὐτῷ C ‖ **39** ἀλλ' — ἐκτεταμένον (**139, 1**) *om* N

εσταλμένον· εὑρίσκομεν δὲ αὐτό, φημὶ δὴ τὸ μυσίν, ἔχον τὸ ῡ ἐκτεταμένον καὶ συνεσταλμένον ἐν τῇ Βατραχομυομαχίᾳ.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶς τοῦ υἱέσι παρ' Ἀθηναίοις»· υἱεύς γὰρ ἡ εὐθεῖα τῶν ἑνικῶν ὡς Πηλεύς, καὶ λέγουσι τὴν δοτικὴν τῶν πληθυντικῶν υἱέσιν, ὀφείλοντες εἰπεῖν τοῖς υἱεῦσιν ὥσπερ τοῖς Πηλεῦσι· «καὶ τοῦ δρομέσι παρὰ Καλλιμάχῳ» ⟨fragm. 555 Sch.⟩· ἐκεῖνος γὰρ οὕτως ἐπέγραψεν, ὀφείλων ἐπιγράψαι δρομεῦσι· δρομεύς γάρ ἐστιν ἡ εὐθεῖα τῶν ἑνικῶν. Ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τοῦ τάλας καὶ τοῦ μέλας»· εἰς σ̄ γάρ ἐστιν ἡ εὐθεῖα ἐπὶ τούτων μετὰ μακρᾶς καὶ περιττοσυλλάβως κλίνεται τάλανος καὶ μέλανος καὶ οὐ συναιρεῖται κατὰ τὴν γενικήν, καὶ ὅμως οὐ φυλάττει τὸ ᾱ ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν ἀλλὰ συνεσταλμένον· καὶ λέγομεν ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, οἷον ἀπὸ τῆς τάλανι καὶ μέλανι, τροπῇ τοῦ ν̄ εἰς σ̄· πᾶσα γὰρ δοτικὴ ἑνικῶν εἰς ν̄ῑ λήγουσα μὴ οὖσα κατὰ μεταπλασμὸν τροπῇ τοῦ ν̄ εἰς σ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον μηνί μησί, χηνί χησί, ποιμένι ποιμέσι, λιμένι λιμέσι, Πλάτωνι Πλάτωσι, Μέμνονι Μέμνοσι, Τρύφωνι Τρύφωσιν· οὕτως οὖν καὶ τάλανι τάλασι καὶ μέλανι μέλασι· καὶ λοιπὸν ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν συστέλλει τὸ ᾱ, εἰκότως καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν συστέλλει αὐτὸ ὡς ἐξ αὐτῆς γεγενημένη. Πρόσκειται «μὴ οὖσα κατὰ μεταπλασμόν», ἐπειδή ἐστιν ἡ ὑσμίνη τῆς ὑσμίνης τῇ ὑσμίνῃ καὶ ἡ Δωδώνη τῆς Δωδώνης τῇ Δωδώνῃ
116 g διὰ τοῦ η̄ καὶ ῑ, καὶ κατὰ μεταπλασμὸν γίνεται τῇ ὑσμῖνι καὶ τῇ Δωδῶνι διὰ τοῦ ῑ μόνου, οἷον ὡς παρὰ τῷ ποιητῇ ⟨Θ 56⟩ μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι, καὶ παρὰ Καλλιμάχῳ ⟨fragm. 306 Sch.⟩ μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον· καὶ ἰδοὺ ταῦτα εἰς ν̄ῑ λήγουσι καὶ οὐ τρέπουσι τὸ ν̄ εἰς τὸ σ̄ καὶ ποιοῦσι τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν ταῖς ὑσμῖσι καὶ ταῖς Δωδῶσιν, ἀλλὰ ταῖς ὑσμίναις καὶ ταῖς Δωδώναις· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ κατὰ μεταπλασμὸν γεγόνασιν αἱ δοτικαὶ τῶν ἑνικῶν, καὶ τούτου χάριν εἰς ν̄ῑ λήγουσιν. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «καὶ χωρὶς τοῦ κτείς κτενός καὶ δείς δενός», ὅπερ μετὰ τῆς οὔ ἀποφάσεως καὶ τῆς μή ἀπαγορεύσεως γίνεται οὐδείς οὐδενός καὶ μηδείς μηδενός· ταῦτα γὰρ οὐ προσλαμβάνουσι τὸ ῑ κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ ποιοῦσι τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖς κτεισί καὶ τοῖς δεισί καὶ τοῖς οὐδεισί καὶ τοῖς μηδεισίν, ἀλλὰ τοῖς κτεσί καὶ τοῖς οὐδέσι καὶ τοῖς μηδέσι διὰ τοῦ ε̄ μόνον· ἀπὸ γὰρ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται

[Discr. scr. ex NCV] **2** ἐν τῇ Βατρ.] *cfr. Lobeckius, Path. 2, 118* ‖ **3** ἐν *om* NC ‖ **9** τοῦ τάλας χωρὶς NC ‖ **15** ν̄ῑ] ν̄ NC ‖ **21** ἡ ὑσμήνη N ‖ **22** τῆς ὑσμήνης τῇ ὑσμήνῃ NC ‖ **23** ὑσμῆνι NC; *item v. 25* ‖ **26** μή με τὸν] μήτε τὴν NC, μή με τὴν V ‖ **28** ὑσμῆσι NC | ὑσμήναις NC ‖ **29** ἀντίκειται NC ‖ **30** εἰς ν̄ῑ] εἰς ν̄ NCV ‖ **37** καὶ τοῖς οὐδεισί *om* C | καὶ τοῖς μηδεισὶ καὶ τοῖς οὐδεισὶν N | οὐδέσι V, οὐδεσὶ NC | καὶ τοῖς μηδέσι *om* NC

ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, τροπῇ τοῦ ν̄ εἰϲ ϲ̄, τῷ προλεχθέντι κανόνι, οἷον κτενί κτεϲί, μηδενί μηδέϲι, οὐδενί οὐδέϲιν.

Ἔτι δεῖ προϲθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «καὶ χωρὶϲ τῶν εἰϲ ω̄ϲ̄ μετοχικῶν ὀνομάτων καὶ τῶν εἰϲ ω̄ϲ̄ μετοχῶν», οἷον Ἀραρώϲ Ἀραρότοϲ Ἀραρόϲιν (ἔϲτι δὲ ὄνομα υἱοῦ τοῦ Ἀριϲτοφάνουϲ), Ὑποδεδιώϲ Ὑποδεδιότοϲ Ὑποδεδιόϲιν (ἔϲτι δὲ εἶδοϲ ὀρνέου), τετυφώϲ τετυφότοϲ τετυφόϲι, πεποιηκώϲ πεποιηκότοϲ πεποιηκόϲι· ταῦτα γὰρ οὐ προϲλαμβάνουϲι τὸ ῑ καὶ ποιοῦϲι τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ Ἀραρῶϲι καὶ Ὑποδεδιῶϲι καὶ τετυφῶϲι καὶ πεποιηκῶϲι διὰ τοῦ ω̄, ἀλλὰ τοῖϲ Ἀραρόϲι καὶ Ὑποδεδιόϲι καὶ τετυφόϲι καὶ πεποιηκόϲι διὰ τοῦ ο̄. Καὶ λέγομεν ὅτι ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, οἷον ἀπὸ τῆϲ Ἀραρότι καὶ Ὑποδεδιότι καὶ τετυφότι καὶ πεποιηκότι· κανὼν γάρ ἐϲτιν ὁ λέγων, ὅτι πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα πρὸ τοῦ ῑ λαμβάνουϲα τὸ 117 g ϲ̄ καὶ ἀποβάλλουϲα τὰ μὴ δυνάμενα ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχεῖα τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφεϊ ὄφεϲι, [Πηλέϊ Πηλέϲι] ταχέϊ ταχέϲι, βραδέϊ βραδέϲι, Πλάτωνι Πλάτωϲι, Μέμνονι Μέμνοϲιν, Ἕκτορι Ἕκτορϲι, Πάριδι Πάριϲιν· οὕτωϲ οὖν καὶ Ἀραρότι Ἀραρόϲι καὶ Ὑποδεδιότι Ὑποδεδιόϲι καὶ τετυφότι τετυφόϲι καὶ πεποιηκότι πεποιηκόϲι, τοῦ ϲ̄ προϲελθόντοϲ καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχείων, φημὶ δὴ τὸ τ̄.

Ἔτι δεῖ προϲθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «κοινολεκτουμένη», τουτέϲτι κατὰ κοινὴν διάλεκτον, ἵνα εὑρεθῇ ὁ κανὼν οὕτωϲ, ὅτι πᾶϲα εὐθεῖα ἑνικῶν κοινολεκτουμένη εἰϲ ϲ̄ λήγουϲα μετὰ μακρᾶϲ περιττοϲυλλάβωϲ κλινομένη καὶ μὴ ϲυναιρουμένη κατὰ τὴν γενικὴν προϲθέϲει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· τὸ γὰρ τάλαϲ καὶ μέλαϲ καὶ Θόαϲ οἱ Αἰολεῖϲ τάλαιϲ καὶ μέλαιϲ καὶ Θόαιϲ λέγουϲιν· καὶ ἰδοὺ εἰϲ ϲ̄ ἐϲτὶν ἡ εὐθεῖα μετὰ μακρᾶϲ καὶ περιττοϲυλλάβωϲ κλίνεται καὶ οὐ ϲυναιρεῖται κατὰ τὴν γενικήν, καὶ ὅμωϲ οὐ προϲλαμβάνει τὸ ῑ καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖϲ τάλαιϲι καὶ μέλαιϲι καὶ Θόαιϲι διὰ τῆϲ α̅ι̅ διφθόγγου τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀλλὰ τοῖϲ τάλαϲι καὶ μέλαϲι καὶ Θόαϲιν, ἀπὸ τῆϲ εὐθείαϲ τοῦ τάλαϲ καὶ μέλαϲ καὶ Θόαϲ. Ἐν οἷϲ ϲὺν θεῷ καὶ ἡ πρᾶξιϲ.

Τοὺϲ Αἴανταϲ. Κανονίζων τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ἀπὸ τῆϲ αἰτιατικῆϲ τῶν ἑνικῶν αὐτὴν κανονίζει λέγων, ὅτι πᾶϲα αἰτιατικὴ ἑνικῶν εἰϲ ᾱ λήγουϲα προϲθέϲει τοῦ ϲ̄ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον Αἴαντα Αἴανταϲ, Θόαντα Θόανταϲ, Λάχητα Λάχηταϲ, ἔρωτα ἔρωταϲ, Κύπριδα Κύπριδαϲ. Δεῖ προϲθεῖναι ἐν τῷ κανόνι «χωρὶϲ τῶν ἀπὸ τῶν εἰϲ ω̄ καὶ εἰϲ ω̄ϲ̄ θηλυκῶν καὶ τῶν οὐδετέρων καὶ τῶν πεπονθότων». Πρόϲκειται «χωρὶϲ μὲν τῶν ἀπὸ

[Discr. scr. ex NCV] **1** προλεχθ.] *cfr. p. 139, 15* ‖ **2** μηδεϲὶ *et* οὐδεϲίν NC ‖ **4** οἷον *om* N ‖ **16** πηλέϊ πηλέϲι NCV, ἠδέϊ ἡδέϲι *Lentzius* ‖ **24** ἑνικῶν *om* V; *cfr. p. 137, 31* ‖ **34** Τοὺϲ Αἴανταϲ *om* NC ‖ **35** αὐτὴν *om* NC

τῶν εἰς ω̄ καὶ εἰς ω̄ς̄ θηλυκῶν» διὰ τὸ ἡ Λητώ καὶ ἡ Σαπφώ καὶ ἡ αἰδώς καὶ ἡ ἠώς· ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ ἑνικαὶ αἰτιατικαὶ εἰς ᾱ λήγουσιν, οἷον τὴν Λητόα καὶ Σαπφόα καὶ αἰδόα καὶ ἠόα, καὶ ὅμως αἱ 118 g πληθυντικαὶ αἰτιατικαὶ αὐτῶν οὐ γίνονται προσθέσει τοῦ ς̄· οὐδὲ γὰρ λέγομεν τὰς Λητόας καὶ τὰς Σαπφόας καὶ τὰς αἰδόας καὶ τὰς ἠόας, ἀλλὰ τὰς Λητούς καὶ τὰς Σαπφούς καὶ τὰς αἰδούς καὶ τὰς ἠούς. «Χωρὶς δὲ τῶν οὐδετέρων» πρόσκειται διὰ τὸ βῆμα καὶ ἅρμα· ἰδοὺ γὰρ ἐπὶ τούτων εἰς ᾱ λήγει ἡ αἰτιατικὴ τῶν ἑνικῶν, καὶ ὅμως οὐ ποιεῖ προσθέσει τοῦ ς̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν βήμας καὶ ἅρμας τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, ἀλλὰ τὰ βήματα καὶ τὰ ἅρματα. Πρόσκειται «χωρὶς τῶν πεπονθότων» διὰ τὸ νιφάς νιφάδος νιφάδι νιφάδα· τὸ γὰρ νιφάδα γίνεται κατὰ πάθος, ἤγουν κατὰ ἀποκοπήν, νίφα, ὡς [παρὰ τῷ ποιητῇ] ⟨Hes. Opp. 535⟩ ἀλευάμενοι νίφα λευκήν· ἰδοὺ γὰρ εἰς ᾱ λήγει ἡ αἰτιατικὴ τῶν ἑνικῶν, καὶ ὅμως οὐ ποιεῖ προσθέσει τοῦ ς̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τὰς νίφας ἀλλὰ τὰς νιφάδας. Ταῦτα μὲν ἐν τούτοις.

Δυνατὸν δέ ἐστι κανονίσαι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν καὶ ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς λέγει, ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ε̄ς̄ λήγουσα τροπῇ τοῦ ε̄ εἰς ᾱ τὴν αἰτιατικὴν ποιεῖ, οἷον Αἴαντες Αἴαντας, Λάχητες Λάχητας, ἔρωτες ἔρωτας, βότρυες βότρυας. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Ὦ Αἴαντες. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική, οἷον Αἴαντε ὦ Αἴαντε, Αἴαντες ὦ Αἴαντες, Λάχητε ὦ Λάχητε, Λάχητες ὦ Λάχητες.

Κανὼν β'.

Ὁ κοχλίας τοῦ κοχλίου.

Μετὰ τὰ εἰς ᾱς̄ δισύλλαβα κανονίζει ὁ τεχνικὸς τὰ περαιτέρω τῶν δισυλλάβων, τουτέστι τὰ τρισύλλαβα καὶ τὰ περαιτέρω τῶν τρισυλλάβων, καὶ λέγει, ὅτι τὰ εἰς ᾱς̄ καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα εἰς τὴν ο̄ῡ δίφθογγον ἔχουσι τὴν γενικήν, οἷον κοχλίας κοχλίου, Αἰνείας Αἰνείου, Βορέας Βορέου, δρακοντίας δρακοντίου, τραυματίας τραυματίου, ταραξίας ταραξίου. 119 g Δεῖ προσθεῖναι «μὴ ὄντα ἐθνικὰ καὶ ἀπὸ τοῦ π̄ ἀρχόμενα». «Εἰς ᾱς̄» εἶπε διὰ τὰ ἔχοντα ἄλλο φωνῆεν, οἷον διὰ τὸ χαρίεις δαφνήεις τιμήεις· ταῦτα γὰρ καὶ καθαρὰν ἔχουσι τὴν τελευταίαν συλλαβὴν καὶ ὑπὲρ δύο συλλαβάς εἰσι καὶ ἁπλᾶ καὶ βαρύτονα, καὶ ὅμως οὐκ ἔχουσιν εἰς τὴν ο̄ῡ δίφθογγον τὴν γενικήν· χαρίεντος γὰρ καὶ τιμήεντος καὶ δαφνήεντος, ἀλλ' οὐκ εἰσὶν εἰς ᾱς̄. Πρόσκειται «καθαρόν»

[Discr. scr. ex NCV] 2 *post* αἰτιατικαὶ *add* αὐτῶν NC ‖ 5 τὰς *ante* Σαπφόας *et* ἠόας *om* NC ‖ 12 νιφάδα γίνεται V, νίφα γίνεται NC ‖ 13 παρὰ τῷ ποιητῇ *om* V | ἀλευάμενος NC ‖ 18 ἐν τοῖς ἑξῆς] *cfr. p. 14, 1* ‖ 20 τὴν αἰτ. ποιεῖ NC, ποιεῖ τὴν αἰτ. τῶν πληθυντικῶν V ‖ 22 Ὦ Αἴαντες *om* NC ‖ 26 τοῦ κοχλίου *om* NC ‖ 36 γὰρ *om* NC ‖ 37 ἀλλ' V, καὶ NC

διὰ τὸ Ἀκράγας Ἀκράγαντος καὶ Ἀθάμας Ἀθάμαντος· ταῦτα γὰρ οὐκ ἔχουσι τὸ ας καθαρόν, διὸ καὶ περιττοσυλλάβως κλίνονται. «Ὑπὲρ δύο συλλαβάς» πρόσκειται διὰ τὰ προλεχθέντα δισύλλαβα, οἷον διὰ τὸ Θόας καὶ Αἴας καὶ τὰ ὅμοια· ταῦτα γὰρ περιττοσυλλάβως κλίνονται, οἷον Αἴαντος Θόαντος. Πρόσκειται «ἁπλᾶ» διὰ τὸ Λυκοθόας Λυκοθόαντος καὶ Λευκοθόας Λευκοθόαντος· ταῦτα γὰρ σύνθετά εἰσι καὶ τὴν τοῦ ἁπλοῦ κλίσιν ἐφύλαξαν, φημὶ δὴ τὴν τοῦ Θόας Θόαντος. Πρόσκειται «βαρύτονα» διὰ τὰ ὀξύτονα, οἷον διὰ τὸ ἀνδριάς ἀνδριάντος. Πρόσκειται «μὴ ὄντα ἐθνικὰ καὶ ἀπὸ τοῦ π ἀρχόμενα» διὰ τὸ Πικίας Πικίαντος καὶ Πευκετίας Πευκετίαντος· ταῦτα γὰρ ἐθνικά εἰσι καὶ ἀπὸ τοῦ π ἀρχόμενα καὶ περιττοσυλλάβως κλίνονται· τὸ γὰρ Παπίας Παπίου ἀπὸ τοῦ π μὲν ἄρχεται, ἀλλ' οὐκ ἔστιν ἐθνικόν, τὸ δὲ Ὠπίας Ὠπίου ἐθνικὸν μέν ἐστιν, ἀλλ' οὐκ ἄρχεται ἀπὸ τοῦ π ἀλλ' ἀπὸ τοῦ ω. Ταῦτα μὲν ἐν τούτοις.

Σημειοῦται δὲ ὁ τεχνικός τινα περιττοσυλλάβως κλιθέντα, εἰσὶ δὲ ταῦτα· Ἀφίας Ἀφίαντος παρ' Εὐφορίωνι, Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ ⟨fragm. 428 N⟩, Ἐλέας Ἐλέαντος παρὰ Φιλοστεφάνῳ, Σατύας Σατύαντος παρ' Ἡγησίππῳ ⟨fragm. 3 K⟩· εὑρέθη δὲ καὶ τὸ Ἀρύας Ἀρύαντος περιττοσυλλάβως κλιθέν, οἷον αἱ δὲ πέρην Ἀρύαντος ἐπὶ προχοαῖς ποταμοῖο παρ' Ἐρατοσθένει, καὶ Παρίας Παρίαντος· ἔστι δὲ ὄνομα κύριον καὶ διὰ τοῦ ι γράφεται· τὸ δὲ σημαῖνον τὸν ὄφιν διὰ τῆς ει διφθόγγου γράφεται, οἷον παρείας παρείου, ὡς παρ' Ἀριστοφάνει ⟨Plut. 690⟩ ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις· παρείας δέ ἐστιν εἶδος ὄφεως ἔχων τὰς παρειὰς ἐπηρμένας· ταῦτα δὲ πάντα περιττοσυλλάβως δεῖ κλῖναι· εὕρηνται δὲ καὶ ἰσοσυλλάβως κλινόμενα, οἷον ὁ Φλεγύας τοῦ Φλεγύου καὶ οἱ Φλεγύαι τοὺς Φλεγύας, ὡς παρὰ τῷ ποιητῇ ⟨N 302⟩ ἠὲ μετὰ Φλεγύας μεγαλήτορας. Ταῦτα μὲν ἐν τούτοις.

Προστίθησι δὲ ὁ τεχνικὸς Θεοδόσιος, ὅτι ὅταν γένηται εἰς α ἡ γενική, οἷον τοῦ Παπία καὶ τοῦ Αἰνεία, Δωρικὴ ἡ κλίσις ἐγένετο ἐπικρατήσασα κατὰ τὴν κοινὴν διάλεκτον. Ἔστι δὲ εἰπεῖν, ὅτι ἐπὶ μὲν τῶν εἰς ας βαρυτόνων ἐὰν εὕρωμεν εἰς α τὴν γενικήν, οἷον τοῦ Παπία καὶ τοῦ κοχλία, Δωρικὴν αὐτὴν λέγομεν, τῇ κοινῇ διαλέκτῳ συνήθη γενομένην· ἐπὶ δὲ τῶν εἰς ας περισπωμένων ἐὰν εἰς α εὕρωμεν τὴν γενικήν, οὐκέτι Δωρικὴν αὐτὴν λέγομεν ἀλλὰ κοινήν, οἷον ὁ Μηνᾶς τοῦ Μηνᾶ, ὁ Ζηνᾶς τοῦ Ζηνᾶ, ὁ Μητρᾶς τοῦ Μητρᾶ· ταῦτα γὰρ οὐ Δωρίδος ἀλλὰ κοινῆς ἐστι διαλέκτου. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCV] 4 κλίνεται N ‖ 7 δὴ] δὲ NC | Θόας *om* NC ‖ 12 π *om* N ‖ 15 σημειοῦται — τινα NC, σημειοῦνταί τινα οἱ τεχνικοί V ‖ 16 παρ' Εὐφορίωνι] *cfr. Mein. Anall. Alex. p. 148* ‖ 18 Ἀρύας *om* NC ‖ 19 αἱ V, ἡ C, τὸ N | πέρην V, ὑπὲρ NC ‖ 20 ποταμοῖο V, ποταμίων NC | παρ' Ἐρατοσθένει] *cfr. EHiller, Erat. carm. rel. p. 15* ‖ 26 οἱ Φλεγύαι C, οἱ Φλεγῦαι N, οἱ Φλεγύες V ‖ 30 Αἰνεία NC, Ἑρμεία V | ἡ *ante* κλίσις *om* NC | ἐγένετο CV, ἐστὶν *et in marg.* γρ. ἐγένετο N ‖ 33 συνήθη NC, μὴ συνήθη V

Τούτων δὲ οὕτως ἐχόντων ἀποροῦςί τινες λέγοντες, διὰ ποίαν αἰτίαν τῆς Δωρίδος διαλέκτου ἐμνημόνευςεν ἐνταῦθα ὁ τεχνικὸς καὶ μὴ ἄλλης διαλέκτου. Καὶ ἔςτιν εἰπεῖν, ὅτι αὐτὴ ἡ Δωρικὴ διάλεκτος τῇ κοινῇ διαλέκτῳ ςυνήθης ἐςτὶν εἰς τὰ προκείμενα ὀνόματα· τοῦ Παπία γὰρ καὶ τοῦ Αἰνεία λέγουςιν οἱ Δωριεῖς ὁμοίως τῇ κοινῇ διαλέκτῳ· τούτου χάριν αὐτῆς ἐμνημόνευςεν. Δεῖ δὲ γινώςκειν ὅτι τὸ Αἰνείας Αἰνείου Αἰνεία λέγουςιν οἱ Δωριεῖς διὰ μακροῦ τοῦ ᾱ, οἱ δὲ Βοιωτοὶ Αἰνείαο προςτιθέντες τὸ ο̄, οἱ δὲ Ἴωνες Αἰνείεω, τὸ ᾱ εἰς ε̄ τρέποντες καὶ τὸ ο̄ εἰς ω̄. Ἰςτέον δὲ ὅτι τὸ Αἰνείαο ἐκτείνεται κατὰ τὴν παραλήγουςαν, ἤγουν μακρὸν ἔχει τὸ ᾱ· πᾶςα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουςα καὶ περιττοςυλλαβοῦςα τῆς ἰδίας εὐθείας ἢ ἐκτείνει τὴν λήγουςαν καὶ ςυςτέλλει τὴν παραλήγουςαν, οἷον Ἀτρείδεω Πριαμίδεω, ἢ ςυςτέλλει τὴν λήγουςαν καὶ ἐκτείνει τὴν παραλήγουςαν, οἷον καλοῖο ςοφοῖο Πριάμοιο ποταμοῖο ὠκεανοῖο· εἰ οὖν τὸ Αἰνείαο οὐκ ἐξέτεινε τὴν τελευταίαν ςυλλαβήν, ἀνάγκην ἔχει τὴν παραλήγουςαν ἐκτεῖναι· ἄρα οὖν μακρὸν ἔχει τὸ ᾱ. Πρόςκειται «εἰς φωνῆεν λήγουςα» διὰ τὸ
121 g Δημοςθένεος καὶ Διομήδεος· ἐπὶ τούτων γὰρ καὶ ἡ λήγουςα καὶ ἡ παραλήγουςα ςυςτέλλονται, ἀλλ᾽ οὐ λήγουςιν εἰς φωνῆεν ἀλλ᾽ εἰς ςύμφωνον· πρόςκειται «περιττοςυλλαβοῦςα τῆς ἰδίας εὐθείας» διὰ τὸ Ὁμήρου καὶ ἀνθρώπου· ταῦτα γὰρ εἰς φωνῆεν λήγουςιν, καὶ ὅμως καὶ ἡ παραλήγουςα καὶ ἡ λήγουςα ἐκτείνονται, ἀλλ᾽ οὐ περιττοςυλλαβοῦςι τῆς ἰδίας εὐθείας. Ἐν οἷς ςὺν θεῷ καὶ ἡ πρᾶξις.

Τῷ κοχλίᾳ. Κανονίζων τὴν δοτικὴν ἀπὸ τῆς γενικῆς αὐτὴν κανονίζει λέγων, ὅτι πᾶςα γενικὴ ἰςοςυλλαβοῦςα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουςαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιςτοίχου, οἷον ὁ Πέρςης τοῦ Πέρςου τῷ Πέρςῃ· ἰδοὺ τοῦτο ἔχει τὴν γενικὴν ἰςοςύλλαβον τῇ εὐθείᾳ, ἔχει δὲ καὶ τὴν δοτικὴν εἰς ῑ ἀνεκφώνητον λήγουςαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, φημὶ δὴ τοῦ η̄, τὸ δὲ ῑ ἀνεκφώνητόν ἐςτιν, ἐπειδή, ὡς ἐμάθομεν, τὸ ῑ τότε εὑρίςκεται ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ ςυλλαβῇ, οἷον τῷ Χρύςῃ, τῷ ςοφῷ, τῷ Αἰνείᾳ· πάλιν ἐςτὶν ἡ Μήδεια τῆς Μηδείας τῇ Μηδείᾳ, καὶ ἰδοὺ τούτου ἡ γενικὴ ἰςοςυλλαβεῖ τῇ εὐθείᾳ, ἀλλὰ καὶ ἡ δοτικὴ εἰς ῑ ἀνεκφώνητον λήγει μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, φημὶ δὴ τοῦ ᾱ· τὸ δὲ ᾱ μακρὸν ἔχει ἡ δοτικὴ ὥςπερ ἡ γενική· ἡ δὲ γενικὴ μακρὸν ἔχει τὸ ᾱ, ἐπειδὴ πᾶςα γενικὴ ἰςοςυλλάβως κλινομένη μακροκαταληκτεῖν θέλει, οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, δίψα δίψης, Μοῦςα Μούςης, Ἀντιόχεια Ἀντιοχείας, Ἀπάμεια Ἀπαμείας· οὕτως οὖν καὶ τὸ Μήδεια Μηδείας διὰ μακροῦ τοῦ ᾱ κατὰ τὴν γενικήν. Πρόςκειται «ἰςο-

[Discr. scr. ex NCV] **6** δὲ *om* NC ‖ **7** βοιοτοὶ N ‖ **13** καλλοῖο NC ‖ **16** λήγουςα V, λήγουςαν NC ‖ **17** διμοςθένεος N ‖ **23** Τῷ κοχλίᾳ V, δοτικὴ N, *om* C | αὐτὴν *om* NC ‖ **25** τοῦ φωνήεντος NC, τῶν φωνηέντων V ‖ **26** ὁ Πέρςης — Πέρςῃ (27) NC, τῷ Χρύςῃ V ‖ **27** ἰδοὺ — τῷ Αἰνείᾳ (32) *om* V | γενικὴν C, αἰτιατικὴν N ‖ **29** τοῦ η̄ C, τὸ η̄ N

συλλάβως κλινομένη» διὰ τὸ Αἴας Αἴαντος καὶ Λάχης Λάχητος· ταῦτα γὰρ οὐ μακροκαταληκτοῦσι κατὰ τὴν γενικήν, ἀλλ᾽ οὐ κλίνονται ἰσοσυλλάβως ἀλλὰ περιττοσυλλάβως· αἱ πατρός καὶ μητρός γενικαὶ ἰσοσυλλαβοῦσαι ταῖς ἰδίαις εὐθείαις, φημὶ δὴ τῇ πατήρ καὶ μήτηρ, καὶ μὴ μακροκαταληκτοῦσαι οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐ κλίνονται ἰσοσυλλάβως· πατήρ γὰρ πατέρος ἦν καὶ μήτηρ μητέρος, καὶ κατὰ συγκοπὴν τοῦ ε̄ γεγόνασι πατρός καὶ μητρός, καὶ λοιπὸν ἡ συγκοπὴ γέγονεν αἰτία τῆς 122 g ἰσοσυλλαβίας. Πρόσκειται «κλινομένη» διὰ τὸ ἄλφα τοῦ ἄλφα καὶ τὸ βῆτα τοῦ βῆτα· τούτων γὰρ ἡ γενικὴ οὐ μακροκαταληκτεῖ· ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ μονόπτωτά εἰσιν, καὶ τὴν αὐτὴν φωνὴν πάντως φυλάττουσιν. Ἐπειδὴ οὖν ἐν τῇ Μηδείας γενικῇ μακρόν ἐστι τὸ ᾱ διὰ τὸν προλεχθέντα κανόνα, τούτου χάριν καὶ ἐν τῇ Μηδείᾳ δοτικῇ μακρόν ἐστι τὸ ᾱ· πᾶσα γὰρ δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ καὶ ἰσοχρονεῖν αὐτῇ θέλει, οἷον Αἴαντος Αἴαντι, Λάχητος Λάχητι, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ· εἰ ἄρα οὖν, ὡς δέδεικται, ἐν τῇ Μηδείας γενικῇ μακρόν ἐστι τὸ ᾱ, δηλονότι καὶ ἐν τῇ Μηδείᾳ δοτικῇ μακρὸν ἀναγκάζεται εἶναι. Πρόσκειται «ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ» διὰ τὸ ταχέος ταχεῖ καὶ βραδέος βραδεῖ· ἐπὶ τούτων γὰρ ἡ δοτικὴ μακροκαταληκτεῖ τῆς γενικῆς βραχυκαταληκτούσης· ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ. Ἄλλως τε δὲ διὰ τοῦτο ἐν τῇ Μηδείᾳ δοτικῇ μακρόν ἐστι τὸ ᾱ, ἐπειδὴ τὸ ῑ ἀνεκφώνητόν ἐστιν· ἐμάθομεν δὲ ὅτι τὸ ῑ τότε εὑρίσκεται ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῇ Μηδείᾳ. Πάλιν ἐστὶν ὁ καλός τοῦ καλοῦ τῷ καλῷ, καὶ ἰδοὺ ἡ γενικὴ ἰσοσυλλαβεῖ τῇ εὐθείᾳ καὶ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν, οὐ μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, ἀλλὰ μετὰ μείζονος ἀντιστοίχου, φημὶ δὴ τοῦ ω̄· τὸ γὰρ ω̄ μεῖζον ἀντίστοιχόν ἐστι τοῦ ο̄. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν οὐκ ἐφυλάχθη τὸ φωνῆεν τῆς εὐθείας ἐν τῇ δοτικῇ, φημὶ δὴ τὸ ο̄· καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο οὐκ ἐφυλάχθη τὸ ο̄ τῆς εὐθείας ἐν τῇ δοτικῇ, ἐπειδὴ εἰ ἐφυλάχθη τὸ ο̄ τῆς εὐθείας ἐν τῇ δοτικῇ, οὐκ ἠδύνατο τὸ ῑ ἀνεκφώνητον εἶναι· ἐμάθομεν γὰρ ὅτι τὸ ῑ τότε ἐστὶν ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῷ κοχλίᾳ. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶς τῶν εἰς ῡς ὑποκοριστικῶν»· τὰ γὰρ εἰς ῡς ὑποκοριστικὰ ἔχουσι τὴν γενικὴν ἰσοσύλλαβον τῇ εὐθείᾳ, καὶ ὅμως οὐκ ἔχουσι τὴν δοτικὴν εἰς ῑ ἀνεκφώνητον λήγουσαν, οἷον ὁ Διονῦς τοῦ Διονῦ τῷ Διονῦ, ὁ Καμμῦς τοῦ Καμμῦ 123 g

---

[Discr. scr. ex NCV] **1** καὶ Λάχης — ἰσοσυλλαβίας (8) *om* V ‖ **6** ἦν] ἦσαν NC ‖ **8** ἰσοσυλλαβίας] κλίσεως NC ‖ **10** ἀντίκειται NC | πάντως N, πανταχοῦ CV ‖ **14** αὐτῇ *ex* αὐτὴν *corr.* V[1], αὐτὴν NC | ὅμηρος ὁμήρῳ N ‖ **27** ἀντὶ στίχου N ‖ **28** ἀντίστιχον N ‖ **39** ὁ διονῦς τοῦ διονὺ τῷ διονὺ, ὁ καμμῦς (καμμὺς C) τοῦ καμμὺ τῷ καμμὺ, ὁ λαρδῦς (λαρδὺς C) τοῦ λαρδὺ τῷ λαρδὺ, ὁ κλαυςῦς τοῦ κλαυςὺ

τῷ Καμμῦ, ὁ Λαρδῦc τοῦ Λαρδῦ τῷ Λαρδῦ, ὁ Κλαυcῦc τοῦ Κλαυcῦ τῷ Κλαυcῦ· τούτων γὰρ αἱ δοτικαὶ χωρὶc τοῦ ι̅ εἰcίν· οὐκ ἠδύναντο γὰρ ταῦτα τὰ ὀνόματα ἔχειν ἐν τῇ δοτικῇ τὸ ι̅, ἐπειδὴ οὐδέποτε ἡ υ̅ι̅ δίφθογγοc ἐν τέλει λέξεωc εὑρίcκεται, οἷον μυῖα ἅρπυια υἱόc· ἐν γὰρ τῷ ⟨Π 565⟩ cύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεcθαι οὐκ ἔcτιν ἐν διφθόγγῳ τὸ υ̅ καὶ τὸ ι̅, ἀλλ' ἐν τῷ μέτρῳ κατὰ cυνίζηcιν μετροῦνται, τουτέcτιν αἱ δύο cυλλαβαὶ εἰc μίαν cυλλαβήν, ἤγουν τὸ υ̅ καὶ τὸ ι̅, ὥcπερ ἐν τῷ ⟨Α 15⟩ χρυcέῳ ἀνὰ cκήπτρῳ τὸ ε̅ καὶ τὸ ῳ̅ δίφθογγον εἰc μίαν cυλλαβὴν μετροῦνται, οἷον χρυcῷ.

Καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν οὐδέποτε ἡ υ̅ι̅ δίφθογγοc ἐν τέλει λέξεωc εὑρίcκεται· καὶ ἔcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υ̅ι̅ δίφθογγον εὑρίcκεται cύμφωνον ἐπιφερόμενον, οἷον μυῖα ἅρπυια υἱόc· εἰ ἐτίθετο οὖν ἡ υ̅ι̅ δίφθογγοc ἐν τέλει λέξεωc, cυνέβαινε λέξιν ἐπιφέρεcθαι ἀρχομένην ἀπὸ cυμφώνου, καὶ λοιπὸν εὑρίcκετο μετὰ τὴν υ̅ι̅ δίφθογγον cύμφωνον ἐπιφερόμενον, ὅπερ ἐcτὶν ἀδύνατον. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι οὐ μόνον τὰ εἰc υ̅c̅ ὑποκοριcτικὰ cημειούμεθα ἐν τῷ κανόνι, ἀλλὰ καὶ τὰ εἰc ι̅c̅ περιcπώμενα· ταῦτα γὰρ ἀποβολῇ τοῦ c̅ ποιοῦcι τὴν γενικήν, οἷον ὁ κομβῖc τοῦ κομβῖ· ἰδοὺ ἡ δοτικὴ οὐκ ἔχει ἀνεκφώνητον τὸ ι̅ ἀλλ' ἐκφωνούμενον, οἷον τῷ κομβῖ, ἐπειδὴ οὔτε τὸ η̅ ἔχει, οὔτε τὸ ω̅, οὔτε τὸ α̅ μακρόν, ἀλλὰ τὸ ι̅· τότε δέ, ὡc εἴρηται, τὸ ι̅ ἀνεκφώνητόν ἐcτιν, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἢ μετὰ τοῦ α̅ μακροῦ ἐν μιᾷ cυλλαβῇ· ἰcτέον δὲ ὅτι μονῆρέc ἐcτι τὸ ὄνομα τοῦτο, οὐκ ἔχει γὰρ ἄλλο ὅμοιον αὐτῷ ἐν χρήcει.

124 g Ἔτι δεῖ προcθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶc τῶν μονοπτώτων», διὰ τὸ ἄλφα τοῦ ἄλφα τῷ ἄλφα καὶ τὸ βῆτα τοῦ βῆτα τῷ βῆτα καὶ τὸ γάμμα τοῦ γάμμα τῷ γάμμα· ἐπὶ τούτων γὰρ οὐ προcγράφεται τὸ ι̅ ἐν τῇ δοτικῇ, ἐπειδὴ μονόπτωτά εἰcι καὶ τὴν αὐτὴν φωνὴν πανταχοῦ φυλάττουcιν. Ἔτι δεῖ προcθεῖναι «χωρὶc τῶν κατὰ διάλεκτον», ἐπειδὴ οἱ Αἰολεῖc ταῖc εἰc ω̅ ληγούcαιc δοτικαῖc οὐ προcγράφουcι τὸ ι̅, τῶ Ὁμήρω γάρ φαcι καὶ τῶ cοφῶ χωρὶc τοῦ ι̅· καὶ πάλιν οἱ Βοιωτοὶ ταῖc εἰc η̅ ληγούcαιc δοτικαῖc οὐ προcγράφουcι τὸ ι̅, τῆ Ἑλένη γάρ φαcι καὶ τῆ Πηνελόπη χωρὶc τοῦ ι̅.

Ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶc τῶν διὰ τὸ μέτρον»· ἔcτι γὰρ ὁ Ζήλαc τοῦ Ζήλα (οὕτω δὲ λέγεται κατὰ Θρᾷκαc ὁ οἶνοc), καὶ τούτου ἡ δοτικὴ εὑρίcκεται παρὰ τῷ Εὐπόλιδι χωρὶc τοῦ ι̅· cυcτεῖλαι γὰρ βουλόμενοc τὸ α̅ οὐ προcέγραψε τὸ ι̅, οἷον ⟨fragm. 355 K⟩ ταυτὸν ποιεῖ

[Discr. scr. ex NCV] τῷ κλαυcὺ NC | ὁ Καμμῦc — τῷ Καμμῦ (**145, 1**)] ὁ καρβὺc τοῦ καρβὺ τῷ καρβὺ V ‖ **5** cυμβάλλον cύμφιον νέκυϊ κατατεθνειότι μάχεcθαι NC ‖ **19** ὁ κομβῖc (κομβὶc C) τοῦ κομβὶ NC, ὁ καμῖc τοῦ καμῖ V ‖ **20** ἀλλ' — κομβῖ *om* V ‖ **31** καὶ τῶ cοφῶ *om* V; *debebat* cόφω, *cfr. RMeister, Die gr. Dial. 1, 35* ‖ **32** βοιοτοὶ N ‖ **34** ὁ Ζήλαc τοῦ Ζήλα V, ὁ Ζελᾶc τοῦ Ζελὰ τῷ Ζελὰ NC ‖ **35** ὁ οἶνοc NC, ὁ ὄνοc V ‖ **36** παρὰ τῷ Εὐπόλιδι V, παρ' Εὐπόλιδι *et in marg.* Εὐπολίδη N[1], παρ' Εὐριπίδη C ‖ **37** οἷον — cυγ-

τό τ' Ἀττικὸν τῷ Ζῆλα cυγκεραννύc. Ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶc τῶν πεπονθότων»· ἔcτι γὰρ τῷ κυανοχαίτῃ καὶ γίνεται κατὰ μεταπλαcμὸν τῷ κυανοχαῖτα, καὶ οὐκ ἔχει προcγεγραμμένον τὸ ῑ, οἷον ὡc παρὰ Ἀντιμάχῳ ⟨fragm. 27 K⟩ πατρί τε κυανοχαῖτα Ποcειδάωνι πεποιθώc, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν· καὶ πάλιν ἐcτὶ πατήρ πατρόc πατρί καὶ μήτηρ μητρόc μητρί, καὶ ἰδοὺ ἐπὶ τούτων ἡ γενικὴ ἰcοcυλλαβεῖ τῇ εὐθείᾳ, καὶ οὐκ ἔχει τὴν δοτικὴν εἰc ῑ ἀνεκφώνητον λήγουcαν, ἀλλ' εἰc ῑ ἐκφωνούμενον· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ γενικὴ καὶ ἰcοcυλλαβεῖ τῇ εὐθείᾳ, ὡcαύτωc δὲ καὶ ἡ δοτικὴ πέπονθεν, οἷον πατέροc πατέρι καὶ μητέροc μητέρι, καὶ κατὰ cυγκοπὴν πατρόc καὶ μητρόc καὶ πατρί καὶ μητρί. Ἐν οἷc cὺν θεῷ καὶ ἡ παροῦcα πρᾶξιc.

Τὸν κοχλίαν. Κανονίζει ὁ τεχνικὸc τὴν αἰτιατικήν, λέγων ὅτι πᾶcα εὐθεῖα ἑνικῶν εἰc c̄ λήγουcα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων εἰc ν̄ αὐτὴν ἔχει λήγουcαν, οἷον ἰχθῦc ἰχθύν, καλόc καλόν, ὅθεν Ἀττικοὶ Δημοcθένην μετὰ τοῦ ν̄ λέγουcιν. Πρόcκειται «ὅταν ἔχῃ τὴν 125 g αἰτιατικὴν ἰcοcύλλαβον» διὰ τὸ Θόαc καὶ Δρύαc καὶ Αἴαc· ταῦτα γὰρ εἰc c̄ λήγουcαν ἔχουcι τὴν εὐθεῖαν, καὶ οὐκ ἔχουcιν ἰcοcύλλαβον τὴν αἰτιατικήν, τὸν Δρύαντα γὰρ καὶ τὸν Θόαντα καὶ τὸν Αἴαντα ἐcτὶν ἡ αἰτιατικὴ περιττοcυλλάβωc, διὸ οὐκ ἔχουcιν αὐτὴν εἰc ν̄ λήγουcαν· διὰ τοῦτο οὖν εἶπεν ὁ τεχνικόc «ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcοcύλλαβον». Πρόcκειται «μετὰ τῶν αὐτῶν φωνηέντων» διὰ τὸ Ἐρετριεύc καὶ Πειραιεύc καὶ Cτειριεύc· ἐπὶ τούτων γὰρ γίνεται ἡ αἰτιατικὴ τὸν Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Cτειριᾶ· καὶ ἰδού ἐcτιν ἡ εὐθεῖα εἰc c̄ λήγουcα καὶ ἔχει τὴν αἰτιατικὴν ἰcοcύλλαβον· ἀλλ' ἐπειδὴ οὐκ ἔcτι μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc, διὰ τοῦτο οὐκ ἐγένετο εἰc ν̄ ἡ αἰτιατική· διὰ τοῦτο οὖν προcέθηκε «μετὰ τῶν αὐτῶν φωνηέντων». Λέγει δὲ ὁ τεχνικόc, ἐπειδὴ τὸ Δημοcθένηc ἔχει τὴν εὐθεῖαν εἰc c̄ λήγουcαν καὶ τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων, τούτου χάριν εἰc ν̄ ἐποίηcαν αὐτὴν ⟨οἱ Ἀττικοί⟩, τὸν Δημοcθένην μετὰ τοῦ ν̄ λέγοντεc τῷ κανόνι τούτῳ ἑπόμενοι. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι τέccαρά τινα ἔχομεν ζητῆcαι ἐνταῦθα· πρῶτον μέν, πότε ἔχει τὴν αἰτιατικὴν ἰcοcύλλαβον ἡ εὐθεῖα· δεύτερον δέ, ὅτι ἀνάγκη προcθεῖναι τὸ «μὴ ἔχουcα κατὰ πάθοc τὴν αἰτιατικήν»· τρίτον δέ, ὅτι περιττῶc κεῖται τὸ «μετὰ τῶν αὐτῶν φωνηέντων»· τέταρτον δέ, διατί οἱ Ἀθηναῖοι τὸν Δημοcθένην μετὰ τοῦ ν̄ λέγουcιν. Ἀλλ' ἔλθωμεν ἐπὶ

[Discr. scr. ex NCV] κεραννύc (1) *om* V ‖ **1** ζελὰ NC | cυγκεραννύc *Dindorfius,* cὺν γὰρ κεραυνοῖc N, cὺν γὰρ κεραννοῖc C ‖ **2** τῷ κυανοχαίτου NC ‖ **3** κυανοχαῖτα *Lobeckius Parall. p. 184,* κυανοχαίτα NCV; *item v. 4* | καὶ οὐκ — Ἀντιμάχῳ (4) NC, ὡc τὸ V ‖ **4** Ποcειδάονι NCV ‖ **13** Τὸν κοχλίαν *om* NC ‖ **14** ἑνικῶν *om* V ‖ **16** οἷον — λέγουcιν (**17**) *om* V | ἰχθῦν NC ‖ **24** καὶ Cτειρ. *om* V | ἐπὶ — τούτοιc (**32**) NC, τούτων γὰρ ἡ αἰτιατικὴ Πειραιέα καὶ Ἐρετριέα V ‖ **26** ἀλλ'] καὶ NC ‖ **31** οἱ Ἀττικοὶ *om* NC

τὸ πρῶτον καὶ εἴπωμεν, πότε ἔχει τὴν αἰτιατικὴν ἰσοσύλλαβον ἡ εὐθεῖα· ἐὰν γὰρ μὴ τοῦτο μάθωμεν, ἔχει τις εἰπεῖν τοῦ πένης καὶ τοῦ Λάχης τὴν αἰτιατικὴν τὸν πένην καὶ τὸν Λάχην [ἀγνοῶν], κεχρημένος τῷ κανόνι τούτῳ, ὅτι «πᾶσα εὐθεῖα εἰς ͞ς λήγουσα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ͞ν αὐτὴν ἔχει λήγουσαν»· τούτου χάριν ζητήσωμεν, πότε ἔχει τὴν αἰτιατικὴν ἰσοσύλλαβον ἡ εὐθεῖα.

126 g Ἰστέον ὅτι τὰ οὐδέτερα ὁμολογουμένως ἔχουσι τὴν αὐτὴν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα, τὸ δένδρον τοῦ δένδρου τῷ δένδρῳ τὸ δένδρον ὦ δένδρον· καὶ ἐπὶ τῶν ἰσοσυλλάβως δὲ κλινομένων ἡ αἰτιατικὴ ἰσοσύλλαβός ἐστι τῇ εὐθείᾳ, οἷον ὁ καλός τοῦ καλοῦ τῷ καλῷ τὸν καλόν, ὁ κοχλίας τοῦ κοχλίου τῷ κοχλίᾳ τὸν κοχλίαν, ὁ Χρύσης τοῦ Χρύσου τῷ Χρύσῃ τὸν Χρύσην· καὶ ἐπὶ τῶν εἰς ͞υ͞ς καὶ ἐπὶ τῶν εἰς ͞ο͞υ͞ς καὶ ἐπὶ τῶν ἐχόντων τὴν γενικὴν εἰς ͞ο͞ς καθαρὸν διχρόνῳ παραληγομένην, οἷον βότρυς βότρυος βότρυν, στάχυς στάχυος στάχυν, χροῦς χροός χροῦν, ὄφις ὄφιος ὄφιν, πόλις πόλιος πόλιν, μάντις μάντιος μάντιν. Ἔχομεν οὖν πότε ἐστὶν ἡ αἰτιατικὴ ἰσοσύλλαβος τῇ εὐθείᾳ.

Ἀποροῦσι δέ τινες λέγοντες, διὰ ποίαν αἰτίαν ἐπὶ μὲν τῶν ἰσοσυλλάβως κλινομένων οὐδέποτε εὑρίσκεται περιττοσύλλαβος ἡ αἰτιατικὴ τῆς ἰδίας εὐθείας, ἀλλ' ἰσοσύλλαβος, οἷον καλός καλοῦ καλόν, κοχλίας κοχλίου κοχλίαν, ἐπὶ δὲ τῶν περιττοσυλλάβως κλινομένων εὑρίσκεται ἡ αἰτιατικὴ οὐ μόνον περιττοσύλλαβος τῆς ἰδίας εὐθείας, οἷον Αἴας Αἴαντος Αἴαντα, ἀλλ' ἔστιν ὅτε καὶ ἰσοσύλλαβος, οἷον πόλις πόλιος πόλιν, στάχυς στάχυος στάχυν. Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο ἐπὶ μὲν τῶν περιττοσυλλάβως κλινομένων πῇ μὲν περιττοσυλλαβεῖ ἡ αἰτιατικὴ τῆς ἰδίας εὐθείας πῇ δὲ ἰσοσυλλαβεῖ αὐτῇ, ἐπειδὴ εἰ μὲν πρὸς τὰς πλαγίους λέγομεν τὴν αἰτιατικήν, ἀναγκάζεται περιττοσυλλαβεῖν τῆς ἰδίας εὐθείας, ἐπειδὴ καὶ αἱ πλάγιοι περιττοσυλλαβοῦσιν αὐτῆς, οἷον Αἴας Αἴαντος Αἴαντα, εἰ δὲ πρὸς τὴν εὐθεῖαν λέγομεν τὴν αἰτιατικήν, ἀναγκάζεται ἰσοσυλλαβεῖν αὐτῇ, οἷον πόλις πόλιν· ἐπὶ δὲ τῶν ἰσοσυλλάβως κλινομένων διὰ τοῦτο ἰσοσυλλαβεῖ τῇ ἰδίᾳ εὐθείᾳ ἀεὶ ἡ αἰτιατική, ἐπειδὴ εἴτε πρὸς τὴν εὐθεῖαν λέγομεν αὐτήν, ἀναγκάζεται ἰσοσυλλαβεῖν αὐτῇ, οἷον ὁ Χρύσης τὸν Χρύσην, εἴτε πρὸς τὰς πλαγίους λέγομεν αὐτήν, πάλιν ἀναγκάζεται ἰσοσυλλαβεῖν τῇ ἰδίᾳ εὐθείᾳ· καὶ γὰρ ἐπὶ τῶν ἰσοσυλλάβως κλινομένων καὶ αἱ πλάγιοι ἰσοσυλλαβοῦσι τῇ ἰδίᾳ εὐθείᾳ, οἷον ὁ Χρύσης τοῦ Χρύσου τῷ Χρύσῃ τὸν Χρύσην ὦ Χρύσῃ. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

127 g Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ τὸ «μὴ ἔχουσα κατὰ πάθος ἤγουν κατὰ ἀποκοπὴν τὴν αἰτιατικήν»· ἰδοὺ γάρ ἐστιν ἱδρώς

[Discr. scr. ex NCV] **3** ἀγνοῶν — λήγουσαν (5) NC, τὸν κανόνα τοῦ τεχνικοῦ ἀγνοῶν V ‖ **7—151, 37** *de commentarii forma breviata quam praebet* V *vide praefationis cap. X b* ‖ **27** λέγομεν] λάβομεν NC, λάβοιμεν V; *item v. 29 et 33* ‖ **32** λέγομεν C, λάβομεν N, λάβοιμεν V ‖ **34** εἰσοσυλλαβεῖν N ‖ **36** τὸν χρύσῃ NC

ἱδρῶτος ἱδρῶτα, καὶ γίνεται κατὰ πάθος ἤγουν κατὰ ἀποκοπὴν ἱδρῶ, οἷον ⟨Χ 2⟩ ἱδρῶ ἀπεψύχοντο, καὶ ἰδού ἐστιν ἡ εὐθεῖα εἰc c̄ λήγουσα καὶ ἔχει τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, καὶ ὅμως οὐκ ἐγένετο εἰc ν̄, ἐπειδὴ πέπονθεν ἀποκοπήν· ἀποκέκοπται γάρ. Ἀλλ' ἐπειδὴ ἀποκοπῆς ἐμνημονεύσαμεν, μάθωμεν τί ἐστιν ἀποκοπή, καὶ τί cυγκοπή, καὶ τί ἀφαίρεcιc. Καὶ ἰcτέον ὅτι ἀποκοπὴ μέν ἐcτι τὸ πάθος τὸ ἐν τῷ τέλει γινόμενον, οἷον δῶμα δῶ, κυκεῶνα κυκεῶ, ἱδρῶτα ἱδρῶ· cυγκοπὴ δέ ἐcτι τὸ πάθος τὸ ἐν τῷ μέcῳ γινόμενον, οἷον ὀπίcωθεν ὄπιcθεν, ἐξαίρετος ἔξαιτος, ὁμοπάτριος ὁμόπατρος· ἀφαίρεcιc δέ ἐcτι ⟨τὸ⟩ πάθος τὸ ἐν τῇ ἀρχῇ γινόμενον, οἷον cῦc ὗc, λείβειν εἴβειν, γαῖα αἶα, ἔφη φῆ, ἔβη βῆ, ἔcτη cτῆ. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι προcτιθεμένου τοῦ «μὴ ἔχουcα κατὰ πάθος τὴν αἰτιατικήν» περιττῶc κεῖται τὸ «μετὰ τῶν αὐτῶν φωνηέντων»· τὸ γὰρ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Cτειριᾶ καὶ εὐφυᾶ καὶ ὑγιᾶ, εἰ καὶ ἔχουcι τὴν εὐθεῖαν εἰc c̄ λήγουcαν καὶ τὴν αἰτιατικὴν ἰcοcύλλαβον τῇ εὐθείᾳ, ἀλλ' οὖν πεπονθότα εἰcί, καὶ τούτου χάριν οὐ λήγουcιν εἰc ν̄ κατὰ τὴν αἰτιατικήν· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Cτειριέα καὶ εὐφυέα καὶ ὑγιέα γεγόναcι κατὰ κρᾶcιν. Περιττῶc οὖν κεῖται τὸ «μετὰ τῶν αὐτῶν φωνηέντων», προcτιθεμένου τοῦ «μὴ ἔχουcα κατὰ πάθος τὴν αἰτιατικήν»· ἐπειδὴ ἰδού ἐcτιν ὁ εὐφυήc τὸν εὐφυῆ καὶ ὁ ὑγιήc τὸν ὑγιῆ καὶ ὁ εὐcεβήc τὸν εὐcεβῆ, καὶ ἰδοὺ ταῦτα ἔχουcι τὴν εὐθεῖαν εἰc c̄ λήγουcαν, καὶ τὴν αἰτιατικὴν ἰcοcύλλαβον καὶ μετὰ τῶν αὐτῶν φωνηέντων, καὶ ὅμως οὐκ ἔχουcιν αὐτὴν εἰc ν̄ λήγουcαν, ἀλλὰ δῆλον ὅτι πεπονθότα εἰcίν· ἀπὸ γὰρ τοῦ εὐφυέα καὶ ὑγιέα καὶ εὐcεβέα γεγόναcι κατὰ κρᾶcιν. Ταῦτα μὲν ἐν τούτοιc.

Περὶ δὲ τοῦ εἰπεῖν τὸν Θεοδόcιον «ὅθεν οἱ Ἀττικοὶ Δημοcθένην μετὰ τοῦ ν̄ λέγουcιν» ἔχομεν ἐν τοῖc ἑξῆc ζητῆcαι καὶ εἰπεῖν, ὅτι τὰ εἰc η̅c̅ εἰc ο̅υ̅c̅ ἔχοντα τὴν γενικὴν τότε εἰc ν̄ ποιοῦcι τὴν αἰτιατικὴν παρὰ τοῖc Ἀθηναίοιc, ὅταν ὦcι κύρια, οἷον ὁ Δημοcθένηc τοῦ Δημοcθένουc τὸν Δημοcθένην, ὁ Διομήδηc τοῦ Διομήδουc τὸν Διομήδην, ὁ Ἀριcτοφάνηc τοῦ Ἀριcτοφάνουc τὸν Ἀριcτοφάνην· ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων οὐ ποιοῦcιν εἰc ν̄ τὴν αἰτιατικήν, τὸν cυνήθη γὰρ καὶ τὸν κακοήθη καὶ τὸν εὐcεβῆ καὶ τὸν εὐφυῆ καὶ τὸν εὐγενῆ φαcὶ χωρὶc τοῦ ν̄. Ἰcτέον δὲ ὅτι περιττῶc κεῖται ἐν τῷ κανόνι τοῦ τεχνικοῦ τὸ «εἰc c̄ λήγουcα», οἷον «πᾶcα εὐθεῖα ἑνικῶν εἰc c̄ λήγουcα»· καὶ χωρὶc γὰρ τοῦ εἰπεῖν «εἰc c̄ λήγουcα» ἔρρωται ὁ κανών· ἰδοὺ γὰρ τὰ εἰc ᾱ καὶ εἰc η̄ λήγοντα θηλυκὰ οὐ λήγουcιν εἰc c̄, καὶ ὅμως εἰc ν̄ ἔχουcι τὴν αἰτιατικήν, οἷον ἡ Μοῦcα τὴν Μοῦcαν, ἡ Μήδεια τὴν Μήδειαν, ἡ τιμή τὴν τιμήν, ἡ Ἀφροδίτη τὴν Ἀφροδίτην, ἡ cοφή τὴν cοφήν. Ταῦτα μὲν ἐν τούτοιc.

[Discr. scr. ex NCV] **4** ἀποκοπὴν *om* C ‖ **7** ἐcτι *om* N | τῷ *om* N | **10** τὸ *ante* πάθος *om* NC ‖ **27** οἱ *om* V ‖ **33** ὄντων] ἐχόντων NC, *om* V

Ὦ κοχλία. Λέγει ὅτι τὰ εἰϲ α̅ϲ̅ ἰϲοϲυλλάβωϲ κλινόμενα ἀποβολῇ τοῦ ϲ̅ ποιεῖ τὴν κλητικήν, οἷον ὁ Ζηνᾶϲ τοῦ Ζηνᾶ ὦ Ζηνᾶ, ὁ Μητρᾶϲ τοῦ Μητρᾶ ὦ Μητρᾶ, ὁ κοχλίαϲ τοῦ κοχλίου ὦ κοχλία, ὁ Αἰνείαϲ τοῦ Αἰνείου ὦ Αἰνεία, ὁ Παπίαϲ τοῦ Παπίου ὦ Παπία. Δεῖ προϲθεῖναι «χωρὶϲ τῶν Ἀττικῶν»· οἱ γὰρ Ἀττικοὶ τὰϲ αὐτὰϲ ἔχουϲιν ὀρθὰϲ καὶ κλητικάϲ, ὁ Αἰνείαϲ ὦ Αἰνείαϲ, ὁ κοχλίαϲ ὦ κοχλίαϲ· καὶ «χωρὶϲ τοῦ ἀκαμαντοχάρμαν Αἶαν» παρὰ Πινδάρῳ· οὗτοϲ γὰρ τὴν κλητικὴν εἰϲ ν̅ εἶπεν, οἷον ⟨fragm. 184 B[4]⟩ ὑπερμενὲϲ ἀκαμαντοχάρμαν Αἶαν· ἀλλ' ἔϲτιν εἰπεῖν, ὅτι ἢ κατὰ ϲυνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἀκαμαντοχάρμαν εἰϲ ν̅, ἢ διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων· εἰ γὰρ εἶπεν ἀκαμαντοχάρμα Αἶαν χωρὶϲ τοῦ ν̅, ἀλλεπαλληλία ἤμελλεν εἶναι τῶν φωνηέντων, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο. Ταῦτα μὲν ἐν τούτοιϲ.

Τὼ κοχλία. Κανονίζων τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν κανονίζει αὐτήν, λέγων ὅτι πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ α̅ ἢ εἰϲ ω̅ λήγουϲα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν, δηλονότι μετὰ τοῦ ι̅ οὖϲα ἡ δοτική· ἐν γὰρ τοῖϲ ἑνικοῖϲ ἐϲτι τὸ ι̅ προϲγεγραμμένον, ἀλλ' ἐν τοῖϲ δυϊκοῖϲ οὐκ ἔϲτι τὸ ι̅ προϲγε-
129 g γραμμένον, οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ Αἰνείᾳ τὼ Αἰνεία, τῷ καλῷ τὼ καλώ, τῷ ϲοφῷ τὼ ϲοφώ· ὅθεν ὁ τεχνικὸϲ ὁμόφωνον εἶπε καὶ οὐχ ὁμόγραφον.

Δεῖ δὲ γινώϲκειν ὅτι ἐκτείνεται τὸ α̅ ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν, ὥϲπερ καὶ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν, ἀλλ', ὡϲ εἴρηται, οὐκ ἔϲτι τὸ ι̅ προϲγεγραμμένον ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν, οὐδὲ γάρ ἐϲτι τὸ ι̅ τελικὸν τῆϲ εὐθείαϲ τῶν δυϊκῶν· τελικὰ γὰρ τῆϲ εὐθείαϲ τῶν δυϊκῶν τρία εἰϲίν, α̅ ε̅ ω̅, οἷον Ἀτρείδα Ἕκτορε φίλω. Ἰϲτέον δὲ ὅτι ὁ τεχνικὸϲ ὡϲ πρὸϲ τὴν ἐκφώνηϲιν ἀποβλέπων «εἰϲ α̅ ἢ εἰϲ ω̅ λήγουϲα» μόνον εἶπεν, καὶ οὐ προϲέθηκε «μετὰ τοῦ ι̅».

Τοῖν κοχλίαιν. Λέγει ὅτι πᾶϲα εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν εἰϲ α̅ λήγουϲα προϲθέϲει τοῦ ι̅ν̅ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, οἷον τὼ κοχλία τοῖν κοχλίαιν, τὼ Αἰνεία τοῖν Αἰνείαιν, τὰ Μούϲα ταῖν Μούϲαιν, τὰ Ἑλένα ταῖν Ἑλέναιν. Δεῖ δὲ γινώϲκειν ὅτι τῇ προϲθήκῃ τοῦ ι̅ καὶ τοῦ ν̅ ϲυϲτέλλεται τὸ α̅· διὰ τοῦτο γὰρ καὶ ἐκφωνεῖται τὸ ι̅, ἐπεὶ εἰ ἔμεινε τὸ α̅ μακρόν, ἤμελλε τὸ ι̅ ἀνεκφώνητον εἶναι· ἐμάθομεν γὰρ ὅτι τὸ ι̅, ἡνίκα εὑρεθῇ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἢ μετὰ τοῦ α̅ μακροῦ ἐν μιᾷ ϲυλλαβῇ, ἀνεκφώνητον εὑρίϲκεται, οἷον τῷ Χρύϲῃ, τῷ ϲοφῷ, τῷ Αἰνείᾳ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ὦ κοχλία. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡϲ ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

[Discr. scr. ex NCV] **1** Ὦ κοχλία *om* NC ‖ **9** ϲυνδρομὴν NC ‖ **11** ἀκαμαντοχάρμαν N ‖ **14** Τὼ κοχλία *om* NC ‖ **17** ἑνικοῖϲ ἐϲτι] δυϊκοῖϲ οὐκ ἔϲτι NC ‖ **18** οὐκ ἔϲτι] οὐκ ἔχει NC ‖ **27** λήγουϲαν NC ‖ **29** Τοῖν κοχλίαιν *om* NC | καὶ αἰτ. τῶν *om* C ‖ **31** τῶν δυϊκῶν *om* C ‖ **32** μοῦϲα N; *item p. 150, 5* ‖ **35** γὰρ] δὲ NC ‖ **36** τοῦ *ante* α̅ *om* N ‖ **38** Ὦ κοχλία *om* NC

Οἱ κοχλίαι. Κανονίζων τὴν εὐθεῖαν τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν δυϊκῶν ⟨αὐτὴν⟩ κανονίζει τοῦτον τὸν τρόπον· πᾶσα εὐθεῖα δυϊκῶν εἰς ᾱ λήγουσα προσθέσει τοῦ ῑ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ποιεῖ, οἷον τὼ κοχλία οἱ κοχλίαι, τὼ Αἰνεία οἱ Αἰνεῖαι, τὰ Μούσα αἱ Μοῦσαι, τὰ Ἑλένα αἱ Ἑλέναι. Δεῖ δὲ πάλιν εἰδέναι ὅτι ἅμα τῇ προσθήκῃ τοῦ ῑ συστέλλεται τὸ ᾱ· διὰ τοῦτο γὰρ καὶ ἐκφωνεῖται τὸ ῑ, ἐπεὶ εἰ ἔμεινε τὸ ᾱ μακρόν, ἤμελλε τὸ ῑ ἀνεκφώνητον εἶναι.

Τῶν κοχλιῶν. Εἴρηται ὅτι πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους, οἷον τῶν Αἰάντων, τῶν Μουσῶν, τῶν βημάτων, καὶ ἔχομεν ὅσα ἐσημειωσάμεθα ἐν τοῖς προλαβοῦσιν. Περισπᾶται δὲ ἐνταῦθα ἡ γενικὴ τῶν πληθυντικῶν· καθόλου γὰρ πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι δίφθογγον λήγουσα ἀρσενικὴ μὲν οὖσα περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον Ὀρέσται Ὀρεστῶν, τοξόται τοξοτῶν, πολῖται πολι- 130 B τῶν, κοχλίαι κοχλιῶν, Αἰνεῖαι Αἰνειῶν, Ἀτρεῖδαι Ἀτρειδῶν, πλὴν τοῦ χλοῦναι χλούνων καὶ χρῆσται χρήστων καὶ ἐτησίαι ἐτησίων· θηλυκὴ δὲ οὖσα, εἰ μὲν εὑρεθῇ μονογενής, περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον Μοῦσαι Μουσῶν, ἅμαξαι ἁμαξῶν, τράπεζαι τραπεζῶν, ἄελλαι ἀελλῶν, γλῶσσαι γλωσσῶν, χωρὶς τοῦ ἀφύαι ἀφύων· παρεσχηματισμένον δὲ ἀρσενικῷ, εἰ μὲν ὁμοφωνήσει τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ καὶ ὁμοτονεῖ αὐτῷ, οἷον φίλοι φίλων καὶ φίλαι φίλων, Ῥόδιοι Ῥοδίων καὶ Ῥόδιαι Ῥοδίων, ἅγιοι ἁγίων καὶ ἅγιαι ἁγίων, δίκαιοι δικαίων καὶ δίκαιαι δικαίων· μία φωνὴ καὶ εἷς τόνος· εἰ δὲ παραλλάξει τῇ φωνῇ πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παραλλάσσει καὶ περισπᾶται, οἷον ταχεῖς μὲν ταχέων ταχεῖαι δὲ ταχειῶν, μέλανες μελάνων καὶ μέλαιναι μελαινῶν, γράψαντες γραψάντων καὶ γράψασαι γραψασῶν· ἰδοὺ γὰρ ταῦτα παραλλάξαντα τῇ φωνῇ καὶ τῷ τόνῳ παρήλλαξαν.

Τοῖς κοχλίαις. Κανονίζει τὴν δοτικὴν τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν οὕτως· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ c̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον τοξόται τοξόταις, Μοῦσαι Μούσαις, καλοί καλοῖς, Ὅμηροι Ὁμήροις. Δεῖ προσθεῖναι «χωρὶς τῶν ἐπεκτεταμένων», οἷον τοιουτοιΐ καὶ τηλικουτοιΐ· ἰδοὺ γὰρ ταῦτα εἰς ῑ λήγουσι καὶ ὅμως οὐ ποιοῦσι προσθέσει τοῦ c̄ τὴν δοτικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τοιουτοιΐς καὶ τηλικουτοιΐς, ἀλλὰ τοιουτοισί καὶ τηλικουτοισί· ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ἐκτεταμένα εἰσίν.

[Discr. scr. ex NCV] **1** Οἱ κοχλίαι *om* NC ‖ **2** αὐτὴν *om* NC ‖ **8** Τῶν κοχλιῶν *om* NC ‖ **10** ἐν τοῖς προλαβ.] *cfr. p. 137, 22–30* ‖ **13** πολίται N ‖ **15** ἐτήσιαι C, αἰτήσιαι N | αἰτησίων N ‖ **17** ἄελαι ἀελῶν NC ‖ **20** καὶ φίλαι] αἱ φίλαι NC | *post* φίλαι *add* τῶν N | καὶ Ῥόδ. C, αἱ Ῥόδ. N ‖ **21** καὶ αἱ ἁγ. N ‖ **22** πρὸς τὴν γενικὴν] πρὸς τῇ γενικῇ NC ‖ **23** τῶν πληθ. *om* N ‖ **28** Τοῖς κοχλίαις *om* NC ‖ **32** τοιοῦτοι καὶ τηλικοῦτοι NC ‖ **34** τοιούτοις καὶ τηλικούτοις (τοιληκούτοις C) ἀλλὰ τοιούτοισι καὶ τηλικούτοισιν NC

Τοὺc κοχλίαc. Κανονίζεται ἀπὸ τῆc εὐθείαc τῶν πληθυντικῶν ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον· πᾶcα εὐθεῖα πληθυντικῶν εἰc α̅ι̅ δίφθογγον λήγουcα τροπῇ τοῦ ῑ εἰc c̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον κοχλίαι κοχλίαc, Αἰνεῖαι Αἰνείαc, Ἀτρεῖδαι Ἀτρείδαc, Μοῦcαι Μούcαc, Ἑλέναι Ἑλέναc, Ἀφροδῖται Ἀφροδίταc. Δεῖ δὲ εἰδέναι ὅτι ἅμα τῇ τροπῇ τοῦ ῑ εἰc τὸ c̄ ἐκτείνεται τὸ ᾱ· θέλει γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ἰcοχρονεῖν τῇ ἰδίᾳ εὐθείᾳ, 131 οἷον Αἴαντεc, τὸ ε̄ βραχύ ἐcτιν, ἀλλὰ καὶ Αἴανταc, τὸ ᾱ βραχὺ ὁμοίωc· πάλιν οἱ ἄνθρωποι, ἡ ο̅ι̅ δίφθογγοc μακρά ἐcτιν, ἀλλὰ καὶ ἀνθρώπουc, ἡ ο̅υ̅c̅ μακρὰ ὁμοίωc, καὶ κοχλίαι, ἡ α̅ι̅ δίφθογγοc μακρά ἐcτιν, ἀλλὰ καὶ κοχλίαc, τὸ α̅c̅ μακρὸν ὁμοίωc. Δεῖ προcθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶc τῶν Δωρικῶν»· cυcτέλλεται γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν παρὰ τοῖc Δωριεῦcιν ἐπὶ τῶν ἐχόντων τὴν εὐθεῖαν τῶν πληθυντικῶν εἰc τὴν α̅ι̅ δίφθογγον λήγουcαν, οἷον τοῦ κοῦραι κοῦραc καὶ τοῦ ὄγχναι ὄγχναc ἡμεῖc μὲν τὸ ᾱ μακρὸν ποιοῦμεν, οἱ δὲ Δωριεῖc cυcτέλλουcιν αὐτό. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, εἰ ἄρα ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἡ α̅ι̅ δίφθογγοc ἀντὶ κοινῆc παραλαμβάνεται καὶ ἕνα ἥμιcυ χρόνον ἔχει, ὅθεν καὶ ταύτηc ἐπὶ τέλουc οὔcηc πολλάκιc προπαροξύνεται ἡ λέξιc, οἷον ἅμαξαι τράπεζαι ἄελλαι, διατί μὴ καὶ τὸ ᾱ λέγομεν ἐν τῇ αἰτιατικῇ τῶν πληθυντικῶν ἀντὶ κοινῆc παραλαμβάνεcθαι πρὸc ἀναλογίαν τῆc εὐθείαc τῶν πληθυντικῶν. Καὶ ἔcτιν εἰπεῖν, ὅτι εἰ καὶ δῶμεν τὸ ᾱ ἐν τῇ αἰτιατικῇ τῶν πληθυντικῶν ἕνα ἥμιcυ χρόνον ἔχειν καὶ ἀντὶ κοινῆc παραλαμβάνεcθαι, ἀλλ' οὖν τὸ c̄ προcερχόμενον ἕτερον ἥμιcυ χρόνον χαρίζεται αὐτῷ καὶ ἀποτελεῖ αὐτὸ φύcει μακρόν· τὰ γὰρ cύμφωνα δηλονότι τὰ ἁπλᾶ πρὸc ἥμιcυ χρόνον ἔχουcιν· πρόcκειται «ἁπλᾶ», ἐπειδὴ τὰ διπλᾶ ἅτε δὴ δύο cυμφώνων ἔχοντα δύναμιν πρὸc ἕνα χρόνον ἔχουcιν.

Πάλιν ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν εἶπεν ὁ τεχνικόc «εἰc τὴν α̅ι̅ δίφθογγον λήγουcα», καὶ οὐκ εἶπεν «εἰc ῑ λήγουcα». Ἔcτιν οὖν εἰπεῖν, ὅτι οὐκ ἠδύνατο εἰπεῖν «εἰc ῑ λήγουcα», ἐπειδὴ αἱ εἰc τὴν ο̅ι̅ λήγουcαι δίφθογγον εὐθεῖαι πληθυντικαὶ οὐ ποιοῦcι τροπῇ τοῦ ῑ εἰc c̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, ἀλλ' εἰc ο̅υ̅c̅ ποιοῦcιν αὐτήν, οἷον Ὅμηροι Ὁμήρουc, ἄνθρωποι ἀνθρώπουc, καλοί καλούc, cοφοί cοφούc, φίλοι φίλουc.

Ὦ κοχλίαι. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

[Discr. scr. ex N C V] **1** Τοὺc κοχλίαc *om* N C ‖ **14** καὶ τὸ ὄγχναι N C ‖ **15** ἡμεῖc — αὐτό (**16**) *post* κοῦραc (*v. 14*) *iterum add* N, *in marg. repetit* C[1] ‖ **28** ἔχουcι N C ‖ **32** δίφθογγοι N ‖ **36** Ὦ κοχλίαι *om* N C

Κανὼν γ΄. 132 g

Ὁ Λάχης τοῦ Λάχητος.

Μετὰ τὰ εἰς ας ὤφειλε διαλαβεῖν περὶ τῶν εἰς ες τῶν διὰ τοῦ ε, ἐπειδὴ μετὰ τὸ α φωνῆεν τὸ ε ἐστίν· τὰ γὰρ εἰς ας ἔχοντα σύμφωνον πάντα παρέλιπεν, εἰσαγωγικώτερον διαλεγόμενος, ὡς πρὸς εἰσαγομένους γὰρ ἐν ἐπιτομῇ ποιεῖται τοὺς λόγους. Ὤφειλεν οὖν, ὡς εἴρηται, μετὰ τὰ εἰς ας διαλαβεῖν περὶ τῶν εἰς ες· ἀλλ' ἐπειδὴ οὐδὲν ἔχομεν εἰς ες ἀρσενικὸν ἐπ' εὐθείας ἑνικῆς, χωρὶς εἰ μὴ εὑρεθῇ ἀπὸ Δωρίδος διαλέκτου κατὰ πάθος γινόμενον, τούτου χάριν ⟨οὐ⟩ διέλαβε περὶ τούτων. Πρόσκειται «χωρὶς εἰ μὴ εὑρεθῇ ἀπὸ Δωρίδος διαλέκτου κατὰ πάθος γινόμενον», ἐπειδὴ πολλάκις οἱ Δωριεῖς τῶν εἰς εις τῶν διὰ τῆς ει διφθόγγου ἀποβάλλουσι τὸ ι, οἷον χαρίεις χαρίες, τιμήεις τιμῆες, Μαλόεις Μαλόες· τοιοῦτον γάρ ἐστι καὶ παρὰ Καλλιμάχῳ ⟨fragm. 543 Sch.⟩ ὁ δὲ ἀείδων Μαλόες ἦλθε χορός, ἀντὶ τοῦ Μαλόεις· Μαλόεις δέ ἐστιν ὁ Λέσβιος. Πρόσκειται «ἀρσενικόν», ἐπειδὴ ἔχομεν οὐδέτερα εἰς ες λήγοντα, οἷον τὸ εὐσεβές, τὸ σαφές, τὸ εὐγενές· πρόσκειται «ἐπ' εὐθείας», ἐπειδὴ ἔχομεν κλητικὰς εἰς ες ληγούσας, οἷον ὦ Ἀριστόφανες, ὦ Διόμηδες, ὦ Δημόσθενες· πρόσκειται «ἑνικῆς», ἐπειδὴ ἔχομεν εὐθείας πληθυντικὰς εἰς ες ληγούσας, οἷον οἱ Αἴαντες, οἱ Θόαντες, οἱ Λάχητες· διὰ τοῦτο οὖν, ἤγουν διὰ τὸ μὴ εἶναι ἀρσενικὰ ἐπ' εὐθείας ἑνικῆς, διαλαμβάνει εὐθέως περὶ τῶν εἰς ης τῶν διὰ τοῦ η. Παραλιμπάνει δὲ τὰ εἰς ης μονοσύλλαβα· ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς ης μονοσύλλαβα ἐὰν περισπῶνται, ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ Δρῆς τοῦ Δρῆ, ὁ Τρῆς τοῦ Τρῆ· ταῦτα δὲ παράσημον ἤγουν παράλογον ἔχουσι τὴν γενικὴν εἰς η καταλήγουσαν· οὐδέποτε γὰρ εὑρίσκεται γενικὴ εἰς η καταλήγουσα, εἰ μὴ ἐπὶ τούτων τῶν δύο μόνων· εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια· ἐὰν δὲ ὀξύνωνται, διὰ τοῦ τος κλίνονται, οἷον σής σητός, θής θητός (σημαίνει δὲ τὸν μισθωτόν), Γνής Γνητός (Γνῆτες δέ εἰσιν οἱ Ῥόδιοι). Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί μὴ λέγομεν ὁ Δρῆς τοῦ Δροῦ καὶ ὁ 133 g
Τρῆς τοῦ Τροῦ, ὥσπερ ὁ Ἑρμῆς τοῦ Ἑρμοῦ, ἵνα μὴ εὑρεθῇ παράλογος ⟨ἡ⟩ γενικὴ εἰς η καταλήγουσα. Ἔστιν οὖν εἰπεῖν, ὅτι πᾶσα εὐθεῖα μονοσύλλαβος ἰσοσυλλάβως κλινομένη ἀποβολῇ τοῦ ς τὴν γενικὴν ἀποτελεῖ, οἷον ὁ Γρᾶς τοῦ Γρᾶ (ἔστι δὲ ὄνομα κύριον), ὁ Χνᾶς τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ), ὁ νοῦς τοῦ νοῦ, ὁ ῥοῦς τοῦ ῥοῦ· οὕτως οὖν καὶ ὁ Δρῆς τοῦ Δρῆ καὶ ὁ Τρῆς τοῦ Τρῆ· μονοσύλλαβα γάρ εἰσι καὶ ἰσοσυλλάβως κλίνονται, καὶ δηλονότι εὐλόγως ἀποβολῇ τοῦ ς ποιοῦσι

[Disck. scr. ex NCV] **1** Κανὼν γ΄ *om* C ‖ **2** Ὁ Λάχ. τοῦ Λάχ. *om* NC ‖ **2—158, 4** *om* V ‖ **5** παρέλιπεν N, παραλέλοιπεν C ‖ **9** οὐ *om* NC ‖ **13** τοιοῦτον γάρ ἐστι N, τοιοῦτοι γάρ εἰσιν C ‖ **14** δὲ ἀείδων NC, δ' ἀείδων *OSchneiderus* | δέ ἐστιν] ἐστὶν NC ‖ **15** ὁ ἐλέσβιος N ‖ **17** ληγούσας] λήγοντα NC ‖ **18** ἐπειδὴ *om* N ‖ **31** παράγωγος N ‖ **32** ἡ *om* NC

τὴν γενικήν. Πρόσκειται «μονοσύλλαβος εὐθεῖα» διὰ τὸ Ἑρμῆς Ἑρμοῦ· τοῦτο γὰρ ἰσοσυλλάβως κλίνεται, καὶ οὐ ποιεῖ ἀποβολῇ τοῦ ς τὴν γενικήν, οὐδὲ γὰρ λέγομεν τοῦ Ἑρμῆ ἀλλὰ τοῦ Ἑρμοῦ· ἀλλ' οὐκ ἔστι μονοσύλλαβος ἡ εὐθεῖα ἀλλ' ὑπὲρ μίαν συλλαβήν. Ταῦτα μὲν ἐν τούτοις.

Διαλαμβάνει δὲ ὁ τεχνικὸς περὶ τῶν εἰς ης τῶν ὑπὲρ μίαν συλλαβὴν λέγων οὕτως· τὰ εἰς ης βαρύτονα ἰαμβικὰ μὴ ἔχοντα ἐπ' εὐθείας τὸ τ εἰς τος ἔχουσι τὴν γενικήν, οἷον λέβης λέβητος, Λάχης Λάχητος, πένης πένητος, τάπης τάπητος, πλάνης πλάνητος, Τρόμης Τρόμητος (οὕτω γὰρ ἐλέγετο ὁ πατὴρ Αἰσχίνου τοῦ ῥήτορος). «Εἰς ης» εἶπε διὰ τὰς ἄλλας καταλήξεις, οἷον διὰ τὸ Θόας· ἰδοὺ γὰρ τοῦτο πάντα ἔχει τὰ τοῦ κανόνος, τουτέστι βαρύτονον ἰαμβικὸν καὶ μὴ ἔχον ἐπ' εὐθείας τὸ τ, ἀλλ' ἐπειδὴ οὐ λήγει εἰς ης, οὐ κλίνεται διὰ καθαροῦ τοῦ τος, ἀλλὰ διὰ τοῦ ντ, Θόαντος γάρ. Πρόσκειται «βαρύτονα» διὰ τὰ ὀξύτονα, οἷον διὰ τὸ σαφής σαφοῦς· τοῦτο γὰρ ἰαμβικόν ἐστι καὶ οὐκ ἔχει ἐπ' εὐθείας τὸ τ, καὶ ὅμως εἰς ους ἔχει τὴν γενικήν, σαφοῦς γάρ· ἀλλ' οὐκ ἔστι βαρύτονον ἀλλ' ὀξύτονον. [Πρόσκειται πάλιν «βαρύτονα» διὰ τὰ περισπώμενα, οἷον διὰ τὸ Θαλῆς Θαλοῦ· πρόσκειται «ἰαμβικά» διὰ τὰ σπονδειακά, περὶ ὧν ἑξῆς μέλλει λέγειν, οἷον διὰ τὸ Χρύσης Χρύσου καὶ Ξέρξης Ξέρξου· πρόσκειται «μὴ ἔχοντα ἐπ' εὐθείας τὸ τ» διὰ τὸ θύτης θύτου καὶ δότης δότου. Ταῦτα μὲν ἐν
136 g τούτοις.] Εἰς ους δὲ ἔχει τὴν γενικὴν κανόνι τοιούτῳ· τὰ εἰς ης ἔχοντα οὐδέτερον εἰς ες εἰς ους ἔχουσι τὴν γενικήν, εἴτε βαρύτονα ὦσιν εἴτε ὀξύτονα, οἷον ὁ εὐσεβής τοῦ εὐσεβοῦς, τὸ εὐσεβές γάρ, ὁ εὐγενής τοῦ εὐγενοῦς, τὸ εὐγενές γάρ, ὁ ἀναιδής τοῦ ἀναιδοῦς, τὸ ἀναιδές γάρ, ὁ κακοήθης τοῦ κακοήθους, τὸ κακόηθες γάρ, ὁ πλήρης τοῦ πλήρους, τὸ πλῆρες γάρ· οὕτως οὖν καὶ ὁ σαφής τοῦ σαφοῦς, τὸ σαφές γάρ. Πρόσκειται πάλιν «βαρύτονα» διὰ τὰ περισπώμενα, οἷον διὰ τὸ Θαλῆς Θαλοῦ· ἰστέον δὲ ὅτι ἡνίκα τοῦτο περισπᾶται, εἰς τὴν ου δίφθογγον ποιεῖ τὴν γενικήν, οἷον ὁ Θαλῆς τοῦ Θαλοῦ, ὡς παρ' Ἀριστοφάνει, ⟨Nub. 180⟩ τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν; ἡνίκα δὲ βαρύνεται, διὰ τοῦ τος κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν, οἷον Θάλης Θάλητος, ὡς παρὰ τῷ Καλλιμάχῳ, ⟨fragm. 96 Sch.⟩ πάλιν τὸ δῶρον ἐς Θάλητα ὤλισθεν· ἔστι δὲ χωλίαμβος, τροχαῖον γὰρ ἔχει ἐν τῷ τελευταίῳ ποδί.

Ἰστέον δὲ ὅτι τὰ εἰς ης περισπώμενα τρεῖς κλίσεις ἐπιδέχονται·
137 g τὴν εἰς ους, ὅταν παρὰ τὸ κλέος ὦσιν, οἷον Ἡρακλῆς Ἡρακλοῦς καὶ Σοφοκλῆς Σοφοκλοῦς· τὴν διὰ τοῦ ντ, ὅταν ἀπὸ συναιρέσεως τῶν εἰς

[Discr. scr. ex NCV] **5 — 156, 26**] *de singularum commentarii particularum ordine in* NC *perturbato vide praefationis cap. X c* || **16 — 21**] *versus conexum turbantes et exilem eorum quae v. 26 — p. 154, 28 leguntur epitomen praebentes inepte hoc loco additi sunt in* NC || **18** ἰαμβιακὰ N | σπονδιακὰ N || **27** Θαλῆς N || **28** δὲ *om* NC || **32** Θάλητα ὤλισθεν NCV *et EM 442, 11,* Θάλητ' ἀνώλισθεν *Bentleius assentiente OSchneidero* || **33** χωλίαμβος *Bentleius,* χωρίαμβος NC, χορίαμβος V *et EM* || **36** Ἡρακλοῦς NC, Ἡρακλέους V || **37** Σοφο-

ηειϲ ὦϲιν, οἷον δαφνήειϲ δαφνήεντοϲ δαφνῆϲ δαφνῆντοϲ, τιμήειϲ τιμήεντοϲ τιμῆϲ τιμῆντοϲ, 〈C 475〉 καὶ χρυϲὸν τιμῆντα καὶ ἄργυρον· τὰ δὲ μηδὲν ἐκ τούτων ἔχοντα, τουτέϲτι μήτε παρὰ τὸ κλέοϲ ὄντα μήτε ἀπὸ ϲυναιρέϲεωϲ τῶν εἰϲ ηειϲ, εἰϲ τὴν ου δίφθογγον ἔχουϲι τὴν γενικήν, οἷον Θαλῆϲ Θαλοῦ, Ἑρμῆϲ Ἑρμοῦ, Cωϲῆϲ Cωϲοῦ, Ναρϲῆϲ Ναρϲοῦ, Ἀπελλῆϲ Ἀπελλοῦ, Μωϋϲῆϲ Μωϋϲοῦ.

«Ἰαμβικά» δὲ προϲέθηκε τῷ κανόνι διὰ τὰ ϲπονδειακά, περὶ ὧν μέλλει λέγειν, οἷον διὰ τὸ Χρύϲηϲ Χρύϲου καὶ Πέρϲηϲ Πέρϲου καὶ Ξέρξηϲ Ξέρξου. Πρόϲκειται «μὴ ἔχοντα ἐπ' εὐθείαϲ τὸ τ» διὰ τὸ δότηϲ δότου καὶ θύτηϲ θύτου καὶ πλύτηϲ πλύτου· ταῦτα γὰρ ἔχοντα ἐπ' εὐθείαϲ τὸ τ εἰϲ τὴν ου δίφθογγον ἔχουϲι τὴν γενικήν· ἀντίκειται τὸ Κράτηϲ Κράτητοϲ ἔχον ἐπ' εὐθείαϲ τὸ τ καὶ μὴ ἔχον εἰϲ τὴν ου δίφθογγον τὴν γενικήν· ἀλλ' ἔχει ἀπολογίαν, ὅτι ἀπὸ τοῦ ἐνεϲτῶτοϲ, φημὶ δὴ ἀπὸ τοῦ κρατῶ, ἔχει τὸ τ· τὰ γὰρ εἰϲ ηϲ ἰαμβικὰ ἔχοντα ϲύμφωνον ἀπὸ τοῦ ἐνεϲτῶτοϲ διὰ τοῦ τοϲ κλίνονται, οἷον λείβω λέβηϲ λέβητοϲ, δαίρω Δάρηϲ Δάρητοϲ, χαίρω Χάρηϲ Χάρητοϲ (ὄνομα δὲ τοῦτο ϲτρατηγοῦ τῶν Ἀθηναίων), πλανῶ πλάνηϲ πλάνητοϲ, πεινῶ πένηϲ πένητοϲ, τρέμω Τρόμηϲ Τρόμητοϲ (οὕτω δὲ ἐλέγετο ὁ πατὴρ Αἰϲχίνου τοῦ ῥήτοροϲ)· οὕτωϲ οὖν καὶ ἀπὸ τοῦ κρατῶ γίνεται Κράτηϲ Κράτητοϲ· τὸ γὰρ δότηϲ πλύτηϲ θύτηϲ οὐκ ἔχουϲιν ἀπὸ τοῦ ἐνεϲτῶτοϲ τὸ τ· διὰ τοῦτο οὐκ ἠκολούθηϲε τοῖϲ ἔχουϲι τὸ τ τὸ Κράτηϲ, ἀλλὰ τοῖϲ ἔχουϲι τὸ ϲύμφωνον τοῦ ἐνεϲτῶτοϲ. Τούτοιϲ δέ, φημὶ δὴ τοῖϲ ἔχουϲι τὸ τ, ἀκολουθεῖ κατὰ τὴν κλίϲιν καὶ τὸ Cκύθηϲ Cκύθου· Cκύτηϲ γὰρ ἦν, καὶ κατὰ μετάθεϲιν τοῦ τ εἰϲ θ γέγονε Cκύθηϲ, ὥϲπερ καὶ ἀπὸ τοῦ μένοϲ γέγονε Μενέϲτηϲ καὶ κατὰ μετάθεϲιν τοῦ τ εἰϲ θ Μενέϲθηϲ, ἐξ οὗ γίνεται καὶ Μενεϲθεύϲ καὶ Μενέϲθιοϲ· οὕτωϲ οὖν καὶ ἀπὸ τοῦ Cκύτηϲ γέγονε Cκύθηϲ· ϲκύτη γάρ φαϲι τοὺϲ Cκύθαϲ φορεῖν, ἤγουν τὰ δέρματα, ἤτοι τὰϲ λεγομέναϲ λαρδογούναϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Cημειοῦται ὁ τεχνικὸϲ τὸ κόμηϲ κόμου καὶ γύηϲ γύου ἰϲοϲυλλάβωϲ 134 g
κλιθέντα. Καὶ ἰϲτέον ὅτι τὸ κόμηϲ τὸ ἐπὶ τῆϲ ἀξίαϲ κατὰ τὴν ἀναλογίαν τὴν Ἑλληνικὴν οὐ δύναται γράφεϲθαι διὰ τοῦ ι, ἀλλὰ διὰ τοῦ η· οὐδέποτε γὰρ γενικὴ διὰ τοῦ τοϲ κλινομένη ἀρϲενικὴ ἔχει ἐν τῇ παραληγούϲῃ τὸ ι, οἷον Λάχητοϲ λέβητοϲ Δάρητοϲ πένητοϲ τάπητοϲ· πρόϲκειται «ἀρϲενική» διὰ τὰ παρὰ τοῖϲ Δωριεῦϲι θηλυκά· τὸ γὰρ θέμιϲ θέμιδοϲ θέμιτοϲ λέγουϲιν οἱ Δωριεῖϲ, ὅθεν καὶ παρὰ τῷ ποιητῇ 〈Υ 4〉 Ζεὺϲ δὲ Θέμιϲτα κέλευε, κατὰ πλεοναϲμὸν τοῦ ϲ· καὶ τὸ Ἄρτεμιϲ Ἀρτέμιδοϲ Ἀρτέμιτοϲ καὶ τὸ χάριϲ χάριδοϲ χάριτοϲ· τοῦτο δὲ καὶ παρ'

[Discr. scr. ex NCV] κλοῦϲ NC, Cοφοκλέουϲ V ‖ 2 καὶ *ante* χρ. *om* NC ‖ 3 μήτε *om* NC ‖ 6 Ἀπελῆϲ Ἀπελοῦ NC ‖ 7 ϲπονδιακὰ N ‖ 16 δαίρω NCV, δείρω *EM 248, 42 et Lentzius Herod. II 678, 18* ‖ 20 τοῦ *om* NC ‖ 22 δὴ *om* NC ‖ 27 ϲκύτη — φορεῖν V, ϲκύθαϲ γὰρ φηϲὶν ἀπὸ τοῦ ϲκύταϲ φορεῖν NC ‖ 32 ἀρϲενικὴ V *et EM 527, 34 adnot.*, ἀρϲενικοῦ NC ‖ 34 ἀρϲενική] ἀρϲενικὰ NCV ‖ 36 Θέμιϲτα κέλευε NV, Θέμιϲτ' ἐκέλευεν C ‖ 37 τὸ *ante* χάριϲ *om* NC | καὶ *ante* παρ' *om* NC

ἡμῖν οὕτωc ἐπεκράτηcε λέγεcθαι· ὥcτε οὖν τὸ κόμηc κλινόμενον διὰ τοῦ τοc, οἷον κόμητοc, καὶ ἀρcενικὸν ὂν καὶ μὴ ἀπὸ Δωρίδοc διαλέκτου δυνάμενον εἶναι ὥcπερ τὰ θηλυκά, οὐδὲ γάρ ἐcτι θηλυκόν, οὐ δύναται γράφεcθαι διὰ τοῦ ι. Τὸ δὲ κύριον ὄνομα τὸ Κόμηc διχῶc εὑρέθη κλινόμενον παρὰ τοῖc ἀρχαίοιc· εὑρίcκεται γὰρ Κόμου ἡ γενική, ἰωνικῶc δὲ καὶ Κόμεω, ὥcπερ Ἀτρείδηc Ἀτρείδεω, καὶ Κομάδηc τὸ πατρωνυμικόν, ὥcπερ Βορεάδηc Αἰνειάδηc Κλευάδηc· εὑρίcκεται δὲ καὶ διὰ τοῦ τοc κλινόμενον τῷ λόγῳ τῶν ἰαμβικῶν, οἷον Κόμητοc, ὡc παρὰ τῷ Καλλιμάχῳ, ⟨fragm. 472 Sch.⟩ δημεχθέα Χέλλωνα κακόκνημόν τε Κόμητα· (μετρεῖται δὲ κατὰ cυνίζηcιν, τουτέcτι τὸ ε καὶ α εἰc μίαν cυλλαβήν, οἷον δημε|χθέα Χέλ|λωνα κα|κόκνη|μόν τε Κό|μητα)· τὸ δὲ δημεχθέα cημαίνει τὸν μεμιcημένον κατὰ τὸν δῆμον, ἤγουν τὸν ἀπεχθῆ τῷ δήμῳ. Ὅταν δὲ ἰcοcυλλάβωc εὑρεθῶcι τὸ κόμηc κόμου καὶ γύηc γύου κλινόμενα, ἔχουcιν ἀπολογίαν τοιαύτην· τὰ ἀπὸ τῶν εἰc η θηλυκῶν εἰc ηc γινόμενα βαρύτονα [ἀρcενικὰ] μὴ ἔχοντα οὐδέτερον εἰc εc εἰc τὴν ου δίφθογγον ἔχουcι τὴν γενικήν, οἷον λέcχη ὁ λέcχηc τοῦ λέcχου, ἀράχνη ὁ ἀράχνηc τοῦ ἀράχνου, κόμη ὁ ἀκερcεκόμηc τοῦ ἀκερcεκόμου, δίκη ὁ ἑλλανοδίκηc τοῦ ἑλλανοδίκου, γυνή ὁ μιcογύνηc τοῦ μιcογύνου, χαίτη ὁ κυανοχαίτηc τοῦ κυανοχαίτου, τέχνη ὁ κλυτοτέχνηc τοῦ κλυτοτέχνου· οὕτωc οὖν καὶ κόμη ὁ Κόμηc τοῦ Κόμου (ἔcτι δὲ
135 g ὄνομα κύριον) καὶ γύη ὁ γύηc τοῦ γύου· καὶ γύη μὲν γάρ ἐcτιν ἡ γῆ, γύηc δὲ μέροc ἀρότρου. Πρόcκειται «βαρύτονα» διὰ τὸ τύχη Εὐτυχήc Εὐτυχοῦc (ἔcτι δὲ ὄνομα κύριον)· τοῦτο γὰρ εἰc ουc ἔχει τὴν γενικήν, ἀλλ᾽ οὐκ ἔcτι βαρύτονον ἀλλ᾽ ὀξύτονον. Μηδεὶc δὲ οἰέcθω τοῦτο ἔχειν οὐδέτερον· τὸ γὰρ εὐτυχέc ἐκ τοῦ εὐτυχήc τοῦ ἐπιθέτου ἐcτίν, οὐ μὴν τοῦ κυρίου· οὐδέποτε γὰρ οὔτε τὰ κύρια οὔτε τὰ προcηγορικὰ ποιοῦcιν οὐδετέρου παραcχηματιcμόν. Πρόcκειται «μὴ ἔχοντα οὐδέτερον εἰc εc» διὰ τὸ ἀκή τανυήκηc τανυήκουc· τοῦτο γὰρ βαρύτονόν ἐcτι καὶ ὅμωc εἰc ουc ἔχει τὴν γενικήν, ἀλλ᾽ ἔχει οὐδέτερον εἰc εc, οἷον ⟨Π 473⟩ cπαccάμενοc τανύηκεc ἄορ παχέοc παρὰ μηροῦ· ἐμάθομεν δὲ ὅτι τὰ εἰc ηc ἔχοντα οὐδέτερον εἰc εc εἰc ουc ἔχουcι τὴν γενικήν, οἷον ὁ εὐcεβήc τοῦ εὐcεβοῦc τὸ εὐcεβέc, ὁ εὐγενήc τοῦ εὐγενοῦc τὸ εὐγενέc, ὁ κακοήθηc τοῦ κακοήθουc τὸ κακόηθεc, ὁ πλήρηc τοῦ πλήρουc τὸ πλῆρεc· οὕτωc οὖν καὶ ὁ τανυήκηc τοῦ τανυήκουc τὸ τανύηκεc.

Ἰcτέον δὲ ὅτι οὐ μόνον τὸ κόμηc κόμου ἔχομεν ἀντικείμενον τῷ κανόνι τοῦ τεχνικοῦ καὶ τὸ γύηc γύου ἰcοcυλλάβωc κλιθέντα, ἀλλὰ καὶ τὸ Γράδηc Γράδου· ἰδοὺ γὰρ καὶ αὐτὸ εἰc ηc ἐcτὶ βαρύτονον ἰαμβικὸν

[Discr. scr. ex NCV] **6** καὶ Κομάδηc *om* NC ‖ **7** ὥcπερ — Κλευάδηc *om* NC ‖ **9** δημοχθέα V; *item v. 12* | Χέλλωνα *Nauckius,* Χελλῶνα NC, Χελῶνα V ‖ **10** μετρεῖται — Κόμητα (**11**) *om* V ‖ **11** Χελλῶνα N, Χελῶνα C | δὲ *om* N ‖ **12** τὸν . . . . cημένον N ‖ **15** ἀρcενικὰ *om* V *et EM 527, 41* ‖ **17** ἀκεροκόμηc *et* ἀκεροκόμου NC ‖ **18** ὁ *et* τοῦ *ante* ἑλλαν. *om* NC ‖ **29** τανύηκεc cπαcάμενοc NCV ‖ **30** παρὰ μηροῦ V, παρ᾽ ὁμήρῳ NC, *sed signo* ⸪ *supra pos. et in marg.* ⸪ οὕτωc εὗρον C ‖ **36** τὸ *ante* γύηc *om* C

μὴ ἔχον ἐπ' εὐθείας τὸ τ, καὶ ὅμως εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν καὶ οὐκ εἰς τος· ἔστι δὲ τοῦτο πατρωνυμικόν, Γράδης γὰρ λέγεται ὁ υἱὸς τοῦ Γρᾶ· ἔχομεν δὲ τὸ ὄνομα ἐν τοῖς προλαβοῦσι, λέγω δὴ τὸ ὁ Γρᾶς τοῦ Γρᾶ. Ἔστι δὲ ἀπολογήσασθαι περὶ τοῦ Γράδης καὶ εἰπεῖν, ὅτι εὐλόγως εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν· καθόλου γὰρ τὰ εἰς δης πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ ὄντα εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, πατρωνυμικὰ μέν, οἷον Ἀτρείδης Ἀτρείδου, Αἰακίδης Αἰακίδου, Πηλείδης Πηλείδου, Πριαμίδης Πριαμίδου, Λαερτιάδης Λαερτιάδου, 30 τύπου δὲ πατρωνυμικοῦ, οἷον Εὐριπίδης Εὐριπίδου, Θουκυδίδης Θουκυδίδου, Μιλτιάδης Μιλτιάδου, Ἀλκιβιάδης Ἀλκιβιάδου· τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ Γράδης Γράδου εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν· πατρωνυμικὸν γάρ ἐστι, δηλοῖ δὲ τὸν υἱὸν τοῦ Γρᾶ.

[Τὰ ἀπὸ τῆς εἰς ν ξ ρ ψ καταλήξεως καὶ τὰ ἀπὸ τῶν εἰς ος μὴ 136 g παραληγομένων τῇ αι διφθόγγῳ καὶ εἰς ως διὰ τοῦ ιδης γινόμενα πατρωνυμικὰ διὰ τοῦ ι γράφονται, οἷον Μέμνων Μεμνονίδης, Φοῖνιξ Φοινικίδης, Κύκλωψ Κυκλωπίδης, Νέστωρ Νεστορίδης, Λάγος Λαγίδης, Ἄριστος Ἀριστίδης, Μίνως Μινωΐδης, Ἥρως Ἡρωΐδης, καὶ ἐν συναιρέσει Μινῴδης καὶ Ἡρῴδης· τὰ δὲ ἀπὸ τῶν εἰς ευς καὶ αιος διὰ τῆς ει διφθόγγου, οἷον Ἀτρεύς Ἀτρείδης, Ἀλκαῖος Ἀλκείδης· τὰ δὲ ἀπὸ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικήν, εἰ μὲν βραχείᾳ παραλήγοιντο, 10 διὰ τοῦ ι γράφονται, οἷον Εὐτυχής Εὐτυχοῦς Εὐτυχίδης, εἰ δὲ μακρᾷ, διὰ τῆς ει διφθόγγου, Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλείδης, πλὴν τῶν τριῶν τούτων, Θρασυμήδης Θρασυμήδους Θρασυμηδίδης, Δικήρης Δικήρους Δικηρίδης καὶ Θεοκύδης Θεοκύδους Θεοκυδίδης, καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον Θουκυδίδης.]

Δεῖ δὲ γινώσκειν, ὅτι τὰ εἰς δης πατρωνυμικὰ ἢ τύπου πατρωνυ- 138 g μικοῦ ὄντα θέλουσιν ἔχειν πρὸ τοῦ δης τὸ ι ἢ τὸ α· τὸ α μέν, οἷον Πυλάδης Ἀλκιβιάδης Μιλτιάδης, τὸ ι δέ, οἷον Εὐριπίδης Πριαμίδης Θουκυδίδης Ἀτρείδης Πηλείδης· ταῦτα δέ, φημὶ τὸ Ἀτρείδης καὶ Πηλείδης, διὰ τῆς ει διφθόγγου γράφονται, ἀλλ' οὖν πρὸ τοῦ δ τὸ ι ἔχουσιν. Δεῖ δὲ γινώσκειν, ὅτι οὐ πάντα τὰ ἔχοντα πρὸ τοῦ δ τὸ α εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν· ἰδοὺ γὰρ τὸ Ἀριφράδης (ἔστι δὲ ὄνομα κύριον) πρὸ τοῦ δ ἔχει τὸ α καὶ ὅμως εἰς ους ἔχει τὴν γε- 10 νικήν, οἷον Ἀριφράδης Ἀριφράδους· εἰς ους δὲ ἔχει τὴν γενικήν, ἐπειδὴ τὰ εἰς ης ἀπὸ ῥήματος σύνθετα κύρια εἰς ους ἔχουσι τὴν γενικήν, χωρὶς

[Discr. scr. ex NCV] **3** ἐν τοῖς προλαβ.] *vide p. 115, 25. 152, 34* ‖ **4** ἀπολογίσασθαι N ‖ **5** εὐλόγως C, ἀναλόγως N, ἀλόγως V ‖ **14—26** *hanc commentationem, quae ex Choerobosci de orthographia ut videtur libro hoc loco in* NC *inserta est, om* V; *cfr. EM 165, 38—57* ‖ **15** τῇ αι διφθόγγῳ] τὴν αι δίφθογγον NC ‖ **21** ἐχόντων *secundum Lentzium* (*Herod. II 435, 17*), ἔχοντα NC | παραλήγοιτο NC ‖ **29** Πυλάδης — Μιλτιάδης NC, Στρεψιάδης Μενοιτιάδης V | *exemplis in* ιδης *exeuntibus add* Αἰακίδης V ‖ **30** *prius* Ἀτρείδης *om* N ‖ **35** *iterum incipit* P ‖ **36** ῥήματος CP, ῥήματα N, ῥημάτων V

εἰ μὴ χαρακτὴρ κωλύcῃ, οἷον δεύκω Πολυδεύκης Πολυδεύκους, μήδω Διομήδης Διομήδους, πείθω Διοπείθης Διοπείθους, φαίνω Ἀριστοφάνης Ἀριστοφάνους· οὕτως οὖν καὶ φράζω ἔφραδον Ἀριφράδης Ἀριφράδους. Πρόcκειται «κύρια» διὰ τὸ πωλῶ παντοπώλης παντοπώλου καὶ μετρῶ γεωμέτρης γεωμέτρου· ταῦτα γὰρ εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, ἀλλ' οὐκ εἰσὶ κύρια. Πρόcκειται «χωρὶς εἰ μὴ χαρακτὴρ κωλύcῃ», διὰ τὸ κρίνω Θεοκρίνης Θεοκρίνου· τοῦτο γὰρ κύριόν ἐστι, καὶ ὅμως εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν τῷ χαρακτῆρι τῶν διὰ τοῦ ινης· τὰ γὰρ διὰ τοῦ ινης ἅπαντα εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, οἷον Αἰσχίνης Αἰσχίνου, Λεπτίνης Λεπτίνου, Cμικρίνης Cμικρίνου· οὕτως οὖν καὶ Θεοκρίνης Θεοκρίνου. Ἄλλως τε δὲ τὸ Ἀριφράδης τὸ κύριον ἀπὸ τοῦ ἀριφραδής τοῦ ἐπιθέτου γέγονεν ἐν βαρείᾳ τάσει καὶ ἐφύλαξε τοῦ ἐπιθέτου τὴν κλίσιν· τὸ δὲ ἐπίθετον εἰς ους ἔχει τὴν γενικήν, ἐπειδὴ ἔχει οὐδέτερον εἰς ες, οἷον τὸ ἀριφραδές· τὰ δὲ εἰς ης ἔχοντα οὐδέτερον εἰς ες, ὡς ἐμάθομεν, εἰς ους ἔχουσι τὴν γενικήν, οἷον ὁ εὐσεβής τοῦ εὐσεβοῦς τὸ εὐσεβές, ὁ εὐγενής τοῦ εὐγενοῦς τὸ εὐγενές, ὁ κακοήθης τοῦ κακοήθους τὸ κακόηθες, ὁ πλήρης τοῦ πλήρους τὸ πλῆρες· οὕτως οὖν καὶ ὁ ἀριφραδής τοῦ ἀριφραδοῦς τὸ ἀριφραδές· καὶ λοιπὸν γενόμενον κύριον ἐν βαρείᾳ τάσει τὴν αὐτὴν κλίσιν ἐφύλαξεν. Ταῦτα μὲν ἐν τούτοις.

139 g Ἐπειδὴ δὲ πατρωνυμικῶν καὶ τύπου πατρωνυμικοῦ ἐμνημονεύσαμεν, μάθωμεν τί διαφέρουσιν ἀλλήλων· καὶ ἰστέον ὅτι τὰ πατρωνυμικὰ εἰς τὸ υἱὸς ἢ ἔγγονος διαλύονται, οἷον Ἀτρείδης ὁ τοῦ Ἀτρέως υἱός, Πηλείδης ὁ τοῦ Πηλέως υἱός, Αἰακίδης ὁ τοῦ Αἰακοῦ ἔγγονος, τὰ δὲ τύπου πατρωνυμικοῦ ὄντα οὐδὲν τοιοῦτον ἔχουσιν· οὐδὲ γὰρ διαλύονται εἰς τὸ υἱὸς ἢ ἔγγονος, οἷον Ἡρῴδης Πυλάδης Θουκυδίδης· ταῦτα γὰρ οὐ σημαίνουσιν υἱόν τινος ἢ ἔγγονον, ἀλλὰ κύριά εἰσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι εὑρίσκονται καὶ ἄλλα ἰαμβικὰ μὴ ἔχοντα ἐπ' εὐθείας τὸ τ καὶ εἰς τὴν ου δίφθογγον ἔχοντα τὴν γενικήν· εἰσὶ δὲ ταῦτα· Ἴδης Ἴδου (ἔστι δὲ ὄνομα κύριον), Γύγης Γύγου καὶ Γύγητος (ἐπὶ τοῦ γίγαντος· ὅτε δὲ ἐπὶ τοῦ βασιλέως τῆς Λυδίας λέγεται, σπονδειακόν ἐστι καὶ ἰσοσυλλάβως κλίνεται), Σάκης Σάκου (ἔστι δὲ ὄνομα ἔθνους), Πύδης Πύδου (ὄνομα ποταμοῦ), ὡς παρὰ Ἀντιμάχῳ <fragm. 101 K> κὰδ δὲ Πύδην τε ῥέοντα· τοῦτο δὲ ἐναντίως ἔκλινεν ὁ Ἀντίμαχος· ὅτε μὲν γὰρ ἰαμβικόν ἐστιν, ἰσοσυλλάβως αὐτὸ κλίνει, ὡς ἐπὶ τῆς λεχθείσης χρήσεως, ὅτε δὲ σπονδειακόν ἐστι, περιττοσυλλάβως αὐτὸ κλίνει, οἷον

[Discr. scr. ex NCVP] **4** πανταπώλης πανταπώλου V | παντοπόλου N ‖ **6** χωρὶς *om* N ‖ **11** δὲ *om* NC ‖ **12** γέγονεν ἐν VP, γέγονε NC ‖ **14** οὐδέτερα N ‖ **23** ἢ ἔγγονος P, καὶ ἔγγονος NC, ἢ ἔκγονος V ‖ **24** ἔκγονος V; *item v. 26* ‖ **27** ἔκγονον V ‖ **29** δὲ *om* NC ‖ **30** ἔχοντα] ἔχουσι N ‖ **31** *ante* Γύγης *add* δίης δίου. γύης γύου V ‖ **32** σπονδιακὸν N; *item v. 37* ‖ **34** παρὰ Ἀντιμ.] *vide Bergk.*[4] *2, 293* | καδδεπύδην τε ῥέοντα VP, καδδ' ἐπύδη (ἐναπύδη C) ἐρέοντα NC, καδδ' ἦα Πύδη ἐρόεντα *Lentzius*

⟨fragm. 102 K⟩ Πύδητος κούρη τηλεκλειτοῦ ποταμοῖο· μύκης μύκου καὶ μύκητος· τοῦτο δὲ διάφορα cημαίνει· cημαίνει γὰρ καὶ τὰ καρβώνια τὰ ἐπικείμενα τοῖc λύχνοις, ὡς παρὰ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ, ⟨fragm. 47 Sch.⟩ ὁππότε λύχνου Δαιομένου πυρόεντες ἄδην ἐγένοντο μύκητες· cημαίνει δὲ καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀντιφάνει ⟨fragm. 226. 227, 11 K⟩ ὀπτὰ μύκητας πρινίνους τουςδὶ δύο· cημαίνει δὲ καὶ τὸ μέρος τῆς λαβῆς τοῦ ξίφους, ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως Μυκήνας cυνέβη κτισθῆναι· cημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοcυλλάβως ἔκλινεν ὁ Ἀρχίλοχος, εἰπὼν ⟨fragm. 47 B[4]⟩ ἀλλ' ἀπερρώγασί μοι Μύκεω τένοντες· πάλιν Cάπης Cάπου καὶ Χάρης Χάρου 140 g καὶ Χάρητος, Πύλης Πύλου καὶ Πύλητος, Μύνης Μύνου καὶ Μύνητος· ὁ μὲν γὰρ Cοφοκλῆς Μύνου ἔκλινεν, ἐν Αἰχμαλωτίςιν εἰπὼν ⟨fragm. 40 N⟩ Μύνου τ' Ἐπιστρόφου τε· ὁ δὲ ποιητὴς ἀναλόγως Μύνητος, οἷον ⟨Τ 296⟩ πέρσεν δὲ πόλιν θείοιο Μύνητος· Μέγης Μέγου, ἐξ οὗ τὸ ⟨Ο 302⟩ Μέγην τ' ἀτάλαντον Ἄρηϊ, καὶ Μέγητος· ταῦτα δὲ ποιητικὰ λέγομεν εἶναι, καὶ οὐ κατὰ ἀναλογίαν γεγόνασιν. Ταῦτα μὲν ἐν τούτοις.

Τῷ Λάχητι, τὸν Λάχητα: εἴρηται. Ὦ Λάχης. Λέγει ὁ τεχνικός, ὅτι τὰ εἰς ης ἢ εἰς ως ὀνόματα διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, οἷον ὁ Λάχης τοῦ Λάχητος ὦ Λάχης, ὁ πένης τοῦ πένητος ὦ πένης, ὁ λέβης τοῦ λέβητος ὦ λέβης, ὁ ἔρως τοῦ ἔρωτος ὦ ἔρως, ὁ ἱδρώς τοῦ ἱδρῶτος ὦ ἱδρώς, ὁ ἀπτώς τοῦ ἀπτῶτος ὦ ἀπτώς. Πρόσκειται «διὰ καθαροῦ τοῦ τος κλινόμενα» διὰ τὸ τιμῆς τιμῆντος καὶ φθογγῆς φθογγῆντος· ταῦτα γὰρ οὐκ ἔχουσιν ὁμόφωνον τὴν κλητικὴν τῇ εὐθείᾳ· οὐδὲ γὰρ λέγομεν ὦ τιμῆς καὶ ὦ φθογγῆς, ἀλλ' ὦ τιμῆν καὶ ὦ φθογγῆν, ἀπὸ τῆς τιμῆντος καὶ φθογγῆντὸς γενικῆς κατὰ ἀποβολὴν τῆς τος, ὥςπερ Αἴαντος Αἶαν· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ οὐ κλίνονται διὰ καθαροῦ τοῦ τος, ἀλλὰ διὰ τοῦ ντ. Ταῦτα μὲν ἐν τούτοις.

Τὼ Λάχητε, τοῖν Λαχήτοιν, ὦ Λάχητε.

[Discr. scr. ex NCVP] **1** κούρη τηλεκλείτου VP, καὶ τηλεκλήτου NC ‖ **3** καρβώνια VP, καρβόνια NC ‖ **4** ὅπποτε NCV, καιομένου παρὰ P | λύχνου VP, λυχνίου NC | Δαι. πυρ. *om* P | πυρέοντος NC, πυρέοντες V | ἄδην P, ἄρδην NC, ἄδδην V ‖ **6** Ἀντιφάνει *Athenaeus p. 60 c,* Ἀριστοφάνει NCVP | ὀπτὰ — δύο *Athen.*, ὀπτοὺς (ὀπτὰς C) μύκητας πρίνιν δύο NC, φάγε δ' ὀπτὰς μύκητας πρινίνους V, ἑπτὰ μύκητας πρινίνους. τοῦ δύο (*sic*) P ‖ **7** δὲ *om* NC ‖ **8** οὗ πεσόντος — κτισθῆναι (**9**) *om* V | οὗ πεσόντος NC, πέπονθεν P | Μυκήνας — κτισθῆναι (**9**) g, μύκητα συνέβη κτανθῆναι NC, ἐκτάνθη αἱ μυκῆναι P ‖ **10** ἀλλ' — μοι (**11**) *Bergkius*, ἀλλάπερ ῥώγασι N, ἀλλ' ἀπερρώγασι CV, ἀλλὰ πέργασι P ‖ **11** μύκεω VP, μυκέω NC | τένοντας P ‖ **13** ἐν *om* NC | αἰχμαλώτηςιν N, αἰχμαλώτηςιν C ‖ **14** μύνου τὶ ἐπιστρέφου γε NCVP ‖ **15** πέρσε NCVP ‖ **16** τὸ] τὸν NC | τ'] τὸν NCVP | ἄρη NC ‖ **19** Τῷ — Λάχης *om* NC ‖ **29** ἀντίκεινται C, ἀντίκειται NVP

Οἱ Λάχητες, τῶν Λαχήτων, τοῖc Λάχηcι, τοὺc Λάχηταc, ὦ Λάχητεc.

Κανὼν δ΄.

Ὁ Χρύcης τοῦ Χρύcου.

Τὰ εἰc ηc βαρύτονα cπονδειακὰ εἰc τὴν ου δίφθογγον ἔχουcι τὴν γενικήν, οἷον Χρύcης Χρύcου, Πέρcης Πέρcου, Τέννης Τέννου, Ξέρξης Ξέρξου. «Εἰc ηc» εἶπε διὰ τὰc ἄλλαc καταλήξειc, οἷον διὰ τὸ Αἴαc· τοῦτο γὰρ πάντα ἔχον τὰ τοῦ κανόνοc οὐκ ἔχει τὴν γε-141 g νικὴν εἰc τὴν ου δίφθογγον, ἐπειδὴ οὐκ ἔcτιν εἰc ηc. Πρόcκειται «βαρύτονα» διὰ τὰ ὀξύτονα καὶ τὰ περιcπώμενα· καὶ διὰ μὲν τὰ ὀξύτονα, οἷον διὰ τὸ ψευδήc ψευδοῦc, εἰc ουc γὰρ ἔχει τὴν γενικήν, ἀλλ' οὐκ ἔcτι βαρύτονον ἀλλ' ὀξύτονον· εἰc ουc δὲ ἔχει τὴν γενικήν, ἐπειδὴ ἔχει οὐδέτερον εἰc εc, οἷον τὸ ψευδέc· ἔχομεν γὰρ κανόνα, ὅτι τὰ εἰc ηc ἔχοντα οὐδέτερον εἰc εc εἰc ουc ἔχει τὴν γενικήν, οἷον ὁ εὐcεβήc τοῦ εὐcεβοῦc τὸ εὐcεβέc, ὁ εὐγενήc τοῦ εὐγενοῦc τὸ εὐγενέc, ὁ κακοήθηc τοῦ κακοήθουc τὸ κακόηθεc· οὕτωc οὖν καὶ ὁ ψευδήc τοῦ ψευδοῦc, ὅτι τὸ ψευδέc. Πρόcκειται πάλιν «βαρύτονα» διὰ τὰ ὀξύτονα, οἷον διὰ τὸ προβλήc προβλῆτοc καὶ ἀβλήc ἀβλῆτοc· ταῦτα γὰρ διὰ καθαροῦ τοῦ τοc κλίνονται, ἀλλ' οὐκ εἰcὶ βαρύτονα ἀλλ' ὀξύτονα, ὑπάγονται δὲ ταῦτα κανόνι τοιούτῳ· τὰ εἰc c λήγοντα ὀξύτονα cύνθετα ἀπὸ ῥήματοc, μίαν cυλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ τοc κλίνονται, εἴτε εἰc αc ὦcιν εἴτε εἰc ηc εἴτε εἰc ωc, οἷον κέκραται χαλκοκράc χαλκοκρᾶτοc (ὁ χαλκῷ κεκραμένοc), νεοκράc νεοκρᾶτοc (ὁ νεωcτὶ κεκραμένοc), βέβληται ἀβλήc ἀβλῆτοc, προβλήc προβλῆτοc, τέθνηκα ἡμιθνήc ἡμιθνῆτοc· τοῦτο δέ, φημὶ τὸ τέθνηκα, τῇ μὲν φωνῇ ἐcτιν ἐνεργητικόν, τῷ δὲ cημαινομένῳ παθητικόν· τοιοῦτόν ἐcτι καὶ τὸ πέπτωκα, τῷ μὲν cημαινομένῳ παθητικόν, τῇ δὲ φωνῇ ἐνεργητικόν, ἐξ οὗ γίνεται τὸ ἀπτώc ἀπτῶτοc· πάλιν τέτρωμαι ἀτρώc ἀτρῶτοc· ἰδοὺ ταῦτα πάντα μίαν cυλλαβὴν ἐφύλαξαν τοῦ παθητικοῦ παρακειμένού καὶ διὰ καθαροῦ τοῦ τοc ἔχουcι τὴν γενικήν. Πρόcκειται πάλιν «βαρύτονα» διὰ τὰ περιcπώμενα, οἷον διὰ τὸ Cωκλῆc Cωκλοῦc, Προκλῆc Προκλοῦc· ταῦτα γὰρ εἰc ουc ἔχουcι τὴν γενικήν· καὶ διὰ τὸ τιμῆc τιμῆντοc καὶ φθογγῆc φθογγῆντοc· ταῦτα γὰρ διὰ τοῦ ντ κλίνονται. Πρόcκειται ἐν τῷ κανόνι «cπονδειακά» διὰ τὰ εἰρημένα ἰαμβικά, οἷον διὰ τὸ Λάχηc Λάχητοc, πένηc πένητοc καὶ τὰ ὅμοια.

Φηcὶ δὲ ὁ τεχνικόc, ὅτι cεcημείωται τὸ μάcθληc μάcθλητοc, Μόργηc Μόργητοc καὶ Μήληc Μήλητοc· τὰ γὰρ ἄλλα ἔχου-

---

[Discr. scr. ex NCVP] **1** *ante* Οἱ Λάχ. *add* τῶν πληθυντικῶν NC ‖ **4** τοῦ Χρύcου *om* NC ‖ **5** cπονδιακὰ N | τὴν *post* εἰc *om* NCV, *habet* P | δίφθ. *om* V ‖ **6** Τέννης Τέννου NCP, Τένης Τένου V ‖ **15** ὁ εὐγενὴc P, τὸ εὐγενὲc NC, εὐγενὴc V ‖ **23** χαλκοκράτοc N | νεοκράτοc N ‖ **31** Cωκλῆc — Προκλοῦc (**32**) NC, Cοκλῆc Cοκλοῦ Προκλῆc Προκλοῦ V, Πατροκλῆc Πατροκλοῦc καὶ Cοφοκλῆc Cοφοκλοῦc P ‖ **32** εἰc ουc] εἰc ου V

cιν ἀπολογίαν· τοῦτο δὲ εἶπεν, ὡc δῆθεν τῶν τριῶν τούτων μὴ ἐχόντων ἀπολογίαν. Ἔcτι δὲ ἀπολογήcαcθαι καὶ εἰπεῖν περὶ αὐτῶν οὕτωc, 142 g ὅτι τὸ μάcθληc καὶ Μήληc ὑπάγονται κανόνι τοιούτῳ· τὰ εἰc λης λήγοντα διcύλλαβα ὡc ἐπὶ τὸ πλεῖcτον διὰ τοῦ τοc κλίνονται, οἷον Πόλληc Πόλλητοc, Μέμβληc Μέμβλητοc, Βάμβληc Βάμβλητοc· οὕτωc οὖν καὶ μάcθληc μάcθλητοc (cημαίνει δὲ τὸν μεμαλαγμένον λῶρον) καὶ Μήληc Μήλητοc (ἔcτι δὲ ὄνομα ποταμοῦ)· πρόcκειται «διcύλλαβα» διὰ τὸ Ὀζόληc Ὀζόλου (ἔcτι δὲ ἔθνοc) καὶ Δημομέληc Δημομέλουc (ἔcτι δὲ ὄνομα κύριον)· ταῦτα γὰρ οὐ κλίνονται διὰ τοῦ τοc, ἀλλ' οὐκ εἰcὶ διcύλλαβα· πρόcκειται «ὡc ἐπὶ τὸ πλεῖcτον» διὰ τὸ Μέcθληc Μέcθλου· τοῦτο γὰρ ἰcοcυλλάβωc κλίνεται, οἷον ὡc παρὰ τῷ ποιητῇ ⟨Ρ 216⟩ Μέcθλην τε Γλαῦκόν τε. Τινὲc δὲ περὶ τοῦ Μήληc Μήλητοc βούλονται εἰπεῖν ἀπολογίαν τοιαύτην, ὅτι Μέληc Μέλητοc ἦν καὶ ὡc ἰαμβικὸν εὐλόγωc ἐκλίθη διὰ τοῦ τοc, καὶ λοιπὸν ἐκτάcεωc τοῦ ε̄ γενομένηc εἰc τὸ η̄ ἐγένετο Μήληc cπονδειακὸν καὶ ἐφύλαξε τὴν αὐτὴν κλίcιν· οὗτοι δὲ κακῶc λέγουcιν, ἄλλοc γάρ ἐcτι ποταμὸc ὁ Μέληc ὁ διὰ τοῦ ε̄ καὶ ἄλλοc ποταμὸc ὁ Μήληc ὁ διὰ τοῦ η̄ τῆc Κολοφῶνοc. Τὸ δὲ Μόργηc Μόργητοc διὰ τοῦ τοc ἐκλίθη, ἐπειδὴ τὰ εἰc γηc λήγοντα ἔχοντα πρὸ τοῦ γ̄ τὸ c̄ ἢ τὸ ρ̄ διὰ τοῦ τοc κλίνονται, οἷον Μίcγηc Μίcγητοc, Λίργηc Λίργητοc· οὕτωc οὖν καὶ Μόργηc Μόργητοc (ἔcτι δὲ ὄνομα ἔθνουc). Δεῖ προcθεῖναι «χωρὶc τοῦ Ἄργηc Ἄργου»· τοῦτο γὰρ ἰcοcυλλάβωc κλίνεται, οἷον ὡc παρ' Ἡcιόδῳ ⟨Theog. 140⟩ Βρόντην τε Cτερόπην τε καὶ Ἄργην ὀμβριμόθυμον.

Προcέθηκεν ὁ τεχνικόc, ὅτι τὰ μὲν ἄλλα ἔχουcιν ἀπολογίαν· ἔcτι δὲ ταῦτα, οἷον Ναίηc Ναίητοc (ἔcτι δὲ ὄνομα κύριον), κούρηc κούρητοc (ὁ νεώτεροc), οἷον ⟨Τ 248⟩ κούρητεc Ἀχαιῶν, Ὅπληc Ὅπλητοc (ὄνομα κύριον), Πίγρηc Πίγρητοc, Τίγρηc Τίγρητοc (ἔcτι δὲ ὄνομα ποταμοῦ)· τοῦτο δὲ καὶ διὰ τοῦ η̄ γράφεται καὶ διὰ τοῦ ῑ· ἀλλ' ἡνίκα μὲν διὰ τοῦ η̄ γράφεται, διὰ τοῦ τοc κλίνεται, οἷον Τίγρητοc, ἡνίκα δὲ διὰ τοῦ ῑ γράφεται, διὰ τοῦ δοc κλίνεται, οἷον Τίγριδοc, τῷ λόγῳ τῶν 143 g κυρίων, ὡc Πάριc Πάριδοc. Ἔτι cεcημείωται καὶ τὸ Βάβρηc Βάβρητοc καὶ τὸ Φάγρηc Φάγρητοc καὶ τὸ Μάγνηc Μάγνητοc (ἔcτι δὲ ὄνομα κύριον καὶ ἐθνικόν· Μάγνηc γὰρ λέγεται ὁ πολίτηc τῆc Μαγνηcίαc) καὶ τὸ Ἴγνηc Ἴγνητοc καὶ τὸ Μάcηc Μάcητοc καὶ τὸ Πάρνηc Πάρνηθοc καὶ τὸ Μένδηc Μένδητοc καὶ τὸ γλοίηc γλοίητοc (cημαίνει δὲ τὸν κακοήθη) καὶ τὸ πλήρηc πλήρουc καὶ τὸ Ἄρηc Ἄρεοc. Καὶ τὸ μὲν Ναίηc Ναίητοc καὶ τὸ κούρηc κούρητοc ἔχουcιν ἀπολογίαν τοιαύτην, ὅτι Νάηc

[Discr. scr. ex NCVP] **2** *ante* περὶ *add* καὶ NC ‖ **4** Πόλληc Πόλλητοc *Lentzius*, πόληc πόλητοc NCP, πήληc πήλητοc V ‖ **5** Βάμβληc Βάμβλητοc NC, μάμβληc μάμβλητοc P, *om* V ‖ **8** Δημομέλουc V, Δημομέλου NCP ‖ **9** γὰρ] δὲ NC ‖ **15** cπονδιακὸν N ‖ **20** Λίργηc Λίργητοc NCVP; *an* Ἰλέργηc Ἰλέργητοc? ‖ **24** μὲν NCP, γὰρ V ‖ **25** νέηc νέητοc N ‖ **26** ὅπληc ὅπλητοc N; *item p. 161, 19* ‖ **29** διὰ τοῦ τοc κλίνεται διὰ τοῦ η̄ γράφεται NC | οἷον Τίγρητοc *om* N ‖ **34** Μάcηc Μάcητοc NCP, Μάccηc V | Πάρνητοc NC

Νάητοc καὶ κόρηc κόρητοc ἦν καὶ τῷ λόγῳ τῶν ἰαμβικῶν διὰ τοῦ τοc ἐκλίνοντο, καὶ ἐπλεόναcε τὸ μὲν Νάηc τὸ ῐ καὶ ἐγένετο Ναίηc, τὸ δὲ κόρηc τὸ ῠ καὶ ἐγένετο κούρηc, καὶ ἐφύλαξαν τὴν αὐτὴν κλίcιν. Ἔχουcι δὲ καὶ ἄλλην ἀπολογίαν τοιαύτην, τὸ μὲν κούρηc, ὅτι τὰ εἰc ρηc λήγοντα διcύλλαβα τῇ ου διφθόγγῳ παραληγόμενα διὰ τοῦ τοc κλίνονται, οἷον Μούρηc Μούρητοc, Δούρηc Δούρητοc· οὕτωc οὖν καὶ κούρηc κούρητοc. Περὶ δὲ τοῦ Ναίηc Ναίητοc ἔcτιν εἰπεῖν, ὅτι πολλάκιc ἡ αι καὶ ἡ οι δίφθογγοι ἀντὶ κοινῆc παραλαμβάνονται, ὅθεν καὶ τούτων τῶν διφθόγγων ἐπὶ τέλουc οὐcῶν πολλάκιc προπαροξύνεται ἡ λέξιc, οἷον Ῥόδιοι Ὅμηροι ἅμαξαι ἄελλαι· καὶ παρὰ τοῖc ποιηταῖc δὲ πολλάκιc ἡ αι καὶ ἡ οι δίφθογγοι ἀντὶ κοινῆc παραλαμβάνονται, τῆc κοινῆc μὴ ἀπαρτιζούcηc εἰc μέροc λόγου, ὡc παρὰ Θεοκρίτῳ ⟨11, 18⟩ ὑψηλᾶc ἐc πόντον ὁρῶν ἄειδε τοιαῦτα, καὶ παρὰ Μενάνδρῳ ⟨fragm. 181 K⟩ οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει, καὶ παρὰ τῷ ποιητῇ ⟨Π 235⟩ cοὶ ναίουc᾽ ὑποφῆται, ἀνιπτόποδεc, χαμαιεῦναι· τούτου οὖν χάριν τὸ Ναίηc ὡc ἔχον τὴν αι δίφθογγον ἀντὶ κοινῆc τῷ λόγῳ τῶν ἰαμβικῶν ἐκλίθη· τούτῳ τῷ λόγῳ δὲ καὶ τὸ γλοίηc γλοίητοc ὑπάγεται, ἔχει γὰρ τὴν οι δίφθογγον, ἥτιc ὡc εἴρηται πολλάκιc ἀντὶ κοινῆc παραλαμβάνεται. Τὸ δὲ Ὅπληc Ὅπλητοc καὶ Τίγρηc Τίγρητοc καὶ Πίγρηc Πίγρητοc καὶ Βάβρηc Βάβρητοc καὶ Φάγρηc Φάγρητοc καὶ Μάγνηc Μάγνητοc καὶ Ἴγνηc Ἴγνητοc ἔχουcιν ἄφωνον πρὸ 144 g ἀμεταβόλου καὶ κοινὴν τὴν cυλλαβὴν ἔχουcιν, καὶ ὡc ἔχοντα κοινὴν τὴν cυλλαβὴν τῷ λόγῳ τῶν ἰαμβικῶν διὰ τοῦ τοc ἐκλίθηcαν. Τὸ δὲ λάγνηc λάγνου, εἰ καὶ ἔχει ἄφωνον πρὸ ἀμεταβόλου, εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν τῷ λόγῳ τοῦ Κόμηc Κόμου καὶ γύηc γύου· ὥcπερ γὰρ ἀπὸ τοῦ δίκη γίνεται ἑλλανοδίκηc ἑλλανοδίκου, οὕτω καὶ ἀπὸ τοῦ γυνή καὶ τοῦ λα τοῦ ἐπιτατικοῦ μορίου γίνεται λαγύνηc, οἱονεὶ ὁ ἐπίταcιν πολλὴν ἔχων πρὸc τὰc γυναῖκαc, καὶ κατὰ cυγκοπὴν λάγνηc λάγνου. Τὸ δὲ Ἴγνηc Ἴγνητοc ἔχει καὶ ἄλλην ἀπολογίαν, ὅτι Γνήc Γνητόc ἦν, ὥcπερ Κρήc Κρητόc, καὶ ἐγένετο ἐν cυνθέcει μετὰ τῆc ἵ ἀντωνυμίαc, οἷον ἐγώ cύ ἵ, Ἴγνηc Ἴγνητοc, καὶ ἐφύλαξε τὴν αὐτὴν κλίcιν (Ἴγνητεc δέ εἰcιν οἱ γνήcιοι Ῥόδιοι), ὥcπερ καὶ ἀπὸ τοῦ Κρήc Κρητόc γίνεται Ἐτεόκρηc Ἐτεόκρητοc, καὶ φυλάττει τὴν αὐτὴν κλίcιν. Περὶ δὲ τοῦ Μάcηc Μάcητοc (ἔcτι δὲ ὄνομα πόλεωc, ὡc παρὰ τῷ

[Discr. scr. ex NCVP] **4** τοιαύτην V, τὰ τοιαῦτα NCP ‖ **12** ὑψηλὰc NC, ὑψηλαὶ V ‖ **13** ἐc πόντοιο ῥῶν (ῥῶ C) ἀεὶ δὲ NC; *cfr. An. Var. ed. Schoell. et Stud. I 43, 21 adn.* ‖ **14** οἱ τηλ.] *cfr. An. Var. I 44, 15* ‖ **15** χαμαὶ εὐναί NC ‖ **18** ὑπάγεται VP, ἐπάγεται NC ‖ **24** λάγνηc λάγνου P, λάγνηc λάγνουc NC, λάχνηc λάχνου V ‖ **26** ἑλλαν. ἑλλαν.] πλανοδίκηc πλανοδίκου NC ‖ **30** τῆc ἵ] τοῦ ἱ N, τοῦ ῑ CP, τῆc ἵ V; *cfr. EM 465, 1. Apollonius attice* Ἵγνηc *dici monet* (*de pron. p. 56, 4 Sch.*) ‖ **31** οἷον *om* NC | ἱ NCP, ἵ V | τὴν κλίcιν τὴν αὐτὴν NC ‖ **33** γίνεται *om* NC | Ἐτεόκρηc Ἐτεόκρητοc *Lobeckius Parall. p. 81,* Ἔγκρηc Ἔγκρητοc NCP, Ἐγκρήc Ἐγκρῆτοc V ‖ **34** Περὶ δὲ τοῦ] τὸ δὲ NC | Μάccηc Μάccητοc V; *cfr. p. 160, 34*

ποιητῇ, οἷον ⟨Β 562⟩ οἵ τ' ἔχον Αἴγιναν Μάcητά τε υἷεc Ἀχαιῶν) ἔcτιν εἰπεῖν, ὅτι cυνεcταλμένον ἔχει τὸ ᾱ καὶ ὡc ἰαμβικὸν ἐκλίθη διὰ τοῦ τοc, ἀλλὰ ποιητικῶc τὸ ᾱ ἐξέτεινε διὰ τὸ μέτρον· ἢ λέγομεν ὅτι ἀπὸ τοῦ ὁ Μάcητοc τοῦ Μαcήτου τῷ Μαcήτῳ τὸν Μάcητον γέγονε κατὰ μεταπλαcμὸν Μάcητα. Τὸ δὲ πλήρηc πλήρουc ἐπειδὴ ἔχει οὐδέτερον εἰc εc, οἷον τὸ πλῆρεc, διὰ τοῦτο εἰc ουc ἔχει τὴν γενικήν· ἐμάθομεν γὰρ ὅτι τὰ εἰc ηc ἔχοντα οὐδέτερον εἰc εc εἰc ουc ἔχουcι τὴν γενικήν, οἷον ὁ cαφήc τοῦ cαφοῦc τὸ cαφέc, ὁ εὐcεβήc τοῦ εὐcεβοῦc τὸ εὐcεβέc· οὕτωc οὖν καὶ ὁ πλήρηc τοῦ πλήρουc τὸ πλῆρεc· ἄλλωc τε δὲ ὅτι οὐδὲ ἔcτι τοῦτο δicύλλαβον φύcει· ἢ γὰρ ἀπὸ τοῦ πλείων γέγονε πλειήρηc καὶ ἐν cυγκοπῇ πλήρηc, ἢ ἀπὸ τοῦ πολύc πολήρηc γέγονε καὶ ἐν cυγκοπῇ πλήρηc. Τὸ δὲ Πάρνηc Πάρνηθοc καὶ Μένδηc Μένδητοc, ἐπειδὴ καὶ θηλυκῶc λέγονται, οἷον ⟨Aristoph. Nub. 323⟩ βλέπε νῦν δεῦρο πρὸc τὴν Πάρνηθα (ἔcτι δὲ ὄροc τῆc Ἀττικῆc), καὶ πάλιν ⟨Pind. fragm. 201 B[1]⟩ Αἰγυπτίαν Μένδητα (ἔcτι δὲ ὄνομα πόλεωc Αἰγύπτου), εἰκότωc διὰ τοῦ τοc ἐκλίθηcαν· τὰ γὰρ 145g εἰc ηc θηλυκὰ μονογενῆ διὰ τοῦ τοc κλίνονται, οἷον ἐcθήc ἐcθῆτοc, ποτήc ποτῆτοc, ⟨Λ 780⟩ ἐδητύοc ἠδὲ ποτῆτοc (cημαίνει δὲ τὴν πόcιν), ποιότηc ποιότητοc, φιλότηc φιλότητοc, κακότηc κακότητοc· οὕτωc οὖν καὶ Μένδηc Μένδητοc καὶ Πάρνηc Πάρνητοc καὶ Πάρνηθοc κατὰ μετάθεcιν τοῦ τ εἰc θ. Πρόcκειται «μονογενῆ» διὰ τὸ νημερτήc νημερτοῦc· τοῦτο γὰρ ὡc ἔχον οὐδέτερον εἰc εc, ἤγουν τὸ νημερτέc, εἰc ουc ἔχει τὴν γενικήν· τοῦτο δὲ καὶ κύριον γινόμενον τὴν αὐτὴν κλίcιν φυλάττει· ἔχομεν δὲ τὴν χρῆcιν τοῦ κυρίου παρ' Ὁμήρῳ, οἷον ⟨Σ 46⟩ Νημερτήc τε καὶ Ἀψευδὴc καὶ Καλλιάναccα.

Τὸ δὲ Ἄρηc διαφόρουc ἔχει κλίcειc· καὶ γὰρ κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν, οἷον Ἄρητοc, ἔχον τὸ Ἀρητιάδηc πατρωνυμικόν· καὶ πάλιν τῷ λόγῳ τῶν cπονδειακῶν, οἷον Ἄρου, ἐξ οὗ τὸ ⟨Φ 431⟩ ἦλθεν Ἄρῃ ἐπίκουροc, ὥcπερ τῷ Χρύcῃ, καὶ πάλιν ⟨Ε 909⟩ παύcαcαι βροτολοιγὸν Ἄρην ἀνδροκταcιάων, ὥcπερ τὸν Χρύcην· ἔcτι δὲ καὶ Ἄρηc Ἄρουc, τῷ λόγῳ τῶν ἀπὸ ῥήματοc cυνθέτων κυρίων τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ Λάχηc διδαcκαλίᾳ, ἡνίκα περὶ τοῦ Ἀριφράδηc διελαμβάνομεν· ὥcπερ γὰρ ἀπὸ τοῦ φαίνω γίνεται Ἀριcτοφάνηc Ἀριcτοφάνουc, τῷ αὐτῷ τρόπῳ καὶ παρὰ τὸ ῥῶ, τὸ cημαῖνον τὸ λέγω, ἐξ οὗ καὶ ῥῆcιc καὶ ῥῆμα καὶ ῥήτωρ, γίνεται Ἄρηc ἐν cυνθέcει τοῦ ᾱ τοῦ cτερητικοῦ, οἱονεὶ ὁ ἐcτερημένοc τοῦ λέγειν, ἐν γὰρ τῷ πο-

---

[Discr. scr. ex NCVP] **1** οἵ τ' *om* NC | Μάccητά τε V ‖ **4** Μάcητοc — Μάcητα (**5**)] *in omnibus formis* cc *habet* V ‖ **11** πλείων NCP, ὁ πλείηc V, πλεῖοc *EM 676, 53* | ἀπὸ τοῦ πολύc] ἀπὸ τοῦ πολλὸc NCP, ἀπολλὸc V, παρὰ τὸ πολὺ *EM 676, 52* ‖ **12** πολήρηc NCP, πολλήρηc V, πολυήρηc *EM* ‖ **13** καὶ *om* NC ‖ **16** τοῦ τοc] τὸ c N | ἐκλίθη NCVP ‖ **18** αἰδητῦοc N, αἰδυτῆοc C ‖ **23** καὶ *om* NC ‖ **29** παύcαcθαι NC ‖ **32** τῷ εἰρημ.] *vide p. 156, 35* ‖ **34** παρὰ τῶ N, παρὰ τοῦ C ‖ **35** ἐν cυνθ. — cτερητικοῦ (**36**) P, *om* NCV, *qui post* Ἄρηc *addunt* Ἄρουc

λέμῳ οὐ λόγων καιρὸς ἀλλὰ πράξεως, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν ⟨Π 630⟩ ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ· ἐκ ταύτης δὲ τῆς γενικῆς, φημὶ δὴ τῆς εἰς ουc, ἐστὶ κλητικὴ Ἄρες, οἷον ⟨Ε 31⟩ Ἆρες, Ἄρες, βροτολοιγέ, μιαιφόνε, ὥσπερ Δημοσθένης Δημοσθένους Δημόσθενες· εὑρίσκεται δὲ καὶ Ἄρεως ἀττικῶς διὰ τοῦ ω, ὡς ἀπὸ τοῦ Ἄρευς, καὶ Ἄρηος ἰωνικῶς, καὶ Ἄρευος αἰολικῶς· Ἄρης γάρ ἐστι καὶ ταράττει τὴν κλίσιν. Ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

146 g Τῷ Χρύσῃ, τὸν Χρύσην· εἴρηται.

Ὦ Χρύση. Ἰστέον ὅτι περὶ τῆς κλητικῆς τῶν εἰς ηc ἐστὶ καθολικώτερον εἰπεῖν οὕτως· τὰ εἰς ηc ἐὰν μὲν περιττοσυλλάβως κλίνωνται εἰς σύμφωνον ἔχουσι τὴν κλητικήν, τουτέστιν εἰς c ἢ εἰς ν, ἐὰν δὲ ἰσοσυλλάβως κλίνωνται εἰς φωνῆεν ἔχουσι τὴν κλητικήν, τουτέστιν ἢ εἰς η ἢ εἰς α. Καὶ λοιπὸν συνάγονται πέντε κλητικαὶ ἐκ τῶν τεσσάρων τούτων στοιχείων· τὰ γὰρ εἰς ηc λήγοντα ἐὰν μὲν διὰ καθαροῦ τοῦ τοc κλίνωνται τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον Λάχης Λάχητος ὦ Λάχης, λέβης λέβητος ὦ λέβης, πένης πένητος ὦ πένης· ἐὰν δὲ εἰς ουc ἔχωσι τὴν γενικὴν εἰς εc ποιοῦσι τὴν κλητικήν, οἷον Δημοσθένης Δημοσθένους ὦ Δημόσθενες, Ἀριστοφάνης Ἀριστοφάνους ὦ Ἀριστόφανες· καὶ ἰδοὺ εὑρίσκονται κλητικαὶ διάφοροι εἰς c καταλήγουσαι· ἐὰν δὲ διὰ τοῦ ντ κλίνωνται εἰς ν ἔχουσι τὴν κλητικήν, οἷον φθογγῆς φθογγῆντος ὦ φθογγῆν, τιμῆς τιμῆντος ὦ τιμῆν, δαφνῆς δαφνῆντος ὦ δαφνῆν· τὰ δὲ εἰς ης ἰσοσυλλάβως κλινόμενα ἔχοντα τὸ τ ἢ ἐθνικὰ ὄντα ἢ σύνθετα ἀπὸ ῥήματος ἢ εἰς πηc, ἅτινα καὶ ποιητικὰ δοκοῦσιν εἶναι, εἰς α ἔχουσι τὴν κλητικήν· ἐὰν δὲ μὴ οὕτως ἔχωσιν, εἰς η ἔχουσι τὴν κλητικήν, τουτέστιν ἀποβολῇ τοῦ c τοῦ κατὰ τὴν εὐθεῖαν ποιοῦσι τὴν κλητικήν. Ἔστωσαν δὲ παραδείγματα τοῦ μὲν προτέρου κανόνος ταῦτα, θύτης θύτου ὦ θύτα, δότης δότου ὦ δότα, τοξότης τοξότου ὦ τοξότα, ποιητής ποιητοῦ ὦ ποιητά· ἰδοὺ ταῦτα ἔχουσι τὸ τ καὶ εἰς α ποιοῦσι τὴν κλητικήν· καὶ πάλιν Cκύθης Cκύθου ὦ Cκύθα, Καππαδόκης Καππαδόκου ὦ Καππαδόκα, Πέρσης Πέρσου ὦ Πέρσα· ἰδοὺ ταῦτα ἐθνικά εἰσι καὶ εἰς α ἔχουσι τὴν κλητικήν· τὸ γὰρ κύριον ὄνομα τὸ Πέρσης εἰς η ἔχει τὴν κλητικήν, οἷον ὦ Πέρση, ὡς παρ' Ἡσιόδῳ ⟨Opp. 27⟩ ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ· σημειούμεθα παρ' Ἡρακλείδῃ ἐν τοῖς Περὶ χρησμῶν, ὅτιπερ καὶ λέγουσί τινες πεπλασμένον εἶναι, τὸ ὦ Πέρση ποικιλόδιφρε, ἰδὼν ἀπὸ χεῖρας ἔχεσθαι· ἔστι γὰρ ἐνταῦθα ἐθνικόν, καὶ εἰς η καταλήγει ἡ κλητική· σύνθετα δὲ

[Discr. scr. ex NCVP] **4** οἷον Ἆρες *om* NC ‖ **6** Ἄρευος] ἄρεος NV, ἄρεως *et in marg.* ∴ C, ἄρειος P ‖ **10** Ὦ Χρύση *om* NC | περὶ τῶν τῆς κλ. NC ‖ **34** ἐνικάτθεο] ἐνὶ κάτθεο NVP, ἐγκάτθεο C ‖ **35** πεπλασμένον VP, πεπλανημένα NC ‖ **36** ὦ NC, *unius litterae rasura* V, *om* P | ἰδὼν VP, ἵνδ' N, ἵν' C | χεῖρας CVP, χεῖρα N | ἔχεσθαι NC, ἔχεσκεν VP | *versum emendare studebat Lentzius* (*Herod. II 690,9*) *proponens aut* ὦ Πέρση ποικιλόδιφρε, Τῶνδ' ἀπὸ χεῖρας ἔχεσθαι *aut* Πέρση ποικ., θεῶν δ' ἀπὸ χεῖρας ἔχεσθαι

ἀπὸ ῥήματος, οἷον μετρῶ γεωμέτρης γεωμέτρου ὦ γεωμέτρα, πωλῶ 147 g παντοπώλης παντοπώλου ὦ παντοπῶλα, τρίβω παιδοτρίβης παιδοτρίβου ὦ παιδοτρίβα· ἰδοὺ γὰρ ταῦτα ἀπὸ ῥήματός εἰcι cύνθετα καὶ εἰc ᾱ ἔχουcι τὴν κλητικήν· εἰc πηc δέ, οἷον κυνώπης κυνώπου ὦ κυνῶπα, ⟨Α 159⟩ τιμὴν ἀρνύμενοι Μενελάῳ coί τε κυνῶπα· τινὲc δὲ θέλουcι ταῦτα τὰ ἔχοντα τὸ π̄ καὶ γινόμενα εἰc ᾱ ἐν τῇ κλητικῇ ποιητικὰ καλεῖν, ὡc κατὰ ποιητικὴν ἐξουcίαν γινόμενα.

Τοῦ δὲ δευτέρου κανόνος, τουτέcτι τῶν ἀποβολῇ τοῦ c̄ ποιούντων τὴν κλητικήν, παραδείγματα ταῦτα· Εὐριπίδης Εὐριπίδου ὦ Εὐριπίδη, μιcογύνης μιcογύνου ὦ μιcογύνη, Ἀτρείδης Ἀτρείδου ὦ Ἀτρείδη, Μηριόνης Μηριόνου ὦ Μηριόνη, ⟨Ν 249⟩ Μηριόνη Μόλου υἱέ, Χρύcης Χρύcου ὦ Χρύcη, ⟨Α 442⟩ ὦ Χρύcη, πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων, Ξέρξης Ξέρξου ὦ Ξέρξη, Τέννης Τέννου ὦ Τέννη. Cημειούμεθα ἐν τούτῳ τῷ κανόνι τὸ λάγνης λάγνου ὦ λάγνα παρ' Εὐβούλῳ ἐν Κορυδαλλῷ, ἔχει δὲ οὕτωc ⟨fragm. 55 K⟩· ἴθι δεῦρ' ἀφελοῦ τ' ὦ λάγνα ταχὺ τὰ ποικίλα· καὶ τὸ πυραίχμης πυραίχμου ὦ πυραῖχμα καὶ τὸ μεναίχμης μεναίχμου ὦ μεναῖχμα· ταῦτα γὰρ εἰc ᾱ ἔχουcι τὴν κλητικὴν ὀφείλοντα εἰc η̄ αὐτὴν ἔχειν· τὸ γὰρ Cτρεψιάδης Cτρεψιάδου ὦ Cτρεψιάδη καὶ Ἡρακλείδης Ἡρακλείδου ὦ Ἡρακλείδη γενόμενα Cτρεψίαδεc καὶ Ἡράκλειδεc παρὰ τοῖc κωμικοῖc παιγνίου χάριν ἐλέχθηcαν, οἷον παρὰ Ἀριcτοφάνει ἐν Νεφέλαιc ⟨1206⟩ μάκαρ ὦ Cτρεψίαδεc· ἐν δὲ τοῖc ἔχουcι τὸ τ̄ cημειούμεθα τὸ Αἰήτης Αἰήτου ὦ Αἰήτη, ὡc παρὰ Ἀπολλωνίῳ ⟨3, 386⟩ Αἰήτη, cχέο μοι τῷδε cτόλῳ, καὶ τὸ καλλιλαμπέτης καλλιλαμπέτου ὦ καλλιλαμπέτη, 148 g καὶ τὸ αἰναρέτης αἰναρέτου ὦ αἰναρέτη, ὡc παρὰ τῷ ποιητῇ ⟨Π 31⟩ αἰναρέτη· τί cευ ἄλλοc ὀνήcεται ὀψίγονόc περ· αἰναρέτης δέ ἐcτιν ὁ ἐπὶ κακῷ κεκτημένοc τὴν ἀρετήν· καὶ παρὰ τῷ ποιητῇ ⟨χ 287⟩ ὦ φιλοθερcίτη, φιλοκέρτομε, καίτοι γε τοῦ ἁπλοῦ διὰ τοῦ ᾱ ἐξενεχθέντοc παρ' αὐτῷ, οἷον ⟨Β 246⟩ Θερcῖτ' ἀκριτόμυθε· ταῦτα δὲ ἐcημειωcάμεθα, ὅτι ἔχοντα τὸ τ̄ εἰc η̄ ἔcχον τὴν κλητικήν, ὀφείλοντα εἰc ᾱ αὐτὴν ἔχειν· ἐν δὲ τοῖc ἐθνικοῖc ἐcημειωcάμεθα τὸ ὦ Πέρcη ποικιλόδιφρε εἰc η̄ καταλῆγον.

[Discr. scr. ex NCVP] **2** πανταπώλης πανταπώλου πανταπώλα VP, ἀρτοπώλης ἀρτοπώλα *EM 670, 23* ‖ **6** καὶ γινόμενα] κλινόμενα NC ‖ **13** Τένης Τένου ὦ Τένη V ‖ **15** Κορυδαλλῷ *Meinekius,* κορυδαλῷ VP, κορυμάλλω *et supra* μ *pos.* κ N¹, κορυβάλλω C | ἴθι — ποικίλα (**16**) *Meinekius,* ἴθι δεῦρο ἀφελοῦ λάγνα ταχυποίκιλα N, ἴθι δεῦρο ἀφελοῦ λάγνου ταχυπ^αγ'κιλα C, ἴθι δεῦρο δὴ ἀφέλου λάγνα ταχυποικίλα VP ‖ **16** τ' ὦ λάγνα] θ' ὡc λάγνα *Bothius* ‖ **17** μεναίχμης — μεναῖχμα V, μενέγμης μενέγμου ὦ μενέγμα NC, μενέcθης μενέcθου ὦ μενέcθα P, μενέχθης ὦ μενέχθα *EM 670, 21* ‖ **23** cχέο μοι] χεόμενοι N, χρεόμοι C ‖ **24** καλλιλαμπέτης κτλ. P *et EM 670, 19,* καλλιπέτης *etc.* NC, καλλιλαπέτης *etc.* V. Ἀνακρέων· Ἥλιε καλλιλαμπέτη *Prisc. VII 7 (II 289, 7 K).* *cfr. Anacr. fragm. 27 B*¹ ‖ **26** αἰναρέτη τίc ἄλλοc ὀνήcαιτο ὑψίγενόc περ NC ‖ **28** φιλοθερcίτη NCVP, Πολυθερcείδη *Odyss.* | φιλοκέρτιμε NC ‖ **29** ἀκριτόμυθε *in* ἀκριτόθυμε *mut.* N¹

Τὼ Χρύσα. Ἰστέον ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς η̅ λήγουσα, δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ι̅, τροπῇ τοῦ η̅ εἰς α̅ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν· ἀλλ' ἐν τοῖς δυϊκοῖς οὐκ ἔστι τὸ ι̅ προσγεγραμμένον, οἷον τῷ Χρύσῃ τὼ Χρύσα, τῷ Πέρσῃ τὼ Πέρσα, τῇ Μούσῃ τὰ Μούσα, τῇ Ἑλένῃ τὰ Ἑλένα· ἰστέον δὲ ὅτι ὁ τεχνικὸς ὡς πρὸς τὴν ἐκφώνησιν ἀποβλέπων εἰς η̅ λήγουσαν ὠνόμασε, καὶ οὐ προσέθηκε τὸ ι̅.

Τοῖν Χρύσαιν, ὦ Χρύσα· εἴρηται. Οἱ Χρῦσαι, τῶν Χρυσῶν, τοῖς Χρύσαις, τοὺς Χρύσας, ὦ Χρῦσαι.

Κανὼν ε΄.

Ὁ Δημοσθένης.

Μετὰ τὸ διαλαβεῖν περὶ τῶν εἰς η̅ς̅ ἰαμβικῶν τε καὶ σπονδειακῶν διαλαμβάνει περὶ τῶν εἰς η̅ς̅ παρ' οὐδετέρων συντεθειμένων, τουτέστι περὶ τοῦ Δημοσθένης καὶ τῶν ὁμοίων, λέγων ὅτι τὰ εἰς η̅ς̅ παρ' οὐδετέρων συντεθειμένα εἰς ο̅υ̅ς̅ ἔχουσι τὴν γενικήν, οἷον σθένος Δημοσθένης Δημοσθένους, γένος Διογένης Διογένους, νεῖκος Πολυνείκης Πολυνείκους, ἦθος κακοήθης κακοήθους, κῆτος μεγακήτης μεγακήτους, μῆκος ἐπιμήκης ἐπιμήκους. Πρόσκειται «εἰς η̅ς̅» διὰ τὰ ἑτέραν ἔχοντα κατάληξιν καὶ ἀπὸ οὐδετέρων ὄντα, οἷον ξίφος ἄξιφος ἀξίφου· τοῦτο γὰρ παρ' οὐδετέρου ἐστὶ συντεθειμένον καὶ ὅμως οὐκ ἔχει εἰς ο̅υ̅ς̅ τὴν γενικήν, ἀλλ' εἰς τὴν ο̅υ̅ δίφθογγον, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ
149 g οὐκ ἔστιν εἰς η̅ς̅· πρόσκειται «παρ' οὐδετέρων συντεθειμένα» διὰ τὸ νίκη Ὀλυμπιονίκης Ὀλυμπιονίκου· τοῦτο γὰρ καὶ εἰς η̅ς̅ ἐστὶ καὶ σύνθετον καὶ ὅμως οὐκ ἔχει εἰς ο̅υ̅ς̅ τὴν γενικήν, ἀλλ' εἰς τὴν ο̅υ̅ δίφθογγον, ἀλλ' οὐκ ἔστι παρ' οὐδετέρου συντεθειμένον, ἀλλὰ παρὰ θηλυκοῦ. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι παρ' οὐδετέρων συντεθειμένα δεῖ νοεῖν, ἵνα κατὰ τὸ τέλος ἔχωσι τὸ οὐδέτερον· τοῦτο δὲ εἴρηται διὰ τὸ Κλεοφόντης Κλεοφόντου· τοῦτο γὰρ εἰς η̅ς̅ ἐστὶ καὶ παρ' οὐδετέρου συντεθειμένον, φημὶ δὴ παρὰ τὸ κλέος, καὶ ὅμως εἰς ο̅υ̅ς̅ οὐκ ἔχει τὴν γενικήν, ἀλλ' εἰς τὴν ο̅υ̅ δίφθογγον· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι κατὰ τὸ τέλος τὸ οὐδέτερον, ἀλλὰ κατὰ τὴν ἄρχουσαν· σύγκειται δὲ ἐκ τοῦ κλέος καὶ τοῦ φόντης, ὃ σημαίνει τὸν φονέα. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ». Τοῦτο δὲ εἴρηται διὰ τὸ Ἀμέλης Ἀμέλητος καὶ ἀμένης ἀμένητος· ταῦτα γὰρ εἰς η̅ς̅ εἰσὶ καὶ παρ' οὐδετέρων εἰσὶ συντεθειμένα, φημὶ δὴ παρὰ τὸ μέλος καὶ τὸ μένος, καὶ κατὰ τὸ τέλος ἔχουσι τὸ οὐδέτερον, καὶ ὅμως οὐκ ἔχουσιν εἰς ο̅υ̅ς̅ τὴν γενικήν, ἀλλὰ διὰ τοῦ

[Discr. scr. ex NCVP] **5** δὲ *om* NC ‖ **6** λήγουσαν] λήγειν NC ‖ **13** παρ'] ἀπὸ V ‖ **14** ἔχουσι] ἔχει V ‖ **19** γὰρ *om* NC | παρ' οὐδετέρου P, παρ' οὐδετέρων NC, ἀπ' οὐδετέρου V; *item v. 24* ‖ **21** παρ' οὐδ. πρόσκ. συντεθ. NC ‖ **24** συντεθειμένων N ‖ **32** παρὰ τὸ κλέος καὶ τὸ φόντης NC | τὸν φονέα] τὸ φονεύς NC

τος κλίνονται· ἀλλ' ὑπέπεcον ταῦτα χαρακτῆρι τοιούτῳ· εἰcί τινα εἰc ης λήγοντα ὑπὲρ δύο cυλλαβὰc ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μὴ τὸ ῑ, μὴ τὸ ō, μὴ τὸ ῡ, μὴ τὸ ω̄, ἅτινα διὰ τοῦ τοc κλίνονται, οἷον Ἐπιάλης Ἐπιάλητος, Ὑπέρης Ὑπέρητος (εἰcὶ δὲ ὀνόματα κύρια), Ἀκέλης Ἀκέλητος (ἔcτι δὲ ὄνομα ποταμοῦ), ὑψικέρης ὑψικέρητος (cημαίνει δὲ τὸν ἐν ὕψει κεκτημένον τὰ κέρατα), Κανάρης Κανάρητος (ἔcτι δὲ ὄνομα ποταμοῦ), Κεφάλης Κεφάλητος (ἔcτι δὲ ὄνομα κύριον)· οὕτωc οὖν καὶ Ἀμέλης Ἀμέλητος (ὅ ἐcτιν ὄνομα ποταμοῦ) καὶ ἀμένης ἀμένητος (ὃ cημαίνει τὸν παῖδα παρὰ τὸ μὴ ἔχειν μένος), οὐκ ἀντιcτρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ τὰ ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μὴ τὸ ῑ, μὴ τὸ ō, μὴ τὸ ῡ, μὴ τὸ ω̄, πάντωc διὰ τοῦ τοc κλίνονται· ἰδοὺ γὰρ τὸ Δημοcθένης Δημοcθένους καὶ Ἀντιcθένης Ἀντιcθένους καὶ Ἀριcτοτέλης Ἀριcτοτέλους οὐ κλίνονται διὰ τοῦ τοc. Πρόcκειται «μὴ ἔχοντα μήτε τὸ ῑ, μήτε τὸ ō, μήτε τὸ ῡ, μήτε τὸ ω̄», ἐπειδὴ τὰ τοιαῦτα ἰcοcυλλάβωc κλίνονται, οἷον Αἰcχίνης Αἰcχίνου, Λεπτίνης Λεπτίνου, Μηριόνης Μηριόνου, Κεβριόνης Κεβριόνου (εἰcὶ δὲ ταῦτα ὀνόματα κύρια), τελώνης 150 g τελώνου, cιτώνης cιτώνου. Ταῦτα μὲν ἐν τούτοις.

Cημειοῦται δὲ ὁ τεχνικὸς τὸ ἀγκυλοχείλης ἀγκυλοχείλου, λέγων ὅτι παρὰ τὸ χεῖλος ἐcτὶ cύνθετον καὶ ὅμως οὐκ ἔcχεν εἰc ους τὴν γενικήν· ἔχομεν δὲ τὴν χρῆcιν παρὰ τῷ ποιητῇ ⟨Π 428⟩ οἱ δ' ὥcτ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι. Λέγομεν δὲ ὅτι οὐ καλῶc ἐcημειώcατο αὐτὸ ὁ τεχνικός· οὐδὲ γάρ ἐcτι τοῦτο cύνθετον, ἀλλὰ παραcύνθετον· ὥcπερ γὰρ παρὰ τὸ ῥῖγος γίνεται δύcριγος cύνθετον καὶ παρὰ τὸ ξίφος ἄξιφος καὶ παρὰ τὸ θάρcος, ὅπερ ἐcτὶν αἰολικῶc θέρcος, ἐξ οὗ καὶ τὸ Θερcίτης, Ἁλίθερcος cύνθετον γίνεται, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ χεῖλος ἀγκυλόχειλος cύνθετον γίνεται· καὶ λοιπὸν ἀπὸ τοῦ ἀγκυλόχειλος cυνθέτου γίνεται παραcύνθετον ἀγκυλοχείλης ἀγκυλοχείλου. Εὐλόγωc οὖν εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικήν· τὰ γὰρ ἀπὸ τῶν εἰc οc εἰc ηc γινόμενα βαρύτονα, εἴτε ἁπλᾶ εἴτε παραcύνθετα, εἰc τὴν ου δίφθογγον ἔχουcι τὴν γενικήν, οἷον Ἄραξος Ἀράξης Ἀράξου, Λάπιθος Λαπίθης Λαπίθου, Οἰδίπους Οἰδίποδος Οἰδιπόδης Οἰδιπόδου, ἑπτάπους ἑπτάποδος ἑπταπόδης ἑπταπόδου, ἴcπνιλος ἰcπνίλης ἰcπνίλου (cημαίνει δὲ τὸν ἐραcτήν)· οὕτωc οὖν καὶ ἀπὸ τοῦ ἀγκυλόχειλος cυνθέτου ἀγκυ-

---

[Discr. scr. ex NCVP] **4** διὰ *om* N | Ἐπιάλης — κύρια (**5**) *om* NC, *hab.* VP; *cfr. Choer. 50, 10* g ‖ **7** Κανάρης Κανάρητος NC, Καταβάρης Καταβάρητος VP *et in marg.* κανάρης εἶχε V[1], Καβάρης Καβάρητος *Choer. 50, 13* g | Κεφάλης — μένος (**10**) *om* NC, *hab.* VP; *cfr. Choer. 50, 14–16* g ‖ **17** Κεβριόνης Κεβριόνου V, βριόνης βριόνου NC, Κερύνης Κερύνου P *et Choer. 50, 26* g | εἰcὶ — κύρια *om* NC, *hab.* VP; *cfr. Choer. 50, 26* g ‖ **21** οἵδ' ὥcτε γυπιοὶ NCVP ‖ **24** ῥίγος NCVP ‖ **25** τὸ *ante* Θερcίτης *om* NC ‖ **26** Ἁλίθερcος CVP, ἀλίθερcος N, *an* Ἁλιθέρcης? ‖ **31** Λάπιθος *etc.* P, Λάπυθος *etc.* NC, Λάπιθος *etc. sed supra* ι *ubique scripto* υ V ‖ **33** ἴcπνιλος — ἰcπνίλου VP, ἴcπλιλος ἰcπλίλης ἰcπλίλου NC, εἴcπνηλος *etc. Lentzius; cfr. Theocr. 12, 13. Callim. fragm. 169 Sch.* ‖ **34** *post* ἀπὸ τοῦ *add* χεῖλος NC

λοχείλης ἀγκυλοχείλου παρασύνθετον· καὶ εὐλόγως οὖν, ὡς εἴρηται, εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν. Πρόσκειται «βαρύτονα» διὰ τὰ ὀξύτονα, οἷον διὰ τὸ νεόπορθος νεοπορθής νεοπορθοῦς καὶ πολύκλαδος πολυκλαδής πολυκλαδοῦς· ταῦτα γὰρ ἀπὸ τῶν εἰς ος εἰς ης ἐγένοντο καὶ ὅμως εἰς ους ἔχουσι τὴν γενικὴν καὶ οὐκ εἰς τὴν ου δίφθογγον, ἐπειδὴ ἔχουσιν οὐδέτερον εἰς ες, οἷον τὸ νεοπορθές καὶ τὸ πολυκλαδές· πρόσκειται «εἴτε ἁπλᾶ εἴτε παρασύνθετα» διὰ τὰ σύνθετα, οἷον διὰ τὸ σθένος Δημοσθένης Δημοσθένους· ἰδοὺ γὰρ τοῦτο ἀπὸ τῶν εἰς ος εἰς ης ἐγένετο καὶ βαρύτονόν ἐστι καὶ ὅμως εἰς ους ἔχει τὴν γενικήν, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἁπλοῦν οὔτε παρα-
151 g σύνθετον ἀλλὰ σύνθετον. Ὅτι δὲ τὸ ἀγκυλοχείλης οὐ δύναται εἶναι σύνθετον, δείκνυσιν ὁ τόνος· εἰ γὰρ ἦν τὸ ἀγκυλοχείλης σύνθετον, ὤφειλεν ἐν ὀξείᾳ τάσει παραλαμβάνεσθαι· ἐπειδὴ οὖν οὐκ ὀξύνεται ἀλλὰ βαρύνεται, οὐκ ἄρα ἐστὶ σύνθετον ἀλλὰ παρασύνθετον. Ὅτι δὲ εἰ ἦν σύνθετον ὤφειλεν ὀξύνεσθαι, δῆλον ἐντεῦθεν· τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων εἰς ης γινόμενα σύνθετα τότε βαρύνονται ὅταν ὦσι κύρια, οἷον σθένος Δημοσθένης, γένος Διογένης, νεῖκος Πολυνείκης, κλέος Ἡρακλέης καὶ κατὰ κρᾶσιν Ἡρακλῆς περισπωμένως, καὶ ὅταν ὦσιν ἀπὸ τρισυλλάβου οὐδετέρου σύνθετα, οἷον στέλεχος εὐστελέχης, μέγεθος παμμεγέθης, καὶ ὅταν ἀπὸ δισυλλάβου οὐδετέρου ὦσι σύνθετα ἔχοντος ἐν τῇ παραληγούσῃ τὸ η ἐπιφερομένου ἀφώνου, οἷον κῆτος μεγακήτης, ἦθος κακοήθης, μῆκος ἐπιμήκης· ταῦτα γὰρ ἀπὸ δισυλλάβου οὐδετέρου εἰσὶ σύνθετα ἔχοντος κατὰ τὴν παραλήγουσαν τὸ η ἐπιφερομένου ἀφώνου. Ἐὰν δὲ μηδὲν ἐκ τούτων τῶν τριῶν ἔχωσι, τουτέστι μήτε κύρια ὦσι μήτε ἀπὸ τρισυλλάβου οὐδετέρου σύνθετα μήτε ἀπὸ δισυλλάβου οὐδετέρου παραληγομένου τῷ η ἐπιφερομένου ἀφώνου, ὀξύνεσθαι θέλουσιν, οἷον μένος εὐμενής, γένος εὐγενής, εἶδος δυσειδής, κλέος δυσκλεής, τεῖχος εὐτειχής (ἔχει μὲν γὰρ τοῦτο ἄφωνον ἐπιφερόμενον, φημὶ δὴ τὸ χ, ἀλλ' οὐ παραλήγεται τῷ η), δῆνος δυσδηνής (δήνεα δέ εἰσι τὰ βουλεύματα· τοῦτο παραλήγεται μὲν τῷ η, ἀλλ' οὐκ ἔχει ἐπιφερόμενον ἄφωνον, τὸ γὰρ ν ἡμίφωνόν ἐστιν), ἔτος διετής τριετής ἑξαετής. Ταῦτα δέ, φημὶ τὰ παρὰ τὸ ἔτος, παρ' ἡμῖν μὲν ὀξύνονται κατὰ τὸν προειρημένον κανόνα, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνονται· οἱ γὰρ Ἀθηναῖοι διέτης τριέτης ἑξαέτης λέγουσι βαρυτόνως, ὁμοίως τῷ εὐνέτης οἰκέτης (ὃ σημαίνει τὸν δοῦλον) καὶ ἱκέτης (ὃ σημαίνει τὸν παρακλήτορα), εἰ καὶ ταῦτα εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, τῶν παρὰ τὸ ἔτος εἰς ους αὐτὴν ἐχόντων. Οὐ μόνον δὲ περὶ τὸν τόνον πταίουσιν οἱ Ἀττικοὶ ἐν τοῖς παρὰ τὸ ἔτος βαρύνοντες αὐτά, ἀλλὰ καὶ περὶ τὴν

[Discr. scr. ex NCVP] **6** τὸ *ante* πολυκλ. *om* NC ‖ **7** εἴτε *ante* ἁπλᾶ *om* NC ‖ **8** σθένος] σθένης NC ‖ **18** ἐν *om* NC ‖ **24** τουτέστι *om* N ‖ **26** τῷ η P, τοῦ η NC, τὸ λ V ‖ **27** *post* οἷον *add* σθένος εὐσθενής V | εἶδος — δυσκλεής NC, εἶδος εὐειδής, κλέος εὐκλεής VP | τύχος N ‖ **28** εὐτυχής NC ‖ **29** δηνὸς NC ‖ **33** δὲ τοῖς] τῆς N ‖ **34** ἑξαέτης] τετραέτης. πενταέτης. ὀκταέτης. ἑκατονταέτης P ‖ **35** ὃ — παρακλ.] γαμέτης V ‖ **38** ἐν *om* NC

κλίσιν· οἱ δωδεκαέται γὰρ λέγουσι τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιούμενοι αὐτήν, ὥσπερ ὁ οἰκέτης τοῦ οἰκέτου 152 g οἱ οἰκέται, ὀφείλοντες εἰπεῖν οἱ δωδεκαέτεις, ὥσπερ οἱ Δημοσθένεις· οὕτω γὰρ ἀπαιτεῖ ὁ κανών. Ὡσαύτως δὲ καὶ τὰ θηλυκὰ τούτων ὡς ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιοῦνται· ὥσπερ γὰρ ὁ πολίτης τοῦ πολίτου καὶ ἡ πολῖτις τῆς πολίτιδος, καὶ ὁ κυνηγέτης τοῦ κυνηγέτου καὶ ἡ κυνηγέτις τῆς κυνηγέτιδος, οὕτω καὶ ἀπὸ τοῦ τριακονταέτης τριακονταέτου ποιοῦσι τὸ θηλυκὸν ἡ τριακονταέτις τῆς τριακονταέτιδος, ὡς παρὰ τῷ συγγραφεῖ ⟨Thuc. I 87, 6⟩ τῶν τριακονταετίδων σπονδῶν, ὀφείλοντες εἰπεῖν ἡ τριακονταέτης τῆς τριακονταέτους· ὥσπερ γὰρ ὁ συνήθης τοῦ συνήθους καὶ ἡ συνήθης τῆς συνήθους, ὁ κακοήθης τοῦ κακοήθους καὶ ἡ κακοήθης τῆς κακοήθους, οὕτω καὶ ὁ τριακονταέτης τοῦ τριακονταέτους καὶ ἡ τριακονταέτης τῆς τριακονταέτους. Ὅτι γὰρ τὰ παρὰ τὸ ἔτος καὶ παρὰ τοῖς Ἀττικοῖς περιττοσυλλάβως κλίνονται, τουτέστιν εἰς οῡς̄ ἔχουσι τὴν γενικήν, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν ⟨γ 305⟩ πεντάετες δ' ἤνασσεν· ἀπὸ γὰρ τοῦ ὁ πενταέτης τοῦ πενταέτους γέγονε τὸ πεντάετες οὐδετέρως, ὥσπερ ἀπὸ τοῦ ὁ κακοήθης τοῦ κακοήθους τὸ κακόηθες οὐδετέρως· εὕρηται παρὰ τῷ συγγραφεῖ καὶ τριακοντούτεις σπονδαί, ὥσπερ αἱ κακοήθεις. Εἰ ἄρα οὖν τὸ ἀγκυλοχείλης σύνθετόν ἐστιν ἀπὸ τοῦ χεῖλος τοῦ οὐδετέρου ὀνόματος καὶ οὔτε κύριόν ἐστιν οὔτε ἀπὸ τρισυλλάβου οὐδετέρου σύνθετον οὔτε ἀπὸ δισυλλάβου οὐδετέρου παραληγομένου τῷ η̄ ἐπιφερομένου ἀφώνου, δηλονότι ὤφειλεν ὀξύνεσθαι· οὐκ ὀξύνεται δὲ ἀλλὰ βαρύνεται· οὐκ ἄρα ἐστὶ σύνθετον ἀλλὰ παρασύνθετον, ὡς ἤδη προείρηται ἡμῖν. Εἰδέναι δὲ δεῖ, ὅτι τινὲς θέλουσι λέγειν αὐτὸ εἶναι σύνθετον ἀπὸ τοῦ χηλή τοῦ θηλυκοῦ ὀνόματος, ὅπερ σημαίνει τὸν ὄνυχα, ἵνα ᾖ ἀγκυλοχήλης διὰ τοῦ η̄, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η̄ εἰς τὴν εῑ δίφθογγον γίνηται ἀγκυλοχείλης διὰ τῆς εῑ διφθόγγου· ἔθος γὰρ ἔχουσιν οἱ Βοιωτοὶ πολλάκις τὸ η̄ εἰς τὴν εῑ δίφθογγον τρέπειν· τὸ γὰρ Λάχης Λάχεις λέγουσι 153 g διὰ τῆς εῑ διφθόγγου καὶ τὸ λέβης λέβεις ὁμοίως. Εἰ δὲ ἀπὸ τοῦ χηλή

[Discr. scr. ex NCVP] **1** οἱ] οἷον NC ‖ **3** δωδεκαέτεις NC, δωδεκαετεῖς VP *itemque omnia quae sequuntur adiectiva cum* ἔτος *composita accentu in ultima instructa praebent* ‖ **5** ἰσοσυλλάβου VP *et EM 765,30,* περιττοσυλλάβου NC ‖ **6** πολίτις NC ‖ **8** *ante* ὡς *add* καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ᾱ καὶ ε̄ εἰς τὴν οῡ (*sic*) δίφθογγον τριακοντούτις (*sic*) τριακοντούτιδος P ‖ **9** τῶν τριακοντ. σπονδῶν NC, τῶν τριακοντουτίδων σπονδῶν V *et edd. Thucyd.*, τὸ τριακοντούτιδος σπονδῆς P ‖ **10** *ad* τριακονταετής (*sic* NC) *in mg. add* C²: σημείωσαι ἐνταῦθα τριακονταετὴς τριακονταετοῦς, παρακατιὼν δὲ λέγει τριακονταέτης τριακονταέτους ‖ **12** οὕτω] οὕτως ἔδει *Lentzius* ‖ **15** *ante* τουτέστιν *add* καὶ NC ‖ **16** πεντάετες NCVP, ἑπτάετες *edd. Hom.* | δὲ ἤνασσε N, δὲ ἤνασσεν CV, ἐννάετες P | τοῦ πενταέτους καὶ τοῦ ἐνναέτης ἐνναέτους ἐστὶν τὸ πεντάετες καὶ τὸ ἐννάετες οὐδ. P ‖ **17** ὁ *ante* κακ. *om* N ‖ **19** τριακοντούτεις P, τριακοντουτεῖς V, τριακονταέτη NC | σπονδαί V, σπονδία NC, *om* P, σπονδάς *Thucyd. I 23, 4* | αἱ κακοήθεις VP, τὸν κακοήθη NC ‖ **27** γίνεται NC ‖ **29** *exemplis add* πένης πένεις V

θηλυκοῦ δηλονότι ὀνόματός ἐστι σύνθετον, εὐλόγως εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα βαρύτονα μὴ ἔχοντα οὐδέτερον εἰς ες εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν, οἷον ἀράχνη ἀράχνης ἀράχνου, λέσχη λέσχης λέσχου, δίκη ἑλλανοδίκης ἑλλανοδίκου, κόμη ἀκερσεκόμης ἀκερσεκόμου· οὕτως οὖν καὶ ἀπὸ τοῦ χηλή γέγονεν ἀγκυλοχείλης ἀγκυλοχείλου, τοῦ η, ὡς εἴρηται, βοιωτικῶς τραπέντος εἰς τὴν ει δίφθογγον. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι ἀναλύεται καὶ αὕτη ἡ δόξα, φημὶ δὴ ἡ λέγουσα ὅτι παρὰ τὸ χηλή ἐγένετο τὸ ἀγκυλοχείλης, οὐχ ὡς ἐπεχείρησάν τινες λέγειν· τινὲς γὰρ λέγουσιν, ὅτι ἐὰν εἴπωμεν τὸ ἀγκυλοχείλης ἀπὸ τοῦ χηλή εἶναι, ὅπερ σημαίνει τὸν ὄνυχα, εὑρεθήσεται ἐν τῷ στίχῳ τῷ λέγοντι ⟨Π 428. χ 302⟩ καμψώνυχες ἀγκυλοχεῖλαι ἐκ παραλλήλου τὸ αὐτὸ σημαινόμενον, ὅπερ ἐστὶν ἄτοπον· καὶ γὰρ τὸ καμψώνυχες τοὺς ἔχοντας ἐπικεκαμμένους τοὺς ὄνυχας δηλοῖ, καὶ τὸ ἀγκυλοχείλης δὲ ἐὰν ἀπὸ τοῦ χηλή εἴπωμεν, ὅπερ σημαίνει τὸν ὄνυχα, τοὺς ἔχοντας ἐπικεκαμμένους τοὺς ὄνυχας δηλοῖ, τουτέστι τὸ αὐτὸ σημαίνει. Ταῦτα μὲν ἐν τούτοις. Πρὸς τούτους δὲ ἔστιν εἰπεῖν, τί γὰρ ἄτοπον ἐκ παραλλήλου εἶναι τὸ αὐτὸ σημαινόμενον, εἰ καὶ ἐπὶ ἄλλου εὑρίσκομεν τὸ τοιοῦτον σχῆμα παρὰ τῷ ποιητῇ, οἷον ⟨Β 8⟩ βάσκ' ἴθι οὖλε ὄνειρε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ γὰρ τὸ βάσκε καὶ τὸ ἴθι τὸ αὐτὸ σημαίνουσιν· καὶ πάλιν ⟨Π 792⟩ στρέφε δίνηθεν δέ οἱ ὄσσε· καὶ γὰρ τὸ στρέφε καὶ τὸ δίνηθεν τὸ αὐτό ἐστιν· οὐκ ἄτοπον ⟨οὖν⟩ καὶ ἐπὶ τοῦ καμψώνυχες ἀγκυλοχεῖλαι τὸ αὐτὸ σημαινόμενον ἐκ παραλλήλου εἶναι. Κρεῖττον οὖν ἐστιν εἰπεῖν καὶ ἀντιθεῖναι τοῖς λέγουσι τὸ ἀγκυ-
154 g λοχείλης παρὰ τὸ χηλή οὕτως· οἱ Βοιωτοὶ τότε τρέπουσι τὸ η εἰς τὴν ει δίφθογγον, ἡνίκα μὴ τρέπεται τὸ η εἰς α παρὰ τοῖς Δωριεῦσιν, οἷον τὸ λέβης καὶ πένης οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσι λέβεις καὶ πένεις λέγοντες, ἐπειδὴ ἐπὶ τούτων οὐ τρέπουσι τὸ η εἰς α οἱ Δωριεῖς, τὸ δὲ Ἀτρείδης καὶ Ὀρέστης ἐπειδὴ τρέπουσιν οἱ Δωριεῖς τὸ η εἰς α καὶ λέγουσιν Ἀτρείδας καὶ Ὀρέστας, οὐ τρέπουσιν οἱ Βοιωτοὶ εἰς τὴν ει δίφθογγον τὸ η· εἰ ἄρα οὖν τὸ χηλή λέγεται παρὰ τοῖς Δωριεῦσι χαλά, κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς α, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις ⟨1025 D⟩ χαλαῖσί τ' ὠμοσίτοις, δηλονότι οὐ δύναν-

[Discr. scr. ex NCVP] **2** γὰρ *om* N | ἐν τοῖς προλ.] *cfr. p. 155,14* ‖ **5** λέσχης λέσχου NCVP, ἀδολέσχης ἀδολέσχου *Lentzius* | *exemplis add* V: τέχνη καλλιτέχνης καλλιτέχνου κλυτοτέχνης κλυτοτέχνου, γυνὴ μισογύνης μισογύνου, χαίτη κυανοχαίτης κυανοχαίτου | ἀκεροκόμης ἀκεροκόμου NC ‖ **10** ἐπεχείρησαν τινὲς λέγειν VP, ἐπιχειρήσαντές τινες (-τες τινὲς C) λέγειν NC, ἐπιχειρήσαντες τινὲς ἔλεγον *Lentzius* ‖ **13** καμψώνυχες NC, *sed supra* κ *signo* ·.· *posito et in marg. repet.* C, γαμψώνυχες VP *et edd. Hom.; cfr. EM 221,10* ‖ **14** καμψώνυχες NC, γαμψώνυχες VP ‖ **18** πρὸς τούτοις NC ‖ **21** θοὰς *om* NC ‖ **22** στρέφε δίνηθεν NCVP, στρεφεδίνηθεν *edd. Hom.* ‖ **23** στρέφε NC, στραφῆναι VP | δίνηθεν NC, δινηθῆναι VP | οὐκ ἄτοπον — εἶναι (**25**) *om* VP | οὖν *om* NC | ἐπὶ τοῦ] ἐπὶ τὸ NC ‖ **31** εἰς τὸ α N ‖ **34** χαλαίσι NC | τε ὠμο-

ται αὐτὸ ποιῆσαι οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου κατὰ τροπὴν τοῦ η̄ εἰς τὴν ει̅ δίφθογγον· οὐκ ἄρα οὖν τὸ ἀγκυλοχείλης σύνθετόν ἐστιν ἀπὸ τοῦ χηλή, ἀλλ' ἔστι παρασύνθετον, ὡς ἀνωτέρω εἰρήκαμεν.

Ἵνα δὲ μήτε τοῦτο παραλείψωμεν, δεῖ γινώσκειν ὅτι τινὲς ἠθέλησαν λέγειν αὐτὸ παρασύνθετον τοῦτον τὸν τρόπον· φασὶν ὅτι ἀπὸ τοῦ χεῖλος ἐγένετο ἀγκυλοχειλής σύνθετον ἐν ὀξείᾳ τάσει, καὶ ἐν βαρείᾳ τάσει παρασύνθετον ἀγκυλοχείλης· καὶ γὰρ πολλάκις καὶ ὁ τόνος τὸ σχῆμα ἐναλλάττει· ἰδοὺ γὰρ τὸ μὲν τηλαυγής καὶ παγκρατής σύνθετά εἰσιν, τὸ δὲ Τηλαύγης καὶ Παγκράτης παρασύνθετα· οὕτως οὖν ἐστι καὶ τὸ ἀγκυλοχειλής σύνθετον ὀξυτόνως καὶ ἀγκυλοχείλης παρασύνθετον βαρυτόνως. Ἐναντιοῦται δὲ αὐτοῖς ἡ κλίσις· εἰ γὰρ οὕτω γέγονεν, ὤφειλεν εἰς ους̅ ἔχειν τὴν γενικήν· τὰ γὰρ τοιαῦτα εἰς ους̅ ἔχουσι τὴν γενικήν, οἷον τηλαυγής τηλαυγοῦς, παγκρατής παγκρατοῦς, καὶ Τηλαύγης Τηλαύγους καὶ Παγκράτης Παγκράτους· οὕτως οὖν καὶ ἀγκυλοχειλής ἀγκυλοχειλοῦς καὶ ἀγκυλοχείλης ἀγκυλοχείλους ὤφειλεν εἶναι, ἀλλὰ ἀγκυλοχείλης ἀγκυλοχείλου φαμέν, ὥστε ἄρα οὐκ ἐγένετο οὕτως, ἀλλ' ὡς ἀνωτέρω εἰρήκαμεν, τουτέστιν ἀπὸ τοῦ χεῖλος ἀγκυλόχειλος καὶ ἀγκυλοχείλης ἀγκυλοχείλου.

Εἰδέναι δὲ δεῖ, ὅτι πᾶσα γενικὴ εἰς ους̅ λήγουσα συνῃρημένη ἐστίν· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελές, καὶ οὕτω ποιεῖν τὴν συναίρεσιν· «τὸ ἐντελές» εἶπεν, 155 g τουτέστι τὸ ὁλόκληρον, ἵνα τὸ μὲν Δημοσθένεος εὑρεθῇ ἐντελὲς καὶ ὁλόκληρον, τὸ δὲ Δημοσθένους κατὰ συναίρεσιν πεπονθός. Ζητεῖται δὲ ποῖόν ἐστιν ἐντελὲς καὶ ποῖον συνῃρημένον· καὶ ὁ μὲν τεχνικὸς λέγει, ὅτι τὸ μὲν Δημοσθένεος καὶ εὐγενέος εἰσὶν ἐντελῆ, τὸ δὲ Δημοσθένους καὶ εὐγενοῦς κατὰ συναίρεσίν εἰσιν. Ἴσως δέ τις λέγει, διατί μὴ τὸ ἐναντίον ἡ μὲν εἰς ους̅ γενική ἐστιν ἐντελής, ἡ δὲ διὰ τοῦ εος̅ κατὰ πάθος, τουτέστι κατὰ διάλυσιν. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἔχομεν τελικὰ τῆς γενικῆς τῆς μὲν περιττοσυλλάβου τὸ ς̅ ἐπὶ ἀρσενικῶν καὶ οὐδετέρων, οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, λέβης λέβητος, Πάρις Πάριδος, βῆμα βήματος, ποίημα ποιήματος, μέλι μέλιτος, κρέας κρέατος· πρόσκειται «ἐπὶ ἀρσενικῶν καὶ οὐδετέρων» διὰ τὰ εἰς α̅ καὶ εἰς η̅ λήγοντα θηλυκά· ἐπὶ τούτων γὰρ τὸ ς̅ τελικόν ἐστιν ἰσοσυλλάβου γενικῆς, οἷον Μοῦσα Μούσης, τιμή τιμῆς· τῆς δὲ ἰσοσυλλάβου τῶν ἀρσενικῶν τὸ υ̅ καὶ τὸ α̅, οἷον καλός καλοῦ, κοχλίας κοχλίου, Μηνᾶς Μηνᾶ, Μητρᾶς Μητρᾶ· εἰ οὖν ἐνταῦθα, φημὶ δὴ ἐν τῇ Δημοσθένους καὶ εὐγενοῦς γενικῇ, ἐστὶ τελικὸν τὸ ς̅, ὤφειλε περιττοσυλλαβεῖν ἡ γενικὴ τῆς εὐθείας, ἰσοσυλλαβοῦσα δὲ καὶ οὐ περιττοσυλλαβοῦσα δηλονότι πέπονθεν· ἆρ' οὖν τὸ Δημοσθένεος καὶ τὰ ὅμοια ἐντελέστερά εἰσι καὶ ὁλόκληρα ὡς περιττο-

---

[Discr. scr. ex NCVP] σίτοις NCVP ‖ 14 *poster.* καὶ *om* NC ‖ 15 καὶ *om* NC ‖ 17 *ante* ἀπὸ *add* ἀγκυλοχείλης NC | ἀγκυλόχειλος *om* C | καὶ *ante* ἀγκυλ. *om* NC ‖ 27 διὰ τοῦ *om* NC ‖ 36 δὴ *om* N | γενικῇ καὶ εὐγενοῦς *traiciunt* NC ‖ 37 ἰσοσυλλαβεῖ δὲ καὶ οὐ περιττοσυλλαβεῖ NC ‖ 39 ὡς] καὶ NC

ςυλλαβοῦντα τῆς ἰδίας εὐθείας. Ἄλλως τε δὲ τὰ τελικὰ τῆς περιττοςυλλάβου γενικῆς καὶ τῆς ἰςοςυλλάβου ὁμοῦ εὑρεθῆναι ἄτοπόν ἐςτι· πῶς γὰρ τὰ ἐναντία δύνανται ὁμοῦ εὑρίςκεςθαι; εἰ ἄρα οὖν ἐν τῇ Δημοςθένους γενικῇ καὶ τοῖς ὁμοίοις ἐςτὶ τὸ c̄ τελικὸν τῆς περιττοςυλλάβου γενικῆς καὶ τὸ c̄ τελικὸν τῆς ἰςοςυλλάβου, δηλονότι πέπονθεν. Ἔτι πᾶςα δοτικὴ πληθυντικῶν ἰςοςυλλαβεῖν θέλει τῇ γενικῇ τῶν ἑνικῶν, ὁ δὲ λόγος ἐπὶ τῶν ἀπαθῶν, οἷον Αἴαςιν Αἴαντος, λέβηςι λέβητος, Τρωςί / Τρωός, χηςί χηνός, πᾶςι παντός, μηςί μηνός, καλοῖς καλοῦ, ςοφοῖς ςοφοῦ, Ὁμήροις Ὁμήρου, ἀνθρώποις ἀνθρώπου· πρόςκειται δὲ «ὁ δὲ λόγος ἐπὶ τῶν ἀπαθῶν» διὰ τὸ καλοῖςι καλοῦ καὶ αἴγεςιν αἰγός· ἐπὶ τούτων γὰρ οὐκ ἰςοςυλλαβεῖ ἡ δοτικὴ τῶν πληθυντικῶν τῇ γενικῇ τῶν 156 g ἑνικῶν, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ δοτικὴ τῶν πληθυντικῶν· πάλιν πατράςι πατρός, μητράςι μητρός· ἰδοὺ οὔτε ἐπὶ τούτων ἰςοςυλλαβεῖ ἡ δοτικὴ τῶν πληθυντικῶν τῇ γενικῇ τῶν ἑνικῶν, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ γενικὴ τῶν ἑνικῶν· εἰ ἄρα οὖν τὸ μὲν Δημοςθένεςι πεντας υλλαβεῖ, τὸ δὲ Δημοςθένους τετραςυλλαβεῖ, δηλονότι πέπονθεν· ἄρα οὖν ἡ Δημοςθένεος γενικὴ πενταςυλλαβοῦςα ὁμοίως τῇ δοτικῇ τῶν πληθυντικῶν ἐντελεςτέρα ἐςτίν. Ἔτι πᾶν οὐδέτερον ἀρςενικῷ παρεςχηματιςμένον, εἰ μὲν ἰςοςυλλάβως κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρςενικοῦ ὁμοφωνεῖ, οἷον ὁ καλός τοῦ καλοῦ τῷ καλῷ τὸν καλόν καὶ τὸ καλόν, ὁ ςοφός τοῦ ςοφοῦ τῷ ςοφῷ τὸν ςοφόν καὶ τὸ ςοφόν, ὁ ἀλλότριος τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ τὸν ἀλλότριον καὶ τὸ ἀλλότριον, ὁ γνήςιος τοῦ γνηςίου τῷ γνηςίῳ τὸν γνήςιον καὶ τὸ γνήςιον, εἰ δὲ περιττοςυλλάβως κλίνοιτο τῇ κλητικῇ τοῦ ἀρςενικοῦ ὁμοφωνεῖ, οἷον ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι τὸν χαρίεντα ὦ χαρίεν καὶ τὸ χαρίεν, ὁ ςώφρων τοῦ ςώφρονος τῷ ςώφρονι τὸν ςώφρονα ὦ ςῶφρον καὶ τὸ ςῶφρον, ὁ ταχύς τοῦ ταχέος τῷ ταχέϊ τὸν ταχέα ὦ ταχύ καὶ τὸ ταχύ, ὁ ἄρςην τοῦ ἄρςενος τῷ ἄρςενι τὸν ἄρςενα ὦ ἄρςεν καὶ τὸ ἄρςεν, ὁ λιπόπατρις τοῦ λιποπάτριδος τῷ λιποπάτριδι τὸν λιποπάτριδα ὦ λιπόπατρι καὶ τὸ λιπόπατρι· εἰ οὖν τὰ οὐδέτερα, φημὶ δὴ τὸ εὐγενές καὶ τὸ εὐςεβές, ὁμοφωνοῦςι τῇ κλητικῇ τοῦ ἀρςενικοῦ, ὦ εὐγενές γὰρ καὶ τὸ εὐγενές, καὶ ὦ εὐςεβές καὶ τὸ εὐςεβές, καὶ ὡς δέδεικται ὁμοφωνοῦςι τῇ κλητικῇ τοῦ ἀρςενικοῦ καὶ οὐχὶ τῇ αἰτιατικῇ, τὸν εὐςεβῆ γὰρ καὶ τὸν εὐγενῆ ἡ αἰτιατική, δηλονότι περιττοςυλλάβως κλίνονται, οἷον τοῦ εὐςεβέος καὶ τοῦ εὐγενέος· ἄρα οὖν τοῦ εὐςεβοῦς καὶ τοῦ εὐγενοῦς πεπονθότα εἰςίν· οὐ κλίνονται γὰρ περιττοςυλλάβως. Καλῶς οὖν εἶπεν ὁ τεχνικός, ὅτι ἡ εἰς ο̄ῡc̄ γενικὴ ςυνῃρημένη ἐςτίν. Δεῖ δὲ γινώςκειν, ὅτι τῇ μὲν ἐντελεῖ γενικῇ κέχρηνται οἱ Ἴωνες, οἷον

[Discr. scr. ex NCVP] **3** οὖν *om* NC | Δημοςθένους CVP, *sed supra* ους *signo* ∴ *pos. et in marg.* ∴ οὕτως εὗρον C[1], Δημοςθένεος N ‖ **9** δὲ *ante* λόγος *om* NC ‖ **20** *post* καλῷ *add* καὶ N ‖ **27** τὸν ταχέα NC, τὸν ταχὺν VP ‖ **29** ὁ λειπόπατρις V, *qui in omnibus formis scripturam per* ει *diphthongum praebet; vide Herod. II 543, 20 adnot.* ‖ **32** καὶ ὦ εὐςεβές] ὦ εὐςεβὲς γὰρ NC ‖ **38** οἷον τοῦ Δημ. N

Δημοσθένεος καὶ Διομήδεος, οἱ δὲ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτος τῇ συνῃρημένῃ, οἷον Δημοσθένους καὶ Διομήδους.

Ἰστέον δὲ ὅτι τὸ Δημοσθένεος Δημοσθένους κατὰ τὴν ἀκρίβειαν 157 g
οὐκ ἔστι συναίρεσις ἀλλὰ κρᾶσις. Δεῖ δὲ γινώσκειν ὅτι ἄλλο συναίρεσις καὶ ἄλλο κρᾶσις· ἡ μὲν γὰρ συναίρεσις πάντως τὰ αὐτὰ φωνήεντα φυλάττει καὶ οὐ ποιεῖται ἐναλλαγὴν τῶν φωνηέντων, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, ταχέϊ ταχεῖ, Δημοσθένεϊ Δημοσθένει· ἰδοὺ ἐνταῦθα τὰ αὐτὰ φωνήεντα ἐφυλάχθησαν καὶ εἰς μίαν συλλαβὴν συνῆλθον· ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν ἀπεργάζεται τῶν φωνηέντων, οἷον τὸ ἐμόν τοὐμόν, τὰ ἐμά τἀμά, νόος νοῦς, ῥόος ῥοῦς, Δημοσθένεα Δημοσθένη· εἰ ἄρα οὖν ἐπὶ τοῦ Δημοσθένους οὐκ ἐφυλάχθησαν τὰ αὐτὰ φωνήεντα, ἀλλ' ἀλλοίωσις ἐγένετο τῶν φωνηέντων, δηλονότι κρᾶσίς ἐστιν καὶ οὐ συναίρεσις. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἐν τῷ Δημοσθένεος Δημοσθένους κρᾶσις ἐγένετο καὶ οὐ συναίρεσις, ὡς δέδεικται, διατί εἶπεν ὁ τεχνικός, ὅτι πᾶσα γενικὴ εἰς ο̄υς λήγουσα συνῃρημένη ἐστί, καὶ οὐκ εἶπεν ὅτι κεκραμένη ἐστίν. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐστὶ συναίρεσις γένος· αὕτη διαιρεῖται εἰς δύο εἴδη, εἰς κρᾶσιν καὶ εἰς ὁμωνύμως λεγομένην συναίρεσιν· τῷ οὖν γενικῷ ὀνόματι καὶ τὴν κρᾶσιν συναίρεσιν ἐκάλεσεν· οὕτω γὰρ καὶ τὸν ἄνθρωπον τῷ γενικῷ ὀνόματι ζῷον καλοῦμεν καὶ τὸν ἵππον ὁμοίως. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ε̄ καὶ τὸ ο̄ τριχῶς συναιροῦνται ἤγουν κίρνανται· καὶ γὰρ εἰς τὴν ο̄ῡ δίφθογγον καὶ παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον Δημοσθένεος Δημοσθένους, εὐσεβέος εὐσεβοῦς· παρὰ δὲ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσιν εἰς τὴν ε̄ῡ δίφθογγον, οἷον Ἰδομενέος Ἰδομενεῦς, ⟨N 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα, ἀντὶ τοῦ Ἰδομενέως οὐκ ἔληγεν ἡ δύναμις· καὶ πάλιν Ὀδυσσέος Ὀδυσσεῦς, ⟨ω 398⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ Ὀδυσσέως τὴν χεῖρα ἐφίλησε· καὶ πάλιν Ἐρέβεος Ἐρέβευς, ⟨Θ 368⟩ ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο, ἀντὶ τοῦ ἐκ τοῦ Ἐρέβους· σπανίως δὲ παρὰ τοῖς Ἀθηναίοις εὑρίσκεται τὸ ε̄ καὶ τὸ ο̄ εἰς τὴν ε̄ῑ δίφθογγον συναιρούμενα, οἷον πλέον πλεῖν, ὡς παρ' Ἀριστο- 158 g
φάνει ἐν Βατράχοις ⟨91⟩ Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα· καὶ πάλιν δέον δεῖν, δεῖν τόδε γενέσθαι, ἀντὶ τοῦ δέον τόδε γενέσθαι. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ εἰς η̄ς̄ ἔχοντα τὴν γενικὴν εἰς ο̄ῡς̄ οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς, οἷον Δημοσθένης Δημοσθένεως Δημοσθένους καὶ Διομήδης Διομήδεως Διομήδους, ὥσπερ Πηλεύς Πηλέος κοινῶς καὶ Πηλέως ἀττικῶς καὶ βασιλεύς βασιλέος κοι-

|Discr. scr. ex NCVP| **3** δὲ *om* NC ‖ **9** πάντως ἀλλοίωσιν VP, ἀλλοίωσιν πάντων NC ‖ **16** κεκραμμένη N ‖ **28** ἐρεβέος ἐρεβεῦς ἐξ ἐρεβεῦς NC ‖ **29** ἐρέβους VP, ἐρεβέως N, ἐρεβέος C ‖ **31** συναιρούμενα C, συναιρούμενον N, κιρνώμενα VP | *post* πλεῖν *add* δέον δεῖν NC ‖ **33** δεῖν τόδε γενέσθαι VP *et EM 262, 16,* δεῖν τόδ' ἐγένετο NC; *cfr. HUsenerus in Annal. Philol. 1872 p.741* | δέον τόδε γενέσθαι VP, δέον τόδε ἐγένετο NC ‖ **38** *utrumque* κοινῶς *om* NC

νῶς καὶ βασιλέως ἀττικῶς. Καὶ λέγουσί τινες τὴν αἰτίαν ταύτην, ὅτι ἐπειδὴ ἐπὶ τούτων ἐποίησαν κρᾶσιν οἱ Ἀττικοὶ κατὰ τὴν γενικήν, τούτου χάριν οὐκ ἐποίησαν ἔκτασιν τοῦ ō εἰς τὸ ω̄· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· πολλάκις γὰρ οἱ Ἀττικοὶ ἔκτασιν καὶ κρᾶσιν ποιοῦνται, οἷον Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς· τί οὖν ἄτοπον ἐπὶ τούτων ἔκτασιν γενέσθαι καὶ κρᾶσιν; Κρεῖττον οὖν ἐστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἀττικοὶ ποιοῦντες διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι, καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν, ἐπί τινων δὲ οὐ ποιοῦσιν, οἷον ἐπὶ τῶν εἰς ευς ποιοῦντες διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικὴν καὶ ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι, καὶ οὐκ ἐπὶ μὲν τῶν ὄντων κυρίων τοῦτο ποιοῦσιν, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων τοῦτο οὐ ποιοῦσιν, ἀλλ' ἐπὶ ὅλων ποιοῦσιν, οἷον Πηλεύς Πηλέως, Ἀτρεύς Ἀτρέως, βασιλεύς βασιλέως, ἱερεύς ἱερέως· εἰ ἐποίησαν οὖν ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικήν, ἠναγκάζοντο καὶ ἐπὶ τῶν ἐπιθέτων τοῦτο ποιῆσαι· εἰ δὲ ἐποίησαν διὰ τοῦ ε̄ καὶ ω̄ καὶ ἐπὶ τῶν ἐπιθέτων τὴν γενικήν, εἶχον ταῦτα συνεμπίπτειν τοῖς ἐπιρρήμασιν, οἷον ὁ εὐσεβής τοῦ εὐσεβέως καὶ εὐσεβέως δὴ ἐγένετο, ὁ ἀτρεκής τοῦ ἀτρεκέως καὶ ἀτρεκέως ἐλάλησεν, ὁ εὐγενής τοῦ εὐγενέως καὶ εὐγενέως συνέτυχεν· τῶν οὖν ἐπιθέτων κωλυομένων γενέσθαι διὰ τοῦ ε̄ καὶ ω̄ κατὰ τὴν γενικὴν ἀττικῶς διὰ τὴν συνέμπτωσιν τῶν ἐπιρρημάτων, κωλύονται καὶ τὰ κύρια τὰ
159 g εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν γενέσθαι διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικήν· ὡς γὰρ εἴρηται, οἱ Ἀττικοὶ ποιοῦντες διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσιν, καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν, ἐπί τινων δὲ οὐ ποιοῦσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν οὐ γίνονται διὰ τοῦ η̄ καὶ ō ἰωνικῶς, οἷον Δημοσθένης Δημοσθένηος, Διομήδης Διομήδηος, ὥσπερ Πηλεύς Πηλῆος καὶ Ἀχιλλεύς Ἀχιλλῆος. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἴωνες ποιοῦντες διὰ τοῦ η̄ καὶ ō τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι, καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν, ἐπί τινων δὲ οὐ ποιοῦσιν, οἷον ἐπὶ τῶν εἰς ευς ποιοῦντες διὰ τοῦ η̄ καὶ ō τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσιν· οὐδὲ γὰρ ἐπὶ μὲν τῶν κυρίων τοῦτο ποιοῦσιν, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων τοῦτο οὐ ποιοῦσιν, ἀλλ' ἐπὶ ὅλων ποιοῦσιν, οἷον Ἀχιλλεύς Ἀχιλλῆος, Πηλεύς Πηλῆος, βασιλεύς βασιλῆος, ἱερεύς ἱερῆος· εἰ ἐποίησαν οὖν ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων διὰ τοῦ η̄ καὶ ō τὴν γενικὴν οἱ Ἴωνες, ἠναγκάζοντο καὶ ἐπὶ τῶν ἐπιθέτων τοῦτο ποιῆσαι, εἰ δὲ ἐποίησαν ἐπὶ τῶν ἐπιθέτων, ἠναγκάζοντο καὶ ἐπὶ τῶν οὐδετέρων τοῦτο ποιῆσαι· καθόλου γὰρ πᾶν οὐδέτερον ἀπὸ ἀρσενικοῦ γεγενημένον κατὰ παρασχηματισμὸν τὴν τοῦ

[Discr. scr. ex NCVP] 4 γὰρ VP, δὲ NC ‖ 15 τὴν γενικὴν *om* NC | ἠναγκάζετο N ‖ 32 ἐπ' ὅλης N ‖ 33 μὲν *om* NC ‖ 40 τοῦ ἀρσενικοῦ VP, τῶν ἀρσενικῶν NC

ἀρςενικοῦ κλίςιν ἐπιδέχεται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ, οἷον ὁ καλός τοῦ καλοῦ τῷ καλῷ καὶ τὸ καλόν τοῦ καλοῦ τῷ καλῷ, ὁ cοφός τοῦ cοφοῦ τῷ cοφῷ καὶ τὸ cοφόν τοῦ cοφοῦ τῷ cοφῷ, ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι καὶ τὸ χαρίεν τοῦ χαρίεντος τῷ χαρίεντι, ὁ ἄρcην τοῦ ἄρcενος τῷ ἄρcενι καὶ τὸ ἄρcεν τοῦ ἄρcενος τῷ ἄρcενι· εἰ δὲ ἐποίηcαν ἐπὶ τῶν οὐδετέρων διὰ τοῦ η̅ καὶ ο̅ τὴν γενικήν, οἷον τὸ εὐcεβές τοῦ εὐcεβῆος, τὸ εὐγενές τοῦ εὐγενῆος, εὑρίcκετο ἡ παραλήγουcα τῆς γενικῆς μείζονα χρόνον ἔχουcα τῆς ληγούcης τῆς ἰδίας εὐθείας, ὅπερ ἐcτὶν ἄτοπον· οὐδέποτε γὰρ ἡ παραλήγουcα τῆς περιττοcυλλάβου γενικῆς μείζονα χρόνον ἔχει τῆς ληγούcης τῆς ἰδίας εὐθείας, ἀλλ' ἢ ἴcον ἢ ἐλάττονα, ἴcον μέν, οἷον Λάχης Λάχητος, ἔρως ἔρωτος, Πάρις Πάριδος, ἐλάττονα δέ, οἷον Ἕκτωρ Ἕκτορος, Μέμνων Μέμνο- 160 g νος, Πηλεύς Πηλέως, Ἀχιλλεύς Ἀχιλλέως, οὐδέποτε δὲ μείζονα, ὡς εἴρηται, χωρὶς εἰ μὴ χαρακτὴρ κωλύcῃ· διατί δὲ πρόcκειται «χωρὶς εἰ μὴ χαρακτὴρ κωλύcῃ», ἐν τῇ περὶ τοῦ ἡδύς διδαcκαλίᾳ εἰ θεῷ φίλον μαθηcόμεθα. Τῶν οὖν οὐδετέρων κωλυομένων γενέcθαι διὰ τοῦ η̅ καὶ ο̅ ἰωνικῶς κατὰ τὴν γενικήν, κωλύονται καὶ τὰ ἀρςενικὰ ἐπίθετα γενέcθαι διὰ τοῦ η καὶ ο̅ ἰωνικῶς κατὰ τὴν γενικήν, τῶν δὲ ἐπιθέτων κωλυομένων γενέcθαι διὰ τοῦ η̅ καὶ ο̅ ἰωνικῶς κατὰ τὴν γενικήν, κωλύονται καὶ τὰ κύρια τὰ εἰς η̅ς̅ εἰς ο̅υ̅ς̅ ἔχοντα τὴν γενικὴν γενέcθαι διὰ τοῦ η̅ καὶ ο̅ ἰωνικῶς· ὡς γὰρ εἴρηται, οἱ Ἴωνες ποιοῦντες διὰ τοῦ η̅ καὶ ο̅ τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦcι, καὶ οὐκ ἐπί τινων μὲν ποιοῦcιν, ἐπί τινων δὲ οὐ ποιοῦcιν. Ἐν οἷς cὺν θεῷ καὶ ἡ πρᾶξις.

Τῷ Δημοςθένεϊ καὶ Δημοςθένει. Ἰcτέον ὅτι ἀπὸ τῆς Δημοcθένεος γενικῆς ἐγένετο ἡ Δημοcθένεϊ δοτικὴ τροπῇ τοῦ ο̅ς̅ εἰς ι̅, ὥcπερ Αἴαντος Αἴαντι, Λάχητος Λάχητι, καὶ λοιπὸν κατὰ cυναίρεcιν τοῦ ε̅ καὶ ι̅ εἰς τὴν ε̅ι̅ δίφθογγον γίνεται Δημοcθένει· ἰcτέον δὲ ὅτι ἐνταῦθα κυρίως cυναίρεcίς ἐcτιν· οὐδὲ γὰρ ἐγένετο ἐναλλαγὴ τῶν φωνηέντων, τὸ γὰρ ε̅ καὶ ι̅ ἐφυλάχθηcαν εἰς μίαν cυλλαβὴν cυνελθόντα.

Τὸν Δημοςθένεα καὶ Δημοςθένη. Ἰcτέον ὅτι ἀπὸ τοῦ Δημοcθένεϊ γέγονε Δημοcθένεα τροπῇ τοῦ ι̅ εἰς α̅, ὥcπερ Αἴαντι Αἴαντα, Λάχητι Λάχητα, καὶ κατὰ κρᾶcιν τοῦ ε̅ καὶ α̅ εἰς η̅ Δημοcθένη, ὥcπερ τείχεα τείχη, βέλεα βέλη. Δεῖ δὲ γινώcκειν, ὅτι ἐὰν εὑρεθῇ τὸ ε̅ ἔχον προηγούμενον φωνῆεν, τότε τὸ ε̅ καὶ τὸ α̅ εἰς η̅ κίρνανται καὶ εἰς α̅ μακρόν, οἷον εὐφυέα εὐφυῆ καὶ εὐφυᾶ, ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ· ἐν τούτοις γὰρ τὸ ε̅ οὐκ ἔχει προηγούμενον cύμφωνον ἀλλὰ φωνῆεν· ἐὰν δὲ εὑρεθῇ τὸ ε̅ ἔχον προηγούμενον cύμφωνον, τότε τὸ ε̅ καὶ α̅ εἰς η̅ μό-

[Discr. scr. ex NCVP] 2 καὶ *ante* τὸ καλόν *om* NC | ὁ cοφός — τῷ ἄρcενι (5)] ὁ cώφρων τοῦ cώφρονος τῷ cώφρονι, τὸ cῶφρον τοῦ cώφρονος τῷ cώφρονι P ‖ 3 καὶ *ante* τὸ cοφόν *om* NV ‖ 11 ἢ *ante* ἴcον *om* NC ‖ 14 δὲ *ante* πρόcκ. *om* NC ‖ 25 Τῷ — Δημοcθένει *om* NC | ἰcτέον δὲ ὅτι N ‖ 30 cυνελθόντα VP, cυνελθόντων NC ‖ 31 Τὸν — Δημοcθένη *om* NC ‖ 34 δὲ *om* NC

νως κίρνανται, οἷον Δημοσθένεα Δημοσθένη, εὐγενέα εὐγενῆ. Δεῖ δὲ γινώσκειν, ὅτι κακῶς λέγουσιν ἐν τῇ συνηθείᾳ τὸ συγγενᾶ· τοῦ γὰρ ε̅ σύμφωνον προηγεῖται, καὶ οὐ δύναται γενέσθαι εἰς α̅ ἡ κρᾶσις. Ταῦτα μὲν ἐν τούτοις.

161 g Ἀποροῦσι δέ τινες λέγοντες, καὶ πῶς ἐπὶ τοῦ χάλκεα χαλκᾶ καὶ χρύσεα χρυσᾶ καὶ ὀστέα ὀστᾶ καὶ κάνεα κανᾶ συμφώνου προηγουμένου τοῦ ε̅ εἰς α̅ ἐγένετο ἡ κρᾶσις; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐκ ἐγένετο τὸ χαλκᾶ ἀπὸ τοῦ χάλκεα κατὰ κρᾶσιν οὔτε τὸ χρυσᾶ ἀπὸ τοῦ χρύσεα οὔτε τὸ ὀστᾶ ἀπὸ τοῦ ὀστέα οὔτε τὸ κανᾶ ἀπὸ τοῦ κάνεα, ἀλλὰ λέγομεν ὅτι αἱ εὐθεῖαι τούτων αἱ ἑνικαὶ διχῶς λέγονται, καὶ ἐντελῶς καὶ κατὰ κρᾶσιν· καὶ αἱ μὲν οὖν ἐντελεῖς εὐθεῖαι πληθυντικαὶ ἀπὸ τῆς ἐντελοῦς ἑνικῆς εὐθείας ἐκλίθησαν, οἷον ἀπὸ τοῦ χάλκεον χάλκεα καὶ ἀπὸ τοῦ χρύσεον χρύσεα καὶ ἀπὸ τοῦ ὀστέον ὀστέα καὶ ἀπὸ τοῦ κάνεον κάνεα, αἱ δὲ κατὰ κρᾶσιν εὐθεῖαι πληθυντικαὶ ἀπὸ τῆς κατὰ κρᾶσιν εὐθείας τῶν ἑνικῶν εἰσιν, οἷον ἀπὸ τοῦ χαλκοῦν χαλκᾶ καὶ ἀπὸ τοῦ χρυσοῦν χρυσᾶ καὶ ἀπὸ τοῦ ὀστοῦν ὀστᾶ καὶ ἀπὸ τοῦ κανοῦν κανᾶ, τουτέστιν ἐν τῇ εὐθείᾳ τῶν ἑνικῶν ἐγένετο ἡ κρᾶσις καὶ ἐκεῖθεν ἡ κλίσις ἐν τοῖς πληθυντικοῖς. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν κυρίων τῶν εἰς η̅ς̅ εἰς ο̅υ̅ς̅ ἐχόντων τὴν γενικὴν εἰς ν̅ ποιοῦσι τὴν αἰτιατικὴν καὶ εἰς η̅ τὴν κλητικήν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τῷ Δημοσθένει τὸν Δημοσθένην ὦ Δημοσθένη, ὁ Διομήδης τοῦ Διομήδους τῷ Διομήδει τὸν Διομήδην ὦ Διομήδη, ὁ Ἀριστοφάνης τοῦ Ἀριστοφάνους τῷ Ἀριστοφάνει τὸν Ἀριστοφάνην ὦ Ἀριστοφάνη· ἐπὶ δὲ τῶν ἐπιθέτων οὔτε εἰς ν̅ ποιοῦσι τὴν αἰτιατικὴν οὔτε εἰς η̅ τὴν κλητικήν, οὐδὲ γὰρ λέγουσι τὸν κακοήθην καὶ τὸν συνήθην καὶ ὦ κακοήθη καὶ ὦ συνήθη, ἀλλὰ τὸν κακοήθη καὶ τὸν συνήθη καὶ ὦ κακόηθες καὶ ὦ σύνηθες. Καὶ ἡ αἰτία ἐστὶν αὕτη· ποιοῦντες γὰρ οἱ Ἀττικοὶ τὴν αἰτιατικὴν εἰς ν̅ καὶ τὴν κλητικὴν εἰς η̅ ποιοῦσιν, οἷον τὸν Δημοσθένην ὦ Δημοσθένη, τὸν Διομήδην ὦ Διομήδη· εἰ ἐποίησαν οὖν ἐπὶ τῶν ἐπιθέτων τὴν αἰτιατικὴν εἰς ν̅, ἠναγκάζοντο καὶ τὴν κλητικὴν εἰς η̅ ποιῆσαι, τῆς δὲ κλητικῆς εἰς η̅ ληγούσης ἐπὶ τῶν ἐπιθέτων ἠναγκάζοντο καὶ τὰ οὐδέτερα εἰς η̅ καταλήγειν, ὅπερ ἄτοπον· ἔχομεν γὰρ ἀνωτέρω, ὅτι πᾶν οὐδέτερον ὄνομα ἀρσενικῷ παρεσχηματισμένον καὶ περιττοσυλλάβως κλινόμενον τῇ κλητικῇ 162 g τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, οἷον ὁ ἄρσην τοῦ ἄρσενος ὦ ἄρσεν καὶ τὸ ἄρσεν, ὁ σώφρων τοῦ σώφρονος ὦ σῶφρον καὶ τὸ σῶφρον, ὁ ταχύς τοῦ ταχέος ὦ ταχύ, ὁ χαρίεις τοῦ χαρίεντος ὦ χαρίεν, καὶ τὸ ταχύ

[Discr. scr. ex NCVP] **1** *post* εὐγενῆ *add* πλήρεα πλήρη. εὐσεβέα εὐσεβῆ. συγγενέα συγγενῆ. τείχεα τείχη. βέλεα βέλη V ‖ **3** ἡ *om* NC ‖ **7** τοῦ ε̅ VP, τῶ ε̅ NC ‖ **8** χρυσὰ N ‖ **9** οὔτε τὸ κ.] οὐ τὸ κ. N ‖ **15** ἀπὸ τῆς χαλ. N ‖ **21** οἷον *om* N ‖ **26** τὸν κακοήθην — ἀλλὰ *om* C | ἀλλὰ — σύνηθες (**27**) *om* N ‖ **30** ἐπὶ *om* N ‖ **33** ἀνωτέρω] *cfr. p. 173,39* ‖ **35** *post* ἄρσενος *add* τῷ ἄρσενι C, τῷ ἄρσενι τὸν ἄρσενα N ‖ **36** *post* σώφρονος *add*: τῷ σώφρονι τὸν σώφρονα N | ὁ ταχύς — τὸ χαρίεν (**176, 1**) VP, *om* NC

καὶ τὸ χαρίεν· ἀλλὰ μὴν τὰ οὐδέτερα οὐ δύνανται εἰς η καταλήγειν, τὸ γὰρ η οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν· τὸ γὰρ κάρη ἀπὸ τοῦ κάρηνον γέγονε κατὰ ἀποκοπὴν τοῦ νον καὶ οὐ καταλήγει εἰς η φύσει· λοιπὸν τῶν οὐδετέρων κωλυομένων εἰς η καταλήγειν κωλύεται καὶ ἡ κλητικὴ εἰς η καταλήγειν ἐπὶ τῶν ἐπιθέτων, τῆς δὲ κλητικῆς κωλυομένης εἰς η καταλήγειν κωλύεται καὶ ἡ αἰτιατικὴ εἰς ν καταλήγειν· ἔχομεν γὰρ ὅτι οἱ Ἀθηναῖοι ποιοῦντες τὴν αἰτιατικὴν εἰς ν καὶ τὴν κλητικὴν εἰς η ποιοῦσιν. Πρόσκειται ἀνωτέρω «κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν» διὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἐπὶ ταύτης γὰρ πολλάκις εὑρίσκεται τὸ η τελικὸν τῶν οὐδετέρων, οἷον τὰ τείχη, τὰ βέλη· τούτου οὖν χάριν ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν ἐπιθέτων οὐ ποιοῦσιν οἱ Ἀττικοὶ εἰς η τὴν κλητικὴν καὶ τὴν αἰτιατικὴν εἰς ν. Ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Ὦ Δημόσθενες. Ἰστέον ὅτι τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν εἰς ες ποιεῖ τὴν κλητικήν, οἷον Δημοσθένης Δημοσθένους ὦ Δημόσθενες, Διομήδης Διομήδους ὦ Διόμηδες, Ἀριστοφάνης Ἀριστοφάνους ὦ Ἀριστόφανες, ὁ Πολυδεύκης τοῦ Πολυδεύκους ὦ Πολύδευκες, ὁ εὐσεβής τοῦ εὐσεβέος καὶ εὐσεβοῦς ὦ εὐσεβές· περὶ δὲ τοῦ τόνου τούτων ἐν τῷ περὶ τόνων εἰ θεῷ φίλον μαθησόμεθα. Πρόσκειται «εἰς ης» διὰ τὰ εἰς ος οὐδέτερα· ταῦτα γὰρ εἰς ους ἔχουσι τὴν γενικήν, καὶ ὅμως οὐ ποιοῦσιν εἰς ες τὴν κλητικήν, οἷον τὸ τεῖχος τοῦ τείχους ὦ τεῖχος, τὸ βέλος τοῦ βέλους ὦ βέλος· πρόσκειται «εἰς ους ἔχοντα τὴν γενικήν» διὰ τὰ εἰς ης εἰς τὴν ου δίφθογγον ἔχοντα τὴν γενικήν· ταῦτα γὰρ οὐ ποιοῦσιν εἰς ες τὴν κλητικήν, οἷον Χρύσης Χρύσου ὦ Χρύση, θύτης θύτου ὦ θύτα, Τέννης Τέννου ὦ Τέννη, τοξότης τοξότου ὦ τοξότα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων εἰς η ποιοῦσι τὴν κλητικήν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους ὦ Δημοσθένη, ὁ Ἀριστοφάνης τοῦ Ἀριστοφάνους ὦ Ἀριστοφάνη. Καὶ δεῖ παραφυλάξασθαι τοῦτο, ὅτι οἱ ἔχοντες ἔθος Ἀττικοὶ ποιεῖν τὰς αὐτὰς ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Αἴας ὦ Αἴας, ὁ Θόας ὦ 163 g Θόας, ὁ κοχλίας ὦ κοχλίας, ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων οὐχ εὑρίσκονται ποιοῦντες ὁμόφωνον τὴν κλητικὴν τῇ εὐθείᾳ, ὡς εἴρηται· οὐδὲ γὰρ λέγουσιν ὦ Ἀριστοφάνης καὶ ὦ Διομήδης καὶ ὦ Δημοσθένης, ἀλλ᾽ ὦ Ἀριστοφάνη καὶ ὦ Διομήδη καὶ ὦ Δημοσθένη· δεῖ δὲ προσθεῖναι, ὅτι ἐν τοῖς εἰς ης εἰς ους ἔχουσι τὴν γενικὴν οὖσι παρὰ τὸ κλέος ποιοῦσιν οἱ Ἀθηναῖοι τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Νικοκλῆς ὦ Νικοκλῆς, ὁ Περικλῆς ὦ Περικλῆς, ὁ Σοφοκλῆς ὦ Σοφοκλῆς, ὁ Ἡρακλῆς ὦ Ἡρακλῆς. Πρόσκειται ἀνωτέρω «ἐπὶ τῶν κυρίων», ἐπειδὴ ἐπὶ τῶν ἐπιθέτων παρ᾽ αὐτοῖς ὁμόφωνός ἐστιν ἡ κλητικὴ τῇ εὐθείᾳ, οἷον ὁ δυστυχής ὦ δυστυχής, ὡς παρὰ Με-

[Discr. scr. ex NCVP] **3** τοῦ νον P, τοῦ ον NC, *om* V ‖ **14** Ὦ Δημ. *om* NC ‖ **24** τοῦ χρύσου N ‖ **27** δὲ *om* C ‖ **34** καὶ ὦ Διομήδης *om* NC

νάνδρῳ ἐν τῷ Ἥρωϊ ⟨fragm. 216 K⟩ ὦ δυcτυχήc, εἰ μὴ βαδιεῖ, καὶ πάλιν παρὰ τῷ αὐτῷ ἐν Δυcκόλῳ ⟨fragm. 137 K⟩ ὦ δυcτυχήc, τί οὐ καθεύδειc, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίωc ἐπιθέτων.

Τὼ Δημοcθένεε τὼ Δημοcθένη. Ἰcτέον ὅτι ἀπὸ τῆc Δημοcθένεϊ δοτικῆc γέγονε Δημοcθένεε τροπῇ τοῦ ῑ εἰc ε̄, ὥcπερ Αἴαντι Αἴαντε, καὶ κατὰ κρᾶcιν τῶν δύο ε̄ε̄ εἰc η̄ γίνεται Δημοcθένη.

Τοῖν Δημοcθενέοιν τοῖν Δημοcθενοῖν. Ἰcτέον ὅτι ὥcπερ ἀπὸ τοῦ Αἴαντε γίνεται Αἰάντοιν, οὕτω καὶ ἀπὸ τοῦ Δημοcθένεε γίνεται Δημοcθενέοιν, καὶ κατὰ κρᾶcιν τοῦ ε̄ καὶ τῆc ο̄ῑ διφθόγγου Δημοcθενοῖν· περιcπᾶται δὲ τὸ Δημοcθενοῖν, ἐπειδὴ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰc περιcπωμένην cυνέρχονται, οἷον πάϊc παῖc, Πηλέϊ Πηλεῖ, εὐγενέα εὐγενῆ, εὐcεβέοc εὐcεβοῦc· οὕτωc οὖν καὶ Δημοcθενέοιν καὶ Δημοcθενοῖν περιcπωμένωc. Δύναται δὲ καὶ κατὰ ἄλλον τρόπον γενέcθαι τὸ Δημοcθενοῖν· ἔcτι Δημοcθενέοιν, καὶ κατὰ κρᾶcιν τοῦ ε̄ καὶ ο̄ εἰc τὴν ο̄ῡ δίφθογγον γίνεται Δημοcθενοῦϊν, καὶ ἐπειδὴ τρία φωνήεντα ἐν μιᾷ cυλλαβῇ ἀδύνατον παραλαμβάνεcθαι, ἀνάγκη ἐcτὶν ἐξ αὐτῶν ἀποβληθῆναι τὸ ἕν· καὶ τὸ μὲν ο̄ ἀποβληθῆναι οὐ δύναται, ἐπειδὴ οὐδέποτε μετὰ τὴν ῡῑ δίφθογγον ἐπιφερόμενον cύμφωνον εὑρίcκεται, οἷον μυῖα ἅρπυια υἱόc· ἐὰν οὖν ἀποβληθῇ τὸ ο̄, μέλλει μετὰ τὴν ῡῑ δίφθογγον cύμφωνον ἐπιφέρεcθαι τὸ ν̄, ὅπερ ἐcτὶν ἀδύνατον· τὸ δὲ ῑ ἀποβληθῆναι
164 g οὐ δύναται, ἐπειδὴ πᾶcα δοτικὴ ἐπὶ παντὸc ἀριθμοῦ τὸ ῑ θέλει ἔχειν ἐν τῇ τελευταίᾳ cυλλαβῇ, οἷον Αἴαντι Αἰάντοιν Αἴαcι, καλῷ καλοῖν καλοῖc· περὶ γὰρ τῶν cεcημειωμένων ἐν τῇ δοτικῇ τῶν ἑνικῶν τοῦ κοχλίου μεμαθήκαμεν· ἐξ ἀνάγκηc οὖν ἀποβάλλεται τὸ ῡ καὶ γίνεται Δημοcθενοῖν διὰ τῆc ο̄ι διφθόγγου.

Ὦ Δημοcθένεε ὦ Δημοcθένη. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική. Ἐν οἷc cὺν θεῷ καὶ ἡ παροῦcα πρᾶξιc.

Οἱ Δημοcθένεεc οἱ Δημοcθένειc. Ἰcτέον ὅτι ὥcπερ ἀπὸ τοῦ Αἴαντε γίνεται Αἴαντεc προcθέcει τοῦ c̄, οὕτω καὶ ἀπὸ τοῦ Δημοcθένεε γίνεται Δημοcθένεεc προcθέcει τοῦ c̄ καὶ κατὰ κρᾶcιν τῶν δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον Δημοcθένειc. Δεῖ δὲ γινώcκειν ὅτι ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο ε̄ε̄ εἰc η̄ κίρνανται, οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη, ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ε̄ῑ δίφθογγον, οἷον Δημοcθένεεc Δημοcθένειc, Διομήδεεc Διομήδειc· cπανίωc δὲ καὶ ἐν τοῖc δυϊκοῖc εὑρίcκονται τὰ δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον κιρνάμενα, οἷον ταρίχεε ταρίχει, πόλεε πόλει, ὡc παρ' Αἰcχίνῃ τῷ Cωκρατικῷ τούτω τὼ πόλει (λέγει δὲ περὶ Ἀθηνῶν καὶ Λακεδαίμονοc), καὶ ἐν τοῖc πλη-

[Discr. scr. ex NCVP] 1 ἐν τῷ Ἥρωϊ — Δυcκόλῳ (2) *om* NC | βαδιεῖ *Schneidewinus*, βαδιήc VP ‖ 4 Τὼ Δημ. τὼ Δημ. *om* NC ‖ 6 δύο *om* N ‖ 7 Τοῖν Δημ. τοῖν Δημ. *om* NC ‖ 24 μεμαθ.] *cfr. p. 144, 36 sqq.* ‖ 26 Ὦ Δημ. ὦ Δημ. *om* NC ‖ 29 Οἱ Δημ. οἱ Δημ. *om* NC ‖ 37 τῷ Cωκρατικῷ NCV, καὶ Ἰcοκράτει P ‖ 38 Λακεδαίμονοc VP, Λακεδαιμόνων N, Λακεδαιμονίων C

θυντικοῖϲ εἰϲ η̅, οἷον ἱππέεϲ ἱππῆϲ καὶ βαϲιλέεϲ βαϲιλῆϲ· ταῦτα δὲ Ἀττικά εἰϲι, καὶ ἐπὶ μόνων τῶν εἰϲ ε̅υ̅ϲ̅ τοῦτο ποιοῦϲιν οἱ Ἀττικοί, φημὶ δὴ τὸ κιρνᾶν τὰ δύο εε εἰϲ η̅ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν, περὶ ὧν ἐν τῇ περὶ τοῦ Πηλεύϲ διδαϲκαλίᾳ, εἰ θεῷ φίλον, μαθηϲόμεθα.

Καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν ἐν μὲν τοῖϲ δυϊκοῖϲ τὰ δύο ε̅ε̅ εἰϲ η κιρνῶνται, ἐν δὲ τοῖϲ πληθυντικοῖϲ εἰϲ τὴν ε̅ι̅ δίφθογγον. Καὶ ἔϲτιν εἰπεῖν ὡϲ ἐν παραϲημειώϲει, ὅτι τὸ ϲ̅ ἐϲτὶ τὸ αἴτιον· ἐπειδὴ γὰρ ἐν μὲν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐϲτι τὸ ϲ̅, τούτου χάριν εἰϲ τὴν ε̅ι̅ δίφθογγον ἐγένετο ἡ κρᾶϲιϲ τῶν δύο ε̅ε̅, ἐν δὲ τοῖϲ δυϊκοῖϲ ἐπειδὴ οὐκ ἔϲτι τὸ ϲ̅, τούτου χάριν εἰϲ η̅ γίνεται ἡ κρᾶϲιϲ τῶν δύο ε̅ε̅· αὕτη δέ ἐϲτιν, ὡϲ εἴρηται, παραϲημείωϲιϲ καὶ οὐκ ἀπολογία. Ἀπολογούμεθα οὖν ἡμεῖϲ περὶ τούτων οὕτωϲ· τὸ ι̅ χαρακτηριϲτικόν ἐϲτι τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν, οὐ μὴν τῆϲ εὐθείαϲ τῶν δυϊκῶν, οἷον φίλοι Ὅμηροι κοχλίαι Αἰνεῖαι· ἐπειδὴ οὖν τὸ ι̅ χαρακτηριϲτικόν ἐϲτι τῆϲ εὐθείαϲ τῶν 165 g πληθυντικῶν, εὐλόγωϲ ἐν τοῖϲ πληθυντικοῖϲ τὰ δύο ε̅ε̅ εἰϲ τὴν ε̅ι̅ δίφθογγον κίρνανται, ἐν δὲ τοῖϲ δυϊκοῖϲ εἰϲ τὸ η̅, ἐπειδὴ ⟨εἰ⟩ ἐγένετο τῶν δύο ε̅ε̅ κρᾶϲιϲ εἰϲ τὴν ε̅ι̅ δίφθογγον ἐν τοῖϲ δυϊκοῖϲ, εὑρίϲκεται τὸ ι̅ ἐν τῇ τελευταίᾳ ϲυλλαβῇ, ὅπερ ἐϲτὶ γνήϲιον, ὡϲ εἴρηται, τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν· τούτου χάριν, ἵνα μὴ εὑρεθῇ τὸ ι̅ τελικὸν ἐπὶ τῆϲ εὐθείαϲ τῶν δυϊκῶν, οὐκ ἐγένετο ἡ κρᾶϲιϲ τῶν δύο ε̅ε̅ εἰϲ τὴν ε̅ι̅ δίφθογγον ἀλλ' εἰϲ τὸ η̅. Ἔϲτιν οὖν εἰπεῖν καὶ ἑτέραν ἀπολογίαν τοιαύτην· οὐδέποτε εὑρίϲκεται ἐν ἀρϲενικοῖϲ ὀνόμαϲιν εὐθεῖα δυϊκῶν εἰϲ οἱανδήποτε δίφθογγον λήγουϲα, οἷον τὼ Αἴαντε, τὼ λέβητε, τὼ Ἀτρείδα, τὼ Ὀρέϲτα· ὅθεν καὶ ἐπὶ τῆϲ εἰϲ α̅ καὶ εἰϲ ω̅ ληγούϲηϲ δοτικῆϲ τῶν ἑνικῶν, δηλονότι μετὰ τοῦ ι̅ οὔϲηϲ, ἡ εὐθεῖα τῶν δυϊκῶν οὐκ ἔχει τὸ ι̅ προϲγεγραμμένον, οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ Ὁμήρῳ τὼ Ὁμήρω· τούτου οὖν χάριν ἐν τοῖϲ δυϊκοῖϲ οὐ κίρνανται τὰ δύο ε̅ε̅ εἰϲ τὴν ε̅ι̅ δίφθογγον. Πρόϲκειται ἀνωτέρω «ἐν ἀρϲενικοῖϲ ὀνόμαϲιν» διὰ τὸ ταρίχεε ταρίχει, πόλεε πόλει· ταῦτα γὰρ διὰ τῆϲ ε̅ι̅ διφθόγγου γράφονται· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰϲὶν ἀρϲενικά, ἄλλωϲ τε δὲ καὶ ϲπάνιά εἰϲιν, ἅτινα οὐκ ἔρρωνται εἰϲ κανόνα. Ἔϲτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· ἡ εὐθεῖα τῶν πληθυντικῶν πλείοϲι φωνήεϲι κέχρηται πολλάκιϲ ὡϲ πρὸϲ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον τὼ Ὁμήρω οἱ Ὅμηροι, τὼ κοχλία οἱ κοχλίαι· ἰδοὺ ἡ εὐθεῖα τῶν πληθυντικῶν δύο ἔχει φωνήεντα, τῆϲ εὐθείαϲ τῶν δυϊκῶν ἓν φωνῆεν ἐχούϲηϲ· εἰκότωϲ οὖν ἐν μὲν τοῖϲ πληθυντικοῖϲ τὰ δύο ε̅ε̅ εἰϲ τὴν ε̅ι̅ δίφθογγον κίρναν-

---

[Discr. scr. ex NCVP] **12** οὖν καὶ ἡμ. N ‖ **15** *post* εὐλόγωϲ *add* οὖν NC ‖ **16** ἐν δὲ—εὑρίϲκεται (**17**) NC, εὑρίϲκεται γὰρ VP | εἰ g, *om* NC ‖ **21** τοιαύτην ἀπολογ. NC, αἰτίαν τοιαύτην VP ‖ **27** τούτου VP, τούτων NC | κίρναται N ‖ **28** διὰ τὸ — κανόνα (**31**)] τὸ γὰρ ταρίχεε ταρίχει καὶ πόλεε πόλει διὰ τῆϲ ε̅ι̅ διφθόγγου γενόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔϲτιν ἀρϲενικόν V ‖ **30** οὐκ εἰϲὶν CP, οὐϲὶν N | *post* ἀρϲενικὰ *add* ἀλλὰ θηλυκὰ NC, ἀλλὰ τὸ μὲν οὐδέτερον τὸ δὲ θηλυκόν *Lentzius. cfr. Lobeckius, Path. 2, 56* ‖ **31** ἔρρωνται P, ἔρρονται NC, ἔρρηται (*an* εἴρονται, *inseruntur?*) *Lentzius* ‖ **32** φωνήεϲϲι N

ται, ἐν δὲ τοῖς δυϊκοῖς εἰς τὸ η̄, ἵνα πλείονα σχῇ φωνήεντα ἡ εὐθεῖα τῶν πληθυντικῶν τῆς εὐθείας τῶν δυϊκῶν· ἡ γὰρ ε̅ι̅ δίφθογγος δύο φωνήεντά εἰσι, τὸ δὲ η̄ ἕν ἐστιν. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· ἡ εὐθεῖα τῶν δυϊκῶν μείζονι χρόνῳ κέχρηται πολλάκις ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον τὼ Ὁμήρω οἱ Ὅμηροι (τὸ ω̄ μεῖζόν ἐστι τῆς ο̅ι̅ διφθόγγου), τὰ Μηδεία αἱ Μήδειαι (τὸ ᾱ τὸ φύσει 166 g μακρὸν μεῖζόν ἐστι τῆς α̅ι̅ διφθόγγου)· ἐπεὶ οὖν καὶ τὸ η̄ μεῖζόν ἐστι τῆς ε̅ι̅ διφθόγγου, εἰκότως ἐν μὲν τοῖς δυϊκοῖς τὰ δύο ε̅ε̅ εἰς η̄ κίρνανται, ἐν δὲ τοῖς πληθυντικοῖς εἰς τὴν ε̅ι̅ δίφθογγον, ἵνα εὑρεθῇ μείζονα χρόνον ἔχουσα ἡ εὐθεῖα τῶν δυϊκῶν ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν. Ὅτι δὲ τὸ η̄ μεῖζόν ἐστι τῆς ε̅ι̅ διφθόγγου δῆλον ἐντεῦθεν· ὥσπερ ὁ εἷς στρατιώτης ὁ δυνάμενος ἔργον δύο στρατιωτῶν ποιῆσαι ἰσχυρότερος ἐκείνων ἐστί, τὸν αὐτὸν τρόπον καὶ τὸ ἓν φωνῆεν ποιοῦν ἔργον ὃ δύνανται δύο φωνήεντα ποιῆσαι ἰσχυρότερον ἐκείνων ἐστίν· ὅπερ γὰρ ἡ ε̅ι̅ δίφθογγος ποιεῖ, τοῦτο καὶ τὸ η̄ μόνον ποιεῖ· καὶ γὰρ ἡ ε̅ι̅ δίφθογγος φύσει μακρὰν ἀποτελεῖ τὴν συλλαβήν, καὶ τὸ η̄ δὲ ὡσαύτως.

Τῶν Δημοσθενέων τῶν Δημοσθενῶν. Εἴρηται ὅτι πᾶσα γενικὴ πληθυντικῶν εἰς ω̅ν λήγει ἐπὶ παντὸς γένους· ἔστιν οὖν Δημοσθενέων, καὶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ω̄ εἰς ω̄ γίνεται Δημοσθενῶν περισπωμένως· περισπᾶται δέ, ἐπειδή, ὡς εἴρηται, ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, εὐγενέος εὐγενοῦς· οὕτως οὖν καὶ Δημοσθενέων Δημοσθενῶν περισπωμένως· τὸ δὲ Δημοσθενέων παροξύνεται. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί μὴ προπαροξύνεται τῶν Δημοσθένεων, ὥσπερ καὶ τὸ ὄφεων. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἡνίκα ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται, πάντως καὶ ἡ γενικὴ τῶν ἑνικῶν διὰ τοῦ ε̄ καὶ ω̄ ἐστὶ καὶ προπαροξύνεται, οἷον ὄφεων ὄφεως, πόλεων πόλεως, πράξεων πράξεως, μάντεων μάντεως· ὅθεν τὸ τειχέων καὶ βελέων καὶ ὀρέων καὶ ὀφίων καὶ πολίων καὶ σταχύων καὶ βοτρύων οὐ προπαροξύνονται, ἐπειδὴ εἰ καὶ ἔχουσι τὴν γενικὴν τῶν ἑνικῶν προπαροξυνομένην, οἷον τείχεος βέλεος ὄρεος ὄφιος πόλιος στάχυος βότρυος, ἀλλ' οὖν οὐκ ἔχουσιν αὐτὴν διὰ τοῦ ε̄ καὶ ω̄· ἀλλ' οὔτε δὲ τὸ Πηλέων καὶ βασιλέων προπαροξύνονται, ἐπειδὴ εἰ καὶ ἔχουσι διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικὴν τῶν ἑνικῶν, οἷον Πηλέως βασιλέως, ἀλλ' οὖν οὐκ ἔχουσιν αὐτὴν προπαροξυνομένην. Πῶς οὖν δύνανται τὸ Δημοσθενέων καὶ Διομηδέων καὶ Ἀριστοφανέων προπαροξύνεσθαι, ὅπου ἡ γενικὴ τῶν ἑνικῶν οὐκ ἔστι διὰ τοῦ ε̄ καὶ ω̄ καὶ προπαροξύνεται, Δημοσθένεος γὰρ καὶ Διομήδεος καὶ Ἀριστοφάνεος προπαροξυτόνως 167 g μέν, ἀλλ' οὐ διὰ τοῦ ε̄ καὶ ω̄· εἰρήκαμεν γὰρ ἀνωτέρω, ὅτι ἡνίκα εὑρεθῇ ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξυνομένη, πάντως ἡ γενικὴ

[Discr. scr. ex NCVP] **3** δὲ *ante* η̄ *om* N || **9** δὲ *om* N || **18** Τῶν Δημ. τῶν Δημ. *om* NC || **28** οὖν *om* NC || **29** *post* βελέων *add* καὶ ὀφέων N || **34** καὶ ω̄ *om* NC || **35** *prius* οὖν *om* NC || **38** ἀριστοφάνεως N

τῶν ἑνικῶν διὰ τοῦ ε̄ καὶ ω̄ ἐστὶ καὶ προπαροξύνεται, ὅπερ ἐπὶ τούτων οὐκ ἔστιν.

Τοῖς Δημοσθένεσι μόνως. Ἐνταῦθα τὴν δοτικὴν τῶν πληθυντικῶν κανονίζει· κανονίζεται δὲ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν τοῦτον τὸν τρόπον· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα, πρὸ τοῦ ῑ λαμβάνουσα τὸ c̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἀκουσθῆναι στοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφεϊ ὄφεσι, πόλεϊ πόλεσι, ταχέϊ ταχέσιν, Ἕκτορι Ἕκτορσι, Πάριδι Πάρισι, Πλάτωνι Πλάτωσιν· οὕτως οὖν καὶ Δημοσθένεϊ Δημοσθένεσι. Λέγουσι δέ τινες, ὅτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς τῶν εἰς ευ̅c̅»· ἰδοὺ γάρ ἐστι Πηλεύς Πηλέως Πηλέϊ, καὶ οὐ γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς Πηλέσι προσθέσει τοῦ c̄, ἀλλὰ Πηλεῦσι. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι τότε κανονίζομεν τὴν δοτικὴν τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, ἡνίκα μὴ δύναται κανονισθῆναι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν· ἐπὶ οὖν τῶν εἰς ευ̅c̅ ἐπειδὴ δύναται κανονισθῆναι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν, τούτου χάριν οὐ κανονίζεται ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν. Ταῦτα μὲν ἐν τούτοις.

Οὐ δυνάμεθα δὲ χρήσασθαι ἐνταῦθα, φημὶ δὴ ἐν τῇ Δημοσθένεσι δοτικῇ τῶν πληθυντικῶν, τῷ ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν κανόνι τῷ λέγοντι· πᾶσα εὐθεῖα ἑνικῶν εἰς c̄ λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· συναιρεῖται γὰρ ἐνταῦθα ἡ γενικὴ τῶν ἑνικῶν ἡ Δημοσθένεος, Δημοσθένους γάρ· ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν ἡ Δημοσθένεσιν οὐ συναιρεῖται, ἐπειδὴ τὸ c̄ μέσον ἐστὶ τῶν φωνηέντων· οὐδέποτε γὰρ τὰ φωνήεντα δύνανται συναίρεσιν ἐπιδέξασθαι ἔχοντα ἐν τῷ μεταξὺ σύμφωνον, εἰ μὴ πρότερον ἀποβληθῇ τὸ σύμφωνον, ὡς ἐπὶ τοῦ κρείττονα κρείττοα καὶ κρείττω· ὥσπερ γὰρ κέντρου μεταξὺ δύο ξύλων ὄντος οὐ δύνανται τὰ ξύλα ἑνωθῆναι, τὸν αὐτὸν τρόπον καὶ συμφώνου μεταξὺ δύο φωνηέντων ὑπάρχοντος οὐ δύνανται 168 g τὰ φωνήεντα ἕνωσιν ἀναδέξασθαι. Εἰ δέ τις καὶ ἀποβαλλέσθω τὸ σύμφωνον εἴποι καὶ γινέσθω συναίρεσις τῶν φωνηέντων, ὡς ἐπὶ τοῦ κρείττονα καὶ κρείττοα καὶ κρείττω, λέγομεν ὅτι οὐ δύναται ἀποβληθῆναι τὸ σύμφωνον, ἐπειδὴ ἐὰν ἀποβληθῇ τὸ σύμφωνον, συνεμπίπτει τῇ δοτικῇ τῶν ἑνικῶν, ὅπερ ἐστὶν ἄτοπον· ἄλλως τε δὲ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ῑ λήγουσα θέλει ἔχειν πρὸ τοῦ ῑ τὸ c̄ ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἐνεργείᾳ μέν, οἷον Αἴασι λέβησι Λάχησι Θόασι, δυνάμει δέ, οἷον Φοίνιξι Πέλοψι· δυνάμει γὰρ ἐπὶ τούτων ἐστὶ τὸ c̄· τὸ γὰρ ξ̄ ἐκ τοῦ κ̄ καὶ c̄ δοκεῖ συγκεῖσθαι, καὶ τὸ ψ̄ ἐκ τοῦ π̄ καὶ c̄· τούτου οὖν χάριν καὶ ἐπὶ τῆς Δημοσθένεσι δοτικῆς οὐκ ἀποβάλλεται τὸ c̄. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCVP] **1** τῶν ἑνικῶν *om* NC ‖ **3** Τοῖς Δημ. μόνως *om* NC ‖ **8** πόλεϊ πόλεσι] πηλέϊ πηλεῦσι NC, πηλέϊ πηλέσι V, *om* P ‖ **11** Πηλέως Πηλέϊ VP, Πηλέϊ ἡ δοτικὴ τῶν ἑνικῶν NC ‖ **13** τότε *om* N ‖ **18** ἀπὸ VP, ἐκ NC ‖ **20** τῶν ἑνικῶν *om* NC ‖ **24** *prius* ἡ *om* NC ‖ **37** *post* μὲν *add* οὖν NC ‖ **39** ἐπὶ

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν ἐν μὲν τῇ Δημοϲθένεϲι δοτικῇ τῶν πληθυντικῶν γίνεται τὸ ι̅ ἐφελκυϲτικὸν τοῦ ν̅, οἷον Δημοϲθένεϲιν, ἐν δὲ τῇ δοτικῇ τῶν ἑνικῶν οὐ γίνεται τὸ ι̅ ἐφελκυϲτικὸν τοῦ ν̅, Δημοϲθένεϊ γάρ ἐϲτι καὶ οὐ λέγομεν Δημοϲθένεϊν. Ἔϲτιν οὖν εἰπεῖν, ὅτι τὸ ι̅ τότε γίνεται ἐφελκυϲτικὸν τοῦ ν̅, ἡνίκα ἔχει προηγούμενον τὸ ϲ̅ ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μέν, ὡϲ Αἴαϲι Αἴαϲιν, τύπτουϲι τύπτουϲιν, λέγουϲι λέγουϲιν, δυνάμει δέ, οἷον ἐϲτί ἐϲτίν· ἐνταῦθα γὰρ δυνάμει ἐϲτὶ τὸ ϲ̅, ἀπὸ γὰρ τοῦ ἐϲϲί γέγονε κατὰ τροπὴν τοῦ ϲ̅ εἰϲ τὸ τ̅· καὶ πάλιν Φοίνιξι Φοίνιξιν, Πέλοψι Πέλοψιν· ἐπὶ τούτων γὰρ δυνάμει τὸ ϲ̅ ἐϲτί, καὶ γὰρ τὸ ξ̅ ἐκ τοῦ κ̅ καὶ ϲ̅ ϲύγκειται καὶ τὸ ψ̅ ἐκ τοῦ π̅ καὶ ϲ̅· πολλάκιϲ δὲ καὶ τοῦ φ̅ προηγουμένου γίνεται τὸ ι̅ ἐφελκυϲτικὸν τοῦ ν̅, οἷον ναῦφι ναῦφιν, ⟨Ν 700⟩ ναῦφιν ἀμυνόμενοι, τουτέϲτιν ἐκ τῶν νεῶν ἀποϲοβοῦντεϲ. Ἐπειδὴ οὖν ἐν μὲν τῇ Δημοϲθένεϲι δοτικῇ τῶν πληθυντικῶν τὸ ι̅ προηγούμενον ἔχει τὸ ϲ̅, τούτου χάριν γίνεται ἐφελκυϲτικὸν τοῦ ν̅, οἷον Δημοϲθένεϲιν· ἐν δὲ τῇ Δημοϲθένεϊ δοτικῇ τῶν ἑνικῶν, ἐπειδὴ τὸ ι̅ οὐκ ἔχει προηγούμενον τὸ ϲ̅ οὔτε δυνάμει οὔτε ἐνεργείᾳ, τούτου χάριν οὐ γίνεται ἐφελκυϲτικὸν τοῦ ν̅. Ταῦτα μὲν ἐν τούτοιϲ.

160 g Τοὺϲ Δημοϲθένεαϲ καὶ Δημοϲθένειϲ. Κανονίζεται ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ἀπὸ τῆϲ αἰτιατικῆϲ τῶν ἑνικῶν τοῦτον τὸν τρόπον· πᾶϲα αἰτιατικὴ ἑνικῶν εἰϲ α̅ λήγουϲα προϲθέϲει τοῦ ϲ̅ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον Αἴαντα Αἴανταϲ, λέβητα λέβηταϲ, Λάχητα Λάχηταϲ, ἔρωτα ἔρωταϲ· οὕτωϲ οὖν καὶ Δημοϲθένεα Δημοϲθένεαϲ. Δύναται δὲ καὶ ἀπὸ τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν κανονιϲθῆναι τοῦτον τὸν τρόπον· πᾶϲα εὐθεῖα πληθυντικῶν εἰϲ εϲ̅ λήγουϲα τροπῇ τοῦ ε̅ εἰϲ α̅ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον Αἴαντεϲ Αἴανταϲ, Λάχητεϲ Λάχηταϲ, λέβητεϲ λέβηταϲ, ἔρωτεϲ ἔρωταϲ· οὕτωϲ οὖν καὶ ἀπὸ τοῦ Δημοϲθένεεϲ Δημοϲθένεαϲ γέγονε κατὰ τροπὴν τοῦ ε̅ εἰϲ α̅. Μηδεὶϲ δὲ οἰέϲθω, ὅτι τὸ Δημοϲθένειϲ ἀπὸ τοῦ Δημοϲθένεαϲ γέγονε κατὰ κρᾶϲιν τοῦ ε̅ καὶ α̅ εἰϲ τὴν ει̅ δίφθογγον, τὸ γὰρ ε̅ καὶ α̅ εἰϲ η̅ κίρνανται, οἷον τείχεα τείχη, βέλεα βέλη, ἀλλὰ δεῖ λέγειν ὅτι ὁμοφωνία ἐϲτὶ τῆϲ αἰτιατικῆϲ τῶν πληθυντικῶν πρὸϲ τὴν εὐθεῖαν τῶν πληθυντικῶν· πᾶϲα γὰρ εὐθεῖα πληθυντικῶν εἰϲ ϲ̅ λήγουϲα καὶ ϲυναιρουμένη κατὰ τὴν τελευταίαν ϲυλλαβὴν τὴν αἰτιατικὴν ἔχει ὁμόφωνον αὐτῇ δηλονότι καὶ τὴν κλητικήν, οἷον οἱ βότρυϲ τοὺϲ βότρυϲ ὦ βότρυϲ, οἱ βοῦϲ τοὺϲ βοῦϲ ὦ βοῦϲ, οἱ ἰχθῦϲ τοὺϲ ἰχθῦϲ ὦ ἰχθῦϲ, οἱ ἡδεῖϲ τοὺϲ ἡδεῖϲ ὦ ἡδεῖϲ, οἱ εὐγενεῖϲ τοὺϲ εὐγενεῖϲ ὦ εὐγενεῖϲ, οἱ εὐφυεῖϲ τοὺϲ εὐφυεῖϲ ὦ εὐφυεῖϲ· οὕτωϲ οὖν καὶ οἱ Δημοϲθένειϲ τοὺϲ Δημοϲθένειϲ ὦ Δημοϲθένειϲ. Πρόϲκειται «εἰϲ ϲ̅ λήγουϲα» διὰ τὸ οἱ χρύϲεοι οἱ χρυϲοῖ καὶ οἱ χάλκεοι οἱ χαλκοῖ· ταῦτα γὰρ ϲυναιροῦνται

[Discr. scr. ex NCVP] τῆϲ VP, ἐπὶ τοῖϲ NC || **6** *post* μὲν *add* οὖν NC || **9** Φοίνιξι πάλιν *traiciunt* NC || **18** νεῶν VP, νηῶν NC || **19** Τοὺϲ Δημ. καὶ Δημ. *om* NC || **29** δὲ *om* NC || **31** ε̅ *om* N || **33** γὰρ *om* NC

κατὰ τὴν τελευταίαν συλλαβήν, καὶ ἐπειδὴ οὐ λήγουσιν εἰς ϲ̄, οὐκ ἔχουσι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ὁμόφωνον αὐτοῖς, τοὺς χρυσοῦς γὰρ καὶ τοὺς χαλκοῦς ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ἡ δὲ κλητικὴ ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ, οἷον οἱ χρυσοῖ καὶ ὦ χρυσοῖ, οἱ χαλκοῖ καὶ ὦ χαλκοῖ, ἐπειδὴ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική. Πρόσκειται «καὶ συναιρουμένη κατὰ τὴν τελευταίαν συλλαβήν» διὰ τὸ Ἡρακλῆες· ἰδοὺ γὰρ τοῦτο εἰς ϲ̄ λήγει καὶ οὐκ ἔχει ὁμόφωνον τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, Ἡρακλῆας γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ἀλλ' οὐ συναιρεῖται κατὰ τὴν τελευταίαν συλλαβήν, ἀπὸ τοῦ 170g
Ἡρακλέεες γὰρ γέγονε κατὰ κρᾶσιν τῶν δύο ε̄ε̄ τῶν πρώτων εἰς τὸ η̄. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι οἱ Ἀττικοὶ τούτῳ τῷ λόγῳ οὐκ ἀκολουθοῦσιν· ἐκεῖνοι γὰρ ἐπὶ τῶν εἰς ε̄ῡϲ̄ συναιροῦντες τὰ δύο ε̄ε̄ εἰς τὸ η̄ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον ἱππέες ἱππῆς καὶ βασιλέες βασιλῆς, οὐ ποιοῦσιν ὁμόφωνον τὴν αἰτιατικὴν τῇ εὐθείᾳ· οὐδὲ γὰρ ποιοῦσι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν διὰ τοῦ η̄, ὡς ἐν τῇ περὶ τοῦ Πηλεύς διδασκαλίᾳ εἰ θεῷ φίλον μαθησόμεθα. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς η̄ϲ̄ εἰς ο̄ῡϲ̄ ἐχόντων τὴν γενικὴν κυρίων καὶ ἐπὶ τῶν παρὰ τὸ ἔτος διὰ τοῦ ᾱ ποιοῦσι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τοὺς Δημοσθένας, ὁ Ἀριστοφάνης τοῦ Ἀριστοφάνους τοὺς Ἀριστοφάνας, ὁ δωδεκαέτης τοῦ δωδεκαέτους τοὺς δωδεκαέτας, ὁ ἑπταέτης τοῦ ἑπταέτους τοὺς ἑπταέτας· τὴν δὲ εὐθεῖαν τῶν πληθυντικῶν διὰ τῆς ᾱι̅ διφθόγγου ποιοῦσιν ἐπὶ τούτων, οἷον οἱ Δημοσθέναι, οἱ Ἀριστοφάναι, οἱ ἑπταέται, οἱ δωδεκαέται.

Ὦ Δημοσθένεες καὶ ὦ Δημοσθένεις. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Κανὼν ϛʹ.

Ὁ Ἡρακλέης καὶ ὁ Ἡρακλῆς.

Ἀποροῦσί τινες λέγοντες, εἰ ἄρα διέλαβεν ἀνωτέρω ὁ τεχνικὸς περὶ τῶν εἰς ης τῶν παρ' οὐδετέρων συντεθειμένων, φημὶ δὴ ἐν τῇ περὶ τοῦ Δημοσθένους διδασκαλίᾳ, πῶς διαλαμβάνει κατ' ἰδίαν ἐνταῦθα περὶ τῶν παρὰ τὸ κλέος, καὶ ταῦτα γὰρ παρ' οὐδετέρων εἰσὶ συντεθειμένα. Καὶ λέγουσί τινες, ὅτι ἐπειδὴ τὰ μὲν ἄλλα ἀπ' οὐδετέρων συνετέθησαν μὴ ὄντων καθαρῶν, οἷον σθένος Δημοσθένης, γένος Διογένης, τὰ δὲ παρὰ τὸ κλέος ἀπ' οὐδετέρου συνετέθησαν καθαριεύοντος, τὸ γὰρ κλέος καθαριεύει, τούτου χάριν κατ' ἰδίαν διέλαβε περὶ αὐτῶν· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· ἰδοὺ γὰρ παρὰ τὸ φάος παμφαής χρυσο-

---

[Disck. scr. ex NCVP] **10** Ἡρακλέεες P, Ἡρακλέες NCV ‖ **26** ὅτι *om* NC ‖ **29** Ὁ Ἡρακλέης καὶ *om* NC ‖ **30** ἀποροῦσι δέ τινες N ‖ **33** περὶ *ante* τῶν *om* NC ‖ **36** οὐδετέρου P, οὐδετέρων NCV

φαής, καὶ ἰδοὺ ταῦτα καθαριεύουσι καὶ οὐκ εἰσὶ παρὰ τὸ κλέος. Κρεῖττον οὖν ἐστιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἰδιαζόντως περὶ τῶν παρὰ τὸ κλέος 171 g συνθέτων διαλαμβάνει, ἐπειδὴ ποικιλωτέρα ἐστὶν ἡ κλίσις αὐτῶν· τὰ μὲν γὰρ ἄλλα τὰ ἀπὸ οὐδετέρων σύνθετα μίαν μόνην ἔχουσιν εὐθεῖαν, οἷον φάος παμφαής, γένος εὐγενής, τὰ δὲ παρὰ τὸ κλέος σύνθετα δηλονότι κύρια δύο ἔχουσιν εὐθείας, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, οἷον Ἡρακλέης Ἡρακλῆς. Καὶ ἀποροῦσί τινες λέγοντες, τί δήποτε τὰ παρὰ τὸ κλέος σύνθετα δηλονότι κύρια δύο ἔχουσιν εὐθείας, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, οἷον Ἡρακλέης Ἡρακλῆς, τῶν ἄλλων τῶν ἀπὸ οὐδετέρων συνθέτων μίαν καὶ μόνην εὐθεῖαν ἐχόντων, οἷον σθένος Δημοσθένης, γένος Διογένης, φάος παμφαής. Καὶ ἐπιλύονται λέγοντες, ὅτι ἐν τούτοις, φημὶ δὴ τοῖς παρὰ τὸ κλέος συνθέτοις δηλονότι κυρίοις καθαριεύουσι τὰ φωνήεντα, καὶ εἰκότως ἔσχον συνῃρημένην εὐθεῖαν· τὰ γὰρ ἄλλα ὡς ἔχοντα σύμφωνον πρὸ τοῦ φωνήεντος, οἷον ἀσθενής εὐγενής, εἰκότως συναίρεσιν παθεῖν οὐκ ἠδύναντο. Εἰ δέ τις ἀπορήσειε, πῶς οὖν τὸ παμφαής καὶ χρυσοφαής καθαριεύοντα οὐκ ἔχουσι συνῃρημένην εὐθεῖαν, λέγομεν ὅτι ὡς μὴ ὄντα κύρια οὐ συνῃρέθησαν. Ἀμέλει καὶ ἐν τοῖς παρὰ τὸ κλέος συνθέτοις τὰ κύρια μόνα συναιροῦνται κατὰ τὴν εὐθεῖαν, οἷον Ἡρακλέης Ἡρακλῆς, Νικοκλέης Νικοκλῆς, ἐπεὶ τὰ ἐπίθετα οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν, ὡς μετ' ὀλίγον δείξομεν, οἷον εὐκλεής δυσκλεής· ἄλλως τε δὲ καὶ ὡς ὀξυνόμενα οὐ συνῃρέθησαν, ὡς δείξομεν ἡνίκα ζητοῦμεν, διατί τὰ παρὰ τὸ κλέος ἐπίθετα οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν. Ταῦτα μὲν ἐν τούτοις.

Λέγει δὲ ὁ τεχνικός, ὅτι τοῦτο τὸ ὄνομα καὶ τὰ ὅμοια αὐτῷ δηλονότι κύρια παρὰ τὸ κλέος σύνθετα δύο ἔχουσιν εὐθείας, μίαν ἐντελῆ τὴν Ἡρακλέης καὶ μίαν συνῃρημένην τὴν Ἡρακλῆς, αἵτινες γεννῶσι γενικὰς τέσσαρας, ἡ ἐντελὴς δύο, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, οἷον Ἡρακλέης Ἡρακλέεος Ἡρακλέους, καὶ ἡ συνῃρημένη δύο, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, οἷον Ἡρακλῆς Ἡρακλέος Ἡρακλοῦς. Ἰστέον δὲ ὅτι οὐ μόνον τέσσαρές εἰσι γενικαὶ ἀλλὰ πλείονες, ὡς ἔχομεν δεῖξαι τὴν κλίσιν τοῦ Ἡρακλῆς παρατιθέμενοι. Ἀποροῦσι δέ τινες λέγοντες, πῶς 172 g ἡ συνῃρημένη εὐθεῖα ἐντελῆ γενικὴν ἀποτελεῖ, οἷον Ἡρακλῆς Ἡρακλέος· ἐχρῆν γὰρ μόνην συνῃρημένην γεννῆσαι, οὐ μὴν ἐντελῆ. Καὶ ἔστιν εἰπεῖν πρὸς τούτους τὴν ἀπολογίαν ταύτην, ὅτι πᾶσα συνῃρημένη γενικὴ ἀπὸ ἐντελοῦς γενικῆς ἐστι συνῃρημένη, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους· πῶς οὖν δυνατὸν εἶναι συνῃρημένην τὴν Ἡρακλοῦς γενικήν, εἰ μὴ ἔχει τὴν Ἡρακλέους ἐντελῆ γενικήν; Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι τὰ παρὰ τὸ κλέος σύνθετα εἰς ης γινόμενα, ἐὰν μὲν εὑρεθῶσι κύρια, δύο ἔχουσιν εὐθείας, μίαν ἐντελῆ καὶ μίαν

[Discr. scr. ex NCVP] **10** οἷον *om* NC ‖ **13** ἔσχον] ἔχον N ‖ **15** ἀπορήσειε] ἀπορήσει NCV, εἴποι P ‖ **16** καθαρεύοντα NC ‖ **17** ὅτι *om* NC ‖ **18** ἐν *om* NC ‖ **26** γενῶσι NC ‖ **33** γενῆσαι N

cυνῃρημένην, οἷον Ἡρακλέηc Ἡρακλῆc, Περικλέηc Περικλῆc, Cοφοκλέηc Cοφοκλῆc, Νικοκλέηc Νικοκλῆc, ἐὰν δὲ ὦcιν ἐπίθετα, μίαν ἔχουcιν εὐθεῖαν τὴν ἐντελῆ μόνην, cυνῃρημένην γὰρ οὐκ ἔχουcιν· οὐδέποτε γὰρ τὰ παρὰ τὸ κλέοc cύνθετα ἐπίθετα cυναιροῦνται κατὰ τὴν εὐθεῖαν, οἷον ἀκλεήc δυcκλεήc ἀγακλεήc. Καὶ ἄξιόν ἐcτι ζητῆcαι, τί δήποτε τὰ παρὰ τὸ κλέοc cύνθετα εἰc ηc δηλονότι κύρια μὲν ὄντα cυναιροῦνται κατὰ τὴν εὐθεῖαν, οἷον Ἡρακλέηc Ἡρακλῆc, Περικλέηc Περικλῆc, ἐπίθετα δὲ ὄντα οὐ cυναιροῦνται κατὰ τὴν εὐθεῖαν, οἷον ἀκλεήc δυcκλεήc ἀγακλεήc· καὶ ἔcτιν εἰπεῖν δύο ἀπολογίαc, μίαν μὲν ἀπὸ τόνου, ἑτέραν δὲ ἀπὸ κλίcεωc. Ἔcτι δὲ ἡ ἀπὸ τόνου αὕτη· οὐδέποτε κρᾶcιc γίνεται ἐπ᾽ ὀνομάτων βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνερχομένων, οἷον θοόc ἐνδεήc παμφαήc ἀκραήc ἀνηλεήc, cεcημειωμένου τοῦ ζωόc ζώc· ἐνταῦθα γὰρ κρᾶcιc ἐγένετο βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνερχομένων· καὶ χωρὶc τοῦ πούc· καὶ τοῦτο γάρ, ὡc ἐν τῇ περὶ τούτου διδαcκαλίᾳ εἰ θεῷ φίλον μαθηcόμεθα, κρᾶcιν ἔπαθε βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνελθουcῶν· τὸ γὰρ Κιccηΐc Κιccῄc καὶ Βριcηΐc Βριcῄc καὶ Νηρηΐc Νηρῄc, εἰ καὶ ἀπὸ βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνῆλθον, οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἐδέξαντο κρᾶcιν ἀλλὰ cυναίρεcιν· τὸ νηλήc οὐκ ἀπὸ τοῦ νηλεήc γέγονε κατὰ κρᾶcιν, ἀλλ᾽ ἑκάτερον αὐτῶν ἰδίᾳ cχηματίζεται· τὸ μὲν γὰρ νηλεήc ἀπὸ τοῦ ἐλεῶ γέγονε καὶ τοῦ νή cτερητικοῦ ἐπιρρήματοc, οἷον ὁ ἐcτερημένοc τοῦ ἐλεεῖν, τὸ δὲ νηλήc ἀπὸ τοῦ λῶ τοῦ cημαίνοντοc τὸ θέλω καὶ τοῦ νή cτερητικοῦ ἐπιρρήματοc, οἱονεὶ ὁ μὴ 173 g θέλων ἀλλ᾽ ὢν ἀκαμπὴc καὶ cκληρόc· ἔχομεν δὲ τοῦ λῶ τὴν χρῆcιν παρὰ Θεοκρίτῳ, οἷον ⟨1,12⟩ λῇc ποτὶ τᾶν νυμφᾶν, λῇc, αἰπόλε, ἀντὶ τοῦ θέλειc· τὸ δὲ ἀδελφιδεόc ἀδελφιδοῦc καὶ θυγατριδεόc θυγατριδοῦc κρᾶcιν μὲν ἐδέξαντο βαρείαc καὶ ὀξείαc, ἀλλ᾽ οὐκ εἰc ὀξεῖαν ἀλλ᾽ εἰc περιcπωμένην, τὸ γὰρ ἀδελφιδοῦc καὶ θυγατριδοῦc περιcπῶνται· τὸ ἱερεύc ἱρεύc κρᾶcιν ἀναδεξάμενον τοῦ ῑ καὶ ε̄ εἰc ῑ μακρὸν καὶ ὀξυνόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἐγένετο ἐν τῇ τελευταίᾳ cυλλαβῇ ἡ κρᾶcιc ἀλλ᾽ ἐν τῇ ἀρχούcῃ. [Τούτων οὕτωc ἐχόντων τὰ ἐπίθετα τὰ παρὰ τὸ κλέοc cύνθετα ἐὰν ἐπιδέξωνται κρᾶcιν, μέλλει ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰc ὀξεῖαν cυνέρχεcθαι κράcεωc οὔcηc, ὅπερ ἐcτὶν ἄτοπον· πάντα γὰρ τὰ παρὰ τὸ κλέοc cύνθετα ἐπίθετα ὀξύνονται, οἷον ἀκλεήc δυcκλεήc ἀγακλεήc· ἡ δὲ βαρεῖα καὶ ἡ ὀξεῖα εἰc ὀξεῖαν cυνέρχονται, οἷον ζωόc ζώc, ἑcταώc ἑcτώc, Κιccηΐc Κιccῄc, Βριcηΐc Βριcῄc.] Πρόcκειται ἀνωτέρω «ἐπ᾽ ὀνομάτων», οἷον «οὐδέποτε γίνεται κρᾶcιc ἐπ᾽ ὀνομάτων βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνερχομένων», διὰ τὸ ἑcταώc ἑcτώc καὶ βεβαώc βεβώc καὶ τεθναώc τεθνώc· ἐνταῦθα γὰρ κρᾶcιc ἐγένετο βαρείαc καὶ ὀξείαc εἰc ὀξεῖαν cυνερχομένων, ἀλλ᾽ οὐκ εἰcὶν ὀνόματα ἀλλὰ με-

---

[Discr. scr. ex NCVP] **3** *poster.* γὰρ *om* NC ‖ **6** cύνθετα *om* NC ‖ **13** κράcιc N, *et sic saepius* ‖ **23** ὢν *om* NC ‖ **25** ἀδελφιδέοc *et* θυγατριδέοc NC ‖ **27** περιcπῶνται VP, περιcπᾶται NC ‖ **28** ἀναδεξαμένου NC ‖ **29** τῇ *om* N ‖ **31** ἐπιδέξονται N ‖ **34** ἡ *ante* ὀξεῖα *om* NC

τοχαί. Τούτου οὖν χάριν τὰ παρὰ τὸ κλέος σύνθετα ἐπίθετα οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν, ἵνα, ὡς εἴρηται, μὴ εὑρεθῇ κρᾶσις γινομένη ἐπ' ὀνομάτων βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συνερχομένων· τὰ γὰρ παρὰ τὸ κλέος σύνθετα κύρια διὰ τοῦτο συναιροῦνται κατὰ τὴν εὐθεῖαν, ἐπειδὴ ἐν τῇ ἐντελείᾳ βαρύνονται, οἷον Ἡρακλέης Σοφοκλέης Περικλέης, καὶ λοιπὸν συναιρούμενα περισπῶνται, οἷον Ἡρακλῆς Σοφοκλῆς Περικλῆς· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, εὐσεβέα εὐσεβῆ, καὶ λοιπὸν οὐκέτι εὑρίσκεται κρᾶσις γινομένη ἐπ' ὀνομάτων βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν, ἀλλὰ τοὐναντίον ὀξείας καὶ βαρείας εἰς περισπωμένην. Αὕτη μὲν οὖν ἐστιν ἡ ἀπὸ τόνου ἀπολογία· ἡ δὲ ἀπὸ κλίσεώς ἐστιν αὕτη· τὰ ἐπίθετα παρὰ τὸ κλέος σύνθετα εἰ συνῃροῦντο κατὰ τὴν εὐθεῖαν, ἤμελλον ὀξύνεσθαι, ἐπειδὴ καὶ ἐν τῇ ἐντελείᾳ ὀξύνονται, οἷον ἀκλεής δυσκλεής ἀγακλεής· 174 g ἡ δὲ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συνέρχονται, οἷον Ζωός Ζώς, ἑσταώς ἑστώς, Βρισηΐς Βρισῄς· ὀξυνόμενα δὲ ἤμελλον ἐμπίπτειν εἰς χαρακτῆρα ἀπαιτοῦντα τὴν διὰ τοῦ τος κλίσιν· τὰ γὰρ εἰς ης ὀξυνόμενα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου ἕτερον σύμφωνον, μὴ κατὰ συγκοπὴν ὄντα, διὰ τοῦ τος κλίνονται, οἷον ἀβλής ἀβλῆτος, προβλής προβλῆτος, ἡμιθνής ἡμιθνῆτος, ἡμιτρής ἡμιτρῆτος, ἀμφιτρής ἀμφιτρῆτος· πρόσκειται «μὴ κατὰ συγκοπὴν ὄντα» διὰ τὸ μελαγχρής μελαγχροῦς· τοῦτο γὰρ εἰς ους ἔχει τὴν γενικήν, ἀλλ' ἀπὸ τοῦ μελαγχροιής γέγονε κατὰ συγκοπήν. Τούτῳ οὖν τῷ λόγῳ, εἰ συνῃροῦντο κατὰ τὴν εὐθεῖαν τὰ ἐπίθετα τὰ παρὰ τὸ κλέος σύνθετα, ἤμελλον διὰ τοῦ τος κλίνεσθαι, οἷον ἀκλής ἀκλῆτος, δυσκλής δυσκλῆτος, ἀγακλής ἀγακλῆτος, ὡς ὀξύτονα ὄντα καὶ ἔχοντα ἀμετάβολον πρὸ τοῦ η καὶ πρὸ τοῦ ἀμεταβόλου ἕτερον σύμφωνον· ἀλλὰ μὴν διὰ τοῦ τος οὐκ ἠδύναντο κλίνεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν, οἷον Ἑρμέας Ἑρμέου Ἑρμῆς Ἑρμοῦ, πλόος πλόου πλοῦς πλοῦ, τιμήεις τιμήεντος τιμῆς τιμῆντος, δαφνήεις δαφνήεντος δαφνῆς δαφνῆντος· εἰ οὖν τὸ ἀκλεής καὶ δυσκλεής καὶ ἀγακλεής εἰς ους ἔχουσι τὴν γενικήν, οἷον ἀκλεοῦς δυσκλεοῦς ἀγακλεοῦς, ἀναγκάζονται καὶ ἐν τῇ συναιρέσει τὴν αὐτὴν κλίσιν φυλάξαι. Τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὴν διὰ τοῦ τος κλίσιν, τοῦ δὲ ἑτέρου τὴν εἰς ους, μένουσι τὰ ἐπίθετα ἀσυναίρετα κατὰ τὴν εὐθεῖαν· τούτου οὖν χάριν τὰ παρὰ τὸ κλέος σύνθετα ἐπίθετα οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν. Τὰ γὰρ κύρια συναιρούμενα

[Discr. scr. ex NCVP] **6** λοιπὸν *om* NC ‖ **9** κρᾶσις VP, *om* NC ‖ **12** συναιροῦντο N ‖ **14** ἡ *ante* δξ. *om* NC | ὀξεῖαν VP, βαρεῖαν NC | Ζωός Ζῴς N ‖ **16** γὰρ *om* NC ‖ **18** *post* ἀβλῆτος *add* P: νεοβλής νεοβλῆτος, νεοδμής νεοδμῆτος, ἀδμής ἀδμῆτος P | προβλής προβλῆτος VP, προκλῆς προκλῆτος NC ‖ **20** μελαγχρής *EM 576, 14*, μελαχρής NC, μελάγχρης P, *om* V | μελαγχροῦς] μελαχροῦς NC, μελάγχρους P, μελαγροῦς V ‖ **21** μελαγχροιής] μελαχροιής NC, μελαχρόης P, μελαγροῖς V, μελαγχροίης *EM* ‖ **26** οὐ δύναντο N ‖ **35** τούτου — εὐθεῖαν (**36**) *om* N ‖ **36** ἐπίθετα *om* C

περισπῶνται, οἷον Ἡρακλέης Ἡρακλῆς, Περικλέης Περικλῆς, ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, εὐσεβέα εὐσεβῆ, καὶ λοιπὸν οὐκ ἐμπίπτουσιν εἰς χαρακτῆρα ἀπαιτοῦντα τὴν διὰ τοῦ $\overline{\text{τος}}$ κλίσιν· ὁ γὰρ κανὼν περὶ ὀξυτόνων ἐστίν, ὡς εἴρηται. Ταῦτα μὲν ἐν τούτοις.

Ζητοῦσι δέ τινες, πόθεν τὸ Ἡρακλῆς ἔχει τὴν σύνθεσιν· καὶ οἱ μὲν ἀξιοῦσι λέγειν, ὅτι παρὰ τὸ Ἥρα καὶ τὸ κλέος ἐστὶν ἡ σύνθεσις, οἱονεὶ ὁ ἔχων τὴν δόξαν ἐκ τῆς Ἥρας· ἡ γὰρ Ἥρα ἐπιτάξασα αὐτῷ διαφό- 175 g ρους ἄθλους ἔνδοξον αὐτὸν ἀπετέλεσεν. Ἀλλ' ἔστιν εἰπεῖν πρὸς τούτους καὶ ἀντιθεῖναι, ὅτι τὸ $\bar{\alpha}$ ἔχει φύσει μακρὸν τὸ Ἥρα, τὸ δὲ Ἡρακλῆς σύνθετον μὲν ὂν ἔχει τὸ $\bar{\alpha}$ βραχὺ ἤγουν θέσει μακρόν, ὡς παρὰ Θεοκρίτῳ ⟨24, 1⟩ Ἡρακλέα δεκάμηνον ἐόντα· ὤφειλεν οὖν εἰ ἐγένετο ἀπὸ τοῦ Ἥρα ἢ τρέψαι τὸ $\bar{\alpha}$ εἰς τὸ $\bar{\text{ο}}$, ὡς ἐν τῷ Ἡρόδοτος Ἡρόφιλος Ἡρόδικος (ταῦτα γὰρ ἀπὸ τοῦ Ἥρα ἐγένοντο καὶ ἔτρεψαν τὸ $\bar{\alpha}$ εἰς τὸ $\bar{\text{ο}}$), ἢ φυλάξαν τὸ $\bar{\alpha}$ ὤφειλεν ἐκτεταμένον αὐτὸ φυλάξαι· ἀλλὰ μὴν οὔτε ἔτρεψε τὸ $\bar{\alpha}$ εἰς τὸ $\bar{\text{ο}}$ οὔτε ἐφύλαξεν αὐτὸ ἐκτεταμένον, οὐκ ἄρα ἐστὶν ἐξ αὐτοῦ ἡ σύνθεσις. Ἕτεροι δὲ ἀξιοῦσι λέγειν, ὅτι παρὰ τὸ Ἥρα καὶ τὸ ἀκλεής ἐστὶν ἡ σύνθεσις, οἱονεὶ ὁ ἄδοξος ἐκ τῆς Ἥρας, ὅσον γὰρ τὸ κατ' αὐτὴν ἄδοξος ἐγένετο· ἔπεμψε γὰρ κατ' αὐτοῦ δύο δράκοντας ἐν ὅσῳ ἐστὶ μικρός, ὀφείλοντας ἀνελεῖν αὐτόν· τὸ δὲ $\bar{\alpha}$ τοῦ ἀκλεής ἐστίν, οὐ τοῦ Ἥρα, διὸ καὶ οὐκ ἔστι φύσει μακρόν, ἀπεβλήθη γὰρ τὸ $\bar{\alpha}$ τοῦ Ἥρα, ὥσπερ καὶ ἐν τῷ Ἡραγόρας, ἀπὸ γὰρ τοῦ Ἥρα καὶ τοῦ ἀγορά ἐγένετο φυλαχθέντος τοῦ $\bar{\alpha}$ τοῦ ἀγορά καὶ ἀποβληθέντος τοῦ $\bar{\alpha}$ τοῦ Ἥρα. Ἔστι δὲ ἀντιθεῖναι πρὸς τούτους καὶ εἰπεῖν, ὅτι εἰ ἐγένετο ἀπὸ τοῦ ἀκλεής ἡ σύνθεσις, διατί μὴ ὀξύνεται τὸ Ἡρακλέης ἀλλὰ βαρύνεται· καὶ γὰρ εἰ ἦν τὸ Ἡρακλέης ἀπὸ τοῦ ἀκλεής ὤφειλεν ὀξύνεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς $\overline{\text{ης}}$ λήγοντα ὑπὲρ μίαν συλλαβὴν φυλάττουσιν ἐν τῇ συνθέσει τὴν τάσιν τοῦ ἁπλοῦ, οἷον ἐρανιστής ἀρχερανιστής, δανειστής μισοδανειστής, εὑρετής ἐφευρετής, ληστής ἀρχιληστής, Χρύσης φιλοχρύσης· τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ Ἡρακλέης ἀπὸ τοῦ ἀκλεής Ἡρακλεής ὤφειλεν εἶναι ὀξυτόνως. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς τοῦ κριτής καὶ ἀληθής», ταῦτα γὰρ ἐν τῇ συνθέσει βαρύνονται, οἷον δικαιοκρίτης ὀνειροκρίτης φιλαλήθης μισαλήθης· ἰδοὺ ταῦτα ἐν τῇ συνθέσει ἐβαρύνθησαν καὶ οὐκ ἐφύλαξαν τὴν τάσιν τοῦ ἁπλοῦ, φημὶ δὴ τὴν ὀξεῖαν τάσιν. Πρόσκειται ἐν τῷ κανόνι «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ Κρής Ἐτεόκρης καὶ Γνής Ἴγνης (Ἴγνητες δέ εἰσιν οἱ γνήσιοι Ῥόδιοι)· ταῦτα γὰρ τῷ λόγῳ τῶν μονοσυλλάβων 176 g ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει. Πᾶν γὰρ ὄνομα μονοσύλλαβον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον χθών αὐτόχθων, παῖς ἄπαις,

---

[Discr. scr. ex NCVP] **3** ἐπίπτουσιν N ‖ **14** ἐγένετο NCV ‖ **23** τοῦ ἀγορά VP, τοῦ ἀγόρας NC, τῆς ἀγορᾶς *EM 435, 4 adn.* | $\bar{\alpha}$ τοῦ ἀγορά — Ἥρα (24) VP *et EM*, $\bar{\alpha}$ τοῦ ἀγόρας NC ‖ **29** μισοδανειστής P *et EM 435, 28*, μεσοδανειστής NCV ‖ **32** καὶ *om* NC ‖ **36** Ἐτεόκρης VP, Ἑτερόκρης NC ‖ **39** ἄπαις N, εὔπαις CV, βούπαις P

Θρᾷξ Σαμόθρᾳξ, δαίς ὁμόδαις, κλείς κατάκλεις, πούς δίπους, χωρὶς τοῦ πτώξ πολυπτώξ, ⟨Callim. fragm. 528 Sch.⟩ πολυπτῶκές τε Μέλαιναι· τὸ δὲ Μέλαιναι τόπος ἐστὶ τῆς Ἀττικῆς, πολυπτῶκες δὲ οἱονεὶ αἱ ἔχουσαι πολλοὺς λαγωούς· τοῦτο γὰρ τὴν ὀξεῖαν τάσιν ἐφύλαξε τοῦ ἁπλοῦ· τὸ γὰρ ⟨δ 386⟩ Ποσειδάωνος ὑποδμώς οὐκ ἀντίκειται ἡμῖν ὀξυνόμενον, ἐπειδή, ὡς ἐν τῷ περὶ προθέσεως εἰ θεῷ φίλον μαθησόμεθα, παρέλκουσαν ἔχει τὴν ὑπό πρόθεσιν, ὥστε μηδὲ παρέχειν ἔμφασιν ὅτι σύνθεσις γέγονεν· ἀντὶ γὰρ τοῦ Ποσειδάωνος δμώς ἐστί. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ ἀνωτέρω τὸ κριτής καὶ ἀληθής ἐσημειωσάμεθα ὡς μὴ φυλάξαντα ἐν τῇ συνθέσει τὴν τάσιν τοῦ ἁπλοῦ, φημὶ δὴ τὴν ὀξεῖαν, ἀλλὰ βαρυνθέντα, ἔλθωμεν καὶ ἀπολογησώμεθα περὶ αὐτῶν. Ἰστέον ὅτι τὸ κριτής διὰ τοῦτο βαρύνεται ἐν τῇ συνθέσει, οἷον δικαιοκρίτης ὀνειροκρίτης, ἐπειδὴ παράλογός ἐστιν ἐν τῇ ἁπλότητι ἡ ὀξεῖα τάσις, ὤφειλε γὰρ βαρύνεσθαι ἐν τῇ ἁπλότητι· τὰ γὰρ εἰς της λήγοντα ἀρσενικὰ φύσει δισύλλαβα βαρύνονται, οἷον δότης πλύτης θύτης χάρτης Κράτης· διὰ τοῦτο τὸ ψάλτης ἀναλογώτερόν ἐστι κατὰ τὴν κοινὴν διάλεκτον βαρυνόμενον τοῦ παρὰ τοῖς Ἀθηναίοις ὀξυνομένου· ἐκεῖνοι γὰρ ψαλτής λέγουσιν ἐν ὀξείᾳ τάσει· πρόσκειται «φύσει δισύλλαβα» διὰ τὸ ληστής ὀξυνόμενον, τοῦτο γὰρ ἀπὸ τρισυλλάβου τοῦ ληϊστής ἐγένετο· πρόσκειται «ἀρσενικά» διὰ τὸ ποτής ὀξυνόμενον θηλυκόν, οἷον ⟨Λ 780⟩ ἐδητύος ἠδὲ ποτῆτος (σημαίνει δὲ τὴν πόσιν), τὸ γὰρ ἀρσενικὸν βαρύνεται, οἷον πότης· ἐπειδὴ οὖν τὸ κριτής παραλόγως ὀξύνεται, τούτου χάριν ἐν τῇ συνθέσει τὸ κεχρεωστημένον ἀναδέχεται, λέγω δὴ τὴν βα-
177 g ρεῖαν τάσιν, οἷον δικαιοκρίτης ὀνειροκρίτης· τὸ γὰρ ὑποκριτής οὐκ ἔστι παρὰ τὸ κριτής, ἐπεὶ ὑποκρίτης εἶχεν εἶναι βαρυτόνως, ἀλλὰ παρὰ τὸ ὑποκρίνομαι ἐστί. Τὸ δὲ ἀληθής διὰ τοῦτο ἐν τῇ συνθέσει βαρύνεται, οἷον φιλαλήθης μισαλήθης, ἐπειδὴ τὰ διὰ τοῦ ηθης σύνθετα ἀπ᾽ ὀνόματος βαρύνεσθαι θέλουσιν, οἷον ἦθος εὐήθης συνήθης κακοήθης· οὕτως οὖν καὶ ἀληθής φιλαλήθης μισαλήθης· πρόσκειται «σύνθετα ἀπὸ ὀνόματος» διὰ τὸ ἀληθής· τοῦτο γὰρ διὰ τοῦ ηθης ὂν ὀξύνεται, ἀλλ᾽ οὐκ ἔστι σύνθετον ἀπὸ ὀνόματος, ἀλλ᾽ ἀπὸ τοῦ λήθω ῥήματος τοῦ σημαίνοντος τὸ λανθάνω καὶ τοῦ ἃ στερητικοῦ ἐπιρρήματος γέγονεν ἀληθής, οἱονεὶ ὁ ἐστερημένος τῆς λήθης ἤγουν τῆς πλάνης· ὁ γὰρ ἀληθὴς οὐδένα πλανᾷ.

Τούτων οὕτως εἰρημένων ἐδείχθη διὰ τῶν προλεχθέντων, ὅτι εἰ ἦν τοῦ Ἡρακλῆς ἡ σύνθεσις ἀπὸ τοῦ ἀκλεής, ὤφειλε τὴν ὀξεῖαν φυλάξαι τοῦ ἀκλεής καὶ γενέσθαι Ἡρακλεής ὀξυτόνως. Ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι εὐλόγως τὸ Ἡρακλέης βαρύνεται, ἐπειδὴ κύριόν ἐστι· τὰ γὰρ εἰς ης λήγοντα κύρια ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, τουτέστι βαρύνονται ἢ

[Discr. scr. ex NCVP] **2** πολυπτῶκες τε N ‖ **5** Ποσειδάονος NC; *item v. 8* ‖ **10** ἀνωτέρῳ N ‖ **12** καί *om* NC ‖ **29** οἷον *om* NC | *post* συνήθης *add* ἀήθης V, ἀποήθης P ‖ **32** τοῦ λήθω *om* NC ‖ **39** γάρ] δὲ NC

περισπῶνται, βαρύνονται μέν, οἷον Δημοσθένης Διομήδης Διογένης Ἀριστοφάνης, περισπῶνται δέ, οἷον Ναρσῆς Ἑρμῆς Ἀπελλῆς Σωσῆς, ταῦτα γὰρ περισπῶνται καὶ οὐκ ὀξύνονται· σεσημειωμένων τοῦ Εὐμενής καὶ Εὐτυχής καὶ Εὐσεβής καὶ Εὐπρεπής καὶ Διοτρεφής καὶ Νημερτής καὶ Ἀψευδής καὶ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου Καλοετής· ταῦτα γὰρ ἐπίθετα ἦσαν καὶ ὠξύνοντο, καὶ λοιπὸν γενόμενα κύρια τὴν αὐτὴν τάσιν ἐφύλαξαν, φημὶ δὴ τὴν ὀξεῖαν· εἰκότως οὖν τὸ Ἡρακλέης ὡς κύριον ἐβαρύνθη. Ἄλλοι δὲ τῶν ἐπισήμων γραμματικῶν θέλουσι λέγειν τὴν σύνθεσιν ἀπὸ τοῦ ἦρα τοῦ σημαίνοντος τὴν μετ' ἐπικουρίας χάριν καὶ παρὰ τὸ κλέος, λέγοντες ὅτι Ἀλκείδης πρὸ τούτου ἐλέγετο, ἀλλ' ἐκ τοῦ πᾶσι βοηθεῖν ἐκλήθη Ἡρακλῆς, ὡς καὶ ὁ χρησμός, φασί, δηλοῖ ὁ πρὸς αὐτὸν λεχθεὶς ἔχων οὕτως· Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, Ἥρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις· καί, ὡς εἰρήκαμεν, ⟨τινὲς⟩ τῶν πάνυ ἐπισήμων γραμματικῶν ταύτης τῆς δόξης ἐγένοντο. Ἔχομεν δὲ ἡμεῖς ἀντιθεῖναι πρὸς αὐτοὺς 178 ς καὶ εἰπεῖν οὕτως, ὅτι τὸ ἦρα τὸ σημαῖνον τὴν μετ' ἐπικουρίας χάριν ψιλοῦται, τὸ δὲ Ἡρακλῆς δασύνεται, ὡς δηλοῖ ἴαμβος λέγων ⟨Arist. Ran. 463⟩ καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων, διὰ τοῦ θ̄ ἐκφερόμενος· οὐκ ἄρα οὖν ἐστιν ἀπ' αὐτοῦ ἡ σύνθεσις, τὸ γὰρ ἦρα τὸ σημαῖνον τὴν μετ' ἐπικουρίας χάριν ψιλοῦται, καὶ δῆλον ἐντεῦθεν· κανών ἐστιν ὁ λέγων, ὅτι τὸ η̄ ἐπιφερομένου ἀμεταβόλου ἐν τροχαϊκῇ λέξει ψιλοῦσθαι θέλει, οἷον ἦμαρ ἦμος ἦνις (σημαίνει δὲ τὴν ἐνιαυσιαίαν)· οὕτως οὖν καὶ ἦρα. Δεῖ προσθεῖναι «χωρὶς τῶν ἀπὸ τοῦ ἥσω μέλλοντος τοῦ σημαίνοντος τὸ πέμψω, ἐξ οὗ τὸ ἀφήσω»· τοῦτο δὲ εἴρηται διὰ τὸ ἧλος, ὃ σημαίνει τὸ κέντρον, τοῦτο γὰρ δασύνεται· καὶ τὸ ἡμῖν οὖν ἀντωνυμία ἐγκλινομένη καὶ συστελλομένη παρ' Ἴωσι δασύνεται, παρὰ γὰρ τοῖς Ἀττικοῖς τὸν μακρὸν φυλάττει χρόνον τοῦ ῑ· «ἐν τροχαϊκῇ λέξει» πρόσκειται διὰ τὸ ἡμέρα δασυνόμενον καὶ διὰ τὸ Ἥρα τὸ σημαῖνον τὴν δαίμονα· καὶ τοῦτο γὰρ δασύνεται, ἀλλ' οὐκ ἔστι τροχαϊκὴ λέξις, τὸ ᾱ γὰρ μακρόν ἐστιν· ἄρα οὖν οὐδὲ ἀπὸ τοῦ ἦρα τοῦ σημαίνοντος τὴν μετ' ἐπικουρίας χάριν ἐγένετο ἡ σύνθεσις. Ἄλλοι δὲ λέγουσιν, ὅτι ἀπὸ τοῦ Ἥρα τοῦ σημαίνοντος τὴν δαίμονα ἐγένετο Ἡροκλέης κατὰ τροπὴν τοῦ ᾱ εἰς τὸ ο̄, ὥσπερ Ἡρόδοτος Ἡρόδικος Ἡρόφιλος, καὶ ἀπὸ τοῦ Ἡροκλέης ἐγένετο Ἡρακλέης μεταβληθέντος τοῦ ο̄ εἰς τὸ ᾱ βραχύ, ὥσπερ κυνόμυια κυνάμυια, ποδονίπτρα ποδανίπτρα. Ἰστέον δὲ ὅτι καὶ οὗτοι καλῶς λέγουσι καὶ οἱ εἰρηκότες ἀπὸ τοῦ Ἥρα καὶ τοῦ ἀκλεής τὴν σύνθεσιν· οἱ γὰρ

[Discr. scr. ex NCVP] **1** *exemplis add* Πολυδεύκης Πολυνείκης V ‖ **4** καὶ Εὐσεβής *om* NC ‖ **5** καλοετής VP *et EM 435, 4 adn. 435, 43*, κακοετής NC ‖ **9** ἦρα P, ἥρα NCV ‖ **13** ἥρα VP ‖ **14** τινὲς *om* NCVP ‖ **16** ἦρα V, ἤρα NC, ἧρα P *et sic postea plerumque* ‖ **24** οὗ τοῦ ἀφήσω N ‖ **25** κέρτρον N ‖ **26** τὸ *om* NC ‖ **27** παρὰ ἴωσι NC | δασύνεται VP, δασεῖα NC ‖ **29** τὴν P, τὸν NCV; *item v. 33* ‖ **34** *ante* Ἡρόδοτος *add* Ἥρα NC | Ἡρόδικος CP, ἡράδιος N, ἡρόνικος V ‖ **37** τοῦ *ante* ἀκλ. *om* NC

ἄλλοι οὐ πάνυ εἰρήκαςιν ἀκριβῶς. Ταῦτα μὲν περὶ τῆς ςυνθέςεως τοῦ Ἡρακλέης.

Δεῖ δὲ καὶ τοῦτο προςθεῖναι, ὅτι τὰ παρὰ τὸ κλέος ςύνθετα, εἰ μὲν γένωνται εἰς ης, τὴν ποςότητα τῶν ςυλλαβῶν φυλάττουςι τοῦ οὐδετέρου, οἷον ἀκλεής δυςκλεής Ἡρακλέης Σοφοκλέης· ἰδοὺ ταῦτα τὴν ποςότητα τῶν ςυλλαβῶν ἐφύλαξαν τοῦ οὐδετέρου, τουτέςτι τὴν διςυλλαβίαν τοῦ κλέος, ἐὰν δὲ γένωνται εἰς ος, μίαν ςυλλαβὴν ςυγκόπτουςι τουτέςτι τὸ ε, οἷον Πάτροκλος Ἔχεκλος Φέρεκλος, καὶ ταῦτα τῶν ἄλλων τῶν εἰς ος οὐδετέρων φυλαττόντων τὴν ποςότητα τῶν ςυλλαβῶν ἐν τῇ ςυνθέςει, κἂν εἰς ης γένωνται κἂν εἰς ος, οἷον ςθένος ἀςθενής, γένος εὐγενής, ῥῖγος δύςριγος, ξίφος ἄξιφος, χεῖλος ἀγκυλόχειλος· μόνα τὰ παρὰ τὸ κλέος ςύνθετα εἰς ος γινόμενα ςυγκόπτουςι τὸ ε, Πάτροκλος Ἔχεκλος Φέρεκλος. Ταῦτα δὲ παρὰ τὸ κλέος ςύνθετα εἰς ης γινόμενα εἰς ους ἔχουςι τὴν γενικήν, οἷον Ἡρακλέης Ἡρακλέους, Σοφοκλέης Σοφοκλέους, ἀκλεής ἀκλεοῦς, δυςκλεής δυςκλεοῦς, ἀγακλεής ἀγακλεοῦς· ἔχομεν γὰρ κανόνα, ὅτι τὰ εἰς ης παρʼ οὐδετέρων ςυντεθειμένα δηλονότι κατὰ τὸ τέλος εἰς ους ἔχουςι τὴν γενικήν, χωρὶς εἰ μὴ χαρακτὴρ κωλύςῃ, οἷον ςθένος Δημοςθένης Δημοςθένους, γένος Διογένης Διογένους, νεῖκος Πολυνείκης Πολυνείκους, ἦθος κακοήθης κακοήθους· πρόςκειται «εἰ μὴ χαρακτὴρ κωλύςῃ» διὰ τὸ Ἀμέλης Ἀμέλητος (ἔςτι δὲ ὄνομα ποταμοῦ) καὶ ἀμένης ἀμένητος (ςημαίνει δὲ τὸν παῖδα παρὰ τὸ μὴ ἔχειν μένος)· ταῦτα γὰρ παρʼ οὐδετέρων εἰςὶ ςυντεθειμένα, φημὶ δὴ παρὰ τὸ μέλος καὶ τὸ μένος, καὶ ὅμως οὐκ ἔχουςι τὴν γενικὴν εἰς ους· τινὲς δὲ τὸ ἀμένης θέλουςι λέγειν ἀπὸ τοῦ ὑμήν ὑμένος ὑμένης, καὶ κατὰ τροπὴν Αἰολικὴν τοῦ υ εἰς τὸ α ἀμένης· ποίῳ δὲ χαρακτῆρι ταῦτα ὑποπεπτώκαςιν, ἐν τῇ περὶ τοῦ Δημοςθένης διδαςκαλίᾳ μεμαθήκαμεν.

Κλίςις τῆς ἐντελοῦς εὐθείας· Ἡρακλέης Ἡρακλέεος Ἡρακλέους καὶ Ἡρακλῆος ποιητικῶς· τοῦτο ἀπὸ τοῦ Ἡρακλέεος γέγονε κατὰ κρᾶςιν τῶν δύο εε εἰς τὸ η, οἷον ⟨Υ 145⟩ τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο. Ἡρακλέεϊ Ἡρακλέει καὶ Ἡρακλῆϊ· τοῦτο ἀπὸ τοῦ Ἡρακλῆος γέγονε τροπῇ τοῦ ος εἰς ι. Ἡρακλέεα Ἡρακλέα καὶ Ἡρακλέη καὶ ἀττικῶς Ἡρακλέην καὶ Ἡρακλῆα ποιητικῶς· ἰςτέον ὅτι εὐλόγως ἐγένετο Ἡρακλέα καὶ Ἡρακλέη διχῶς, ἐπειδὴ τοῦ ε φωνῆεν προηγεῖται ἐν τῷ Ἡρακλέεα, τουτέςτιν ἄλλο ε, καὶ λοιπόν, ὡς ἀνωτέρω μεμαθήκαμεν, τὸ ε καὶ τὸ α εἰς η κίρνανται καὶ εἰς α μακρόν, ὡς ἐπὶ τοῦ εὐφυέα εὐφυῆ καὶ εὐφυᾶ καὶ ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ· ἀττικῶς δὲ Ἡρακλέην γέγονεν, ἐπειδὴ ἀνωτέρω εἰρήκαμεν, ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων εἰς ν ποιοῦςι τὴν αἰτιατικὴν καὶ

[Discr. sch. ex NCVP] **3** καὶ *om* NC ‖ **4** μὲν γένωνται N, μεταγένωνται C, μὲν γένοιντο V, μὲν γένονται P ‖ **12** εἰς ος — ςύνθετα (**13**) P, *om* NCV ‖ **24** ἀπὸ τοῦ VP, *om* NC ‖ **27** μεμαθ.] *cfr. p. 166, 1 sqq.* ‖ **34** τοῦ ε VP, τὸ ε NC ‖ **35** μεμαθ.] *cfr. p. 174, 35* ‖ **36** εἰς η] εἰς ι N ‖ **37** ὑγιᾶ καὶ ὑγιῆ NC ‖ **38** εἰρήκαμεν] *cfr. p. 175, 19*

τὴν κλητικὴν εἰς η̄, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τὸν Δημοσθένην [180 g] ὦ Δημοσθένη· τὸ δὲ Ἡρακλῆα ἀπὸ τοῦ Ἡρακλῆϊ γέγονε τροπῇ τοῦ ῑ εἰς ᾱ. Ἡράκλεες Ἡράκλεις καὶ Ἥρακλες καὶ ἀττικῶς ὦ Ἡρακλέη· ἰστέον ὅτι τὸ μὲν Ἡράκλεες ὥσπερ τὸ ὦ Δημόσθενες ἐστί, τὸ δὲ Ἡράκλεις ἀπὸ τοῦ Ἡράκλεες κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον, τὸ δὲ Ἥρακλες ἀπὸ τοῦ Ἡράκλεες γέγονε κατὰ συγκοπὴν τοῦ ε̄, τὸ δὲ ὦ Ἡρακλέη Ἀττικόν ἐστιν, ὥσπερ τὸ ὦ Δημοσθένη. Δυϊκά. Ἡρακλέεε Ἡρακλέη καὶ Ἡρακλῆε, Ἡρακλεέοιν Ἡρακλεοῖν καὶ Ἡρακλήοιν, Ἡρακλέεε Ἡρακλέη καὶ Ἡρακλῆε. Πληθυντικά. Ἡρακλέεες Ἡρακλέεις Ἡρακλῆες, Ἡρακλεέων Ἡρακλεῶν Ἡρακλήων· ἰστέον ὅτι διὰ τοῦτο τὸ Ἡρακλήων οὐ περισπᾶται, ἐπειδὴ οὐ γέγονεν ἐπὶ αὐτοῦ κατὰ τὸ τέλος ἡ κρᾶσις ἀλλὰ κατὰ τὴν παραλήγουσαν· τὰ γὰρ δύο εε εἰς η̄ ἐκράθησαν. Ἡρακλέεσι καὶ Ἡρακλῆσι· δεῖ γινώσκειν, ὅτι τὸ Ἡρακλῆσιν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν τῆς Ἡρακλῆϊ γέγονε προσθέσει τοῦ ς̄· οὐκ ἔστι δὲ ἡ δοτικὴ τῶν ἑνικῶν Ἡρακλεῖϊ διὰ τῆς ει διφθόγγου, ἵνα καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν Ἡρακλεῖσι γένηται διὰ τῆς ει διφθόγγου. Ἡρακλέεας Ἡρακλέεις ὁμοφώνως τῇ εὐθείᾳ τῶν πληθυντικῶν καὶ Ἡρακλῆας ποιητικῶς καὶ Ἡρακλέας κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς ᾱ μακρόν. Ἡρακλέεες Ἡρακλέεις Ἡρακλῆες.

Κλίσις τῆς συνῃρημένης εὐθείας· ὁ Ἡρακλῆς τοῦ Ἡρακλέος Ἡρακλοῦς· ἰστέον δὲ ὅτι ἡ Ἡρακλοῦς γενικὴ οὐχ εὑρίσκεται ἐν χρήσει. Ἡρακλέϊ Ἡρακλεῖ· Ἡρακλέα Ἡρακλῆ καὶ ἀττικῶς Ἡρακλῆν, ὥσπερ Δημοσθένην. Ὦ Ἥρακλες καὶ ἀττικῶς ὦ Ἡρακλῆ, ὥσπερ καὶ Δημοσθένη. Δυϊκά. Ἡρακλέε Ἡρακλῆ, Ἡρακλέοιν Ἡρακλοῖν, Ἡρακλέε Ἡρακλῆ. Πληθυντικά. Ἡρακλέες Ἡρακλεῖς καὶ ἀττικῶς Ἡρακλαῖ· ἰστέον ὅτι οἱ Ἀττικοὶ ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων καὶ ἐπὶ τῶν παρὰ τὸ ἔτος εἰς τὴν αι δίφθογγον ποιοῦσι τὴν εὐθεῖαν τῶν πληθυντικῶν καὶ διὰ τοῦ ᾱ τὴν αἰτιατικὴν αὐτῶν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους οἱ Δημοσθέναι τοὺς Δημοσθένας. Ἡρακλέων Ἡρακλῶν· [181 g] Ἡρακλέσι μόνως, ὡς Δημοσθένεσι· Ἡρακλέας Ἡρακλεῖς καὶ ἀττικῶς Ἡρακλᾶς, ὥσπερ Δημοσθένας· Ἡρακλέες Ἡρακλεῖς.

[Discr. scr. ex NCVP] **3** *post* εἰς ᾱ *add*: ἐν τῷ ἀντιγράφῳ εὗρον «εἰς ᾱ μακρόν» VP | Ἥρακλες *vocativum a contracto nominativo derivatum dicunt* VP ‖ **4** τὸ *ante* ὦ Δημ. *om* NC ‖ **8** Δυϊκά *om* NC ‖ **9** καὶ *ante* Ἡρακλῆε *om* N | Πληθ.] ἡ εὐθεῖα τῶν πληθυντικῶν NC; *item v. 25* ‖ **15** δὲ *om* NC ‖ **18** Ἡρακλέας] Ἡρακλᾶς NC; *hanc formam om* VP ‖ **21** δὲ *om* NC ‖ **24** Δυϊκά] ἡ εὐθεῖα τῶν δυϊκῶν NC ‖ **25** Ἡρακλαῖ] Ἡρακλαί NC, Ἡράκλαι VP ‖ **31** Ἡρακλᾶς C, Ἡρακλάς N, Ἡράκλας VP | *post* Ἡρακλεῖς *add* καὶ ὦ Ἡράκλαι ἀττικῶς VP

Κανὼν ζ'.

Ὁ Πάρις τοῦ Πάριδος.

Μετὰ τὸ η̄ φωνῆέν ἐστι τὸ ῑ· εἰκότως οὖν περὶ τῶν εἰς ῑς̄ τῶν ἐχόντων τὸ ῑ διαλαμβάνει ὁ τεχνικὸς κατὰ τὴν ἀκολουθίαν τῶν φωνηέντων. Ἔστι δὲ ὁ κανὼν περὶ τῶν εἰς ς̄ φύσει ληγόντων· πρόσκειται «εἰς ς̄ φύσει ληγόντων», ἐπειδὴ εὑρίσκομέν τινα ἀπὸ τῶν εἰς ῑν̄ τροπὴν ἀναδεξάμενα τοῦ ν̄ εἰς τὸ ς̄, οἷον δελφίν δελφίς, Σαλαμίν Σαλαμίς, ἀκτίν ἀκτίς, Τελχίν Τελχίς, ἴν ἴς (ἡ δύναμις)· ταῦτα δὲ οὐκ εἰσὶ φύσει εἰς ς̄ λήγοντα ἀλλ' εἰς ν̄· διὰ τοῦτο οὖν πρόσκειται «περὶ τῶν εἰς ς̄ φύσει ληγόντων», ἐπείπερ οὐ πρόκειται τῷ τεχνικῷ εἰπεῖν περὶ τῶν εἰρημένων δικαταλήκτων, ἀλλ' ὡς εἴρηται περὶ τῶν εἰς ς̄ φύσει ληγόντων. Ταῦτα οὖν τὰ εἰς ῑς̄ τῶν εἰς ς̄ φύσει ληγόντων μονοσύλλαβα ὄντα μακρὸν ἔχουσι τὸ ῑ καὶ προσθέσει τοῦ ο̄ς̄ κλίνονται, οἷον κίς κιός, ⟨Hesiod. Opp. 435⟩ ἀκίτατοι ἱστοβοῆες (κίς δέ ἐστιν ὁ σκώληξ), λίς λιός, ⟨P 109⟩ ὥστε λὶς ἠυγένειος· λῖες μέντοι λίεσσι παρὰ Ἀντιμάχῳ ⟨fragm. 89 K⟩ ἐπὶ τοῦ λέοντος· τὸ γὰρ λίς ὅτε ἐπὶ τῆς πέτρας, οἷον ⟨μ 79⟩ πέτρη γὰρ λίς ἐστιν (ἀντὶ τοῦ ὁμαλή) ἀπὸ τοῦ λίση κατὰ ἀποκοπὴν τοῦ η̄ ἐστὶν καὶ ἔστι πάντη ἄκλιτον· ταῦτα δὲ μακρὸν ἔχουσι τὸ ῑ. Τινὲς δὲ καὶ τὴν Διός γενικὴν ἀπὸ τῆς Δίς εὐθείας θέλουσι λέγειν τῆς εἰρημένης παρὰ τῷ Ῥίνθωνι· αὕτη δέ, ὡς ἐν τοῖς εἰς ε̄ῡς̄ σὺν θεῷ μαθησόμεθα, ἑτερόκλιτός ἐστιν, ἀπὸ γὰρ τῆς Ζεύς εὐθείας ἐστίν· οὐ γὰρ δύναται ἀπὸ τῆς Δίς εὐθείας εἶναι ἡ Διός γενική, ἐπειδὴ βραχὺ ἀεὶ ἔχει τὸ ῑ, οἷον ⟨B 2⟩ εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος· εἰ δ' ἦν ἀπὸ τῆς Δίς
182 g εὐθείας, ὤφειλε μακρὸν ἔχειν τὸ ῑ, ὥσπερ κίς κιός, λίς λιός· εἰ γὰρ καὶ εὕρηται τὸ λίς συνεσταλμένον ἔχον τὸ ῑ [ὡς ἐπὶ τοῦ ὥστε λὶς ἠυγένειος] ποιητικῶς, ὡς παρ' Εὐφορίωνι ἐν Μοψοπίᾳ, ὡς ἐπὶ τοῦ οἱ ἐπιθύουσι βῶν λίες ⟨Mein. Anall. Alexandr. p. 63⟩, καὶ πάλιν κάπροι τε λίες τε ⟨Mein. l. l.⟩, ἀλλ' οὖν καὶ ἐκτεταμένον ἔχει αὐτό, ὡς ἐπὶ τοῦ λῖες μέντοι λίεσσι· ἡ δὲ Διός γενικὴ οὐδέποτε ἔχει αὐτὸ ἐκτεταμένον. Τούτων οὕτως ἐχόντων μόνον τὸ τίς τίνος διὰ τοῦ ν̄ κλίνεται καὶ οὐ διὰ καθαροῦ τοῦ ο̄ς̄· καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπειδὴ

[Discr. scr. ex NCVP] **1** ζ'] ϛ^{ος} N ‖ **2** τοῦ Πάριδος *om* NC ‖ **9** λήγοντα VP, *om* NC ‖ **10** πρόκ.] πρόσκειται NC ‖ **14** ἀκίτατοι *HStadtmüllerus*, ἀκιότατοι N, οἰκιότατοι C, ἀκιώτατοι *edd. Hesiod.*, *exemplum hic om* VP ‖ **15** μέντοι NCVP, μέν τε *LDindorfius et OSchneiderus*, μέν ῥα *AMeinekius* ‖ **16** Ἀντιμάχῳ NCVP, *Callimacho tribuit* (*fragm. 329*) *OSchneiderus* ‖ **23** ἀεὶ ἔχει P, δεῖ ἔχειν NC, ἔχει V | πανύχιοι N ‖ **25** κῖς N | λίς λιός — λίεσσι (**30**) NC, οἷον ἀκιότατοι ἱστοβοῆες, λὶς λιός, λῖες μέντοι λίεσσι . τοῦτο δὲ καὶ συνεσταλμένον εὑρίσκεται, ὡς ἐπὶ τοῦ ὥστε λὶς ἠυγένειος VP ‖ **27** Εὐφ. ἐν Μοψ. *Mein.*, ἐμφορίωνι ἐν μομψοπία NC | οἱ — λίες (**28**) NC, οἱ δ' ἐπιθύουσιν βουσὶν λίες *Mein.*, ὅτ' ἐπιθύουσι βωσὶ λίες *LDindorfius*, οἱ ἐπιθύουσιν βουσὶ λίες *Lentzius*, οἷοι ἐπιθύουσι βοῶν λίες *OSchneiderus* ‖ **30** λῖες — λίεσσι] *cfr. v. 15* ‖ **32** ἐπειδὴ ὅτι *traiciunt* NC

τοῦτο cυcτέλλει τὸ ῑ, τῶν εἰc ῑc μονοcυλλάβων ἐκτεινόντων αὐτό, οἷον κίc λίc, εἰκότωc ὡc διαλλάξαν περὶ τὸν χρόνον διήλλαξε καὶ περὶ τὴν κλίcιν· τὸ γὰρ ῥίc ῥινόc καὶ θίc θινόc διὰ τοῦ ν̄οc κλινόμενα οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰcὶ φύcει εἰc c̄· ταῦτα γὰρ δικατάληκτά εἰcιν, οἷον ῥίc καὶ ῥίν, θίc καὶ θίν· cημαίνει δὲ καὶ τὸν αἰγιαλὸν καὶ τὸν cωρὸν εἴτε χρημάτων εἴτε λίθων εἴτε ἑτέρων τινῶν τοιούτων· ἀλλ' ἡνίκα μὲν τὸν αἰγιαλὸν cημαίνει, θηλυκῶc λέγεται, ἡνίκα δὲ τὸν cωρόν, ἀρcενικῶc, οἷον ἐπὶ μὲν τοῦ αἰγιαλοῦ, ⟨Α 350⟩ θῖν' ἐφ' ἁλὸc πολιήν, ἐπὶ δὲ τοῦ cωροῦ, ⟨μ 45⟩ πολὺc δ' ἀμφ' ὀcτεόφιν θίc, τουτέcτι cωρόc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι πᾶν ὄνομα μονοcύλλαβον μακροκαταληκτεῖν θέλει εἴτε φύcει εἴτε θέcει, φύcει μέν, οἷον Γρᾶc πᾶc Κρήc Τρώc cήc (ὁ cκώληξ) νοῦc παῖc βοῦc, θέcει δέ, οἷον νύξ Cτύξ φλόξ Φρύξ ἅλc. Δεῖ προcθεῖναι «χωρὶc τοῦ τίc», τοῦτο γὰρ cυcτέλλει τὸ ῑ, «καὶ χωρὶc τοῦ πόc», ὅπερ ἀπὸ τοῦ πούc γέγονε κατὰ ἀποβολὴν τοῦ ῡ, οἷον ὡc πὸc χειμαινομένοιcι, «καὶ τοῦ ἕν», οἷον ἓν πρᾶγμα, «καὶ τοῦ δέν», ὅπερ ἰcοδυναμεῖ τῷ τί, ὅπερ cυνεχῶc εὑρίcκεται μετὰ τῆc οὔ ἀποφά- 183 g cεωc καὶ τῆc μή ἀπαγορεύcεωc, οἷον οὐδέν μηδέν· «καὶ χωρὶc τοῦ ὅc», οἷον ὃc ἂν ἐθέλῃ μεινάτω με· ἔcτι δὲ ὄνομα ἀόριcτον ἰcοδυναμοῦν τῷ ὅcτιc· «καὶ χωρὶc τοῦ πάν παρ' Αἰολεῦcιν»· οἱ γὰρ Αἰολεῖc τοῦ πάν τὸ ᾱ cυcτέλλουcι· «καὶ χωρὶc τοῦ Δί», ὅπερ ἀπὸ τοῦ Δία γέγονε κατὰ ἀποκοπήν, ὅπερ καὶ μετὰ τοῦ νή ἐπιρρήματοc γίνεται νὴ Δία. Ταῦτα μὲν ἐν τούτοιc.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν, διατί τὸ τίc cυcτέλλει τὸ ῑ. Καὶ ἰcτέον ὅτι φηcὶν ὁ Ἀπολλώνιοc ⟨de pr. 27,27 Sch⟩ ἀcτείωc ἀπολογούμενοc, ὅτι διὰ τοῦτο τὸ τίc cυcτέλλει τὸ ῑ, ἐπειδὴ ἡ cύντομοc τῆc πεύcεωc ἀνάκριcιc τὸν μακρὸν χρόνον τοῦ ῑ παρῃτήcατο· ὁ γὰρ πυνθανόμενοc ἐν cυντόμῳ θέλει μαθεῖν καὶ οὐ διὰ μακροῦ χρόνου. Ἔcτι δὲ εἰπεῖν καὶ καταναγκαcτικὴν ἀπολογίαν τοιαύτην περὶ τοῦ τίc, ὅτι cυcτέλλει τὸ ῑ· ἰcτέον ὅτι τὸ τίc ἀναγκάζεται ἔχειν τριγένειαν, ἐπειδὴ πευcτικόν ἐcτι, τὰ δὲ πευcτικὰ ἐν τριγενείᾳ παραλαμβάνονται, οἷον ποῖοc ποία ποῖον, πόcοc πόcη πόcον, πηλίκοc πηλίκη πηλίκον, πόcτοc πόcτη πόcτον, ποδαπόc ποδαπή ποδαπόν· οὕτωc οὖν καὶ ὁ τίc ἡ τίc τὸ τί· τριγένειαν δὲ ἔχον εὐλόγωc cυcτέλλει τὸ ῑ, ἐπειδὴ τὰ εἰc c̄ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ c̄ τὸ οὐδέτερον ποιοῦντα cυνεcταλμένον ἔχει τὸ δίχρονον, οἷον ὁ λιπό-

---

[Discr. scr. ex NCVP] **1** εἰc *om* N ‖ **3** ἀντίκειται N ‖ **8** πολιῆc NCVP, *cfr. schol. ad* Α 350 (*Ven.*B): οἰκεῖον τῇ θινὶ τὸ πολιόν, τῷ δὲ πόντῳ τὸ ἄπειρον καὶ τὸ οἶνοψ ‖ **15** ὡc πὸc χειμαινομένοιcι NC *et EM 635,22*, *in* VP *22 fere litterarum vacuum spatium*; ὡc πὸc (ὥcποc N) ἔχει μαινομένοιcιν *infra* (*p. 248,28*g) *in* NC (*ubi* V *exemplum om*) *probantibus IBekkero et LDindorfio*; ᾧ πὸc ἄγ' ἱεμένοιcι *Lentzius e coniectura Lobeckii* (*Paral. p.86*); ⟨τέρματα δ'⟩ ὡc πὸc ἔχει τάχα μαιομένοιcιν ⟨ἐφάνθη⟩ *OSchneiderus, Callim. 2,727* ‖ **19** οἷον *om* NC | ἐθέλῃ NC, θέλῃ VP | δὲ *om* NC ‖ **20** ὅcτιc VP, τίc NC ‖ **21** πὰν P, πᾶν NCV ‖ **24** Καὶ *om* NC ‖ **33** τριγένει (*sic*) N ‖ **35** λιπόπατριc *etc.* C, λειπόπατριc *etc.* N, ὁ φιλόπολιc τὸ φιλόπολι, ὁ φιλόπατριc τὸ φιλόπατρι VP

πατρις τὸ λιπόπατρι, ὁ φυγόπολις τὸ φυγόπολι, ὁ ἄχαρις τὸ ἄχαρι, ὁ ταχύς τὸ ταχύ, ὁ βραδύς τὸ βραδύ, ὁ μέγας τὸ μέγα· οὕτως οὖν καὶ ὁ τίς καὶ τὸ τί διὰ συνεσταλμένου τοῦ ι̅· ὅθεν τὰ εἰς ι̅ς̅ τὰ ἔχοντα ἐκτεταμένον τὸ ῑ οὐ ποιοῦσι τριγένειαν, οἷον ὁ τανυκρήπις, ὁ μελαμψήφις. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι πολλαὶ ἀπορίαι φέρονται περὶ τοῦ τίς· ἔχουσι δὲ οὕτως. Εἰ ἄρα τὰ εἰς ι̅ς̅ τὰ διὰ τοῦ ν̅ο̅ς̅ κλινόμενα ἅπαντα δικατάληκτά εἰσιν, οἷον ἀκτίς ἀκτῖνος ἀκτίν, δελφίς δελφῖνος δελφίν, Σαλαμίς Σαλαμῖνος Σαλαμίν, Ἐλευσίς Ἐλευσῖνος Ἐλευσίν, Τελχίς Τελχῖνος Τελ-184 g χίν (Τελχῖνες δέ εἰσι δαίμονες οἰκήσαντες τὴν Ῥόδον), ῥίς ῥινός ῥίν, θίς θινός θίν, διατί τὸ τίς κλινόμενον διὰ τοῦ ν̅ο̅ς̅, οἷον τίνος, οὐκ ἔστι δικατάληκτον; Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι πάντα τὰ εἰς ι̅ς̅ δικατάληκτα μακρὸν ἔχουσι τὸ ῑ, οἷον δελφίς Σαλαμίς Ἐλευσίς· ἐπειδὴ οὖν τὸ τίς οὐκ ἔχει μακρὸν τὸ ῑ ἀλλὰ βραχύ, καὶ διατί δὲ προείρηται, εἰκότως οὐκ ἔστι δικατάληκτον. Πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν ἁπάντων ἀπὸ τοῦ π̅ ἀρχομένων, οἷον ποῖος πόσος πηλίκος πόστος ποδαπός, μόνον τὸ τίς ἀπὸ τοῦ τ̅ ἄρχεται; Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν αἰτίαν, ὅτι τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν, οἷον τίς ἐστι Σωκράτης, Πλάτων; τὰ δὲ ἄλλα πευστικὰ τῶν περὶ τὴν οὐσίαν εἰσὶ ζητητικά, οἷον τὸ ποῖος ποιότητος, τὸ πόσος ποσότητος, τὸ πηλίκος πηλικότητος, τὸ ποδαπός ἔθνους, τὸ πόστος τάξεως· ἐπειδὴ οὖν τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν, τῶν ἄλλων πευστικῶν ζητητικῶν ὄντων τῶν περὶ τὴν οὐσίαν, εἰκότως ὡς διαλλάξαν περὶ τὸ σημαινόμενον πρὸς τὰ ἄλλα πευστικὰ διήλλαξε καὶ περὶ τὴν ἀρχήν, καὶ οὐκ ἄρχεται ἀπὸ τοῦ π̅, τῶν ἄλλων ἀπὸ τοῦ π̅ ἀρχομένων. Πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν πάντων εἰς ο̅ς̅ ληγόντων, οἷον ποῖος πόσος πηλίκος πόστος ποδαπός, τὸ τίς μόνον οὐ λήγει εἰς ο̅ς̅ ἀλλ᾽ εἰς ι̅ς̅; Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· πάντα τὰ πευστικὰ ἀπὸ τοῦ π̅ ἄρχονται, οἷον ποῖος πόσος πηλίκος πόστος ποδαπός, τὸ ⟨δὲ⟩ τίς οὐκ ἄρχεται ἀπὸ τοῦ π̅· καὶ ἐπειδὴ διήλλαξε κατὰ τὴν ἄρχουσαν, εἰκότως διήλλαξε καὶ κατὰ τὴν λήγουσαν, καὶ οὐ λήγει εἰς ο̅ς̅ ἀλλ᾽ εἰς ι̅ς̅, τῶν ἄλλων πευστικῶν εἰς ο̅ς̅ ληγόντων· ἄλλως τε δὲ τὸ ὀφειλόμενον αὐτῷ, λέγω δὴ τὸ ο̅ς̅, οἱ Αἰολεῖς ἀναπληροῦσι τίος λέγοντες, ὡς παρὰ Σαπφοῖ ⟨fragm. 168 B[4]⟩ τίοισιν ὀφθαλμοῖσιν, ἀντὶ τοῦ τίσιν. Πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν ὑπερβαινόντων τὴν μονοσυλλαβίαν, οἷον ποῖος πόσος πηλίκος πόστος ποδαπός, τὸ τίς μονοσυλλαβεῖ; Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύ-185 g την, ὅτι τὸ κεχρεωστημένον αὐτῷ οἱ Αἰολεῖς ἀνεπλήρωσαν τίος λέγοντες,

[Discr. scr. ex NCVP] **4** τανυκρήπις NC, τανύκρυφις VP | μελαμψήφις *Lentzius*, μελανψήφις N, μελανήφις C, μελάντηφις VP ‖ **7** δικατάληκτα εἰσὶ δὲ οἷον N ‖ **14** δὲ *om* N ‖ **19** Πλάτων CVP, πάντως N ‖ **28** πευστικῶν *om* NC ‖ **28** τὴν — ἐπειδὴ (**30**)] ὅτι ὡς VP ‖ **30** δὲ *om* NC ‖ **33** τὸ ο̅ς̅ *Lentzius*, τὸ τὶς NC, τῷ τὶς VP ‖ **34** Σαπφοῖ VP, Σαμφοῖ N, Σαπφοῖν C ‖ **35** τίσιν P, τισὶν NV, τισί C | Πάλιν — ὀφθαλμοῖσιν (**194, 1**) *om* VP

ὡς παρὰ Σαπφοῖ τίοισιν ὀφθαλμοῖσιν· ἄλλως τε δὲ τὸ τίς οὐκ ἄρχεται ἀπὸ τοῦ π̄, τῶν ἄλλων πευστικῶν ἀπὸ τοῦ π̄ ἀρχομένων, οἷον ποῖος πόσος πηλίκος ποδαπός· ἐπειδὴ οὖν διήλλαξε κατὰ τὴν ἄρχουσαν πρὸς τὰ ἄλλα πευστικά, διήλλαξε καὶ κατὰ τὴν ποσότητα τῶν συλλαβῶν, καὶ τῶν ἄλλων ὑπερβαινόντων τὴν μονοσυλλαβίαν τοῦτο μονοσυλλαβεῖ. Πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε πάντων τῶν πευστικῶν μὴ ὄντων ζητητικῶν αὐτῆς τῆς οὐσίας ἀλλὰ τῶν περὶ τὴν οὐσίαν, οἷον τὸ ποῖος ποιότητος, τὸ πόσος ποσότητος, τὸ πηλίκος πηλικότητος, τὸ πόστος τάξεως, τὸ ποδαπός ἔθνους, μόνον τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν; ἐρωτώμενοι γὰρ τίς ἐστι; λέγομεν Σωκράτης, Πλάτων. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ πευστικὰ πάντα ὑπερβαίνουσι τὴν μονοσυλλαβίαν, οἷον ποῖος πόσος πηλίκος πόστος ποδαπός, τὸ δὲ τίς μονοσυλλαβεῖ· ἐπειδὴ οὖν διήλλαξε πρὸς τὰ ἄλλα περὶ τὴν ποσότητα τῶν συλλαβῶν, εἰκότως διήλλαξε καὶ περὶ τὸ σημαινόμενον. Πάλιν ἀποροῦσί τινες λέγοντες, εἰ ἄρα ἀπὸ τῶν εἰς ῑς̄ ἁπλῶν οὐδέποτε γίνεται οὐδετέρου παρασχηματισμός, οἷον ἀπὸ τοῦ μάντις, ἀπὸ τοῦ ὄφις, ἀπὸ τοῦ πόλις, οὔτε ἀπὸ τῶν ὁμοίων, διατί τὸ τίς ποιεῖ οὐδετέρου παρασχηματισμὸν τὸ τί; πρόσκειται «ἀπὸ τῶν εἰς ῑς̄ ἁπλῶν», ἐπειδὴ τὰ σύνθετα εἰώθασι ποιεῖν οὐδετέρου παρασχηματισμόν, οἷον ὁ εὔπατρις τὸ εὔπατρι, ὁ φυγόπολις τὸ φυγόπολι, ὁ εὔχαρις τὸ εὔχαρι· τὸ τρόφι ἁπλοῦν, οἷον ⟨Λ 307⟩ πολλὸν δὲ τρόφι κῦμα (καὶ σημαίνει τὸ εὐτραφές), μηδεὶς οἰέσθω ἀπὸ τοῦ τρόφις ἀρσενικοῦ εἶναι, ἀλλ᾽ ἢ ἀπὸ τοῦ τρόφιμον γέγονε κατὰ ἀποκοπήν, ἢ ἀπὸ τοῦ εὔτροφις ἀρσενικοῦ συνθέτου γέγονεν εὔτροφι, ὥσπερ λιπόπατρις λιπόπατρι, καὶ κατ᾽ ἔλλειψιν τοῦ ε̄ῡ τρόφι, ὥσπερ καὶ ἐπὶ τοῦ ⟨Λ 9⟩ εἴρυσαν ἠνορέῃ, ἀντὶ γὰρ ⟨τοῦ⟩ εὐηνορέῃ. Ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὸ τίς διὰ τοῦτο ποιεῖ οὐδετέρου παρα- 186 g σχηματισμόν, ἐπειδὴ πευστικόν ἐστι, πάντα δὲ τὰ πευστικὰ ἐν τριγενείᾳ θέλουσι παραλαμβάνεσθαι, οἷον ποῖος ποία ποῖον, πόσος πόση πόσον, πηλίκος πηλίκη πηλίκον, πόστος πόστη πόστον, ποδαπός ποδαπή ποδαπόν· οὕτως οὖν καὶ ὁ τίς ἡ τίς καὶ τὸ τί. Πάλιν ἀποροῦσί τινες λέγοντες, εἰ ἄρα τὰ εἰς ῑς̄ μονοσύλλαβα διὰ καθαροῦ τοῦ ο̄ς̄ κλίνονται, οἷον κίς κιός, λίς λιός (σημαίνει δὲ τὸν λέοντα), διατί τὸ τίς οὐ κλίνεται διὰ καθαροῦ τοῦ ο̄ς̄, οἷον τιός, ἀλλὰ τίνος; Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰς ῑς̄ μονοσύλλαβα μακρὸν ἔχουσι τὸ ῑ, οἷον κίς λίς, τὸ δὲ τίς βραχὺ ἔχει τὸ ῑ· ἐπειδὴ οὖν διήλλαξε περὶ τὸν χρόνον, εἰκότως διήλλαξε καὶ περὶ τὴν κλίσιν. Ταῦτα μὲν ἐν τούτοις.

Κανονίζει δὲ ὁ τεχνικὸς τὸ Πάρις Πάριδος, λέγων ὅτι τὰ εἰς ῑς̄ κύρια διὰ τοῦ δ̄ο̄ς̄ κλίνονται εἴτε ἀρσενικὰ ὦσιν εἴτε θη-

---

[Discr. scr. ex NCVP] **1** Σαμφοῖ N, Σαπφοῖν C ‖ **3** οὖν *om* NC ‖ **9** μόνον *om* NC ‖ **12** οἷον — ποδαπός *om* N ‖ **13** οὖν *om* NC ‖ **18** πρόσκειται — εὐηνορέῃ (**25**) *om* VP ‖ **21** πολλῶν NC ‖ **24** λειπόπατρις λειπόπατρι N | ὥσπερ καὶ] ὅπερ καὶ NC ‖ **25** ἤρυσαν ἠνορέην, ἀντὶ γὰρ εὐηνορέην NC ‖ **27** τριγενίᾳ N ‖ **30** Πάλιν — τούτοις (**36**) *om* VP ‖ **37** *in marg. add* κανὼν ζος. ὁ πάρις N[1]

λυκά, οἷον Πάρις Πάριδος, Ἄδωνις Ἀδώνιδος, Θέογνις Θεόγνιδος, Ἄθηνις Ἀθήνιδος, Θέτις Θέτιδος, Μέμφις Μέμφιδος, Κύπρις Κύπριδος· «κύρια» προςέθηκε διὰ τὰ ἐπίθετα καὶ τὰ προςηγορικά· ἐπίθετα μὲν διὰ τὸ μάντις μάντιος, προςηγορικὰ δὲ διὰ τὸ ὄφις ὄφιος. Ἰςτέον δὲ ὅτι κύρια μέν εἰςι τὰ τὴν ἰδίαν ςημαίνοντα οὐςίαν, οἷον Πλάτων Ὅμηρος, προςηγορικὰ δὲ τὰ τὴν κοινὴν οὐςίαν δηλοῦντα, οἷον ἄνθρωπος ἵππος, ἐπίθετα δὲ τὰ ἐπιτιθέμενα κυρίοις ἢ προςηγορικοῖς, οἷον ςοφός ταχύς, οἷον ὁ ςοφὸς Τρύφων, ὁ ταχὺς ἵππος. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦςι δέ τινες λέγοντες, τίνος χάριν ςυνέμιξε τοῖς ἀρςενικοῖς ὁ τεχνικὸς τὰ θηλυκὰ ἐν τῷ προειρημένῳ κανόνι εἰπών «εἴτε ἀρςενικὰ ὦςιν εἴτε θηλυκά»; Καὶ ἔςτιν εἰπεῖν, ὅτι ἐπειδὴ ἡ αὐτὴ κλίςις ἐςτὶν ἐπ' ἀμφοτέρων καὶ ὁ αὐτὸς κανὼν τῶν εἰς $\overline{\text{ις}}$ κυρίων τῶν τε ἀρςενικῶν καὶ θηλυκῶν, τούτου χάριν ςυνέμιξε τοῖς ἀρςενικοῖς καὶ τὰ θηλυκά· εἰ δέ τις ἀπορήςοι, εἴγε ἡ αὐτὴ κλίςις ἐςτὶν ἐπ' ἀμφοτέρων καὶ ὁ αὐτὸς κανών, διατί πάλιν ἐν τοῖς θηλυκοῖς ἐκανόνιςε τὰ εἰς $\overline{\text{ις}}$ θηλυκά; λέγομεν, ὅτι ἐκεῖ ἄλλα ἐκανόνιςε καὶ οὐ τὰ κύρια, ὡς ἐκεῖςε γενόμενοι εἰ θεῷ φίλον μαθηςόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

187 g Προςτίθηςι δὲ ὁ τεχνικός· τὰ ἐν τοῖς θηλυκοῖς ςεςημειωμένα ὕςτερον ἐροῦμεν· εἰςὶ δὲ ταῦτα, Χάρυβδις Χαρύβδεως, Cάρδις Cάρδεως· ταῦτα γὰρ οὐκ ἐκλίθηςαν διὰ τοῦ $\overline{\text{δος}}$ διὰ τὴν κακοφωνίαν, εὑρίςκετο γὰρ ἀλλεπάλληλον τὸ $\overline{\text{δ}}$, ὅπερ ἐςτὶ κακόφωνον. Τούτοις ἠκολούθηςε κατὰ τὴν κλίςιν καὶ τὸ Τράλλις Τράλλεως (ἔςτι δὲ ὄνομα πόλεως Ἰωνικῆς)· ἔτι ςεςημείωται καὶ τὸ Cκῆψις Cκήψεως καὶ τὸ Ἐπίςκηψις Ἐπιςκήψεως (ὀνόματα δέ εἰςι ταῦτα πόλεων Τρωϊκῶν) καὶ τὸ Λάχεςις Λαχέςεως καὶ τὸ Νέμεςις Νεμέςεως καὶ τὸ Ἐπίκτηςις Ἐπικτήςεως (εἰςὶ δὲ ταῦτα ὀνόματα κύρια)· ταῦτα δὲ διὰ καθαροῦ τοῦ $\overline{\text{ως}}$ κλίνονται καὶ οὐ διὰ τοῦ $\overline{\text{δος}}$, ἐπειδὴ ταῦτα κύρια ὄντα ὡμοφώνηςαν τοῖς προςηγορικοῖς καὶ τὴν τῶν προςηγορικῶν κλίςιν ἀνεδέξαντο· τὸ γὰρ ςκῆψις ςημαίνει τὴν πρόφαςιν, τὸ δὲ ἐπίςκηψις τὴν παραγγελίαν, τὸ δὲ ἐπίκτηςις τὸ πλέον τι κτήςαςθαι, τὸ δὲ λάχεςις τὸν κλῆρον, τὸ δὲ νέμεςις τὴν κατάγνωςιν ἤγουν τὴν μέμψιν· εἰκότως οὖν τὰ κύρια ὁμοφωνήςαντα, ὡς εἴρηται, τοῖς προςηγορικοῖς καὶ τὴν κλίςιν αὐτῶν, φημὶ δὴ τῶν προςηγορικῶν, ἀνεδέξαντο καὶ διὰ καθαροῦ τοῦ $\overline{\text{ως}}$ ἐκλίθηςαν ὁμοίως τοῖς προςηγορικοῖς· τὰ δὲ προςηγορικὰ τῶν εἰς $\overline{\text{ις}}$ διὰ καθαροῦ τοῦ $\overline{\text{ως}}$ κλίνονται τῷ κανόνι τοῦ ὄφις ὄφεως, ὃν μέλλομεν ἐν τοῖς ἑξῆς λέγειν· τὸ δὲ Ζεῦξις ἡνίκα μὲν προςηγορικόν ἐςτι διὰ καθαροῦ τοῦ $\overline{\text{ως}}$ κλίνεται, οἷον Ζεῦξις Ζεύξεως, ἡνίκα δὲ κύριόν ἐςτι διὰ τοῦ $\overline{\text{δος}}$ κλίνεται, οἷον Ζεῦξις Ζεύξιδος. Ἄξιον δέ ἐςτι ζητῆςαι, διατί ὥς-

[Discr. scr. ex NCVP] **2** Ἀθῆνις NC ‖ **11** ἐπειδὴ *om* NC ‖ **12** ὁ αὐτὸς VP, αὐτὸς ὁ NC ‖ **16** ἐκεῖ *om* N | οὐ *om* NC | εἰ — φίλον (**17**) *om* NC ‖ **18—196, 32**] *pro omnibus genetivis in* εως *exeuntibus, quales* VP *habent*, NC *praebent* ιος, *ut* Χαρύβδιος Cάρδιος *etc., itemque pro* $\overline{\text{ως}}$ NC *ubique habent* $\overline{\text{ος}}$; *ex p. 196, 33 sqq. autem apparet, in plerisque nominibus propriis in* $\overline{\text{ις}}$ *exeuntibus formam genetivi* εως *usitatam putasse Choeroboscum; cfr. etiam p. 198, 2*

περ τὸ Λάχεcις καὶ τὸ Cκῆψις καὶ τὰ ὅμοια ὁμοφωνήcαντα τοῖc προcηγορικοῖc τὴν αὐτὴν κλίcιν ἀνεδέξαντο καὶ διὰ καθαροῦ τοῦ ωc ἐκλίθηcαν, μὴ καὶ τὸ Ζεῦξις Ζεύξιδος ὁμοφωνῆcαν τῷ προcηγορικῷ τὴν τοῦ προcηγορικοῦ κλίcιν ἀνεδέξατο καὶ διὰ καθαροῦ τοῦ ωc ἐκλίθη ὁμοίωc τῷ προcηγορικῷ. Καὶ ἔcτιν εἰπεῖν, ὅτι τὸ Λάχεcις καὶ τὸ Cκῆψις καὶ τὰ ὅμοια κύρια τοῦ αὐτοῦ γένουc εἰcὶν οὕτινόc εἰcι καὶ τὰ προcηγορικά, ὅλα γὰρ θηλυκά εἰcι, τὸ δὲ Ζεῦξις τὸ κύριον οὐκ ἔcτι τοῦ αὐτοῦ γένουc οὗπερ καὶ τὸ προcηγορικόν ἐcτι· τὸ μὲν γὰρ κύριον ἀρcενικόν ἐcτιν, οἷον ὁ Ζεῦξις, τὸ δὲ προcηγορικὸν θηλυκόν ἐcτιν, 155 a οἷον ἡ ζεῦξις· ἐπειδὴ οὖν διήλλαξε περὶ τὸ γένοc, εἰκότωc καὶ περὶ τὴν κλίcιν διήλλαξεν. Ταῦτα μὲν ἐν τούτοιc.

Τὸ δὲ Ξόϊc Ξόεωc καὶ Cόϊc Cόεωc καὶ Θμόϊc Θμόεωc καὶ Ταμίαθιc Ταμιάθεωc ὀνόματά εἰcι πόλεων Αἰγυπτίων, καὶ τούτου χάριν διὰ καθαροῦ τοῦ ωc κλίνονται· τὰ γὰρ εἰc ιc ὀνόματα Αἰγύπτια ὡc ἐπὶ τὸ πλεῖcτον διὰ καθαροῦ τοῦ ωc κλίνονται, ὡc ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων ἐδείξαμεν· πρόcκειται «ὡc ἐπὶ τὸ πλεῖcτον» διὰ τὸ Μέμφιc Μέμφιδοc καὶ Βούcιριc Βουcίριδοc· ταῦτα γὰρ ὀνόματα Αἰγύπτιά εἰcι καὶ ὅμωc διὰ τοῦ δοc κλίνονται· τὸ δὲ Μέμφιδοc εἴρηται παρά τιcι καὶ Μέμφεωc οὐκ ἀκριβῶc· τὸ δὲ Χρυcόπολιc Χρυcοπόλεωc καὶ Καλλίπολιc Καλλιπόλεωc διὰ καθαροῦ τοῦ ωc κλίνονται, ἐπειδὴ τὰ παρὰ τὸ πόλιc cύνθετα, ἐὰν μὲν θηλυκοῦ μόνου γένουc γένωνται, τὴν τοῦ ἁπλοῦ κλίcιν φυλάττουcι, τουτέcτι διὰ καθαροῦ τοῦ ωc κλίνονται, οἷον πόλιc πόλεωc, ἀκρόπολιc ἀκροπόλεωc, Καλλίπολιc Καλλιπόλεωc, Χρυcόπολιc Χρυcοπόλεωc, Ἀμφίπολιc Ἀμφιπόλεωc, μητρόπολιc μητροπόλεωc, Νικόπολιc Νικοπόλεωc, ἐὰν δὲ ἀρcενικοῦ μόνου γένουc γένωνται ἢ καὶ ἀρcενικοῦ καὶ θηλυκοῦ, διὰ τοῦ δοc κλίνονται, ἀρcενικοῦ μὲν γένουc, οἷον ὁ Cώπολιc τοῦ Cωπόλιδοc (ἔcτι δὲ ὄνομα κωμικοῦ), ὁ Ἀγηcίπολιc τοῦ Ἀγηcιπόλιδοc (ἔcτι δὲ ὄνομα cτρατηγοῦ τῶν Ἀθηναίων· τοῦτο δὲ καὶ Ἀγηcιπόλεωc εὕρηται παραλόγωc), ἀρcενικοῦ δὲ καὶ θηλυκοῦ, οἷον ὁ φυγόπολιc καὶ ἡ φυγόπολιc τοῦ φυγοπόλιδοc καὶ τῆc φυγοπόλιδοc, ὁ ἄπολιc καὶ ἡ ἄπολιc τοῦ ἀπόλιδοc καὶ τῆc ἀπόλιδοc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι cημειοῦνται ὁ Ὧροc καὶ ὁ Ἀρκάδιόc τινα εἰc ιc κύρια ὀνόματα διὰ καθαροῦ τοῦ οc κλινόμενα· εἰcὶ δὲ ταῦτα, Ζῆνιc Ζήνιοc, Ὄφιc Ὄφιοc, Cέντιc Cέντιοc, Πόλλιc Πόλλιοc, Ἀνάχαρcιc Ἀναχάρcιοc, Cύβαριc Cυβάριοc, Τράλλιc Τράλλιοc, Τάξιc Τάξιοc, Ἆγιc Ἄγιοc καὶ Ἄγιδοc, Θύμβριc Θύμβριοc καὶ Θύμβριδοc, Ἀγηcίπολιc Ἀγη-

---

[Discr. scr. ex NCVP] **14** τὰ γὰρ — κλίνονται (**15**) *om* VP ‖ **16** ἐδείξαμεν *om* NC ‖ **17** Ὄcιριc Ὀcίριδιc *exemplum add* VP ‖ **20** Καλλιούπολιc V; *item v. 23* ‖ **23** Χρυcούπολιc V ‖ **28** *ante* cτρατ. *add* τοῦ NC ‖ **30** ὁ φιλόπολιc καὶ ἡ φιλόπολιc τοῦ φιλοπόλιδοc καὶ τῆc φιλοπόλιδοc *exemplum add* VP ‖ **33** cημειοῦται NC ‖ **35** ὄφιc ὄφιοc CVP, ἶφιc ἴφιοc N | πόλιc πόλιοc NCVP ‖ **36** Τάξιc Τάξιοc *om* VP ‖ **37** Θύμβριc — Θύμβριδοc VP, Θύμυριc Θυμύριοc καὶ Θυμύριδοc NC

ϲιπόλιοϲ καὶ Ἀγηϲιπόλιδοϲ, Γάοζιϲ Γαόζιοϲ· εὑρέθη δὲ καὶ τοῦ Βούϲιριϲ
189 g ἡ δοτικὴ τῷ Βουϲίρι, ὡϲ ἀπὸ τοῦ Βουϲίριοϲ Βουϲίριι, καὶ κατὰ κρᾶϲιν τῶν δύο ιι εἰϲ ἓν ι μακρὸν Βουϲίρι, ὥϲπερ ὄφιϲ ὄφιοϲ ὄφιι ὄφι καὶ Κλέοβιϲ Κλεόβιοϲ Κλεόβιι Κλεόβι, κατὰ κρᾶϲιν τῶν δύο ιι εἰϲ ἓν μακρόν. Τὸ δὲ Πάριοϲ καὶ Θέτιοϲ Ἰωνικά· ἐπειδὴ γὰρ οἱ Ἴωνεϲ εὑρίϲκουϲί τινα εἰϲ ιϲ διὰ καθαροῦ τοῦ οϲ κλινόμενα, ὡϲ ἐπὶ τοῦ μάντιϲ μάντιοϲ καὶ ὄφιϲ ὄφιοϲ, τούτου χάριν καὶ ἐπὶ τῶν κλινομένων διὰ ϲυμφώνου ποιοῦνται τὴν γενικὴν διὰ καθαροῦ τοῦ οϲ παρεῶντεϲ τὸ ϲύμφωνον, ἵνα μιμήϲωνται τὰ ἄλλα, φημὶ δὴ τὰ κλινόμενα διὰ καθαροῦ τοῦ οϲ, οἷον Πάριδοϲ Πάριοϲ, Θέτιδοϲ Θέτιοϲ, ⟨Ο 598⟩ Θέτιοϲ δ' ἐξαίϲιον ἀρήν, ἐξ οὗ τὸ Θέτιι καὶ κατὰ κρᾶϲιν τῶν δύο ιι εἰϲ ἓν δηλονότι μακρὸν Θέτι, ⟨Ϲ 407⟩ πάντα Θέτι καλλιπλοκάμῳ, Ἀδώνιδοϲ Ἀδώνιοϲ· οὐκ ἐπὶ πάντων δὲ τοῦτο ποιοῦϲιν, ἐπὶ γὰρ τῶν εἰϲ ιϲ ὀξυτόνων οὐκ ἀποβάλλουϲι τὸ δ, οἷον κνημίϲ κνημῖδοϲ, ἀψίϲ ἀψῖδοϲ, Χρυϲηίϲ Χρυϲηίδοϲ· καὶ διατί ἐπὶ μὲν τῶν εἰϲ ιϲ ὀξυτόνων οὐκ ἀποβάλλουϲι τὸ δ κατὰ τὴν γενικὴν οἱ Ἴωνεϲ, ἐπὶ δὲ τῶν εἰϲ ιϲ βαρυτόνων ἀποβάλλουϲιν αὐτό, ἐν τοῖϲ θηλυκοῖϲ εἰ θεῷ φίλον μαθηϲόμεθα. Ἀλλ' οὔτε δὲ ἐπὶ τῶν τρεπόντων τὸ δ εἰϲ τὸ τ παρὰ τοῖϲ Δωριεῦϲιν ἀποβάλλουϲι τὸ δ κατὰ τὴν γενικὴν οἱ Ἴωνεϲ, οἷον Θέμιϲ Θέμιδοϲ Θέμιτοϲ δωρικῶϲ καὶ ἐν πλεοναϲμῷ τοῦ ϲ ποιητικῶϲ Θέμιϲτοϲ, οἷον ⟨Ο 87⟩ Θέμιϲτι δὲ καλλιπαρῄῳ καὶ ⟨Υ 4⟩ Ζεὺϲ δὲ Θέμιϲτα κέλευϲε, καὶ πάλιν χάριϲ χάριδοϲ χάριτοϲ καὶ πλεοναϲμῷ τοῦ ϲ χάριϲτοϲ· τοῦτο δὲ τὸ χάριϲ χάριτοϲ καὶ παρ' ἡμῖν οὕτωϲ ἐπεκράτηϲε λέγεϲθαι. Ἀλλ' οὔτε δὲ τὰ εἰϲ ιϲ θηλυκὰ τὰ γενόμενα ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν ἀποβάλλουϲι τὸ δ παρὰ τοῖϲ Ἴωϲιν κατὰ τὴν γενικήν, οἷον ὁ τοξότηϲ τοῦ τοξότου καὶ ἡ τοξότιϲ τῆϲ τοξότιδοϲ, ὁ πολίτηϲ τοῦ πολίτου καὶ ἡ πολῖτιϲ τῆϲ πολίτιδοϲ, ὁ δραπέτηϲ τοῦ δραπέτου καὶ ἡ δραπέτιϲ τῆϲ δραπέτιδοϲ.
190 g Ἀλλ' οὔτε δὲ τὰ νομιζόμενα ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν γεγενῆϲθαι γίνονται χωρὶϲ τοῦ δ παρὰ τοῖϲ Ἴωϲι κατὰ τὴν γενικήν, οἷον ἡ πλευρῖτιϲ τῆϲ πλευρίτιδοϲ, ἡ φρενῖτιϲ τῆϲ φρενίτιδοϲ, ἡ νεφρῖτιϲ τῆϲ νεφρίτιδοϲ· ταῦτα γὰρ ὡϲ ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν δοκοῦϲιν εἶναι, οἷον ὡϲ ἀπὸ τοῦ ὁ πλευρίτηϲ καὶ ὁ φρενίτηϲ καὶ ὁ νεφρίτηϲ, εἰϲὶ δὲ ταῦτα ὀνόματα νοϲημάτων. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἀποροῦϲι δέ τινεϲ λέγοντεϲ, διὰ ποίαν αἰτίαν ἐνταῦθα ὁ τεχνικὸϲ τῆϲ Ἰωνικῆϲ μόνηϲ ἐμνήϲθη γενικῆϲ; Ἔϲτιν οὖν εἰπεῖν, ὅτι ἐπειδὴ ταῦτα τὰ εἰϲ ιϲ ἢ κατὰ κοινὴν διάλεκτον κλίνονται, ὡϲ ἐπὶ τοῦ Πάριϲ Πάριδοϲ, ἢ κατὰ Ἴωναϲ, ὡϲ ἐπὶ τοῦ Πάριϲ Πάριοϲ, οὐκέτι δὲ κατὰ

[Discr. scr. ex NCVP] **1** καὶ τοῦ VP, καὶ τὸ NC ‖ **4** *ante* Κλέοβιϲ *add* τοῦ NC, τῆϲ VP ‖ **5** γὰρ *om* NC ‖ **8** παρεῶντεϲ VP, ἐπαίροντεϲ NC ‖ **16** τῶν εἰϲ ιϲ *post* δὲ *om* NC ‖ **21** *prius* δὲ *om* NC | καὶ *ante* Ζεὺϲ *om* NC ‖ **22** *ante* χάριϲ *add* Ἄρτεμιϲ Ἀρτέμιδοϲ Ἀρτεμιτοϲ VP ‖ **25** παρὰ — Ἴωϲιν VP, οἱ Ἴωνεϲ NC | γενικήν *om* N ‖ **30** *post* πλευρίτιδοϲ *add* τῇ πλευρίτιδι NC ‖ **31** γὰρ ὡϲ] ὡϲ NC, γὰρ VP ‖ **32** ταῦτα *om* NC ‖ **37** οὐκέτι VP, οὐκ ἔϲτι NC

ἄλλην διάλεκτον, εἰκότως οὐκ ἐμνήσθη ἄλλης διαλέκτου ὁ τεχνικός. Πάλιν ἀποροῦσί τινες λέγοντες, διὰ ποίαν αἰτίαν τὸ Χάρυβδις Χαρύβδεως καὶ τὰ ὅμοια ἐσημειωσάμεθα ἀνωτέρω καὶ μὴ λέγομεν Ἰωνικά, ὥσπερ Πάρις Πάριος, ἀλλὰ σημειούμεθα αὐτά; Ἔστιν οὖν εἰπεῖν, ὅτι τὰ τοιαῦτα Ἰωνικὰ ἔχουσι κοινὰ προηγούμενα, οἷον τὸ Πάριος καὶ Θέτιος Ἰωνικὰ ὄντα ἔχουσι τὸ Πάριδος καὶ Θέτιδος κοινὰ προηγούμενα τούτοις· εἰ ἄρα οὖν ἃ ἐσημειωσάμεθα ἀνωτέρω οὐκ ἔχουσι προηγούμενα κοινά, οὐ γὰρ ἔχουσιν ἑτέραν γενικὴν διὰ τοῦ δος κλινομένην, δηλονότι οὐ δύνανται λέγεσθαι Ἰωνικά· ἄλλως τε δὲ τὰ Ἰωνικὰ οὐδέποτε ἐκφέρονται διὰ τοῦ εως ἀλλὰ διὰ τοῦ ιος, οὐδὲ γὰρ λέγομεν Θέτεως καὶ Πάρεως ἀλλὰ Θέτιος καὶ Πάριος· εἰ οὖν τὸ Χάρυβδις Χαρύβδεως καὶ τὰ ὅμοια διὰ τοῦ εως ἐκφέρονται, δηλονότι οὐ δύνανται Ἰωνικὰ εἶναι, ὅθεν καὶ τὸ Μέμφις Μέμφιδος εὑρεθὲν σπανίως Μέμφεως οὐ δυνάμεθα εἰπεῖν Ἰωνικὸν ὡς διὰ τοῦ εως γενόμενον. Ταῦτα μὲν ἐν τούτοις.

Τὸν Πάριδα καὶ Πάριν. Ἰστέον ὅτι τῶν εἰς ις κυρίων αἱ αἰτιατικαὶ διχῶς λέγονται, εἰς α καὶ εἰς ν· καὶ ἡ μὲν εἰς α λήγουσα ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται, ἡ δὲ εἰς ν ἀπὸ τῆς εὐθείας· πῶς δὲ λέγουσί τινες, ὅτι εὐλόγως αἱ αἰτιατικαὶ τούτων διφοροῦνται, ἐν τῇ αἰτιατικῇ τοῦ ὄφεως εἰ θεῷ φίλον μαθησόμεθα.

Ὦ Πάρι. Ἰστέον ὅτι τὰ εἰς ις ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν κλητικήν, οἷον ὁ Πάρις ὦ Πάρι, ὁ Ἄδωνις ὦ Ἄδωνι, ἡ Θέτις ὦ Θέτι, 191 r ἡ Κύπρις ὦ Κύπρι, ἡ πόλις ὦ πόλι· τὸ γὰρ ὁμόφωνον Ἀττικόν, ὁ Πάρις ὦ Πάρις, οἱ γὰρ Ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Αἴας ὦ Αἴας, ὁ κοχλίας ὦ κοχλίας.

Τὼ Πάριδε, τοῖν Παρίδοιν, ὦ Πάριδε. Οἱ Πάριδες, τῶν Παρίδων, τοῖς Πάρισιν. Ἰστέον ὅτι ἐνταῦθα οὐ δύναται ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν κανονίζεσθαι τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς ς λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, ἐπειδὴ οὐκ ἔστι μετὰ μακρᾶς ἐνταῦθα· τὸ γὰρ ι συνεσταλμένον ἐστίν· ἀλλὰ κανονίζεται ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, τροπῇ τοῦ δ εἰς τὸ ς, τῷ κανόνι τῷ λεχθέντι ἐν τῇ περὶ τοῦ Αἴας διδασκαλίᾳ, ἡνίκα περὶ τοῦ ποδί ποσί διελάβομεν, ἢ προσθέσει τοῦ ς καὶ ἀποβολῇ τοῦ δ, τῷ κανόνι τῷ λεχθέντι ἐν τῇ περὶ τοῦ Δημοσθένους διδασκαλίᾳ. Τοὺς Πάριδας, ὦ Πάριδες· εἴρηται.

[Discr. scr. ex NCVP] 1 *ante* εἰκότως *add* καὶ λοιπὸν NC ‖ 8 ἐσημ. καὶ τὰ ὅμοια NC ‖ 16 Τὸν — Πάριν *om* NC | αἱ *om* N ‖ 18 τῶν ἑνικῶν *om* VP ‖ 21 Ὦ Πάρι *om* NC ‖ 23 Ἀττικόν] αἰτιατικὸν N ‖ 24 *post* ὦ Πάρις *add* ὦ πόλις VP ‖ 26 *ante* Τὼ *add* ἡ εὐθεῖα τῶν δυϊκῶν NC | *ante* Οἱ *add* ἡ εὐθεῖα τῶν πληθυντικῶν NC ‖ 33 λεχθέντι] *cfr. p. 138, 20* ‖ 35 *post* προσθέσει *add* καὶ NC | λεχθέντι] *cfr. p. 180, 5*

Κανὼν η'.

Ὁ ὄφις τοῦ ὄφιος κοινῶς καὶ ὄφεος ἰωνικῶς καὶ ὄφεως ἀττικῶς.

Ἰστέον ὅτι τὰ εἰς ῑc̄ προσηγορικὰ μὴ ὄντα παρώνυμα μηδὲ μακροπαράληκτα διὰ καθαροῦ τοῦ ōc̄ κλίνονται, οἷον ὄφις ὄφιος, ἔχις ἔχιος, πόσις πόσιος (πόσις δέ ἐστιν ὁ ἀνήρ), μάντις μάντιος· «προσηγορικά» εἴπομεν τὰ μὴ ὄντα κύρια, εἴτε προσηγορικά εἰσιν εἴτε ἐπίθετα, ὡς ἐπὶ τοῦ ὄφις μάντις πόσις καὶ τῶν ὁμοίων· τοῦτο δὲ εἶπε διὰ τὰ κύρια, οἷον διὰ τὸ Πάρις Πάριδος καὶ τὰ ὅμοια. Πρόσκειται «μὴ ὄντα παρώνυμα μακροπαράληκτα» διὰ τὸ γύννις γύννιδος καὶ λάτρις λάτριδος καὶ εὖνις εὔνιδος· ταῦτα ⟨γὰρ⟩ οὐ κλίνονται διὰ καθαροῦ τοῦ ōc̄ ἀλλὰ διὰ τοῦ δoc̄, ἐπειδὴ καὶ παρώνυμά εἰσι, καὶ γὰρ ἀπὸ ὀνομάτων ἐγένοντο, καὶ μακροπαράληκτα, ἤγουν μακρὰν ἔχουσι τὴν παραλήγουσαν· τὸ μὲν γὰρ γύννις γύννιδος παρὰ τὸ γυνή ἐστίν, ἀπὸ γὰρ τοῦ γυνή 192 g ἐγένετο γύνις ⟨καὶ⟩ κατὰ ἀναδιπλασιασμὸν τοῦ ν̄ γύννις (σημαίνει δὲ τὸν γυναικώδη), τὸ δὲ λάτρις λάτριδος παρὰ τὸ λάτρον ἐστί (λάτρον δὲ λέγεται ὁ μισθὸς καὶ λάτρις ὁ ⟨ἐπὶ⟩ μισθῷ δουλεύων), τὸ δὲ εὖνις εὔνιδος παρὰ τὸ εὐνή ἐστίν, ὃ σημαίνει τὴν κοίτην· σημαίνει δὲ τὸ εὖνις τὸν ἄνδρα καὶ τὴν γυναῖκα, ὁ εὖνις γὰρ καὶ ἡ εὖνις· λέγεται δὲ εὖνις καὶ ὁ ἐστερημένος γυναικός, τουτέστιν ὁ μεμονωμένος, παρὰ γὰρ τὸ εἷς ἑνός γέγονεν ἕνις καὶ πλεονασμῷ τοῦ ῡ εὖνις· ταῦτα οὖν, ὡς εἰρήκαμεν, ἐπεὶ καὶ παρώνυμά εἰσι καὶ μακρὰν ἔχουσι τὴν παραλήγουσαν, διὰ τοῦτο διὰ τοῦ δoc̄ κλίνονται. Τὸ δὲ κόρις κόριος παρώνυμόν ἐστι παρὰ τὸ κόρος· ἀπὸ περιττότητος γίνεται γάρ, καὶ ἐπειδὴ οὐκ ἔστι μακροπαράληκτον, οὐδὲ γὰρ παραλήγεται μακρᾷ ἀλλὰ βραχείᾳ, τούτου χάριν διὰ καθαροῦ τοῦ ōc̄ κλίνεται καὶ οὐ διὰ τοῦ δoc̄, οἷον κόρις κόριος, ⟨Arist. Ran. 114⟩ ὅπου Κόριες ὀλιγοστοί· ἁμαρτάνουσι γὰρ οἱ λέγοντες ἐν τῇ συνηθείᾳ τὰς κόριδας θηλυκῶς, ἀρσενικῶς γὰρ λέγεται καὶ διὰ καθαροῦ τοῦ ōc̄ κλίνεται, οἷον ὁ κόρις τοῦ κόριος· ἰστέον δὲ ὅτι σπανίως εὑρίσκεται καὶ διὰ τοῦ δoc̄ κλινόμενον. Καὶ τὸ μάντις δὲ μάντιος· τοῦτο γὰρ μακροπαράληκτον μέν ἐστι, καὶ ἐπειδὴ οὐκ ἔστι παρώνυμον, τούτου χάριν διὰ καθαροῦ τοῦ ōc̄ ἐκλίθη καὶ οὐ διὰ τοῦ δoc̄· ἰστέον δὲ ὅτι τοῦτό τινες, φημὶ δὴ τὸ μάντις μάντιος, καὶ παρώνυμον βούλονται λέγειν καὶ μακροπαράληκτον, καὶ ὅμως, φασίν, οὐ

[Discr. scr. ex NCVP] **2** τοῦ ὄφιος — ἀττικῶς *om* NC ‖ **3** (Ἰστέον) — **201, 37** (ἀκτῆνες) *om* VP

[Discr. scr. ex NC] **8** μακροπαράληκτα *Lentzius*, μακροκατάληκτα NC ‖ **10** εὖνις N | γὰρ *om* NC ‖ **13** γὰρ *post* μὲν *om* N ‖ **14** γύνις καὶ] γύννις NC ‖ **16** ἐπὶ *EM 557, 35*, *om* NC | *poster*. δὲ *om* N ‖ **19** καὶ εὖνις *traicit* N ‖ **20** τὸ *om* N ‖ **21** εἰσι] ἐστι N, ἐστὶ C ‖ **23** κόρον NC ‖ **26** κόριες ὀλιγοστοί NC, κόρεις ὀλίγιστοι *edd. Aristoph.*, κόρεις ὀλιγιστοί *EM 530, 3 adn. et Lentzius* | *ante* ἁμαρτάνουσι *alterum* ἁμαρτάνουσιν *add* NC ‖ **30** *post* μάντιος *add* μακρᾷ παραλήγεται NC ‖ **32** τοῦτό τινες] τοῦτο N, τοῦτο τινὲς C

κλίνεται διὰ τοῦ δοс ἀλλὰ διὰ καθαροῦ τοῦ οс· ὥсπερ γὰρ ἀπὸ τοῦ φαίνεται γίνεται φαντόс καὶ ἄφαντοс, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ μαίνεται γίνεται μαντόс καὶ μάντιс· ἢ ἀπὸ τοῦ ματῶ τοῦ сημαίνοντοс τὸ ζητῶ, ἐξ οὗ τὸ μέταλλον οἱονεὶ τὸ ζητούμενον, γέγονε ματόс καὶ ἐκεῖθεν μάτιс καὶ μάντιс, οἱονεὶ ὁ τὰ ἀφανῆ καὶ ἄδηλα ζητῶν. Καὶ ἄξιόν ἐсτι ζητῆсαι, εἰ ἄρα τὸ μάντιс, ὡс εἴρηται, παρώνυμόν ἐсτι καὶ μακροπαράληκτον, διατί μὴ κλίνεται διὰ τοῦ δοс, ὥсπερ τὸ γύννιс γύννιδοс καὶ λάτριс λάτριδοс καὶ εὖνιс εὔνιδοс. Καὶ ἔсτιν εἰπεῖν, ὅτι τὸ 193 g κεχρεωсτημένον ἐν τῇ ἁπλότητι ἐν τῇ сυνθέсει ἀναδέχεται, καὶ γὰρ ἐν τῇ сυνθέсει διὰ τοῦ δοс κλίνεται, οἷον κοсκινόμαντιс κοсκινομάντιδοс, ἀλευρόμαντιс ἀλευρομάντιδοс, πρόμαντιс προμάντιδοс· τὸ δὲ μάντιδοс Προπυθίαс μηδεὶс οἰέсθω ἁπλοῦν εἶναι καὶ διὰ τοῦ δοс κλίνεсθαι· сύνθετον γάρ ἐсτιν, ἡ γὰρ πρό πρόθεсιс ἐν ὑπερβατῷ κεῖται, οἷον «προμάντιδοс Πυθίαс». Ταῦτα μὲν ἐν τούτοιс.

Δεῖ δὲ γινώсκειν, ὅτι φαсί τινεс ὡс καὶ τὸ νῆϊс, ὃ сημαίνει τὸν μηδὲν ἐπιсτάμενον ἤγουν τὸν ἄπειρον, παρώνυμόν ἐсτι καὶ τούτου χάριν ὡс παρώνυμον καὶ μακροπαράληκτον διὰ τοῦ δοс κλίνεται, οἷον νήϊδοс, ὡс παρὰ Καλλιμάχῳ ⟨fragm. 488 Sch.⟩ νήϊδεс οἱ Μούсηс οὐκ ἐγένοντο φίλοι· φαсὶ γὰρ ὅτι ἀπὸ τοῦ νέοс γέγονε νέϊс παρώνυμον καὶ κατ' ἐπέκταсιν τοῦ ε εἰс τὸ η νῆϊс, τοῖс γὰρ νέοιс παρέπεται τὸ μηδὲν ἐπίсταсθαι. Οὗτοι δὲ οὐκ ἀκριβῶс λέγουсιν· οὐκ ἔсτι γὰρ ἁπλοῦν, ἀλλὰ сύνθετον ἀπὸ τοῦ νή τοῦ сτερητικοῦ ἐπιρρήματοс καὶ τοῦ εἴδω τοῦ сημαίνοντοс τὸ ἐπίсταμαι, οἷον ὁ ἐсτερημένοс τοῦ ἐπίсταсθαι, καὶ λοιπὸν τοῦ εἴδω τὸ сύμφωνον ἐφύλαξε κατὰ τὴν κλίсιν, φημὶ δὴ τὸ δ· διατί δὲ τοῦ εἴδω διὰ τῆс ει διφθόγγου γραφομένου τὸ νῆϊс διὰ τοῦ ι γράφεται, ἐν τῇ ὀρθογραφίᾳ εἰ θεῷ φίλον μαθηсόμεθα. Ὅτι γὰρ οὐ δύναται τὸ νῆϊс ἀπὸ τοῦ νέοс εἶναι, ἵνα παρώνυμον καὶ ἁπλοῦν λάβωμεν αὐτό, δείκνυсι τὸ οὐδέτερον νήϊον· οὐδέποτε γὰρ τὰ εἰс ιс ἁπλᾶ ποιοῦсιν οὐδετέρου παραсχηματιсμόν, οἷον ὄφιс μάντιс πόλιс, χωρὶс τοῦ τίс· τοῦτο γὰρ ποιεῖ οὐδέτερον τὸ τί, ἐπειδὴ πευсτικόν ἐсτι, τὰ δὲ πευсτικὰ ἐν τριγενείᾳ παραλαμβάνονται, οἷον ποῖοс ποία ποῖον, πόсοс πόсη πόсον· εἰ ἄρα οὖν τὸ νῆϊс ποιεῖ οὐδέτερον τὸ νήϊον, δηλονότι οὐκ ἔсτιν ἁπλοῦν ἀλλὰ сύνθετον· τὰ γὰρ εἰс ιс сύνθετα εὑρίсκονται ποιοῦντα οὐδετέρου παραсχηματιсμόν, οἷον ὁ φυγόπολιс τὸ φυγόπολι, ὁ λιπόπατριс τὸ λιπόπατρι· τὸ τρόφι ἁπλοῦν, οἷον ⟨Λ 307⟩ πολλὸν δὲ τρόφι κῦμα (ἀντὶ τοῦ εὐτραφέс), μηδεὶс [δὲ] οἰέсθω ἀπὸ τοῦ ὁ τρόφιс ἀρсενικοῦ εἶναι — ὡс γὰρ ἐμάθομεν τὰ 194 g εἰс ιс ἁπλᾶ οὐ ποιοῦсιν οὐδετέρου παραсχηματιсμόν, οἷον ὄφιс μάντιс πόλιс — ἀλλ' ἢ ἀπὸ τοῦ τρόφιμον γέγονε κατὰ ἀποκοπήν, ἢ ἀπὸ τοῦ εὔτροφιс ἀρсενικοῦ сυνθέτου γέγονεν εὔτροφι, ὥсπερ λιπόπατριс λιπό-

---

[Disck. scr. ex NC] **3** τοῦ сημ. C, τὸ сημ. N ‖ **5** ὁ *om* N ‖ **11** μάντιδοс g, προμάντιδοс NC ‖ **13** πρό *ante* πρόθ. *om* N ‖ **22** γὰρ] δὲ NC ‖ **29** γὰρ] δὲ NC ‖ **36** πολλὸν] πολλὰ N, πολλῶ C

πατρι, καὶ κατ' ἔλλειψιν τοῦ ευ τρόφι, ὥϲπερ καὶ ἐπὶ τοῦ ⟨Λ 9⟩ εἴρυϲαν ἠνορέῃ, ἀντὶ γὰρ τοῦ εὐηνορέῃ ἐϲτίν. Ταῦτα μὲν ἐν τούτοιϲ.

Δεῖ προϲθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ τέϲϲαρά τινα, ἵνα εὑρεθῇ ὑγιὴϲ ὁ κανών· «ὑπὲρ μίαν ϲυλλαβήν» διὰ τὸ τίϲ τίνοϲ μὴ κλινόμενον διὰ καθαροῦ τοῦ οϲ, «μὴ ὄντα δικατάληκτα» διὰ τὸ δελφίϲ δελφῖνοϲ, «ἀρϲενικά» διὰ τὸ ἀϲπίϲ ἀϲπίδοϲ, μῆνιϲ μήνιδοϲ, «ἁπλᾶ» διὰ τὸ λεύκαϲπιϲ λευκάϲπιδοϲ· ταῦτα γὰρ μὴ ὄντα κύρια οὐκ ἐκλίθηϲαν διὰ καθαροῦ τοῦ οϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι οἱ Ἀττικοὶ ἐπὶ τῶν τοιούτων, τουτέϲτι τῶν εἰϲ ιϲ τῶν διὰ καθαροῦ τοῦ οϲ κλινομένων, τρέπουϲι τὸ ο εἰϲ τὸ ω ἐν τῇ γενικῇ καὶ τὸ παραλῆγον φωνῆεν εἰϲ ε μεταβάλλουϲιν, οἷον μάντιϲ μάντιοϲ μάντεωϲ, ὄφιϲ ὄφιοϲ ὄφεωϲ, πόλιϲ πόλιοϲ πόλεωϲ, καὶ φυλάττουϲι τὸν αὐτὸν τόνον, τουτέϲτιν ὃν εἶχον πρὸ τῆϲ τροπῆϲ, οἷον μάντιοϲ μάντεωϲ, πόλιοϲ πόλεωϲ, ὄφιοϲ ὄφεωϲ. Εὑρίϲκεται δὲ καὶ διὰ τοῦ ε καὶ ο ἡ γενικὴ κατὰ ϲυϲτολὴν τοῦ ω εἰϲ τὸ ο, οἷον μάντεοϲ ὄφεοϲ πόλεοϲ· καὶ παρέθετο δύο χρήϲειϲ ὁ τεχνικὸϲ παρὰ τῷ Εὐριπίδῃ, τὴν μίαν ἐν Ὀρέϲτῃ οὖϲαν ⟨897 D⟩ ὃϲ ἂν δύνηται πόλεοϲ ἔν τ' ἀρχαῖϲιν ᾖ, τὴν δὲ ἑτέραν ἐν ταῖϲ Βάκχαιϲ ⟨1027 D⟩ δράκοντοϲ ἔϲπειρ' ὄφεοϲ ἐν γαίᾳ θέροϲ· εἰϲὶ δὲ καὶ ἄλλαι χρήϲειϲ καὶ παρ' Εὐριπίδῃ καὶ παρὰ ἄλλοιϲ πολλοῖϲ τῆϲ διὰ τοῦ ε καὶ ο γενικῆϲ· ἡ δὲ κοινὴ ϲυνήθεια μᾶλλον ἀττικίζουϲα διὰ τοῦ ε καὶ ω γράφει ταύταϲ τὰϲ γενικάϲ· εἰϲ τὰ πολλὰ γὰρ ἡ κοινὴ διάλεκτοϲ τοῖϲ Ἀττικοῖϲ ἕπεται. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι ὁ τεχνικὸϲ δοξάζει τὴν μὲν διὰ τοῦ ι καὶ ο γενικὴν 195 g κοινὴν εἶναι, τὴν δὲ διὰ τοῦ ε καὶ ω Ἀττικήν· κρεῖττον δέ ἐϲτι τὴν διὰ τοῦ ι καὶ ο Ἰωνικὴν εἶναι λέγειν γενικήν, ἐπειδὴ οἱ Ἴωνεϲ αὐτῇ κέχρηνται, τὴν δὲ διὰ τοῦ ε καὶ ο κοινήν, εἰ καὶ ὁμοίωϲ τοῖϲ Ἀττικοῖϲ διὰ τοῦ ε καὶ ω δεῖ γράφειν τὰϲ τοιαύταϲ γενικάϲ. Ἀποροῦϲι δέ τινεϲ λέγοντεϲ, διατί μὴ λέγομεν ὄφιϲ ὄφηοϲ καὶ μάντιϲ μάντηοϲ διὰ τοῦ η καὶ ο Ἰωνικῶϲ, ὥϲπερ Πηλεύϲ Πηλῆοϲ καὶ Ἀχιλλεύϲ Ἀχιλλῆοϲ; Καὶ ἔϲτιν εἰπεῖν, ὅτι ἐὰν γένωνται οὕτωϲ, εὑρίϲκεται ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, ὅπερ ἐϲτὶν ἄτοπον, ὡϲ ἐν τῇ περὶ τοῦ ἡδύϲ διδαϲκαλίᾳ εἰ θεῷ φίλον μαθηϲόμεθα· τὸ γὰρ πόληοϲ διὰ τοῦ η καὶ ο, οἷον ⟨α 185⟩ ἀγροῦ νόϲφι πόληοϲ, οὐκ ἔϲτιν Ἰωνικόν, ἀλλ' ἀπὸ τοῦ πόλιοϲ διὰ τοῦ ι γέγονε κατὰ Αἰολικὴν τροπὴν τοῦ ι εἰϲ τὸ η, ὡϲ ἐπὶ τοῦ ψιμύθιον ψημύθιον καὶ ἀκτῖνεϲ ἀκτῆνεϲ. Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν τὰ εἰϲ ιϲ διὰ τοῦ εοϲ κλινόμενα οὐ ϲυναιροῦνται κατὰ τὴν γενικὴν καὶ γίνον-

---

[Discr. scr. ex NC] **1** κατέλειψιν N | εἴρηϲαν ἠνορέην, ἀντὶ γὰρ τοῦ εὐηνορέην ἐϲτὶ NC ‖ **6** ἀρϲενικὰ *Lentzius,* ἀρϲενικὸν NC ‖ **7** γὰρ *om* N ‖ **17** ἔν τε ἀρχαῖϲιν εἴη N, ἔν τε ἀρχέϲιν εἴη C ‖ **19** ἔϲπειρ'] ἔπειρ' NC ‖ **20** Εὐριπίδῃ C, Εὐπολίδῃ N ‖ **36** Αἰολικὴν] *ionica vocatur haec mutatio EM 103,25, ubi tamen* ἰωνικῇ *in* αἰολικῇ *mutandum censuerunt Piersonus et Ahrensius* | ψιμ. ψημ. *EM 103,25, AO II 241,8,* ψιμμύθιον ψημμύθιον NC

ται εἰc ουc, οἷον ὄφιc ὄφεοc, μάντιc μάντεοc, οὐδὲ γὰρ γίνονται ὄφουc καὶ μάντουc, ὥcπερ Δημοcθένεοc Δημοcθένουc. Καὶ ἔcτιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ εἰc ουc λήγουcα γίνεται διὰ τοῦ ε καὶ ω ἀττικῶc, οἷον Δημοcθένηc Δημοcθένεοc Δημοcθένουc, Διομήδηc Διομήδεοc Διομήδουc, τεῖχοc τείχεοc τείχουc, βέλοc βέλεοc βέλουc· ἐπειδὴ οὖν τὰ εἰc ιc διὰ τοῦ εοc κλινόμενα γίνονται διὰ τοῦ ε καὶ ω ἀττικῶc, οἷον ὄφεωc μάντεωc, τούτου χάριν οὐ δύνανται κρᾶcιν ἀναδέξαcθαι κατὰ τὴν γενικὴν καὶ γενέcθαι εἰc ουc· ἄλλωc τε δὲ οὔτε ἔcτι γνήcιον ἐπὶ τούτων τὸ ε τῆc κλίcεωc, ὄφιοc γὰρ ἦν καὶ μάντιοc, καὶ ἀττικῶc γέγονεν ὄφεωc καὶ μάντεωc καὶ κατὰ cυcτολὴν ὄφεοc καὶ μάντεοc διὰ τοῦ ο. Ταῦτα μὲν ἐν τούτοιc.

Τῷ ὄφιι καὶ κατὰ κρᾶcιν τῷ ὄφι. Ἄξιόν ἐcτι ζητῆcαι, διατί ὥcπερ ἀπὸ τοῦ ὄφιι γίνεται ὄφι κατὰ κρᾶcιν τῶν δύο ιι εἰc ἓν ι δηλονότι μακρόν, μὴ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Ζεύc Διόc Διί γίνεται Δῖ κατὰ κρᾶcιν τῶν δύο ιι εἰc ἓν ι δηλονότι μακρόν. Ἔcτιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται γενέcθαι ἡ Διί δοτικὴ κατὰ κρᾶcιν τῶν δύο ιι 196 g Δῖ δι' αἰτίαν, ἣν ἔχομεν εἰπεῖν ἐν τῇ περὶ τοῦ βοῦc διδαcκαλίᾳ, ἡνίκα ζητοῦμεν, διατί οὐ cυναιρεῖται ἡ βοΐ δοτική· ἡ αὐτὴ γὰρ αἰτία καὶ ἐνταῦθα ἁρμόζει.

Τὸν ὄφιν. Φηcὶν ὁ τεχνικόc, ὅτι ἡ μὲν ἀναλογία ἀπαιτεῖ καὶ ταύταc τὰc αἰτιατικὰc διχῶc λέγεcθαι ὡc καὶ τὰc τῶν κυρίων, ἀλλ' ἀπέλειψεν ἡ χρῆcιc τῆc εἰc α αἰτιατικῆc. Καὶ λέγουcί τινεc, ὅτι ἐπειδὴ αἱ γενικαὶ τῶν κυρίων διχῶc λέγονται — λέγονται γὰρ καὶ διὰ τοῦ δοc, οἷον Πάριδοc, καὶ διὰ καθαροῦ τοῦ οc ἰωνικῶc, οἷον Πάριοc — τούτου χάριν καὶ αἱ αἰτιατικαὶ αὐτῶν διχῶc λέγονται· καὶ πρὸc μὲν τὴν διὰ cυμφώνου ἐκφερομένην γενικὴν ἔcτιν ἡ εἰc α αἰτιατική, οἷον Πάριδοc Πάριδα, ὥcπερ Αἴαντοc Αἴαντα, χλαμύδοc χλαμύδα, πρὸc δὲ τὴν διὰ καθαροῦ τοῦ οc ἐκφερομένην γενικὴν ἔcτιν ἡ εἰc ν αἰτιατική, οἷον Πάριοc Πάριν, ὥcπερ βότρυοc βότρυν, ἰχθύοc ἰχθύν· τὰ εἰc ιc οὖν προcηγορικὰ ἐπειδὴ οὐκ ἔχουcι τὴν γενικὴν διχῶc ἐκφερομένην, τουτέcτι διὰ τοῦ δοc καὶ διὰ καθαροῦ τοῦ οc, ἀλλὰ διὰ καθαροῦ μόνου τοῦ οc, τούτου χάριν μόνον εἰc ν ἔχουcι τὴν αἰτιατικὴν καὶ οὐκ εἰc α. Οὐκ ἔcτι δὲ καταναγκαcτικὴ αὕτη ἡ αἰτία· ἰδοὺ γὰρ τὸ χάριτοc καὶ τοξότιδοc ⟨καὶ μήνιδοc⟩ μὴ ἔχοντα διχῶc τὴν γενικὴν ἐκφερομένην τὴν αἰτιατικὴν ἔχουcιν εἰc α καὶ εἰc ν, οἷον χάριτα καὶ χάριν, τοξότιδα καὶ τοξότιν, μήνιδα καὶ μῆνιν. Ὦ ὄφι καὶ ὦ ὄφιc· εἴρηται.

Τὼ ὄφιε καὶ ὄφεε καὶ κατὰ κρᾶcιν ὄφη. Ἰcτέον ὅτι τὸ ὄφιε

[Discr. scr. ex NCVP] **10** καὶ *ante* μάντεωc *om* NC ‖ **12** Τῷ ὄφιι — ὄφι VP, δοτικὴ ἑνικῶν C, *om* N | ἄξιον δέ ἐcτι NC ‖ **13** δηλονότι ι *traic.* NC ‖ **15** ι *post* δηλον. *transp.* N, *om* C | δηλονότι *om* VP ‖ **18** αἰτία VP, δοτικὴ NC ‖ **20** Τὸν ὄφιν *om* NC ‖ **22** τῆc εἰc α αἰτ. VP *et* V¹ *in marg.* ἑτέραc, τῆc α αἰτ. N, τῆc αἰτ. C ‖ **32** διὰ *post* ἀλλὰ *om* N ‖ **33** Οὐκ ἔcτι — εἴρηται (**37**) *om* NP ‖ **34** καὶ μήνιδοc g, *om* NC ‖ **38** ἰcτέον δὲ ὅτι NC

κατὰ τὴν ἀκρίβειαν οὐ δύναται κρᾶσιν ἀναδέξασθαι τοῦ ι καὶ ε εἰς τὸ ι, ἐπειδὴ τὸ ι οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν· τελικὰ γὰρ τῆς εὐθείας τῶν δυϊκῶν τρία εἰσίν, α ε ω, οἷον Ἀτρεΐδα Ἕκτορε φίλω. Τοῖν ὀφίοιν καὶ ὀφέοιν καὶ ὄφεῳν· πότε δὲ συναιρεῖται ἡ γενικὴ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν, ἐν τῇ περὶ τοῦ Πηλέως διδασκαλίᾳ εἰ θεῷ φίλον μαθησόμεθα. Ὦ ὄφιε καὶ ὦ ὄφεε καὶ ὦ ὄφη· εἴρηται.

Οἱ ὄφιες καὶ κατὰ κρᾶσιν ὄφις, οἱ ὄφεες καὶ κατὰ κρᾶσιν ὄφεις. Τῶν ὀφίων καὶ ὀφέων καὶ ὄφεων. Ἰστέον ὅτι τὸ μὲν 197 g ὄφεων προπαροξύνεται ὁμοίως τῇ ὄφεως γενικῇ τῶν ἑνικῶν· ἐπειδὴ γὰρ κἀκείνη διὰ τοῦ ε καὶ ω οὖσα προπαρωξύνθη ὁμοίως τῇ ὄφιος, ἐξ ἧς καὶ γέγονε, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ὡμοτόνησε ταύτῃ· ἡ δὲ ὀφίων οὐ προπαροξύνεται, ἐπειδὴ εἰ καὶ προπαροξύνεται ἡ γενικὴ τῶν ἑνικῶν ἡ ὄφιος, ἀλλ᾽ οὖν οὐκ ἔστι διὰ τοῦ ε καὶ ω. Καὶ ταῦτα μὲν ἐν τούτοις.

Τοῖς ὄφισι καὶ ὄφεσιν. Ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν τῆς ὄφιι καὶ ὄφεϊ κανονίζεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖς Δημοσθένεσι διδασκαλίᾳ· οὐδὲ γὰρ δύναται κανονισθῆναι ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν, ἐπεὶ οὐκ ἔστι μετὰ μακρᾶς. Τοὺς ὄφιας καὶ ὄφις καὶ ὄφεας καὶ ὄφεις. Ὦ ὄφιες καὶ ὦ ὄφις καὶ ὦ ὄφεες καὶ ὦ ὄφεις.

Κανὼν θ΄.

Ὁ χαρίεις τοῦ χαρίεντος.

Ἰστέον ὅτι ὁ μὲν Θεοδόσιος μετὰ τὰ εἰς ις τὰ διὰ τοῦ ι διέλαβε περὶ τῶν εἰς εις τῶν διὰ τῆς ει διφθόγγου· ὁ δὲ Ἡρωδιανός, ἐπειδὴ μετὰ τὸ α φωνῆέν ἐστι τὸ ε, μετὰ τὰ εἰς ας διέλαβε περὶ τῶν εἰς εις τῶν διὰ τῆς ει διφθόγγου καὶ τῶν εἰς ευς, καὶ οὕτω περὶ τῶν εἰς ης τῶν διὰ τοῦ η. Λέγει δὲ ὁ τεχνικός, ὅτι τὰ εἰς εις λήγοντα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ντ κλίνονται, οἷον ἐρόεις ἐρόεντος, τιμήεις τιμήεντος, δαφνήεις δαφνήεντος, χαρίεις χαρίεντος. Πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὰ μονοσύλλαβα, οἷον διὰ τὸ εἷς ἑνός καὶ κτείς κτενός· τοῦτο δὲ ὀξύνεται καὶ σημαίνει πολλά· σημαίνει δὲ καὶ τὸ γυναικεῖον κτένιον ᾧ χρῶνται ἐπὶ τῷ ἱστῷ, καὶ τὸ παρ᾽ ἡμῖν κτένιον τὸ τῶν τριχῶν, καὶ τὸ θαλάσσιον, καὶ τὸ αἰδοῖον, ὡς παρὰ Καλλιμάχῳ ⟨fragm. 308 Sch.⟩ ἐπὶ κτενὸς ἔσκον ἔθειραι· τὸ δὲ εἰς

[Discr. scr. ex NCVP] **2** τῆς ἰδίας εὐθείας NC ‖ **3** οἷον α ε ω *traic.* NC ‖ **7** *ante* Οἱ *add* ἡ εὐθεῖα τῶν πληθυντικῶν NC ‖ **10** προπαροξύνθη N ‖ **11** καὶ *ante* γέγονε *om* N ‖ **15** Τοῖς — ὄφεσιν *om* NC ‖ **17** εἰρημένῳ] *cfr. p. 180, 5* | τοῖς *om* NC ‖ **22** Ὁ χαρ. τοῦ χαρ.] χαρίεις NC ‖ **23** τὰ *ante* διὰ *om* NC ‖ **24** περὶ — διὰ VP, τῶν περὶ N, περὶ C | ἡροδιανὸς N ‖ **26** τῶν *post* εις *om* N ‖ **28** ἐρώεις ἐρώεντος V ‖ **31** *ante* ὀξύν. *add* καὶ NC ‖ **33** τὸ *ante* τῶν τρ. *om* NC | τὸ *ante* αἰδ. *om* N ‖ **34** ἔσκον ἔθειραι *OSchneiderus*, ἔσχον αἴθειραι NC, *om* VP

περισπᾶται, ἐπειδὴ ἔχει οὐδέτερον τὸ ἕν· τὰ γὰρ εἰς εις λήγοντα ὀνόματα κοινολεκτούμενα ἔχοντα οὐδετέρου παρασχηματισμὸν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον χαρίεις χαρίεν, τιμήεις τιμῆεν, δαφνήεις δαφνῆεν, αὐδήεις αὐδῆεν· τούτῳ οὖν τῷ λόγῳ καὶ τὸ εἷς ἔχον οὐδετέρου παρασχηματισμόν, οἷον τὸ ἕν, ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. Πρόσκειται «ὀνόματα» διὰ τὰς μετοχάς, οἷον διὰ τὸ τυφθείς τυφθέντος τυ- 198 g φθέν, δαρείς δαρέντος δαρέν, νυγείς νυγέντος ⟨νυγέν⟩, ταῦτα γὰρ ὀξύνονται· πρόσκειται «κοινολεκτούμενα», ἐπειδὴ τὸ εὐσεβής καὶ εὐγενής οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται· πρόσκειται «ἔχοντα οὐδετέρου παρασχηματισμόν» διὰ τὸ κτείς κτενός, τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔχει οὐδετέρου παρασχηματισμόν. Τὸ οὖν εἱς ὡς ἔχον οὐδετέρου παρασχηματισμόν, οἷον τὸ ἕν, οὐ δύναται ὀξύνεσθαι· ἀλλ' οὔτε βαρύνεσθαι δύναται, ἐπειδὴ μονοσύλλαβόν ἐστι, τὰ δὲ μονοσύλλαβα οὐδέποτε βαρύνονται, ἀλλ' ἢ ὀξύνονται, οἷον Κρής Τρώς πούς τίς νύξ φλόξ, ἢ περισπῶνται, οἷον νοῦς βοῦς παῖς γραῦς πᾶς· μὴ δυνάμενον οὖν τὸ εἱς μήτε ὀξύνεσθαι ὡς ἔχον οὐδετέρου παρασχηματισμόν, μήτε βαρύνεσθαι ὡς μονοσύλλαβον, ἐξ ἀνάγκης περιεσπάσθη· ἀμέλει ὅταν πλεονάσῃ τὸ ε καὶ ὑπερβῇ τὴν μονοσυλλαβίαν βαρύνεται, οἷον ἕεις, ὡς παρὰ τῷ Ἡσιόδῳ ⟨Theog. 145⟩ κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ τεχνικὸς ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος παρέλειψε τὰ εἰς εις μονοσύλλαβα· ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς εις μονοσύλλαβα ὀνόματα ἀρσενικὰ διὰ τοῦ νος κλίνονται, οἷον κτείς κτενός, εἷς ἑνός, δείς δενός, ὅπερ ἰσοδυναμεῖ τῷ τίς καὶ μετὰ τῆς οὐ ἀποφάσεως καὶ τῆς μή ἀπαγορεύσεως λέγεται οὐδείς καὶ μηδείς. Πρόσκειται «μονοσύλλαβα» διὰ τὰ ὑπὲρ μίαν συλλαβήν, οἷον διὰ τὸ χαρίεις χαρίεντος· πρόσκειται «ὀνόματα» διὰ τὰς μονοσυλλάβους μετοχάς, αὗται γὰρ διὰ τοῦ ντ κλίνονται, οἷον θείς θέντος, εἵς ἕντος, ἐξ οὗ τὸ ἀφείς ἀφέντος (σημαίνει δὲ τὸ ἀπολύσας)· πρόσκειται «ἀρσενικά» διὰ τὸ κλείς κλειδός, τοῦτο γὰρ διὰ τοῦ δος κλίνεται καὶ οὐ διὰ τοῦ νος, ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλὰ θηλυκόν. Εὐλόγως δὲ ταῦτα τὰ μονοσύλλαβα οὐ κλίνονται διὰ τοῦ ντ, ἐπειδὴ οὐδετέρου παρασχηματισμὸν οὐκ ἔχουσιν· οὐδὲ γὰρ λέγομεν τὸ κτέν ὥσπερ τὸ ἕν· τὸ γὰρ κτένιον μονογενές ἐστιν, ἐπειδὴ ἀπὸ τοῦ κτείς εἰ ἦν κατὰ παρασχηματισμόν, κτέν ὤφειλεν εἶναι, ὥσπερ εἷς ἕν, δείς δέν, ἐξ οὗ τὸ οὐδέν καὶ μηδέν· ἐπειδὴ οὖν οὐ ποιεῖ οὐδετέρου παρασχηματισμὸν τὸ 199 g κτείς, τούτου χάριν οὐ κλίνεται διὰ τοῦ ντ· τὰ γὰρ εἰς εις ἀρσενικὰ μὴ ὄντα κύρια ποιοῦσιν οὐδετέρου παρασχηματισμόν, οἷον χαρίεις χαρίεν, τιμήεις τιμῆεν, εἷς ἕν, δείς δέν, ἐξ οὗ τὸ οὐδέν καὶ τὸ μηδέν· τὸ

[Discr. scr. ex NCVP] **1** ἔχει *om* NC ‖ **5** ἀποστρέφονται NCV ‖ **6** τυφθέν *et* δαρέν (**7**) *om* NC ‖ **7** νυγείς — νυγέν *om* VP | νυγέν *om* NC ‖ **15** γραῦς] γρᾶς N ‖ **20** μετόπῳ N ‖ **22** παρέλειψε CVP, παρέλκει N ‖ **25** καὶ μετὰ VP, ἅπερ μετὰ N, ὅπερ μετὰ C | λέγεται VP, λέγονται καὶ NC ‖ **27** οἷον *om* NC ‖ **39** ἐξ — μηδέν *om* N

οὖν κτείς μὴ ὂν κύριον ἀλλὰ προσηγορικὸν καὶ μὴ ποιοῦν οὐδετέρου παρασχηματισμόν, οὐδὲ γὰρ λέγομεν τὸ κτέν, εἰκότως ὡς παραλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα παρήλλαξε καὶ κατὰ τὴν κλίσιν καὶ οὐ κλίνεται διὰ τοῦ ν̄τ̄. Πρόσκειται «ἀρσενικά» διὰ τὸ κλείς, τοῦτο γὰρ οὐ ποιεῖ οὐδέτερον εἰς ε̄ν̄, ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλὰ θηλυκόν· τὸ γὰρ κλειδίον μονογενές ἐστι καὶ οὐκ ἔστι κατὰ παρασχηματισμὸν ἀπὸ τοῦ κλείς· εἰ ἦν γὰρ ἀπὸ τοῦ κλείς κατὰ παρασχηματισμόν, εἰς ε̄ν̄ εἶχεν εἶναι, ὥσπερ χαρίεις χαρίεν, εἷς ἕν· πρόσκειται «μὴ ὄντα κύρια» διὰ τὸ Σιμόεις (ἔστι δὲ ὄνομα ποταμοῦ τῆς Τροίας), τοῦτο γὰρ οὐ ποιεῖ οὐδετέρου παρασχηματισμόν. Ταῦτα μὲν περὶ τοῦ κτείς· τὸ δὲ δείς δενός ἐπειδὴ ἐνομίσθη ταυτὸν εἶναι τῷ εἷς ἑνός, εἰκότως οὐ κλίνεται διὰ τοῦ ν̄τ̄ ἀλλὰ διὰ μόνου τοῦ ν̄, ὁμοίως τῷ εἷς ἑνός.

Ἰστέον δὲ ὅτι κατὰ πολλὰ διαφέρει τὸ εἷς ἑνός τοῦ δείς δενός· πρῶτον μὲν ὅτι τὸ εἷς δασύνεται, τὸ δὲ δείς οὔτε δασύνεται οὔτε ψιλοῦται, ἐπειδὴ ἀπὸ συμφώνου ἄρχεται· οὐδέποτε δὲ τὰ σύμφωνα ἐπιδέχονται ἢ δασεῖαν ἢ ψιλήν, ὑπεσταλμένου τοῦ ρ̄· τοῦτο γὰρ πέφυκε καὶ δασύνεσθαι καὶ ψιλοῦσθαι, δασύνεσθαι μέν, οἷον ῥαπίζω ῥήτωρ, ψιλοῦσθαι δέ, οἷον χαίρω, φέρω· δεύτερον δὲ ὅτι τὸ μὲν εἷς ὡρισμένον ἀριθμὸν σημαίνει, τὸν γὰρ ἕνα δηλοῖ, τὸ δὲ δείς ἀόριστόν ἐστι, τῷ γὰρ τίς ἰσοδυναμεῖ, οὐδείς γὰρ ἀντὶ τοῦ οὔτις· τρίτον δὲ ὅτι τὸ μὲν εἷς οὐκ ἐπιδέχεται πληθυντικά, οὐδὲ γὰρ λέγομεν οἱ ἕνες, ἄτοπον γὰρ τὸν ἕνα πληθύνεσθαι, τὸ δὲ δείς ἐπιδέχεται πληθυντικά, λέγομεν γὰρ οἱ οὐδένες τῶν οὐδένων τοῖς οὐδέσι· τέταρτον δὲ ὅτι ἐπὶ μὲν τοῦ εἷς τὸ θηλυκὸν μία ἐστίν, ἐπὶ δὲ τοῦ οὐδείς ὁμόφωνον τῷ ἀρσενικῷ, καὶ ἐπὶ
200 g γυναικὸς γὰρ οὐδείς λέγομεν. Τὸ δὲ μείς, ὃ σημαίνει τὸν μῆνα, οἷον ⟨Τ 117⟩ ὁ δ' ἕβδομος εἱστήκει μείς, διὰ τοῦτο οὐ κλίνεται διὰ τοῦ ν̄τ̄, ἐπειδὴ μήν ἦν καὶ ἰωνικῶς ἐγένετο μείς διὰ τῆς ε̄ῑ διφθόγγου, καὶ λοιπὸν ἐφύλαξε τὴν αὐτὴν κλίσιν· ἰστέον δὲ ὅτι ὁ Ὧρος καὶ ὁ Ἀρκάδιος καὶ ὁ Εὐδαίμων ἄκλιτον εἶναι λέγουσι τὸ μείς, καὶ δῆλον, εἴγε, φασί, μηνός ἐστὶν ἡ γενική, ὡς ἀπὸ τῆς μήν εὐθείας· εἰ δὲ ἐκλίνετο, φασί, τὸ μείς, μενός εἶχεν εἶναι ἡ γενική, ὥσπερ κτείς κτενός. Ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Ἀποροῦσι δέ τινες λέγοντες, διατί τῶν εἰς ε̄ῑς̄ μονοσυλλάβων ὀνομάτων μὴ ποιούντων οὐδετέρου παρασχηματισμόν, οἷον μείς κτείς, τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμόν, οἷον ἕν; Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμόν, ἐπειδὴ ἀριθμητικόν ἐστι, τὰ δὲ ἀριθμητικὰ πεφύκασι ποιεῖν οὐδετέρου παρασχηματισμόν, οἷον οἱ τρεῖς τὰ τρία, οἱ τέσσαρες τὰ τέσσαρα· οὕτως οὖν καὶ ὁ εἷς τὸ ἕν. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCVP] **5** ε̄ν̄] ἕν NC, ἐν VP ‖ **7** ε̄ν̄ VP, ἕν NC ‖ **9** ὄνομα κύριον ποταμοῦ NC | γὰρ *om* NC ‖ **11** τῷ εἷς] τὸ εἷς N | εἰκότως — ἑνός (**12**) *om* VP ‖ **12** τῷ εἷς] τοῦ εἷς NC ‖ **26** εἱστήκει CVP, εἰστήκει N, ἑστήκει *edd. Hom.* ‖ **27** ἰωνικῶς] *cfr. RMeister 1, 69 adn 1* ‖ **29** Εὐδαίμων VP *et adnott. ad EM 583, 4. 5, om* C¹, Εὐθαίμων C², εὐ δάσμων N ‖ **38** *post* εἷς

Ἰστέον δὲ ὅτι τὸ εἷς διὰ τοῦ ν̅τ̅ ὤφειλε κλίνεσθαι ὡς ἔχον οὐδέτερον τὸ ἕν· τὰ γὰρ εἰς ε̅ι̅ς̅ ἔχοντα οὐδέτερον εἰς ε̅ν̅ διὰ τοῦ ν̅τ̅ θέλουσι κλίνεσθαι, οἷον χαρίεις χαρίεντος ὅτι χαρίεν, τιμήεις τιμήεντος ὅτι τιμῆεν, δαφνήεις δαφνήεντος ὅτι δαφνῆεν· οὕτως οὖν ὤφειλεν εἶναι εἷς ἑντός ὅτι τὸ ἕν. Ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεσθαι θέλουσι καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν, οἷον τὸ ἀλήτης ψιλοῦται ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἀλήτου ἀλήτῃ ἀλήτην ὦ ἀλῆτα, καὶ τὸ ἄλγος ψιλοῦται ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἄλγους ἄλγει ἄλγος ὦ ἄλγος, πάλιν τὸ ἁγνός δασύνεται ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἁγνοῦ ἁγνῷ ἁγνόν ὦ ἁγνέ, καὶ τὸ ἁπλοῦς δασύνεται ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἁπλοῦ ἁπλῷ ἁπλοῦν ὦ ἁπλοῦ, τούτου χάριν ἐξ ἀνάγκης ἀπέβαλε τὸ τ̅ καὶ ἐγένετο ἑνός ἡ γενική, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική. Εἰ γὰρ ἐκλίθη διὰ τοῦ ν̅τ̅, ἤμελλε τῆς εὐθείας δασυνομένης ψι- 201 g λοῦσθαι ἡ γενική, ὅπερ ἐστὶν ἄτοπον· καὶ ἡ μὲν εὐθεῖα δασύνεται, ἐπειδὴ πᾶς ἀριθμὸς ἀπὸ τοῦ ε̅ ἀρχόμενος δασύνεσθαι θέλει, οἷον ἕξ ἑπτά ἕν· οὕτως οὖν καὶ τὸ εἷς· δεῖ προσθεῖναι «χωρὶς τοῦ εἴκοσι καὶ ἐννέα καὶ τῶν παρ' αὐτοῦ», οἷον ἔννατος ἐννάκις ἐννενήκοντα· ταῦτα γὰρ ψιλοῦνται· πρόσκειται «ἀπὸ τοῦ ε̅ ἀρχόμενος» διὰ τὸν ὀκτώ ἀριθμόν, οὗτος γὰρ ψιλοῦται· ἡ δὲ γενικὴ εἶχε ψιλοῦσθαι, εἰ ἐκλίθη διὰ τοῦ ν̅τ̅, ἐπειδὴ τὸ ε̅ καταλῆγον εἰς ν̅ ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τοῦ δ̅ ἢ θ̅ ἢ τ̅, ψιλοῦσθαι θέλει, οἷον ἔνδον ἔνθα ἐνταῦθα· δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ ἐν ῥήματι ἢ ἀπὸ ῥήματος εὑρεθῇ», οἷον διὰ τὸ ἕντο, ὡς τὸ ⟨A 469 e. g.⟩ αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, τοῦτο γὰρ δασύνεται· ἀλλὰ ῥῆμά ἐστιν, ἀπὸ γὰρ τοῦ ἵημι ἐγένετο ἥσω ὁ μέλλων καὶ ὁ δεύτερος ἀόριστος ἐνεργητικὸς ἧν, ἐκ τούτου ὁ μέσος δεύτερος ἀόριστος ἕμην ἕσω ἕτο, καὶ λοιπὸν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἕντο, σημαίνει δὲ τὸ ἐπλήρουν· πρόσκειται δέ «ἢ ἀπὸ ῥήματος» διὰ τὴν ἕντος μετοχήν, αὕτη γὰρ δασύνεται, ἐξ ἧς καὶ τὸ ἀφείς ἀφέντος· ἀλλ' ἀπὸ ῥήματός ἐστι τοῦ ἧν τοῦ ὄντος ἐκ τοῦ ἵημι, αἱ γὰρ μετοχαὶ ἀπὸ ῥημάτων εἰσίν. Εἰ ἐγένετο οὖν, ὡς εἴρηται, εἷς ἐντός, ἡ γενικὴ ψιλοῦσθαι ἤθελε τῆς εὐθείας δασυνομένης, ὅπερ ἐστὶν ἄτοπον καὶ ἀδύνατον· ἀεὶ γάρ, ὡς εἴρηται, τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεσθαι θέλουσι καὶ ἐν ταῖς λοιπαῖς πτώσεσι· διὰ τοῦτο οὖν ἀπέβαλε τὸ τ̅ καὶ ἐγένετο ἑνός, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική.

Ἴσως δέ τις ἀπορήσει, καὶ διὰ ποίαν αἰτίαν μὴ τὸ ν̅ ἀπέβαλεν ἀλλὰ τὸ τ̅· πρὸς ὃν λέγομεν, ὅτι οὐκ ἐνεδέχετο μεῖναι τὸ τ̅· πᾶσα γὰρ

[Discr. scr. ex NCVP] *add* καὶ NC ‖ 1 δὲ *om* NC ‖ 5 ἑντός P, ἐντός NV, ἑνός C ‖ 18 ὁμοίως VP, ὁμοφώνως NC ‖ 19 τὸν ὀκτὼ ἀριθμὸν VP, τῶν ὀκτὼ ἀριθμῶν NC ‖ 22 τοῦ δ̅ VP, τὸ δ̅ NC ‖ 29 ἢ] εἰ N ‖ 31 ῥημάτων CVP, ῥήματος N ‖ 32 ἐντός] ἕντος NC, ἑνὸς VP ‖ 35 ἀπέβαλε VP, ἀπεβάλλετο NC ‖ 37 ἀπορήσει VP, ἀπορήσοι N, ἀπορρήσει C ‖ 38 ἐνεδέχετο VP, ἐνδέχετο N, ἐνδέχεται C

γενικὴ διὰ καθαροῦ τοῦ τοc κλινομένη τὸν χρόνον τῆc εὐθείαc θέλει φυλάττειν, οἷον λέβηc λέβητοc, ἔρωc ἔρωτοc, ἱδρώc ἱδρῶτοc, χαλκοκράc χαλκοκρᾶτοc· ἰδοὺ ταῦτα ἐφύλαξαν τὴν μακρὰν τῆc εὐθείαc καὶ ἐν τῇ γενικῇ· πάλιν κρέαc κρέατοc, βῆμα βήματοc· ἰδοὺ πάλιν ταῦτα τὴν βραχεῖαν τῆc εὐθείαc φυλάττουcι καὶ ἐν τῇ γενικῇ. Δεῖ προcθεῖναι
202 g «χωρὶc τῶν εἰc ωc μετοχῶν καὶ μετοχικῶν», μετοχῶν μέν, οἷον τετυφώc τετυφότοc, πεποιηκώc πεποιηκότοc, μετοχικῶν δέ, οἷον ὑποδεδιώc ὑποδεδιότοc (ἔcτι δὲ εἶδοc ὀρνέου ⟨Arist. Av. 65⟩), Ἀραρώc Ἀραρότοc (ἔcτι δὲ ὄνομα τοῦ υἱοῦ τοῦ Ἀριcτοφάνουc)· ταῦτα δὲ ἐcημειωcάμεθα, ὅτι διὰ καθαροῦ τοῦ τοc κλιθέντα οὐκ ἐφύλαξαν τὸν χρόνον τῆc εὐθείαc καὶ ἐν τῇ γενικῇ, ἀλλὰ cυνέcτειλαν τὸ ω εἰc ο. Τούτων οὕτωc ἐχόντων ἐcτὶν εἷc διὰ τῆc ει διφθόγγου ἡ εὐθεῖα· εἰ ἐγένετο ⟨οὖν⟩ ἡ γενικὴ διὰ καθαροῦ τοῦ τοc, οἷον ἑτόc, οὐκ ἐφύλαττε τὸν χρόνον τῆc εὐθείαc, ὅπερ ἐcτὶν ἄτοπον· τούτου οὖν χάριν τὸ τ ἀπέβαλε καὶ οὐ τὸ ν, καὶ ἐγένετο εἷc ἑνόc, ὥcπερ κτείc κτενόc.

Ἀποροῦcι δέ τινεc λέγοντεc, εἰ ἄρα, ὡc ἀνωτέρω εἴρηται, τὰ εἰc ειc ἀρcενικὰ μὴ ὄντα κύρια ποιοῦcιν οὐδετέρου παραcχηματιcμόν, οἷον χαρίειc χαρίεντοc χαρίεν, τιμήειc τιμήεντοc τιμῆεν, εἷc ἑνόc ἕν, δείc δενόc δέν, ἐξ οὗ τὸ οὐδέν καὶ μηδέν, πῶc τὸ κτείc οὐκ ἔχει οὐδετέρου παραcχηματιcμόν; οὐδὲ γὰρ λέγομεν τὸ κτέν, ὥcπερ τὸ ἕν· τὸ γὰρ κτένιον μονογενέc ἐcτιν, ἐπεὶ ἀπὸ τοῦ κτείc εἰ ἦν κατὰ παραcχηματιcμόν, κτέν ὤφειλεν εἶναι, ὥcπερ εἷc ἕν. Καὶ ἔcτιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ κτείc οὐκ ἔχει οὐδετέρου παραcχηματιcμόν, ἐπειδὴ προcηγορικόν ἐcτιν, οὐδέποτε δὲ οὔτε τὰ προcηγορικὰ οὔτε τὰ κύρια ποιοῦcιν οὐδετέρου παραcχηματιcμόν, οἷον Αἴαc Θόαc κοχλίαc· τὸ γὰρ χαρίειc χαρίεν καὶ τιμήειc τιμῆεν οὐκ εἰcὶ προcηγορικὰ ἀλλ᾽ ἐπίθετα. Ταῦτα μὲν ἐν τούτοιc.

Δεῖ προcθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «κοινολεκτούμενα», ἵνα εὑρεθῇ ὁ κανὼν οὕτωc· «τὰ εἰc ειc ὑπὲρ μίαν cυλλαβὴν κοινολεκτούμενα διὰ τοῦ ντ κλίνονται»· τοῦτο δὲ εἴρηται, ἐπειδὴ οἱ Βοιωτοὶ τὰ εἰc ηc λήγοντα διὰ τοῦ η περιττοcυλλάβωc κλινόμενα, εἴτε βαρύτονα ὦcιν εἴτε ὀξύτονα, μεταποιοῦcιν εἰc τὴν ει δίφθογγον καὶ φυλάττουcι τὴν αὐτὴν κλίcιν, οἷον λέβηc λέβητοc λέβειc, πένηc πένητοc πένειc, ἀφανήc ἀφανέοc ἀφανείc, εὐγενήc εὐγενέοc εὐγενείc· ἰδοὺ τούτων πάντων οἱ Βοιωτοὶ τὴν τελευταίαν cυλλαβὴν διὰ τῆc ει διφθόγγου ποιοῦcι καὶ φυλάττουcι τὴν αὐτὴν κλίcιν. Ἀποροῦcι δέ τινεc λέγοντεc, εἰ ἄρα τὰ
203 g εἰc ειc ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ ντ κλίνονται, ὡc εἴρηται, οἷον χαρίειc χαρίεντοc, τιμήειc τιμήεντοc, πῶc τὸ οὐδείc οὐδενόc οὐ κλίνεται διὰ τοῦ ντ; Ἔcτιν οὖν εἰπεῖν, ὅτι οὐκ ἔcτι τοῦτο ὑπὲρ μίαν cυλλαβήν, οὐδὲ ἔcτι γὰρ μία λέξιc ἀλλὰ δύο· ἔcτι γὰρ τὸ δείc ὄνομα, ὅπερ

[Discr. scr. ex NCVP] **1** καθαροῦ *om* NC ‖ **6** καὶ μετ.] καὶ τῶν μετ. NC, καὶ τῶν εἰc ωc μετ. VP ‖ **8** ὑποδεδιῶτοc NC | ἀραρὼc ἀραρότοc V, ἀβρὼc ἀβρῶτοc NC, ἀβρὸc ἀβρότοc P ‖ **12** εἰ ἐγένετο οὖν] εἰ ἐγένετο NC, καὶ ἐγένετο V, καὶ εἰ ἐγένετο P ‖ **14** οὖν *om* NC ‖ **19** δέν *om* NC ‖ **25** καὶ *om* NC ‖ **33** ἀφανέοc VP, ἀφανοῦc NC | εὐγενέοc VP, εὐγενοῦc NC

ἰσοδυναμεῖ τῷ τίς, καὶ ἡ οὔ ἀπόφασις, καὶ λοιπὸν εὐλόγως ἡ κλίσις τοῦ δείς δενός ἐφυλάχθη· ὥσπερ γὰρ τῷ Ὅμηρος ὀνόματι ἤ τινι τοιούτῳ συντάττοντες τὴν οὔ ἀπόφασιν φυλάττομεν τὴν αὐτὴν κλίσιν, οἷον οὐχ Ὅμηρος οὐχ Ὁμήρου οὐχ Ὁμήρῳ οὐχ Ὅμηρον, οὕτω καὶ ἐνταῦθα προσελθοῦσα ἡ οὔ ἀπόφασις τῷ δείς δενός τὴν αὐτὴν κλίσιν ἐφύλαξεν, οἷον οὐδείς οὐδενός. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὰ εἰς εις λήγοντα ὑπὲρ μίαν συλλαβὴν ὀνόματα κοινολεκτούμενα βαρύνεσθαι θέλουσιν, οἷον χαρίεις τιμήεις φθογγήεις δαφνήεις αὐδήεις· πρόσκειται «ὀνόματα» πρὸς ἀντιδιαστολὴν τῶν μετοχῶν, αἱ γὰρ μετοχαὶ ὀξύνεσθαι θέλουσιν, οἷον τυφθείς δαρείς νυγείς· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ κτείς ὀξυνόμενον· πρόσκειται «κοινολεκτούμενα», ἐπειδὴ τὸ εὐγενής καὶ εὐσεβής καὶ τὰ ὅμοια οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται, καὶ ἰδοὺ ταῦτα ὀξύνονται, ἀλλ' οὐκ εἰσὶ κατὰ τὴν κοινὴν διάλεκτον. Θέλουσι δὲ τὰ εἰς εις λήγοντα ὑπὲρ μίαν συλλαβὴν ὀνόματα κοινολεκτούμενα καθαρὰν ἔχειν τὴν ει δίφθογγον, τουτέστι μὴ ἔχουσαν σύμφωνον προηγούμενον, οἷον χαρίεις ἀνεμόεις ὑδατόεις τιμήεις δαφνήεις ἀστερόεις φθογγήεις· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ κτείς, τοῦτο γὰρ ἔχει προηγούμενον τῆς ει διφθόγγου σύμφωνον, ἀλλ' οὐκ ἔστιν ὑπὲρ μίαν συλλαβήν· πρόσκειται «ὀνόματα» διὰ τὸ τυφθείς καὶ δαρείς, ταῦτα γὰρ ἔχουσι προηγούμενον τῆς ει διφθόγγου σύμφωνον, ἀλλ' οὐκ εἰσὶν ὀνόματα ἀλλὰ μετοχαί· πρόσκειται «κοινολεκτούμενα», ἐπειδὴ τὸ Λάχης καὶ τὸ πένης οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται Λάχεις καὶ πένεις λέγοντες, καὶ ἰδοὺ ταῦτα ἔχουσι πρὸ τῆς ει διφθόγγου σύμφωνον, ἀλλ' οὐκ εἰσὶ κοινολεκτούμενα. Οὐ θέλουσι δὲ παραλήγεσθαι τῷ ῑ, ἀλλ' ἢ τῷ ει, ὡς ἐπὶ τοῦ τιμήεις ἐρσήεις, ἢ τῷ ο̄, ὡς ἐπὶ τοῦ ἀνεμόεις δροσόεις, ἢ τῷ 204 g ᾱ, ὡς ἐπὶ τοῦ σκιάεις, ἢ τῷ ω̄, ὡς ἐπὶ τοῦ κητώεις ἐρώεις, ὅθεν τὸ χαριτόεις ἀναλογώτερόν ἐστι τοῦ χαρίεις παραληγόμενον τῷ ο̄. Καὶ ἐξ ἄλλου δὲ κανόνος δείκνυται τὸ χαριτόεις ἀναλογώτερον τοῦ χαρίεις· τὰ γὰρ εἰς εις λήγοντα ἔχοντα θηλυκὸν ἀποβολῇ τῆς ει διφθόγγου ὡς ἐπὶ τὸ πλεῖστον τὴν γενικὴν τοῦ θηλυκοῦ ἀποτελεῖ, οὐ μὴν τὴν εὐθεῖαν, οἷον δαφνήεις δάφνης, ἡ δάφνη γὰρ τῆς δάφνης, τιμήεις τιμῆς, ἡ τιμή γὰρ τῆς τιμῆς, φθογγήεις φθογγῆς, ἡ φθογγή γὰρ τῆς φθογγῆς, αὐδήεις αὐδῆς, ἡ αὐδή γὰρ τῆς αὐδῆς, λαχνήεις λάχνης, ἡ λάχνη γὰρ τῆς λάχνης, φωνήεις φωνῆς, ἡ φωνή γὰρ τῆς φωνῆς, σκιάεις σκιᾶς, ἡ σκιά γὰρ τῆς σκιᾶς· τὸ γὰρ σκιόεις ἀπὸ τοῦ σκιάεις ἐγένετο κατὰ τροπὴν τοῦ ᾱ εἰς τὸ ο̄· πρόσκειται «ὡς ἐπὶ τὸ πλεῖστον» διὰ τὸ δροσόεις δρόσος, τοῦτο γὰρ τὴν εὐθεῖαν τοῦ θηλυκοῦ ἐποίησεν, οὐ μὴν τὴν γενικήν· τὸ ἀνεμόεις τὴν ἄνεμος εὐθεῖαν ποιοῦν καὶ οὐ τὴν γενικὴν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐ ποιεῖ θηλυκὸν ἀλλ' ἀρσενικόν, τὸ γὰρ ἄνεμος ἀρσενικόν ἐστιν·

[Discr. scr. ex NCVP] **9** φθογγήεις *om* NC || **12** καὶ τὰ ὅμοια *om* NC || **23** Λάχεις καὶ πένεις] λάχης καὶ πένης N || **27** ἐρώεις *om* VP || **30** *ante* θηλυκὸν *desiderari* πρωτότυπον *monet Egenolffus* || **37** διὰ τὸ *om* N

εἰ ἄρα οὖν τὸ μὲν χαριτόειϲ ἀποβολῇ τῆϲ ει διφθόγγου τὴν γενικὴν τοῦ θηλυκοῦ ποιεῖ, τὸ δὲ χαρίειϲ ἀποβάλλον τὴν ει δίφθογγον οὐ ποιεῖ τὴν γενικὴν τοῦ θηλυκοῦ ἀλλὰ τὴν εὐθεῖαν, χάριϲ γάρ, δηλονότι τὸ χαριτόειϲ ἀναλογώτερόν ἐϲτι τοῦ χαρίειϲ. Παραφυλαττόμεθα δὲ παρὰ τῷ Πινδάρῳ ⟨Ol. 5, 54⟩ τὴν αἰτιατικὴν λεγομένην ὑγίεντα, ὡϲ ἀπὸ εὐθείαϲ γάρ ἐϲτι παραληγομένηϲ δηλονότι τῷ ι, ὡϲ ἀπὸ τοῦ ὑγίειϲ.

Τῷ χαρίεντι, τὸν χαρίεντα, ὦ χαρίει καὶ ὦ χαρίεν. Λέγει ὁ τεχνικόϲ, ὅτι διχῶϲ λέγεται ἡ κλητική, οἷον ὦ χαρίει καὶ ὦ χαρίεν· ἰϲτέον δὲ ὅτι οὐ μόνον διχῶϲ λέγεται ἀλλὰ καὶ τριχῶϲ· λέγεται γὰρ καὶ ὦ χαρίειϲ ὁμοφώνωϲ τῇ εὐθείᾳ ἀττικῶϲ, οἱ γὰρ Ἀττικοὶ τὰϲ αὐτὰϲ ἔχουϲιν ὀρθὰϲ καὶ κλητικάϲ, οἷον ὁ Αἴαϲ ὦ Αἴαϲ, ὁ κοχλίαϲ ὦ κοχλίαϲ. Τὸ δὲ ὦ χαρίει κανονίζεται τοῦτον τὸν τρόπον· τὰ εἰϲ ϲ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ϲ τὴν κλητικὴν ποιοῦϲιν, οἷον ὁ Ζεύϲ ὦ Ζεῦ, ὁ Πηλεύϲ ὦ Πηλεῦ, ὁ Ἀχιλλεύϲ ὦ Ἀχιλλεῦ, ὁ παῖϲ
205 g ὦ παῖ, ὁ βοῦϲ ὦ βοῦ, ὁ νοῦϲ ὦ νοῦ· οὕτωϲ οὖν καὶ ὁ χαρίειϲ ὦ χαρίει καὶ ὁ τιμήειϲ ὦ τιμήει· δεῖ προϲθεῖναι «κοινολεκτούμενα» διὰ τὰ Αἰολικά· οἱ γὰρ Αἰολεῖϲ τὸ τάλαϲ τάλαιϲ λέγουϲι καὶ τὸ Θόαϲ Θόαιϲ καὶ τὸ μέλαϲ μέλαιϲ· καὶ ἰδοὺ ταῦτα εἰϲ ϲ λήγουϲι μετὰ διφθόγγου καὶ ὅμωϲ οὐ ποιοῦϲι τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ, οὐδὲ γὰρ λέγομεν ὦ τάλαι καὶ ὦ μέλαι καὶ ὦ Θόαι, ἀλλ' ὦ τάλαν καὶ ὦ Θόαν καὶ ὦ μέλαν, τῷ ἀπὸ τῆϲ γενικῆϲ κανόνι τῷ λέγοντι, ὅτι πᾶϲα γενικὴ διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τῆϲ τοϲ ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, οἷον Αἴαντοϲ Αἶαν, Δρύαντοϲ Δρύαν, Ξενοφῶντοϲ Ξενοφῶν, Κάλχαντοϲ Κάλχαν· οὕτωϲ οὖν καὶ Θόαντοϲ Θόαν καὶ μέλαντοϲ μέλαν καὶ τάλαντοϲ τάλαν· τὸ γὰρ τάλανοϲ καὶ μέλανοϲ ἀποβολῇ τοῦ τ γεγόναϲιν. Δεῖ προϲθεῖναι «χωρὶϲ τῶν μετοχῶν καὶ τῶν μετοχικῶν καὶ τῶν οὐδετέρων», «τῶν μετοχῶν» μὲν διὰ τὸ τυφθείϲ δαρείϲ νυγείϲ, ταῦτα γὰρ τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ κλητικὴν καὶ οὐ ποιοῦϲι τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ, «τῶν δὲ μετοχικῶν» διὰ τὸ ὀδούϲ ὀδόντοϲ, καὶ τοῦτο γὰρ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· αἱ γὰρ μετοχαὶ καὶ τὰ μετοχικὰ ὅταν περιττοϲυλλάβωϲ κλίνωνται τὰϲ αὐτὰϲ ἔχουϲιν ὀρθὰϲ καὶ κλητικάϲ, οἷον ὁ τύψαϲ τοῦ τύψαντοϲ ὦ τύψαϲ, ὁ γράψαϲ τοῦ γράψαντοϲ ὦ γράψαϲ, ὁ ἱμάϲ τοῦ ἱμάντοϲ ὦ ἱμάϲ, ὁ ἀνδριάϲ τοῦ ἀνδριάντοϲ ὦ ἀνδριάϲ· διατί δὲ πρόϲκειται «ὅταν περιττοϲυλλάβωϲ κλίνωνται», ἐν τῇ περὶ τοῦ Αἴαϲ διδαϲκαλίᾳ μεμαθήκαμεν· «χωρὶϲ δὲ τῶν οὐδετέρων» πρόϲκειται διὰ τὸ οὐϲ· ἐὰν γὰρ ὅλωϲ λάβωμεν αὐτοῦ τὴν κλίϲιν, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν τῷ λόγῳ τῶν οὐδετέρων· τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ κλητικήν, οἷον τὸ βῆμα

[Discr. scr. ex NCVP] **8** λέγεται *om* N ‖ **9** χάριεν CVP; N *semper*, C *omnibus ceteris locis neutrum* χαρίεν *praebent*, VP *contra* χάριεν ‖ **11** ἔχουϲιν N, εἰώθαϲι ποιεῖν VP, ἔχουϲιν εἰώθαϲι ποιεῖν C ‖ **20** ὦ τάλαϲ N ‖ **21** τῆϲ *om* NC ‖ **22** εἰ μὴ VP, εἰ δὲ μὴ NC ‖ **29** *post* ὀδούϲ *add* τοῦ NC ‖ **35** μεμαθήκαμεν] *cfr. p. 130, 30* ‖ **37** κλίϲιν VP, κλητικὴν NC | τῷ λόγῳ — οἷον (38) NCP, *om* V ‖ **38** ὀρθὴν καὶ κλητ. P, καὶ κλητ. καὶ ὀρθὴν NC

ὦ βῆμα, τὸ τεῖχος ὦ τεῖχος. Ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τοῦ πούς», τὴν αὐτὴν γὰρ ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ πούς ὦ πούς, καὶ οὐ ποιεῖ αὐτὴν ἀποβολῇ τοῦ c̄· «καὶ χωρὶς τοῦ εἶς»· τοῦ γὰρ εἶς οὐκ ἔστι κατὰ ἀποβολὴν τοῦ c̄ ἡ κλητική, ἀλλ᾽ οὐδ᾽ ὅλως ἔχει τοῦτο κλητικήν. Λέγει γὰρ ὁ Ἀπολλώνιος ὁ τεχνικός, ὅτι τὰ ἀριθμητικὰ οὐκ ἔχουσι 206 g κλητικὰς διὰ τοιαύτην αἰτίαν· τὰ ἀριθμητικὰ ἐπιμεριζομένην ἔχουσι τὴν σημασίαν, οἷον ἐὰν εἴπω τρεῖς ἢ τέσσαρας ἢ πέντε, διαχωρίζω τούτους τοὺς ἀριθμοὺς ἐκ τῶν ἄλλων· ἐπειδὴ οὖν τὰ ἀριθμητικὰ ἐπιμεριζομένην ἔχουσι τὴν σημασίαν, εἰκότως οὐκ ἔχουσι κλητικάς· τὰ γὰρ ἐπιμεριζόμενα οὐκ ἔχουσι κλητικάς, οἷον ἑκάτερος ἕκαστος ἕτερος ἄλλος, ἐπειδὴ ἡ κλητικὴ παρόντος προσώπου ἐστὶ παραστατική, οἷον ἄνθρωπε Σώκρατες, ὁ δὲ ἐπιμερισμὸς ἀπὸν πρόσωπον παρίστησιν. Ταῦτα μὲν ἐν τούτοις.

Μηδεὶς δὲ οἰέσθω τὸ ἓν τὸ οὐδέτερον ὡς ἀπὸ τῆς ὦ ἓν κλητικῆς γεγενῆσθαι· ὡς γὰρ εἴρηται τὸ εἷς οὐκ ἔχει κλητικήν, ἀλλὰ κατὰ συνεκδρομὴν τῶν ἄλλων οὐδετέρων τῶν ἀπὸ τῶν εις εις ἐγένετο τὸ ἓν τὸ οὐδέτερον οὕτως· ὥσπερ γὰρ χαρίεις χαρίεν καὶ τιμήεις τιμῆεν, οὕτω καὶ εἷς ἕν. Δεῖ πάλιν προσθεῖναι ἐν τῷ κανόνι «καὶ χωρὶς τοῦ κτείς κτενός καὶ κλείς κλειδός»· ταῦτα γὰρ τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ κτείς ὦ κτείς, ἡ κλείς ὦ κλείς. Ἰστέον δὲ ὅτι καθόλου τὰ εἰς c̄ λήγοντα μονοσύλλαβα ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικὴν χωρὶς τοῦ Ζεύς, τούτου γὰρ ἡ κλητικὴ κατὰ ἀποβολὴν τοῦ c̄ ἐστίν, οἷον ὦ Ζεῦ· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, ὁ Κρής ὦ Κρής, ὁ Τρώς ὦ Τρώς, ὁ δμώς ὦ δμώς, ὁ πούς ὦ πούς, ἡ δαίς ὦ δαίς (σημαίνει δὲ τὴν εὐωχίαν), ὁ κίς ὦ κίς (σημαίνει δὲ τὸν σκώληκα), ὁ λίς ὦ λίς (σημαίνει δὲ τὸν λέοντα), ἡ κλείς ὦ κλείς, ὁ κτείς ὦ κτείς· ταῦτα γὰρ τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν· καὶ τὰ ἐξ αὐτῶν δὲ σύνθετα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ἡ ἀντίκλεις ὦ ἀντίκλεις, ὁ ὁμόδαις ὦ ὁμόδαις (ὁ ὁμοῦ εὐωχούμενος), ὁ Οἰδίπους ὦ Οἰδίπους. Ἰστέον δὲ ὅτι τὸ Οἰδίπους ὅταν μὲν κλιθῇ διὰ τοῦ δος, οἷον Οἰδίπους Οἰδίποδος, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον Οἰδίπους ὦ Οἰδίπους, ὅταν δὲ ἀποβολῇ τοῦ c̄ ποιῇ τὴν γενικὴν ἀττικῶς, οἷον ὁ Οἰδίπους τοῦ Οἰδίπου, τότε καὶ τὴν κλητικὴν ἀποβολῇ τοῦ c̄ ποιεῖ, οἷον ὁ Οἰδίπους ὦ Οἰδίπου. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί τὸ Οἰδίπους ὅταν μὲν κλιθῇ διὰ τοῦ δος, οἷον Οἰδίποδος, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Οἰδίπους ὦ Οἰδίπους, ὅταν δὲ ἀποβολῇ τοῦ c̄ ποιῇ τὴν γενικὴν ἀττικῶς, οἷον τοῦ Οἰδίπου, τότε καὶ τὴν κλητικὴν ἀποβολῇ τοῦ c̄ ποιεῖ, οἷον ὁ Οἰδίπους ὦ Οἰδίπου. Καὶ ἔστιν εἰπεῖν ὅτι εὐλόγως τοῦτο γίνεται, ἐπειδὴ ἡνίκα μὲν διὰ τοῦ δος κλίνεται τὸ Οἰδίπους, τὴν κλίσιν τοῦ πούς φυλάττει

[Discr. scr. ex NCVP] **1** τοῦ ποδὸς N ‖ **20** δὲ *om* NC ‖ **23** τοῦ c̄ *om* NC ‖ **25** ὁ δαίς NC ‖ **26** ὁ κλείς NC ‖ **29** ὁ ἀντίκλεις NC ‖ **30** εὐοχούμενος NC ‖ **31** μὲν *om* NC ‖ **32** ποιῇ b (*p. 1404*), ποιεῖ NC, πλήσῃ VP ‖ **37** ποιεῖ NC ‖ **38** *post* Οἰδίπους *add* τοῦ Οἰδίπου N

κατὰ τὰς ἑξῆς πτώσεις, οἷον πούς ποδός καὶ Οἰδίπους Οἰδίποδος· τούτου οὖν χάριν καὶ κατὰ τὴν κλητικὴν τὴν κλίσιν τοῦ πούς φυλάττει καὶ ὁμοίως αὐτῷ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, καὶ ὥσπερ ὦ πούς ὁμοίως καὶ ὦ Οἰδίπους· ἡνίκα δὲ ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν γενικὴν ἀττικῶς, οἷον ὁ Οἰδίπους τοῦ Οἰδίπου, ἐπειδὴ οὐ φυλάττει τὴν κλίσιν τοῦ πούς κατὰ τὰς ἑξῆς πτώσεις, τούτου χάριν οὔτε κατὰ τὴν κλητικὴν φυλάττει αὐτὴν ἀλλ' ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικήν, οἷον ὦ Οἰδίπου. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἀνωτέρω «μονοσύλλαβα» ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι τὰ εἰς c̄ λήγοντα μονοσύλλαβα ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, διὰ τὸ ὁ Πηλεύς ὦ Πηλεῦ· τοῦτο γὰρ ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικήν, ἀλλ' οὐκ ἔστι μονοσύλλαβον· πρόσκειται «ὀξύτονα» διὰ τὸ ὁ βοῦς ὦ βοῦ· τοῦτο γὰρ ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικὴν μονοσύλλαβον ὄν, ἀλλ' οὐκ ἔστιν ὀξύτονον ἀλλὰ περισπώμενον.

Ταῦτα μὲν περὶ τοῦ ὦ χαρίει· τὸ δὲ ὦ χαρίεν διαφόρως κανονίζεται, πρῶτον μὲν ὅτι πᾶσα γενικὴ διὰ τοῦ ντ̄ κλινομένη ἀποβολῇ τῆς τος̄ ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, οἷον Αἴαντος Αἶαν, Θόαντος Θόαν· οὕτως οὖν καὶ τὸ χαρίεις χαρίεντος ὦ χαρίεν· περὶ γὰρ τῶν σεσημειωμένων εἴπομεν ἐν τῇ κλητικῇ τοῦ Αἴας· δεύτερον δὲ ὅτι πᾶν ὄνομα οὐδέτερον ⟦παρεσχηματισμένον ἀρσενικῷ, εἰ μὲν⟧ ἰσοσυλλάβως κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ⟦ἀρσενικοῦ ὁμοφωνεῖ⟧, ⟨οἷον ὁ καλός⟩ τοῦ καλοῦ τὸν καλόν καὶ τὸ καλόν, ὁ σοφός τοῦ σοφοῦ τὸν σοφόν καὶ τὸ σοφόν, ⟨ὁ εὔγηρως τοῦ εὔγηρω⟩ ⟦τὸν εὔγηρων καὶ τὸ
208 g εὔγηρων⟧, ὁ κάλλιστος τοῦ καλλίστου τὸν κάλλιστον καὶ τὸ κάλλιστον, εἰ δὲ ⟦περιττοσυλλάβως⟧ κλίνοιτο, τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, οἷον ⟦ὁ σώφρων τοῦ σώφρονος⟧ ὦ σῶφρον καὶ τὸ σῶφρον, ὁ ἄρσην τοῦ ἄρσενος ὦ ἄρσεν ⟦καὶ τὸ ἄρσεν⟧, ⟨ὁ ταχύς⟩ τοῦ ταχέος ὦ ταχύ καὶ τὸ ταχύ· εἰ οὖν τοῦ χαρίεις ⟦χαρίεντος χαρίεν⟧ ἐστὶ τὸ οὐδέτερον, δηλονότι καὶ ἡ κλητικὴ ὦ χαρίεν, ⟦ἵνα ὁμοφωνήσῃ⟧ τῷ οὐδετέρῳ· ἰστέον δὲ ὅτι παρὰ τοῖς Ἀττικοῖς ⟦χάριεν προπαροξυνόμενον⟧ οὐκ ἔστιν ὄνομα ἀλλ' ἐπίρρημα, ἀντὶ γὰρ τοῦ χα⟦ριέντως. Πρόσκειται «πᾶν ὄνο⟧μα οὐδέτερον» διὰ τὴν ἐκεῖνος καὶ αὐτός καὶ οὗτος ⟦ἀντωνυμίας· αὗται γὰρ ἰσοσυλλάβως⟧ κλινόμεναι οὐκ ἔχουσι τὸ οὐδέτερον ὁμόφωνον ⟦τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· ἡ μὲν γὰρ⟧ αἰτιατικὴ τοῦ ἀρσενικοῦ ἐκεῖνον καὶ αὐτόν ⟦καὶ τοῦτον ἐστὶ μετὰ τοῦ ν̄, τὸ δὲ⟧ οὐδέτερον ἐκεῖνο καὶ αὐτό καὶ τοῦτο ἐστὶ χωρὶς ⟦τοῦ ν̄· καὶ τὴν αἰτίαν ἐν τῇ⟧ περὶ ἀντωνυμιῶν διδασκαλίᾳ εἰ θεῷ φίλον μαθησόμεθα.

[Discr. scr. ex NCVP] **1** κατὰ VP, καὶ εἰς NC ‖ **2** οὖν *om* NC ‖ **15** *post* χαρίει *add* πρᾶξις λθ̄ P ‖ **19** εἴπομεν VP, ἔχομεν NC ‖ **20** ὄνομα] ὄμα N | οὐδ. ὄν. *traic.* NC | *verba quibus* VP *lacunas in* NC *usque ad p. 212, 21 exstantes explent his uncis* ⟦ ⟧ *sunt inclusa; quae autem ipse supplevi, his uncis* ⟨ ⟩ *ut fieri solet sunt circumdata* ‖ **22** τὸν σοφόν *om* N ‖ **25** εἰ] ἐὰν NC ‖ **26** ὦ σώφρων N ‖ **27** ὦ ἄρσην N ‖ **32** *ante* διὰ *add* δὲ N

Τὼ χαρίεντε, τοῖν χαριέντοιν, ⟨ὦ χαρίεντε⟩. Οἱ χαρίεντες, τῶν χαριέντων, τοῖς χαρίεισι ⟦καὶ χαρίεσιν. Ἰστέον ὅτι⟧ διχῶς λέγεται τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, ⟦οἷον τοῖς χαρίεισι καὶ τοῖς χαρίεσιν⟧, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα πρὸ τοῦ ῑ δεχομένη τὸ ς̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἀκουσθῆναι στοιχεῖα τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφεϊ ὄφεσι, πόλεϊ πόλεσι, Πλάτωνι Πλάτωσι, ⟦Πάριδι Πάρισιν, Ἕκτορι Ἕκτορσιν· οὕτως οὖν καὶ χαρίεντι χαρίεσι, προσελθόντος τοῦ ς̄ καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχείων, τοῦ τε ν̄ καὶ τοῦ τ̄. Λέγουσι δέ τινες, ὅτι δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς ευς»· ἔστι γὰρ Ἀχιλλέϊ καὶ Πηλέϊ, καὶ ἰδοὺ ταῦτα οὐ ποιοῦσι προσθέσει τοῦ ς̄ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν Ἀχιλλέσι καὶ Πηλέσιν ἀλλὰ Ἀχιλλεῦσι καὶ Πηλεῦσι· πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι ταῦτα ἐκ τῆς εὐθείας τῶν ἑνικῶν κανονίζονται προσθέσει τοῦ ῑ· τότε δὲ κανονίζομεν τὴν δοτικὴν τῶν πληθυντικῶν ἐκ τῆς εὐθείας τῶν ἑνικῶν, ἡνίκα μὴ δύναται κανονισθῆναι ἐκ τῆς δοτικῆς τῶν ἑνικῶν. Τοῖς δὲ χαρίεισι φαμὲν τῷ λόγῳ τῆς εὐθείας, ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς ς̄ λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον Αἴας Αἴαντος Αἴασιν· οὕτως οὖν καὶ χαρίεις χαρίεντος χαρίεισι⟧· ποῖον δὲ ἀναλογώτερόν ἐστιν, εἴτε τὸ χαρίεισιν εἴτε τὸ χαρίεσιν, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα. Ἰστέον δὲ ὅτι λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ τοῦ ὕδωρ μονοβίβλῳ, ὡς οὐ δεῖ διὰ τῶν δύο σς τὰς τοιαύτας δοτικὰς προφέρεσθαι ἀλλὰ δι' ἑνός, οἷον χαρίεσι τιμήεσιν, ὥσπερ Πλάτωσι Πάρισι Δημοσθένεσι. Τοὺς χαρίεντας, ὦ χαρίεντες. Ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

Κανὼν ι΄.

Ὁ Πηλεύς τοῦ Πηλέος κοινῶς καὶ Πηλῆος ἰωνικῶς καὶ Πηλέως ἀττικῶς.

Ἀκολούθως μετὰ τὰ εἰς εις ἔρχεται ἐπὶ τὰ εἰς ευς, τὸ γὰρ ῡ φω-

---

[Discr. scr. ex NCVP] **1** *ante* Τὼ *add* ⟨ἡ εὐθεῖα⟩ τῶν δυϊκῶν NC | *ante* Οἱ *add* ⟨ἡ εὐθεῖα τῶν⟩ πληθυντικῶν NC ‖ **6** αὐτῷ] αὐτῇ NVP (C *om*) ‖ **7** Πλάτωνι — χαρίεισι (**21**) VP, *novem linearum vacuum spatium* N, C *autem haec praebet* (*linea perpendicularis initium versus significat*): πλάτωνι πλάτωσι ... | καὶ ἀποβληθέντων τῶν ... | καὶ τοῦ τ̄. λέγουσι δὲ ... | ἀχιλλέως ἀχιλλ ... | προσθέσει ... | πόλεσι, ἀλ ... | ἐκ τῆς εὐθείας ... | τότε δὲ κανο ... | ἡνίκα οὐδὲ ... | δύναται ... | τῶν ἑνικῶν ... | μετὰ ... | θές ... | βησι ... ‖ **10** τοῦ *ante* τ̄ *om* VP ‖ **11** ἀχιλέϊ VP ‖ **13** ἀχιλέσι VP ‖ **14** κανονίζεται VP ‖ **16** ἑνικῶν] πληθυντικῶν VP | δοτικῆς] εὐθείας VP ‖ **20** οἷον P, *om* V ‖ **21** δὲ *om* N ‖ **22** χαρίεσιν VP, χαρίεσσι NC | *ante* Ἡρωδ. *add* τοῦ NC ‖ **23** ἐν — μονοβίβλῳ *om* V | περὶ — ὕδωρ *om* P | *ante* ὕδωρ *add* ἡδὺ NC, *quod del.* **Lehrsius** (*Herod. 422*) *probante* **Lentzio** *in praef. ad Herod. p. CIX* ‖ **25** Πάρεσι NC ‖ **28** τοῦ Πηλέος — ἀττικῶς (**29**) *om* NC

νῆεν μετὰ τὸ ῑ ἐϲτίν, καὶ λέγει ὅτι τὰ εἰϲ ευϲ διὰ τοῦ εοϲ κλίνονται, οἷον Οἰνεύϲ Οἰνέοϲ, Τυδεύϲ Τυδέοϲ, Θηϲεύϲ Θηϲέοϲ, Ἀχιλ-
209 g λεύϲ Ἀχιλλέοϲ, Πηλεύϲ Πηλέοϲ· οἱ Ἀττικοὶ δὲ τῆϲ γενικῆϲ ταύτηϲ τρέπουϲι τὸ ο εἰϲ ω, οἷον Οἰνέωϲ Τυδέωϲ Θηϲέωϲ Ἀχιλλέωϲ Πηλέωϲ. Ἰϲτέον δὲ ὅτι τὰ εἰϲ ευϲ λήγοντα ὀνόματα ἀρϲενικά, εἴτε μονοϲύλλαβα εἴτε ὑπὲρ μίαν ϲυλλαβήν, πάντα ὀξύτονά εἰϲιν· εἰϲὶ δὲ δηλονότι κοινολεκτούμενα, οἷον Ἀχιλλεύϲ Ἀτρεύϲ Πηλεύϲ Θηϲεύϲ βαϲιλεύϲ ἱερεύϲ Ζεύϲ Φλεύϲ (ὁ Διόνυϲοϲ) Νεύϲ (ὄνομα ποταμοῦ) Δνεύϲ (ὄνομα πόλεωϲ ἐν Λυκίᾳ ἔνθα ἀνετράφη ἡ Χίμαιρα) ϲεύϲ (ὁ ϲκώληξ)· ταῦτα δέ, φημὶ δὴ τὸ Φλεύϲ καὶ Νεύϲ καὶ Δνεύϲ, οὐδὲ ϲυνήθη εἰϲὶ τοῖϲ Ἕλληϲι, τὸ δὲ ϲεύϲ οὐδὲ εὕρηται ἐν χρήϲει κατὰ τὴν εὐθεῖαν, ἀλλὰ κατὰ τὰϲ πλαγίουϲ. Πρόϲκειται «δηλονότι κοινολεκτούμενα» διὰ τὰ Αἰολικά, οἱ γὰρ Αἰολεῖϲ βαρυτόνωϲ λέγουϲιν Ἀχίλλευϲ Πήλευϲ Ἄτρευϲ· τοιοῦτον δέ ἐϲτι καὶ τὸ Ἄρευϲ Αἰολικὸν ὄν, οἱ γὰρ Αἰολεῖϲ τὸ Ἄρηϲ Ἄρευϲ λέγουϲιν· πρόϲκειται «ἀρϲενικά» διὰ τὸ νεῦϲ καὶ γρεῦϲ, ταῦτα γὰρ περιϲπῶνται, ἀλλ' οὐκ εἰϲὶν ἀρϲενικὰ ἀλλὰ θηλυκά, νεῦϲ δέ ἐϲτιν ἡ ναῦϲ καὶ γρεῦϲ ἡ γραῦϲ.

Ἰϲτέον δὲ ὅτι τὰ εἰϲ ευϲ λήγοντα πέντε κλίϲειϲ ἐπιδέχονται, διὰ τοῦ ε καὶ ο κοινῶϲ, οἷον Ἀχιλλέοϲ βαϲιλέοϲ· διὰ τοῦ ε καὶ ω ἀττικῶϲ, οἷον Ἀχιλλέωϲ βαϲιλέωϲ· διὰ τοῦ η καὶ ο παρὰ τοῖϲ ἀρχαίοιϲ Ἴωϲιν, οἷον Ἀχιλλῆοϲ βαϲιλῆοϲ, ὁμοίωϲ δὲ καὶ παρὰ τοῖϲ ἀρχαίοιϲ Αἰολεῦϲιν, ἀλλ' οἱ Αἰολεῖϲ προπαροξύνουϲιν, Ἀχίλληοϲ βαϲίληοϲ λέγοντεϲ· παρὰ δὲ τοῖϲ νεωτέροιϲ Ἴωϲι διὰ τῆϲ ει διφθόγγου καὶ τοῦ ο, οἷον Ἀχιλλεῖοϲ βαϲιλεῖοϲ, ὁμοίωϲ δὲ καὶ παρὰ τοῖϲ νεωτέροιϲ Αἰολεῦϲιν, ἀλλὰ πάλιν οἱ Αἰολεῖϲ προπαροξύνουϲιν, Ἀχίλλειοϲ βαϲίλειοϲ λέγοντεϲ. Ἰϲτέον δὲ ὅτι τινὲϲ ἐνόμιϲαν παρὰ τῷ ποιητῇ τὸ ⟨Β 517⟩ αὐτὰρ Φωκήων διὰ τῆϲ ει διφθόγγου γράφεϲθαι κατὰ τοὺϲ νεωτέρουϲ Ἴωναϲ, οὐκ ἔϲτι δὲ εἰ μὴ τὰ διὰ τοῦ η κατὰ τοὺϲ παλαιοὺϲ Ἴωναϲ, οἷϲ ϲυνεχῶϲ κέχρηται ὁ ποιητήϲ, οἷον ⟨Α 1⟩ Πηληϊάδεω Ἀχιλῆοϲ, ⟨Α 392⟩ κούρην Βριϲῆοϲ, τήν μοι δόϲαν υἷεϲ Ἀχαιῶν. Παρὰ δὲ τοῖϲ Βοιωτοῖϲ
210 g διὰ τοῦ ι καὶ ο γίνεται ἡ γενική, οἷον Ἀχιλλίοϲ βαϲιλίοϲ· τοιοῦτόν ἐϲτι καὶ τὸ Ζεύϲ βοιωτικῶϲ γινόμενον κατὰ τὴν γενικὴν Διόϲ διὰ τοῦ ι καὶ ο, τὸ γὰρ ζ εἰϲ τὸ δ τρέπουϲιν οἱ Βοιωτοί, οἷον Ζῆθοϲ Δῆθοϲ, οὕτωϲ οὖν καὶ Ζεύϲ Δεύϲ, καὶ λοιπὸν ἀπὸ τοῦ Δεύϲ ἐγένετο ἡ γενικὴ διὰ τοῦ ι καὶ ο βοιωτικῶϲ Διόϲ, τὸ γὰρ κοινολεκτούμενον, λέγω δὴ τὸ Ζεύϲ, οὐ κλίνεται διὰ τοιαύτην αἰτίαν· πᾶν ὄνομα μονοϲύλλαβον εἰϲ ϲ λῆγον ὀξύτονον καὶ διὰ καθαροῦ τοῦ οϲ κλινόμενον τὸν χρόνον τῆϲ εὐθείαϲ θέλει φυλάττειν καὶ ἐν τῇ γενικῇ, οἷον Τρώϲ Τρωόϲ, δμώϲ

[Discr. scr. ex NCVP] **1** τὸ ι VP, τοῦ ι NC | κλίνονται NC, κλίνεται VP || **5** ὀνόματα *om* VP || **16** γὰρ VP, δὲ NC || **18** *post* ευϲ *add* ταῦτα NC || **19** ε καὶ ο VP, εο NC | Ἀχιλέοϲ N || **20** Ἴωϲιν – ἀρχαίοιϲ (**21**) *om* N || **23** τοῦ *ante* ο *om* NC || **26** αὐτὰρ VP, ἀτὰρ NC || **28** τὰ *om* NC || **29** Πηληϊάδεο N | Ἀχιλλῆοϲ NC || **30** Βρηϲῆοϲ N || **31** ο] ω N || **37** ὀξύτονον] ὀξύτονον ὂν NC, ὀξυνόμενον VP | καὶ διὰ VP, ἢ διὰ C, διὰ N

δμωός, κίς κιός, λίς λιός. Πρόσκειται «μονοσύλλαβον» διὰ τὸ Ἀχίλλεύς Ἀχιλλέως, τοῦτο γὰρ ὀξύτονον ὂν οὐκ ἐφύλαξε τὸν χρόνον τῆς εὐθείας καὶ ἐν τῇ γενικῇ, ἀλλ' οὐκ ἔστι μονοσύλλαβον· πρόσκειται «εἰς c̄ λῆγον» διὰ τὸ φρήν φρενός, τοῦτο γὰρ μονοσύλλαβον ὂν καὶ ὀξύτονον οὐκ ἐφύλαξε τὸν χρόνον τῆς εὐθείας καὶ ἐν τῇ γενικῇ, ἀλλ' οὐ λήγει εἰς c̄· πρόσκειται «ὀξύτονον» διὰ τὸ βοῦς βοός καὶ νεῦς νεός καὶ γρεῦς γρεός (νεῦς δέ ἐστιν ἡ ναῦς καὶ γρεῦς ἡ γραῦς), ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν χρόνον τῆς ἰδίας εὐθείας ἐν τῇ γενικῇ, ἀλλ' οὐκ εἰσὶν ὀξύτονα ἀλλὰ περισπώμενα· πρόσκειται «διὰ καθαροῦ τοῦ ōc̄ κλινόμενον» διὰ τὸ Ζάς Ζαντός, τοῦτο γὰρ οὐκ ἐφύλαξε τὸν χρόνον τῆς εὐθείας ἐν τῇ γενικῇ, ἡ μὲν γὰρ εὐθεῖα φύσει μακρὸν ἔχει τὸ ᾱ, ἡ δὲ γενικὴ θέσει μακρόν, ἀλλ' οὐ κλίνεται διὰ καθαροῦ τοῦ ōc̄· ἔτι πρόσκειται «διὰ καθαροῦ τοῦ ōc̄ κλινόμενον» διὰ τὸ πούς ποδός καὶ κτείς κτενός, ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν χρόνον τῆς εὐθείας ἐν τῇ γενικῇ, ἀλλ' οὐ κλίνονται διὰ καθαροῦ τοῦ ōc̄. Εἰ ἄρα οὖν τὸ Ζεύς εἰς c̄ λήγει καὶ μονοσύλλαβόν ἐστι καὶ ὀξύτονον καὶ διὰ καθαροῦ τοῦ οc κλίνεται, ὀφείλει Ζευός εἶναι κατὰ τὴν γενικὴν διὰ τῆς εῡ διφθόγγου, ἵνα φυλάξῃ τὸν χρόνον τῆς εὐθείας ἐν τῇ γενικῇ· ἀλλ' ἐπειδὴ τὰ εἰς ευc ἀποβάλλουσι τὸ ῡ κατὰ τὴν γενικήν, οἷον Πηλεύς Πηλέος, Ἀχιλλεύς Ἀχιλλέος, βασιλεύς βασιλέος, Θησεύς Θησέος, χωρὶς τοῦ Ἄρευς Ἄρευος — τοῦτο γὰρ ἐφύλαξε τὸ ῡ παρὰ τοῖς Αἰολεῦσιν, οἷον Ἄρευος στρατιωτέροις, καὶ πάλιν τὸ γὰρ Ἄρευϊ καταθανεῖν καλόν, καὶ 211 g πάλιν μίξαντες ἀλλήλοισιν Ἄρευα — τούτου χάριν ἠναγκάζετο Ζεός εἶναι κατὰ τὴν γενικὴν κατὰ ἀποβολὴν τοῦ ῡ· τούτων οὖν τῶν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος φυλάττεσθαι τὸ ῡ κατὰ τὴν γενικὴν διὰ τὸ φυλαχθῆναι τὸν χρόνον τῆς εὐθείας, τοῦ δὲ ἑτέρου ἀπαιτοῦντος ἀποβάλλεσθαι τὸ ῡ κατὰ τὴν γενικὴν τῷ λόγῳ τῶν εἰς εῡc̄, ἀπέλειψεν ἡ κοινὴ κλίσις καὶ παρεισῆλθεν ἡ τῶν Βοιωτῶν κλίσις, οἷον Διός Διί Δία, ὥσπερ Ἀχιλλίος Ἀχιλλίϊ Ἀχιλλία. Οὐ γάρ, ὡς νομίζουσί τινες, ἀπὸ τῆς Δίς εὐθείας τῆς κειμένης παρὰ τῷ Ῥίνθωνι ἐγένετο ἡ Διός γενική, ὥσπερ ἀπὸ τοῦ κίς κιός (σημαίνει δὲ τὸν σκώληκα) καὶ ἀπὸ τοῦ λίς λιός (σημαίνει δὲ τὸν λέοντα)· ἐκεῖνος γὰρ ἐπλάσατο τὴν Δίς εὐθεῖαν πρὸς τὴν Διός γενικήν, ἵνα νομισθῇ ἀκόλουθος εἶναι ἡ γενική· ὅτι γὰρ οὐ δύναται εἶναι ἡ Διός γενικὴ ἀπὸ τῆς εὐθείας τῆς Δίς, εἴρηται ἐν τῇ περὶ τοῦ Πάριδος διδασκαλίᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς εῡc̄ λήγοντα ἐὰν καθαρεῦον ἔχωσι τὸ ε̄, τουτ-

---

[Discr. scr. ex NCVP] **1** μονοσύλλαβα NC ‖ **4** ὀξύτονον NC, ὀξυνόμενον VP; *item v. 6* ‖ **7** νεῦς δέ ἐστιν — γραῦς CP, *om* VN ‖ **12** μακρόν *om* NC ‖ **15** λήγει VP, λῆγον NC ‖ **20** βασιλεύς *om* N ‖ **21** στρατιωτέροις NC, στρατιωτέρους VP ‖ **22** τὸ NC, τῷ VP ‖ **23** Ἄρευα NC, Ἄρευϊ V, χάρευεν P; *vide Alcaei fragm. 29–31 B*[4] ‖ **24** οὖν *om* N ‖ **25** ἀπητοῦντος N ‖ **29** Ἀχιλλῖος *etc. RMeister 1, 225 adn. 1* ‖ **35** εἴρηται] *cfr. p. 191, 22* | *post* διδασκαλίᾳ *add* πράξεις με P

έστι μὴ ἔχον προηγούμενον σύμφωνον, συναιροῦνται κατὰ τὴν γενικὴν τὴν Ἀττικὴν παρὰ τοῖς Ἀθηναίοις, οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, Πειραιεύς Πειραιέως Πειραιῶς, Στειριεύς Στειριέως Στειριῶς, τοῦ ε̄ καὶ ω̄ εἰς τὸ ω̄ κιρναμένων, ὡς ποιέω ποιῶ, νοέω νοῶ· ἐὰν δὲ μὴ ἔχωσι καθαρεῦον τὸ ε̄, ἀλλ' ἔχῃ προηγούμενον σύμφωνον, οὐ γίνεται κρᾶσις κατὰ τὴν γενικὴν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις, οἷον Ἀχιλλεύς Ἀχιλλέος Ἀχιλλέως, Πηλεύς Πηλέος Πηλέως, βασιλεύς βασιλέος βασιλέως· καὶ τὴν αἰτίαν ἐν τῇ περὶ τοῦ ἡδέος διδασκαλίᾳ εἰ θεῷ φίλον μαθησόμεθα.

Πρόσκειται «οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις», ἐπειδὴ παρὰ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσι κρᾶσις γίνεται ἐπὶ τούτων κατὰ τὴν γενικὴν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ε̄ῡ δίφθογγον, οἷον τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς, ⟨ω 398⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,
212 g ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησεν· καὶ πάλιν τοῦ Ἰδομενέος τοῦ Ἰδομενεῦς, ⟨Ν 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα, ἀντὶ τοῦ Ἰδομενέος οὐκ ἔληγεν ἡ δύναμις. Διαφέρουσι δ' αὗται αἱ κατὰ διάλεκτον γενικαὶ τῶν ἰδίων εὐθειῶν, εἰ καὶ ὁμοφωνοῦσιν αὐταῖς, τῷ τόνῳ· αἱ μὲν γὰρ εὐθεῖαι αὐτῶν ὀξύνονται, οἷον Ὀδυσσεύς Ἰδομενεύς, αὗται δὲ αἱ κατὰ διάλεκτον γενικαὶ ὡς κατὰ κρᾶσιν γενόμεναι περισπῶνται, οἷον τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς, τοῦ Ἰδομενέος τοῦ Ἰδομενεῦς· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποιέω ποιῶ, νοέω νοῶ, πάϊς παῖς, εὐσεβέος εὐσεβοῦς, εὐγενέος εὐγενοῦς. Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ τῶν γενικῶν τῶν ἀπὸ τῶν εἰς ευς ποιοῦνται οἱ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν τοιαύτην κρᾶσιν, ἀλλὰ καὶ ἐπ' ἄλλων· ἰδοὺ γὰρ τὸ Ἔρεβος τοῦ Ἐρέβεος κατὰ κρᾶσιν Ἰωνικὴν ἢ Δωρικὴν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ε̄ῡ δίφθογγον γίνεται Ἐρέβευς, ὡς παρὰ τῷ ποιητῇ ⟨Θ 368⟩ ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο, ἀντὶ τοῦ ἐκ τοῦ Ἐρέβους. Ταῦτα μὲν ἐν τούτοις. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ υἱεύς υἱέος οὐ γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε̄ καὶ ω̄ κατὰ τὴν γενικὴν ἀλλὰ φυλάττει τὸ ο̄· υἱεύς δέ ἐστιν ὁ υἱός.

Τῷ Πηλέϊ καὶ Πηλεῖ. Ἄξιον δέ ἐστι ζητῆσαι, διατί ὥσπερ ἐπὶ τοῦ Πηλέϊ κατὰ συναίρεσιν τοῦ ε̄ καὶ ῑ εἰς τὴν ε̄ῑ δίφθογγον γίνεται Πηλεῖ, μὴ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ νεῦς νεός νεΐ καὶ γρεῦς γρεός γρεΐ γίνεται κατὰ συναίρεσιν τοῦ ε̄ καὶ ῑ εἰς τὴν ε̄ῑ δίφθογγον νεῖ καὶ γρεῖ. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται γενέσθαι κατὰ συναίρεσιν ἡ δοτικὴ νεῖ καὶ γρεῖ διὰ τὴν αἰτίαν, ἣν ἔχομεν εἰπεῖν ἐν τῇ περὶ τοῦ βοῦς διδασκαλίᾳ, ἡνίκα ζητοῦμεν, διατί οὐ συναιρεῖται ἡ βοΐ δοτική· ἡ αὐτὴ γὰρ αἰτία καὶ ἐνταῦθα ἁρμόζει. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οἱ Ἀττικοὶ μόνῃ τῇ συνῃρημένῃ χρῶνται δοτικῇ ἐν

[Disch. sch. ex NCVP] **2** τὴν *om* N || **3** Πειραιεύς — Στειριῶς *om* NC || **5** ἔχει NC || **7** Ἀχιλλέος, Πηλέος, βασιλέος *om* NCP, V *autem supra* ος *habet* ως, *plenis nominibus in* ως *omissis* || **8** ἡδὺς NC || **13** Ὀδυσσεὺς NCVP | δὲ *om* NC || **23** τῶν ἀπὸ *om* NC || **28** ἐκ τοῦ *om* NC || **32** κατὰ — Πηλεῖ (**33**) VP, Πηλεῖ κατὰ συν. γίνεται τοῦ ε̄ καὶ ῑ εἰς τὴν ε̄ῑ δίφθ. NC

τοῖς τοιούτοις ὀνόμασιν, οὐ μὴν καὶ τῇ ἐντελεῖ, τῷ Πηλεῖ γὰρ καὶ τῷ βασιλεῖ λέγουσιν, οὐ μὴν καὶ τῷ Πηλέϊ καὶ τῷ βασιλέϊ.

Τὸν Πηλέα. Ἰστέον ὅτι ἀπὸ τῆς Πηλέϊ δοτικῆς ἐγένετο τροπῇ 213 g τοῦ ῑ εἰς ᾱ, ὥσπερ Αἴαντι Αἴαντα, Θόαντι Θόαντα· ἰστέον δὲ ὅτι πᾶσα γενικὴ εἰς ος λήγουσα ἔχουσα τὴν αἰτιατικὴν τῶν ἑνικῶν εἰς ᾱ ὁμόχρονον ἑαυτῇ ἔχει αὐτήν, οἷον Αἴαντος Αἴαντα, Θόαντος Θόαντα· ἰδοὺ ἐνταῦθα τὸ ᾱ βραχύ ἐστιν, ἐπειδὴ καὶ ἡ ος συλλαβὴ βραχεῖά ἐστιν· ὁμοίως Πηλέος Πηλέα, Ἀχιλλέος Ἀχιλλέα. Οἱ μέντοι Ἀθηναῖοι ἐπειδὴ Πηλέως καὶ Ἀχιλλέως λέγουσι διὰ τοῦ ε̄ καὶ ω̄, τούτου χάριν καὶ τὴν αἰτιατικὴν ποιοῦσιν εἰς ᾱ μακρόν, ἵνα ἰσόχρονος γένηται ἡ αἰτιατικὴ τῇ ἰδίᾳ γενικῇ· καὶ πολλή ἐστιν ἡ χρῆσις τῆς τοιαύτης αἰτιατικῆς, ὡς ἔχομεν καὶ παρὰ τῷ Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ ⟨545⟩ καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας, ἐξέτεινε γὰρ τὸ ᾱ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, εἰ ἄρα οἱ Ἀθηναῖοι τῆς Πηλέα καὶ Ἀχιλλέα αἰτιατικῆς τὸ ᾱ ἐκτείνουσι πρὸς ἀναλογίαν τῆς διὰ τοῦ ε̄ καὶ ω̄ γενικῆς, ἤγουν τῆς Πηλέως καὶ Ἀχιλλέως, διὰ ποίαν αἰτίαν μὴ καὶ τῆς Πηλέϊ καὶ Ἀχιλλέϊ δοτικῆς τὸ ῑ ἐκτείνουσι πρὸς ἀναλογίαν τῆς γενικῆς; Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ κέχρηνται οἱ Ἀττικοὶ ἐπὶ τούτων τῇ ἐντελεῖ δοτικῇ ἀλλὰ τῇ συνῃρημένῃ, ἵνα ἀναγκασθῶσι πρὸς ἀναλογίαν τῆς γενικῆς ἐκτεῖναι τῆς δοτικῆς τὸ ῑ· τῇ συνῃρημένῃ δὲ κεχρημένοι αὐτὴν ἔχουσι μακράν, οἷον Πηλεῖ Ἀχιλλεῖ. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ ἡμᾶς παραφυλάξασθαι καὶ ἄλλο, ὅτι ἐπὶ τῶν προειρημένων Ἀττικῶν τῶν γινομένων κατὰ συναλοιφὴν ἐν τῇ γενικῇ τοῦ ε̄ καὶ ω̄ εἰς τὸ ω̄, οἷον τοῦ Ἐρετριέως τοῦ Ἐρετριῶς, τοῦ Πειραιέως τοῦ Πειραιῶς, τοῦ Στειριέως τοῦ Στειριῶς, οἱ Ἀθηναῖοι τὰς αἰτιατικὰς συναλείφοντες εἰς ᾱ μόνον ποιοῦσιν αὐτάς, οἷον τὸν Ἐρετριέα τὸν Ἐρετριᾶ, τὸν Πειραιέα τὸν Πειραιᾶ, τὸν Στειριέα τὸν Στειριᾶ, καὶ οὐκέτι καὶ εἰς η̄, καίτοι κανόνος ἡμῖν προειρημένου, ὅτι τὸ ε̄ καὶ ᾱ εἰς η̄ καὶ μακρὸν ᾱ κίρνανται. Ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ἡνίκα μὲν προηγεῖται τοῦ ε̄ σύμφωνον, τότε τὸ ε̄ καὶ ᾱ εἰς η̄ μόνως κίρνανται, οἷον εὐσεβέα εὐσεβῆ, εὐγενέα εὐγενῆ, τείχεα τείχη, βέλεα βέλη, ἡνίκα δὲ προηγεῖται φωνῆεν τοῦ ε̄, τότε τὸ ε̄ καὶ ᾱ εἰς η̄ καὶ εἰς ᾱ μακρὸν κίρνανται, 214 g οἷον εὐφυέα εὐφυᾶ καὶ εὐφυῆ, ἀφυέα ἀφυᾶ καὶ ἀφυῆ, ὑγιέα ὑγιᾶ καὶ ὑγιῆ· ἐπὶ οὖν τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ εἰς ᾱ μόνον ἐγένετο ἡ κρᾶσις, οὐκέτι δὲ καὶ εἰς η̄, καίτοι φωνήεντος προηγουμένου τοῦ ε̄. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐπὶ τούτων εἰς ᾱ μόνως ἐγένετο ἡ κρᾶσις τοῦ ε̄ καὶ ᾱ, οὐκέτι δὲ καὶ εἰς η̄. Καὶ λέγουσί τινες

[Discr. scr. ex NÇVP] **2** Πηλέϊ *et* βασιλέϊ NC, Πηλῆϊ *et* βασιλῆϊ VP ‖ **4** δὲ *om* NC ‖ **12** μὴν VP, μὶν NC ‖ **16** καὶ *ante* τῆς *om* NÇ ‖ **24** τοῦ Πειρ. τοῦ Πειρ. *om* NC ‖ **25** τοῦ Στειρ. τοῦ Στειρ. *om* VP | συναλοίφοντες NC ‖ **27** τὸν Πειρ. τὸν Πειρ. *om* NC ‖ **29** κιρνᾶται NCVP | ἐν τοῖς προλ.] *cfr. p. 174, 34* ‖ **36** *ad* τούτοις *in marg. add* πρ. νβ C

ταύτην τὴν ἀπολογίαν, ὅτι ὃν τρόπον ἐν τῇ γενικῇ ἐποίησαν τὴν κρᾶσιν οὐκ ἀπὸ τῆς κοινῆς γενικῆς τῆς διὰ τοῦ ε̄ καὶ ō, ἀλλ' ἀπὸ τῆς Ἀττικῆς τῆς διὰ τοῦ ε̄ καὶ ω̄, οἷον Πειραιέως Πειραιῶς, Ἐρετριέως Ἐρετριῶς, Στειριέως Στειριῶς, τὸν αὐτὸν τρόπον καὶ ἐν τῇ αἰτιατικῇ οὐκ ἀπὸ τῆς κοινῆς αἰτιατικῆς ἐποίησαν τὴν κρᾶσιν, τουτέστι τῆς ἐχούσης τὸ ᾱ συνεσταλμένον, ἀλλ' ἀπὸ τῆς αἰτιατικῆς τῆς ἐχούσης τὸ ᾱ ἐκτεταμένον, καὶ λοιπὸν εὐλόγως εἰς ᾱ μόνον ἐγένετο ἡ κρᾶσις· τὰ γὰρ ἀναδεχόμενα κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς η̄ καὶ εἰς ᾱ μακρόν, πρὸ τῆς κράσεως συνεσταλμένον ἔχουσι τὸ ᾱ, οἷον τὸν ὑγιέα, τὸν εὐφυέα· ἐπὶ τούτων δέ, φημὶ δὴ τοῦ Ἐρετριᾶ Πειραιᾶ Στειριᾶ, ἐπεὶ τὸ ᾱ καὶ πρὸ τῆς κράσεως μακρόν ἐστιν, εἰκότως εἰς ᾱ μόνως γίνεται ἡ κρᾶσις, οὐκέτι δὲ καὶ εἰς η̄. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οὐκ ἔστι καταναγκαστικὸς οὗτος ὁ λόγος· πολλάκις γὰρ εὑρίσκεται τὸ ε̄ καὶ ᾱ μακρὸν εἰς η̄ κιρνάμενα, ὡς ἐπὶ τοῦ Ἑρμέας Ἑρμῆς, Σωσέας Σωσῆς· ἰδοὺ γὰρ ἐνταῦθα τὸ ε̄ καὶ ᾱ μακρὸν εἰς η̄ κίρνανται· τὸ γὰρ Ἑρμέας καὶ Σωσέας μακρὸν ἔχουσι τὸ ᾱ, ἐπειδή, ὡς ἐμάθομεν ἐν τοῖς προλαβοῦσι, τὰ εἰς ᾱς̄ ἀρσενικὰ βαρύτονα μακρὸν ἔχουσι τὸ ᾱ, οἷον Αἴας Θόας κοχλίας Αἰνείας γίγας Κάλχας, χωρὶς τοῦ μέγας τοῦ ἐπιθέτου καὶ τοῦ λᾶας τοῦ προσηγορικοῦ καὶ τοῦ Αἶας παρὰ τῷ Ἀλκμᾶνι· τί οὖν ἄτοπον καὶ ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ, εἰ καὶ ἀπὸ τῆς Ἀττικῆς αἰτιατικῆς, φημὶ δὴ τῆς ἐχούσης τὸ ᾱ ἐκτεταμένον, ἐγένετο ἡ κρᾶσις, γενέσθαι καὶ εἰς
215 g η̄ τὴν κρᾶσιν; Κρεῖττον οὖν ἐστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· διὰ τοῦτο ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ οὐκ ἐγένετο εἰς η̄ ἡ κρᾶσις ἀλλ' εἰς ᾱ μόνον, ἐπειδὴ τούτων ἡ κλητικὴ εἰς φωνῆεν λήγει, οἷον ὦ Ἐρετριεῦ καὶ ὦ Πειραιεῦ καὶ ὦ Στειριεῦ· οὐδέποτε δὲ τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ὀφείλει ἡ αἰτιατικὴ εἰς η̄ καταλήγειν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις, οἷον ὦ Χρύση τὸν Χρύσην, ὦ τοξότα τὸν τοξότην, ὦ Δημοσθένη ἀττικῶς καὶ τὸν Δημοσθένην ἀττικῶς μετὰ τοῦ ν̄· «παρ' ἡμῖν ἢ παρὰ τοῖς Ἀθηναίοις» πρόσκειται, ἐπειδὴ παρὰ τοῖς Δωριεῦσιν εὑρίσκεται ἡ κλητικὴ εἰς φωνῆεν λήγουσα τῆς αἰτιατικῆς εἰς η̄ καταληγούσης, οἷον ὦ Τυδεῦ καὶ τὸν Τυδῆ, ὡς παρὰ τῷ ποιητῇ ⟨Δ 384⟩ ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ

[Discr. scr. ex NCVP] **1** ἐν τῇ γενικῇ *om* NC | τὴν *ante* κρᾶσιν *om* NC || **3** Πειρεαίως Πειρεῶς N || **4** καὶ *om* NC || **6** συνεσταλμένον — ἐχούσης τὸ ᾱ *om* NC || **8** *post* εἰς η̄ *unus* C *add* ἢ εἰς ᾱ, *unde EHiller, Ann. Phil. 1871 p. 628 coniecit*: εἰς η̄ ἢ εἰς η̄ καὶ εἰς ᾱ μακρὸν || **10** δὲ VP, οὖν NC | *post* Στειριᾶ *add*: εἰς ᾱ μόνως ἐγένετο ἡ κρᾶσις. τὰ γὰρ ἀναδεχόμενα κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς η̄ καὶ ᾱ μακρὸν πρὸ τῆς κράσεως συνεσταλμένον ἔχουσι τὸ ᾱ NC; *quae verba ex eis quae antecedunt male repetita et a Gaisfordio mire perversa frustra sanare studuit EHiller, Ann. Phil. 1871 p. 628* || **14** γὰρ *om* NC || **17** ἐν τοῖς προλ.] *cfr. p. 122, 5* || **18** γίγας NC, Ἑρμείας Γέτας VP || **20** τῷ *om* NC | Ἀλκμάνι N || **24** Ἐρετριέα — Στειριᾶ VP, Ἐρετριέα Πειραιέα Στειριέα, Ἐρετριᾶ καὶ Στειριᾶ καὶ Πειραιᾶ NC

Τυδῆ ϲτεῖλαν Ἀχαιοί, ἀντὶ τοῦ ἄγγελον τὸν Τυδέα ἀπέϲτειλαν οἱ Ἕλληνεϲ, τὸ γὰρ ἀγγελίην τὸν ἄγγελον ϲημαίνει ἐνταῦθα· τούτου οὖν χάριν ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Ϲτειριέα Ϲτειριᾶ εἰϲ ᾱ μόνωϲ ἐγένετο ἡ κρᾶϲιϲ, οὐκέτι δὲ καὶ εἰϲ η̄, ἵνα μή, ὡϲ εἴρηται, εὑρεθῇ τῆϲ κλητικῆϲ εἰϲ φωνῆεν ληγούϲηϲ ἡ αἰτιατικὴ εἰϲ η̄ καταλήγουϲα. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἀποροῦϲι δέ τινεϲ λέγοντεϲ, διατί ὥϲπερ λέγομεν τὸν Δημοϲθένεα καὶ Δημοϲθένη κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ᾱ εἰϲ η̄, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸν Πηλέα καὶ τὸν Πηλῆ καὶ τὸν Ἀχιλλέα καὶ τὸν Ἀχιλλῆ λέγομεν. Ἔϲτιν οὖν εἰπεῖν, ὅτι πρῶτον μέν, ὡϲ εἴρηται, οὐ δύναται ἡ αἰτιατικὴ εἰϲ η̄ καταλήγειν διὰ τὸ τὴν κλητικὴν εἰϲ φωνῆεν λήγειν, ὦ Πηλεῦ γὰρ καὶ ὦ Ἀχιλλεῦ ἐϲτὶν ἡ κλητική· δεύτερον δέ, ἐπειδὴ ἡ γενικὴ ἐπὶ τούτων οὐ ϲυναιρεῖται — οὐδὲ γὰρ λέγομεν Πηλοῦϲ καὶ Ἀχιλλοῦϲ ὥϲπερ Δημοϲθένουϲ — τούτου χάριν οὔτε ἡ αἰτιατικὴ ϲυναιρεῖται· ὅτι δὲ τοῦτο ἀληθέϲ ἐϲτι δῆλον, εἴγε παρὰ τοῖϲ Δωριεῦϲι καὶ τοῖϲ Ἴωϲιν ἐπὶ τούτων τῶν εἰϲ ε̅υ̅ϲ̅ γίνεται ἡ κρᾶϲιϲ ἐν τῇ αἰτιατικῇ τοῦ ε̄ καὶ ᾱ εἰϲ η̄, οἷον Τυδέα Τυδῆ, ὡϲ παρὰ τῷ ποιητῇ ⟨Δ 384⟩ ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ ϲτεῖλαν Ἀχαιοί, ἀντὶ γὰρ τοῦ ἄγγελον τὸν Τυδέα ἀπέϲτειλαν οἱ Ἀχαιοὶ ἤτοι οἱ Ἕλληνεϲ· καὶ ἐπὶ τῶν ὁμοίων 216 g ὡϲαύτωϲ, ἐπειδὴ καὶ ἐν τῇ γενικῇ ποιοῦϲι κρᾶϲιν, ὡϲ εἴρηται ἀνωτέρω, οἷον τοῦ Ὀδυϲϲέοϲ τοῦ Ὀδυϲϲεῦϲ, τοῦ Ἰδομενέοϲ τοῦ Ἰδομενεῦϲ.

Ὦ Πηλεῦ. Εἴρηται ὅτι τὰ εἰϲ ϲ̄ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ϲ̄ ποιοῦϲι τὴν κλητικήν, οἷον ὁ χαρίειϲ ὦ χαρίει, ὁ τιμήειϲ ὦ τιμήει, ὁ παῖϲ ὦ παῖ, ὁ Ζεύϲ ὦ Ζεῦ· οὕτωϲ οὖν καὶ ὁ Πηλεύϲ ὦ Πηλεῦ. Ἰϲτέον δὲ ὅτι τὸ μὲν Πηλεύϲ ὀξύνεται, τὸ δὲ Πηλεῦ περιϲπᾶται· καὶ τὸ μὲν Πηλεύϲ ὀξύνεται, ὅτι, ὡϲ ἐμάθομεν ἀνωτέρω, τὰ εἰϲ ε̅υ̅ϲ̅ κοινολεκτούμενα ἀρϲενικὰ ὀξύνονται, οἷον Πηλεύϲ Ἀχιλλεύϲ Ἀτρεύϲ Ζεύϲ, τὸ δὲ Πηλεῦ περιϲπᾶται κανόνι τοιούτῳ, ὅτι πᾶϲα λέξιϲ εἰϲ τὸ ῡ καταλήγουϲα ἐν διφθόγγῳ ἐπὶ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ ἔχουϲα τὸν τόνον περιϲπωμένην δέχεται, οἷον καλοῦ ϲοφοῦ ἀγαθοῦ πανταχοῦ ἀλλαχοῦ οὐδαμοῦ εὖ φεῦ Ἀτρεῦ Ἀχιλλεῦ· οὕτωϲ οὖν καὶ Πηλεῦ περιϲπωμένωϲ. Πρόϲκειται «εἰϲ τὸ ῡ καταλήγουϲα» διὰ τὸ Πηλεύϲ Ἀτρεύϲ, ταῦτα γὰρ ὀξύνονται, ἀλλ' οὐ καταλήγουϲιν εἰϲ τὸ ῡ ἀλλ' εἰϲ τὸ ϲ̄· πρόϲκειται «ἐν διφθόγγῳ» διὰ τὸ ὦ ταχύ καὶ ὦ βραδύ· ταῦτα γὰρ εἰϲ τὸ ῡ καταλήγουϲιν καὶ οὐ περιϲπῶνται, ἀλλ' οὐκ ἔχουϲι τὸ ῡ ἐν διφθόγγῳ· πρόϲκειται «ἐπὶ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ ἔχουϲα τὸν τόνον» διὰ τὸ ἀνθρώπου καὶ Ὁμήρου, ταῦτα γὰρ εἰϲ τὸ ῡ καταλήγουϲιν ἐν διφθόγγῳ καὶ ὅμωϲ οὐ περιϲπῶνται, ἀλλ' οὐκ ἔχουϲιν ἐπὶ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ τὸν τόνον. Δεῖ προϲθεῖναι ἐν τῷ κανόνι «χωρὶϲ τοῦ ἰδού δεικτικοῦ καὶ τοῦ ἰού ϲχετλιαϲτικοῦ καὶ τοῦ οὔ ἀρνητικοῦ», ταῦτα

[Discr. scr. ex NCVP] **2** οὖν *om* NC ‖ **15** δὲ VP, γὰρ NC ‖ **18** ἀντὶ — Ἕλληνεϲ (**19**) *om* N ‖ **19** ἀπέϲτειλαν *om* C ‖ **20** ἀνωτέρω] *cfr. p. 215, 11* ‖ **22** Ὦ Πηλεῦ *om* NC | Εἴρηται] *cfr. p. 209, 12* ‖ **26** ἀνωτέρω] *cfr. p. 213, 5* ‖ **28** δὲ *om* NC ‖ **32** ῡ *om* N ‖ **38** ὅμωϲ VP, ὁμοίωϲ NC

γὰρ εἰc υ̅ καταλήγουcιν ἐν διφθόγγῳ καὶ ἐπὶ τῆc τελευταίαc cυλλαβῆc ἔχουcι τὸν τόνον, καὶ ὅμωc οὐ περιcπῶνται ἀλλ' ὀξύνονται· διατί δὲ ὀξύνονται, ἐν τῇ περὶ τῶν τόνων διδαcκαλίᾳ εἰ θεῷ φίλον μαθηcόμεθα.

Τὼ Πηλέε τὼ Πηλῆ. Ἐμάθομεν ὅτι ἐν τοῖc δυϊκοῖc τὰ δύο ε̅ε̅ εἰc η̅ κίρνανται, οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη, βαcιλέε βαcιλῆ, Πηλέε Πηλῆ.

Τοῖν Πηλέοιν. Ἰcτέον ὅτι ἡ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν οὐ
217 g cυναιρεῖται ἐνταῦθα, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν cυναιρεῖται, οἷον Πηλέοc. Δεῖ δὲ γινώcκειν, ὅτι ἡνίκα μὲν cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, τότε καὶ ἡ γενικὴ τῶν δυϊκῶν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται, οἷον Δημοcθένεοc Δημοcθένουc, Δημοcθενέοιν Δημοcθενοῖν, Δημοcθενέων Δημοcθενῶν, Διομήδεοc Διομήδουc, Διομηδέοιν Διομηδοῖν, Διομηδέων Διομηδῶν, τείχεοc τείχουc, τειχέοιν τειχοῖν, τειχέων τειχῶν· ἡνίκα δὲ μὴ cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, τότε οὔτε ἡ γενικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται, οἷον ὄφιc ὄφεοc ὀφέοιν ὀφέων, ταχύc ταχέοc ταχέοιν ταχέων, ἡδύc ἡδέοc ἡδέοιν ἡδέων· ἰδοὺ ἐπὶ τούτων ἐπειδὴ οὐ cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, οὔτε ἡ γενικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται· εἰ ἄρα οὖν ἐπὶ τοῦ Πηλεύc οὐ cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Πηλέοc, δηλονότι εὐλόγωc οὔτε ἡ γενικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται, οἷον Πηλέοιν Πηλέων. Ὦ Πηλέε ὦ Πηλῆ· εἴρηται.

Οἱ Πηλέεc καὶ οἱ Πηλεῖc. Ἰcτέον ὅτι ἐπὶ τῶν εἰc ε̅υ̅c̅ κυρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο ε̅ε̅ εἰc τὴν ε̅ι̅ δίφθογγον cυναλείφει μόνωc ἤγουν κιρνᾷ, οἷον Ἀχιλλέεc Ἀχιλλεῖc, Πηλέεc Πηλεῖc, Ἀτρέεc Ἀτρεῖc, Τυδέεc Τυδεῖc, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων εἰc τὴν ε̅ι̅ δίφθογγον cυναλείφει τὰ δύο ε̅ε̅ καὶ εἰc τὸ η̅ ἀττικῶc, βαcιλέεc βαcιλεῖc διὰ τῆc ε̅ι̅ διφθόγγου καὶ βαcιλῆc ἀττικῶc διὰ τοῦ η̅, ἱππέεc ἱππεῖc διὰ τῆc ε̅ι̅ διφθόγγου καὶ ἱππῆc διὰ τοῦ η̅ ἀττικῶc· ἡ δὲ τούτων αἰτιατικὴ διὰ τῆc ε̅ι̅ διφθόγγου μόνωc λέγεται, οὐκέτι δὲ καὶ διὰ τοῦ η̅, οἷον τοὺc βαcιλεῖc, τοὺc ἱππεῖc, καὶ τοῦτο εὐλόγωc, ἐπειδὴ οὔτε ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐcτι γνηcία ἡ κρᾶcιc ἡ τῶν δύο ε̅ε̅ εἰc τὸ η̅· ἐμάθομεν γὰρ ἐν τοῖc προλαβοῦcιν, ὅτι τὰ δύο ε̅ε̅ ἐν τοῖc πληθυντικοῖc εἰc

[Discr. scr. ex NCVP] **4** *ante* Τὼ Πηλέε *add* ἡ εὐθεῖα τῶν δυϊκῶν NC | τὼ Πηλῆ *om* VP | Ἐμάθομεν] *cfr. p. 178, 5* ‖ **5** βαcιλέε — Πηλῆ (**6**) NC, ὅτι ἡ ἑνικὴ τούτων γενικὴ κρᾶcιν ἐπιδέχεται, οὐ μέντοι γε ἐπὶ τοῦ Πηλέε καὶ βαcιλέε καὶ τὰ τούτοιc ὅμοια (*sic*)· τούτων γὰρ ἡ γενικὴ τῶν ἑνικῶν οὐκ ἐπιδέχεται κρᾶcιν, καὶ ὧν ἡ γενικὴ τῶν ἑνικῶν οὐ cυναιρεῖται, τούτων οὔτε ἡ εὐθεῖα τῶν δυϊκῶν οὔτε ἡ γενικὴ καὶ δοτική, οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν κιρνᾶται VP ‖ **7** *ante* Τοῖν *add* ἡ γενικὴ N | καὶ δοτικὴ *om* NC ‖ **11—13** VP *add nominativos dualis* Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη, τείχεε τείχη ‖ **13** Διομηδοῖν] Διομηδεῖν N ‖ **15** *ante prius* οὔτε *add* οὔτε ἡ εὐθεῖα τῶν δυϊκῶν, ὡc προείρηται (*cfr. adnotat. ad v. 5 — 6*) ‖ **18** *ante* οὔτε ἡ γεν. τῶν δ. *add* οὔτε ἡ εὐθεῖα τῶν δυϊκῶν; *item v. 20* ‖ **23** *ante* Οἱ Πηλ. *add* ἡ εὐθεῖα τῶν πληθυντικῶν NC ‖ **33** ἐν τοῖc προλ.] *cfr. p. 178, 6*

τὴν ει δίφθογγον κίρνανται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις. Σημειοῦται δὲ ὁ Ἡρωδιανὸς παρὰ τῷ Σοφοκλεῖ τοὺς βασιλῆς διὰ τοῦ η κατὰ τὴν αἰτιατικήν, οἷον ⟨Ai. 390⟩ τούς τε δισσάρχας ὀλέσας βασιλῆς· ἔστι δὲ καὶ παρὰ τῷ Ξενοφῶντι ⟨Cyrop. I 1, 2⟩ τοὺς νομῆς διὰ τοῦ η· εἰσὶ δὲ καὶ ἄλλαι αἰτιατικαί, ἅστινας ἐσημειώσαντο οἱ μεταγενέστεροι, διὰ τοῦ η γενόμεναι παρὰ τὴν ἀναλογίαν.

Τῶν Πηλέων. Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ γενικὴ τῶν πληθυντικῶν, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν συναιρεῖται, τοῦ Πηλέος 218 g γὰρ μόνως.

Τοῖς Πηλεῦσι μόνως. Ἰστέον ὅτι μόνως τὴν δοτικὴν τῶν πληθυντικῶν διὰ τῆς ευ διφθόγγου λεκτέον τῷ ἀπὸ τῆς εὐθείας κανόνι τῷ λέγοντι· πᾶσα εὐθεῖα ἑνικῶν εἰς ς λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον Αἴας Αἴαντος Αἴασι, λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσί, Πηλεύς Πηλέος Πηλεῦσι Δεῖ παραφυλάξασθαι ἐν τοῖς εἰς ευς τὸ υἱέσι παρὰ τοῖς Ἀθηναίοις, ὀφείλει γὰρ εἶναι υἱεῦσιν, υἱεύς γάρ ἐστιν ἡ εὐθεῖα· ἔχει δὲ ἀπολογίαν τοιαύτην, ἐπειδὴ πάντων τῶν εἰς ευς κατὰ τὴν γενικὴν διὰ τοῦ ε καὶ ω γινομένων παρὰ τοῖς Ἀθηναίοις, οἷον Ἀχιλλέως Πηλέως, τοῦτο μόνον, φημὶ δὴ τὸ υἱεύς, οὐκ ἐγένετο διὰ τοῦ ε καὶ ω κατὰ τὴν γενικὴν παρ' αὐτοῖς, ἀλλ' ἐφύλαξε τὸ ο, οἷον υἱέος· εἰκότως οὖν ὡς παραλλάξαν παρ' αὐτοῖς κατὰ τὴν γενικὴν τῶν ἑνικῶν παρήλλαξε παρ' αὐτοῖς καὶ κατὰ τὴν δοτικὴν τῶν πληθυντικῶν. Ἔτι δὲ σημειούμεθα καὶ τὸ δρομέσι παρὰ τῷ Καλλιμάχῳ ⟨fragm. 555 Sch.⟩, ἐκεῖνος γὰρ δρομέσιν ἔγραψεν ὀφείλων ἐπιγράψαι δρομεῦσι· δρομεύς γάρ ἐστιν ἡ εὐθεῖα.

Τοὺς Πηλέας καὶ Πηλεῖς. Ἰστέον ὅτι ὁμοφωνεῖ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον οἱ Πηλέες οἱ Πηλεῖς καὶ τοὺς Πηλέας καὶ Πηλεῖς· ἐμάθομεν γὰρ ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ς λήγουσα καὶ συναιρουμένη κατὰ τὴν τελευταίαν συλλαβὴν ἔχει τὴν αἰτιατικὴν ὁμόφωνον αὐτῇ δηλονότι καὶ τὴν κλητικήν, οἷον οἱ βότρυς τοὺς βότρυς ὦ βότρυς, οἱ ἰχθῦς τοὺς ἰχθῦς ὦ ἰχθῦς, οἱ βοῦς τοὺς βοῦς ὦ βοῦς, οἱ ἡδεῖς τοὺς ἡδεῖς ὦ ἡδεῖς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις ὦ Δημοσθένεις· οὕτως οὖν καὶ οἱ Πηλεῖς τοὺς Πηλεῖς ὦ Πηλεῖς.

Ὦ Πηλέες καὶ ὦ Πηλεῖς. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

[Discr. scr. ex NCVP] **3** *post* η *add* γραφομένους NC | διστάρχας ὤλεσας NC ‖ **6** γενόμεναι VP, γινομένας NC ‖ **11** *ante* Τοῖς *add* ἡ δοτικὴ τῶν πληθυντικῶν NC | Πηλ.] βασιλεῦσιν N ‖ **30** ἐμάθομεν] *cfr. p. 181, 33* ‖ **37** Ὦ Π. καὶ ὦ Π. *om* NC

219 g

Κανὼν ια΄.

Ὁ ἡδύς τοῦ ἡδέος.

Λέγει ὁ τεχνικός, ὅτι τὰ εἰς υ̅σ̅ λήγοντα τριγενῆ διὰ τοῦ ε̅ο̅σ̅ κλίνονται, τουτέστι διὰ τοῦ ε̅ καὶ ο̅, οἷον ταχύς ταχέος, βραδύς βραδέος, ὀξύς ὀξέος, ἡδύς ἡδέος, ὠκύς ὠκέος, ἥμισυς ἡμίσεος, θῆλυς θήλεος· τὸ γὰρ θήλυδος παρὰ τῷ Σοφοκλεῖ ⟨fragm. 951 N[2]⟩ κλιθὲν διὰ τοῦ δ̅ο̅σ̅ ἡμάρτηται· τριγενῆ δὲ δεῖ νοεῖν, τουτέστιν ἐὰν ἔχωσι τρία γένη, ἀρσενικὸν θηλυκὸν οὐδέτερον, ὡς ἐπὶ τοῦ ταχύς ταχεῖα ταχύ, βραδύς βραδεῖα βραδύ, ὀξύς ὀξεῖα ὀξύ, θῆλυς θήλεια θῆλυ, ἥμισυς ἡμίσεια ἥμισυ, κἂν ἔχωσιν ἀρσενικὸν μόνον καὶ οὐδέτερον γένος, οἷον πολύς πολύ, ἠύς ἠύ (σημαίνει δὲ τὸν ἀγαθὸν καὶ ἀνδρεῖον)· ταῦτα γὰρ οὐκ ἔχουσι θηλυκά· πρόσκειται ἐν τῷ κανόνι «τριγενῆ» διὰ τὰ μονογενῆ, οἷον διὰ τὸ βότρυς βότρυος, νέκυς νέκυος, περὶ ὧν ἐφεξῆς εἰρήσεται. Ἰστέον δὲ ὅτι ταῦτα τὰ εἰς υ̅σ̅ τριγενῆ διὰ τοῦ ε̅ καὶ ο̅ μόνως κλίνονται, οἷον ταχέος βραδέος ὠκέος ὀξέος, οὐκ ἐκτείνουσι δὲ τὸ ο̅ εἰς τὸ ω̅ ἀττικῶς, ὡς ἐπὶ τοῦ Πηλεύς Πηλέως καὶ Ἀχιλλεύς Ἀχιλλέως· οὐδὲ γὰρ γίνονται βραδέως καὶ ταχέως καὶ ὠκέως καὶ ὀξέως διὰ τοῦ ε̅ καὶ ω̅ κατὰ τὴν γενικήν.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ εἰς υ̅σ̅ τριγενῆ διὰ τοῦ ε̅ καὶ ο̅ μόνως κλίνονται καὶ οὐ γίνονται διὰ τοῦ ε̅ καὶ ω̅ ἀττικῶς κατὰ τὴν γενικήν. Καὶ λέγουσί τινες τὴν ἀπολογίαν ταύτην, ὅτι διὰ τοῦτο τὰ εἰς υ̅σ̅ τριγενῆ οὐ γίνονται διὰ τοῦ ε̅ καὶ ω̅ ἀττικῶς κατὰ τὴν γενικήν, ἐπειδὴ τὰ εἰς α̅ λήγοντα θηλυκὰ παρασχηματιζόμενα ἀρσενικοῖς ἰσοχρονεῖν θέλουσι τῇ ληγούσῃ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, οἷον Βυζαντίου Βυζαντία, Ῥοδίου Ῥοδία, ἀλλοτρίου ἀλλοτρία, μετρίου μετρία, οἰκείου οἰκεία, παραπλησίου παραπλησία, Σαμίου Σαμία· ἰδοὺ ἐπὶ τούτων μακρόν ἐστι τὸ α̅, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακρά ἐστι· καὶ πάλιν παντός πᾶσα, χαρίεντος χαρίεσσα, Φοίνικος Φοίνισσα, ἄνακτος ἄνασσα, Κίλικος Κίλισσα, τύπτοντος τύπτουσα, γράψαντος γράψασα, τετυφότος τετυφυῖα· ἰδοὺ ἐπὶ τούτων βραχύ ἐστι τὸ
220 g α̅, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς τοῦ ἀρσενικοῦ βραχεῖά ἐστιν. Ὅτι γάρ, φασίν, ἀληθής ἐστιν ὁ κανών, δῆλον ἐκ τῶν εἰς ε̅υ̅σ̅· ἰδοὺ γάρ ἐστι βασιλεύς βασιλέος καὶ βασίλεια, ἱερεύς ἱερέος καὶ ἱέρεια, καὶ ἰδοὺ τὰ θηλυκὰ συνεσταλμένον ἔχουσι τὸ α̅, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς τοῦ ἀρσενικοῦ βραχεῖά ἐστι, διὰ γὰρ τοῦ ο̅ ἐστίν· οἱ μέντοι Ἀθηναῖοι, ἐπειδὴ τὴν γενικὴν διὰ τοῦ ε̅ καὶ ω̅ ποιοῦσιν, ἀποφέρονται τὰ θηλυκὰ ἰσοχρόνως τῇ ἰδίᾳ γενικῇ, ὅθεν καὶ παροξύνουσιν αὐτά, ἱερεία γὰρ λέγουσι διὰ μακροῦ τοῦ α̅ πρὸς τὴν ἱερέως γενικὴν τὴν διὰ τοῦ ε̅ καὶ ω̅,

---

[Disor. scr. ex NCVP] **2** τοῦ ἡδέος *om* NC | *in marg. add* πράξις νδ N, πρ. νδ C ‖ **6** γὰρ *om* NC ‖ **7** διὰ τοῦ δ̅ο̅σ̅ *om* N | δὲ *om* NC ‖ **15** ὀξέος *om* NC ‖ **27** τοῦ ἀρσενικοῦ *om* NC ‖ **29** γράψαντος γράψασα VP, γράφοντος γράφουσα NC ‖ **33** καὶ βασίλεια VP, βασιλεῖα NC | καὶ ἱέρεια VP, ἱερεῖα NC

καὶ βασιλεία ὁμοίως πρὸς τὴν βασιλέως γενικὴν τὴν διὰ τοῦ ε̄ καὶ ω̄. Πρόσκειται ἐν τῷ κανόνι «παρασχηματιζόμενα ἀρσενικοῖς ἰσοχρονεῖν θέλουσι τῇ ληγούσῃ τῆς γενικῆς τοῦ ἀρσενικοῦ» διὰ τὸ εὐσέβεια καὶ ἀναίδεια καὶ εὐγένεια· ταῦτα γὰρ συνεσταλμένον ἔχουσι τὸ ᾱ τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακροκαταληκτούσης, φημὶ δὴ τῆς εὐσεβοῦς καὶ ἀναιδοῦς καὶ εὐγενοῦς, ἀλλ' οὐκ εἰσὶ κατὰ παρασχηματισμόν, ἀλλὰ κατὰ παρώνυμον παραγωγὴν ἐγένοντο· τὰ γὰρ παρασχηματιζόμενα τούτοις ἡ εὐσεβής καὶ ἀναιδής καὶ εὐγενής ἐστίν. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς τοῦ πέπειρος πεπείρου πέπειρα καὶ τοῦ δῖος δίου δῖα», οἷον ⟨Β 714⟩ δῖα γυναικῶν, «καὶ τοῦ ἴος ἴου ἴα» (σημαίνει δὲ τὴν μίαν), οἷον ⟨Δ 437⟩ οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς, «καὶ τοῦ μίος μίου μία»· δύναται δὲ καὶ τὸ μία ἀπὸ τοῦ ἴα εἶναι κατὰ πλεονασμὸν τοῦ μ̄· ταῦτα ἐσημειωσάμεθα, ἐπειδὴ συνεσταλμένον ἔχουσι τὸ ᾱ, τῆς ληγούσης τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακρᾶς οὔσης. Τούτων οὕτως ἐχόντων, τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρεσχηματισμένα τοῖς εἰς υς πάντα συνεσταλμένον ἔχουσι τὸ ᾱ καὶ οὐδέποτε ἔχουσιν αὐτὸ ἐκτεταμένον οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις, οἷον ταχύς ταχεῖα, βραδύς βραδεῖα, ὀξύς ὀξεῖα, ὠκύς ὠκεῖα, ἡδύς ἡδεῖα· ἐὰν οὖν γένωνται ἐπὶ τούτων αἱ γενικαὶ διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς, εὑρεθήσονται τὰ εἰς ους λήγοντα θηλυκὰ συνεσταλμένον ἔχοντα τὸ ᾱ, τῆς ληγούσης τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακρᾶς οὔσης, ὅπερ ἐστὶν ἀδύνατον. Τούτου οὖν χάριν, φασί, τὰ εἰς υς τριγενῆ οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικήν. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην λύσιν ἔχουσαν οὕτως· [διὰ τοῦτο] τὰ εἰς υς τριγενῆ οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικὴν διὰ τὰ ἐπιρρήματα· τὰ γὰρ ἐπιρρήματα αὐτῶν διὰ τοῦ ε̄ καὶ ω̄ εἰσίν, οἷον ταχέως ἔδραμον, ὀξέως ἤκουσε, βραδέως ἦλθε, ταχέως διελέχθη, ἡδέως ἠκροάσατο· ἐὰν οὖν γένωνται αἱ γενικαὶ τούτων διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς, μέλλουσι συνεμπεσεῖν τοῖς ἐπιρρήμασιν, ὅπερ ἐστὶν ἄτοπον· τούτου οὖν χάριν, ἵνα, ὡς εἴρηται, μὴ συνεμπέσωσιν αἱ γενικαὶ τούτων τοῖς

[Discr. scr. ex NCVP] **1** καὶ βασιλεία — καὶ ω̄ *om* NC ‖ **2** *ante* ἰσοχρ. *add* καὶ NC ‖ **4** καὶ εὐγένεια *om* N ‖ **9** καὶ τοῦ δῖος VP, καὶ τὸ δῖος C, καὶ δῖος N | δία NCVP; *item v. 10* ‖ **10** καὶ τοῦ *ante* ἴος *om* NC ‖ **11** ὁμῶς NC ‖ **12** τοῦ μίος VP, τὸ μίος NC ‖ **18** βραδεῖα] *hic desinit* P *fol. 96v*

[Discr. scr. ex NCV] **18** ὠκύς ὠκεῖα *om* NC ‖ **23** Ταῦτα — διὰ τὰ ἐπιρρήματα (**26**) NC, οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν. ἰδοὺ γὰρ τὰ εἰς ευς γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ κατὰ τὴν γενικήν, καὶ ὅμως τὰ εἰς ᾱ θηλυκὰ συνεσταλμένον ἔχουσι τὸ ᾱ, οἷον ἱέρεια βασίλεια, ἀλλὰ δῆλον ὡς τῇ κοινῇ γενικῇ ἰσοχρονοῦσιν. οἱ μέντοι Ἀττικοὶ διὰ μακροῦ τοῦ ᾱ προφέρονται αὐτὰ ἰσοχρόνως τῇ ἰδίᾳ γενικῇ, οἷον ἱερεία βασιλεία. τί γοῦν ἄτοπον, εἰ καὶ τὰ εἰς υς τριγενῆ ἐγένοντο διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικήν. κρεῖττον οὖν ἐστιν εἰπεῖν, ὅτι διὰ τὸ μὴ συμπεσεῖν τοῖς ἐπιρρήμασιν οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικὴν τὰ εἰς υς τριγενῆ V ‖ **26** οἷον *om* NC ‖ **28** ἐὰν οὖν γένωνται] ἐὰν γένωνται NC, εἰ γὰρ γένοιντο V ‖ **30** οὖν *om* NC

ἐπιρρήμαϲιν, οὐκ ἐπεκτείνουϲιν οἱ Ἀττικοὶ ἐπὶ τούτων τὸ ο̄ εἰϲ τὸ ω̄ κατὰ τὴν γενικήν.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, ὅτι μὴ γενόμενα τὰ εἰϲ ῡϲ̄ τριγενῆ διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶϲ κατὰ τὴν γενικήν, διατί οὐ γίνονται ἰωνικῶϲ διὰ τοῦ η̄ καὶ ο̄, οἷον ταχῆοϲ καὶ βραδῆοϲ, ὥϲπερ Πηλῆοϲ καὶ Ἀχιλλῆοϲ. Καὶ ἔϲτιν ἀπολογήϲαϲθαι οὕτωϲ· ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ οὐδέποτε εὑρίϲκεται μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, ἀλλ' ἢ ἴϲη πρὸϲ αὐτὴν ἢ ἐλάττων, ἴϲη μέν, οἷον λέβηϲ λέβητοϲ, ἔρωϲ ἔρωτοϲ, Τρώϲ Τρωόϲ, Πάριϲ Πάριδοϲ, ὄφιϲ ὄφιοϲ, ἐλάττων δέ, οἷον Μέμνων Μέμνονοϲ, Ἕκτωρ Ἕκτοροϲ, Νέϲτωρ Νέϲτοροϲ, γείτων γείτονοϲ, Πηλεύϲ Πηλέοϲ, Ἀχιλλεύϲ Ἀχιλλέοϲ· ἐὰν οὖν τὰ εἰϲ ῡϲ̄ γένωνται διὰ τοῦ η̄ καὶ ο̄ κατὰ τὴν γενικὴν ἰωνικῶϲ, οἷον ταχύϲ ταχῆοϲ, βραδύϲ βραδῆοϲ, ὀξύϲ ὀξῆοϲ, εὑρίϲκονται ἔχοντα τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ μείζονα τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, ἡ γὰρ εὐθεῖα ϲυνεϲταλμένον ἔχει τὸ ῡ, ὅπερ ἐϲτὶν ἀδύνατον· τούτου οὖν χάριν τὰ εἰϲ ῡϲ̄ οὐ γίνονται διὰ τοῦ η̄ καὶ ο̄ ἰωνικῶϲ κατὰ τὴν γενικήν. Ταῦτα μὲν ἐν τούτοιϲ.

Δεῖ προϲθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ οὐ θέλει εἶναι μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, «χωρὶϲ εἰ μὴ χαρακτὴρ κωλύϲῃ ⟨καὶ χωρὶϲ τῶν διὰ τοῦ θο̄ϲ̄ κλινομένων⟩»· τοῦτο δὲ πρόϲκειται διὰ τὰ εἰϲ ῑξ̄ καὶ τὰ εἰϲ ῡξ̄, ⟨οἷον⟩ διὰ τὸ Φοῖνιξ Φοίνικοϲ καὶ κῆρυξ κήρυκοϲ· ταῦτα γὰρ ἐν μὲν τῇ εὐθείᾳ
222 g ϲυϲτέλλουϲι τὸ δίχρονον, τουτέϲτι θέϲει μακρὸν αὐτὸ ἔχουϲιν, ἐν δὲ τῇ γενικῇ ἐκτεταμένον αὐτὸ ἔχουϲι, τουτέϲτι φύϲει μακρόν, καὶ ἰδοὺ εὑρίϲκεται ἐπὶ τούτων ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ· τὸ γὰρ φύϲει μακρὸν μεῖζόν ἐϲτι τοῦ θέϲει μακροῦ. Καὶ ἔϲτιν εἰπεῖν, ὅτι ὤφειλε καὶ ἡ εὐθεῖα ἐπὶ τούτων ἐκτεῖναι τὸ ῑ καὶ τὸ ῡ, λέγω δὴ ἐν τῷ Φοῖνιξ καὶ κῆρυξ καὶ τοῖϲ ὁμοίοιϲ· ἀλλ' ἐπειδὴ τὸ ῑ καὶ τὸ ῡ πρὸ τοῦ ξ̄ οὐδέποτε εὑρίϲκονται φύϲει μακρά, χωρὶϲ εἰ μὴ λόγῳ ἀρχούϲηϲ παρῳχημένων, οἷον πέρδιξ τέττιξ Βέβρυξ ὄνυξ πνίξω ἐρύξω ψύξω, τούτου χάριν ϲυνεϲτάλη ἐν τῇ εὐθείᾳ τὸ ῑ καὶ τὸ ῡ διὰ τὴν ἐπιφορὰν τοῦ ξ̄, ἐν δὲ τῇ γενικῇ τῇ Φοίνικοϲ καὶ κήρυκοϲ ἀποϲτάντοϲ τοῦ διπλοῦ ἐγένοντο τὰ δίχρονα φύϲει μακρά. Πρόϲκειται «χωρὶϲ εἰ μὴ λόγῳ ἀρχούϲηϲ παρῳχημένων» διὰ τὸ ἰξεύω ἴξευον· τὸ μὲν γὰρ ἰξεύω θέϲει μακρὸν ἔχει τὸ ῑ, τὸ δὲ ἴξευον φύϲει μακρὸν τῷ λόγῳ τῆϲ ἀρχούϲηϲ τῶν παρῳχημένων· οἱ γὰρ παρῳχημένοι χρονικῶϲ ἢ ϲυλλαβικῶϲ θέλουϲι μεγεθύνεϲθαι κατὰ τὴν ἄρχουϲαν, ϲυλλαβικῶϲ μέν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω

[Discr. scr. ex NCV] **3** ὅτι μὴ γενόμενα V, ὅτι τὰ μὴ γενόμενα C, διὰ ποίαν αἰτίαν N | *post* τριγενῆ *add* μὴ γινόμενα N ‖ **9** ὄφιοϲ V, ὄφεοϲ NC ‖ **10** Νέϲτ. Νέϲτ. *om* NC | γείτ. γείτ. *om* N ‖ **20** καὶ χωρὶϲ — κλινομένων (**21**) *om* NCV, *sed* V *post* ῡξ̄ (*v. 21*) *add* καὶ διὰ τοῦ θο̄ϲ̄ κλινόμενα ‖ **21** οἷον *om* NCV ‖ **29** εὑρίϲκονται V, εὑρίϲκεται NC ‖ **31** ἐρύξω V, ψύχω NC | τούτου οὖν χάριν NC ‖ **35** γὰρ VC, *om* N

ἔλεγον, χρονικῶς δέ, οἷον ἄρχω ἦρχον, ἄγω ἦγον, ἅπτω ἧπτον, ἐλέγχω ἤλεγχον, ἐν οἷς καὶ τὸ ἰξεύω ἴξευον ⟨ἐπεὶ⟩ οὐκ ἠδύνατο μεγεθυνθῆναι συλλαβικῶς, οὐδὲ γὰρ ἄρχεται ὁ ἐνεστὼς ἀπὸ συμφώνου, ἐξ ἀνάγκης χρονικῶς ἐμεγεθύνθη, καὶ τούτου χάριν φύσει μακρὸν ἔχει τὸ ῑ. Πρόσκειται ἀνωτέρω «καὶ χωρὶς τῶν διὰ τοῦ θος κλινομένων», ἐπειδὴ τὸ ὄρνις καὶ τὸ μέρμις (σημαίνει τὸ σχοινίον τὸ λεπτόν) ἐν μὲν τῇ εὐθείᾳ συστέλλουσι τὸ ῐ, ἐν δὲ τῇ γενικῇ τῇ ὄρνιθος καὶ μέρμιθος ἐκτείνουσιν αὐτό· πᾶσα γὰρ γενικὴ διὰ τοῦ θος κλινομένη μακρὰν ἔχει τὴν παραλήγουσαν, οἷον κῶμυς κώμυθος (σημαίνει δὲ τὴν δέσμην τοῦ χόρτου), ὡς παρὰ Θεοκρίτῳ ⟨4, 18⟩ καὶ μαλακοῦ χόρτοιο καλὰν κώμυθα δίδωμι, δέλλις δέλλιθος (ἔστι δὲ ζῷον ὅμοιον μελίσσῃ), χωρὶς τοῦ κόρυς κόρυθος, τοῦτο γὰρ φυλάττει τὸ ῠ συνεσταλμένον κατὰ τὴν γενικήν, οἷον ⟨Ε 4⟩ δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ, καὶ ⟨Λ 375⟩ κόρυθα βριαρήν. Ταῦτα μὲν ἐν τούτοις. 223 r

Προστιθέασι δέ τινες «καὶ χωρὶς τῶν εἰς ῡν», ἐπειδὴ οἱ τεχνικοὶ διαφόρου δόξης ἔχονται περὶ τούτων· ποτὲ μὲν γὰρ δοξάζουσιν, ὅτι τὰ εἰς ῡν λήγοντα ἐν μὲν τῇ εὐθείᾳ συστέλλουσι τὸ ῠ ἐν δὲ τῇ γενικῇ ἐκτείνουσιν αὐτό, οἷον Φόρκυν Φόρκυνος, Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης), ποτὲ δὲ δοξάζουσιν, ὅτι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνουσι τὸ ῡ καὶ ἐν τῇ γενικῇ. Ἐμάθομεν οὖν διατί τὰ εἰς υς οὐ γίνονται παρὰ τοῖς Ἴωσι διὰ τοῦ η καὶ ο κατὰ τὴν γενικήν, ἐμάθομεν γὰρ ὅτι ἵνα μὴ γένηται ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, ὅτι μὴ γενόμενα τὰ εἰς υς διὰ τοῦ η καὶ ο κατὰ τὴν γενικὴν ἰωνικῶς, διατί μὴ ἐγένοντο διὰ τοῦ ι καὶ ο βοιωτικῶς, οἷον ταχύς ταχίος, βραδύς βραδίος, ὀξύς ὀξίος, ὥσπερ Πηλεύς Πηλίος καὶ Ἀχιλλεύς Ἀχιλλίος· οὕτω γὰρ εἰ ἐγένοντο, οὐκέτι ηὑρίσκετο ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας, ἀλλ' ἴση πρὸς αὐτήν. Ἔστιν οὖν εἰπεῖν, ὅτι τότε ποιοῦσιν οἱ Βοιωτοὶ τὴν γενικὴν διὰ τοῦ ι καὶ ο, ἡνίκα καὶ οἱ Ἀττικοὶ ποιοῦσι διὰ τοῦ ε καὶ ω τὴν γενικὴν καὶ οἱ Ἴωνες διὰ τοῦ η καὶ ο, οἷον Πηλεύς Πηλέως Πηλῆος καὶ Πηλίος, Ἀχιλλεύς Ἀχιλλέως Ἀχιλλῆος καὶ Ἀχιλλίος, βασιλεύς βασιλέως βασιλῆος καὶ βασιλίος· ἐπειδὴ οὖν ἐπὶ τούτων τῶν εἰς υς οὐκ ἐποίησαν οἱ Ἀττικοὶ τὴν γενικὴν διὰ τοῦ ε καὶ ω οὔτε οἱ Ἴωνες διὰ τοῦ η καὶ ο, τούτου χάριν οὔτε οἱ Βοιωτοὶ ἐποίησαν διὰ τοῦ ι καὶ ο. Ταῦτα μὲν ἐν τούτοις.

Πάλιν ἄξιόν ἐστι ζητῆσαι, ὅτι μὴ γενόμενα τὰ εἰς υς διὰ τοῦ ε καὶ ω ἀττικῶς κατὰ τὴν γενικὴν μήτε διὰ τοῦ η καὶ ο ἰωνικῶς μήτε διὰ τοῦ ι καὶ ο βοιωτικῶς, διατί μὴ ἐγένοντο κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον, οἷον ταχέος ταχοῦς, βραδέος βραδοῦς, ὥσπερ

[Discr. scr. ex NCV] 2 ἐπεὶ *om* NCV, *sed* V *v. 3 ante* ἐξ *add* λοιπὸν | 8 γὰρ *om* NC || 9 τὴν δέσμην NC *et EM 532, 7,* τὸν δεσμὸν V | 10 μαλακοῦ V, μαλακὸν NC | καλὰν V, καλὴν NC || 25 κατὰ τὴν γενικὴν *om* N | 26 *post* οἷον *add* ὡς N

Δημοσθένεος Δημοσθένους· ἐν ταὐτῷ δὲ ζητοῦμεν, διατί ἐπὶ μὲν τῶν 224 g εἰς ευς τῶν ἐχόντων πρὸ τοῦ ε σύμφωνον οὐ γίνεται κρᾶσις κατὰ τὴν γενικήν, οἷον Πηλεύς Πηλέως, Ἀτρεύς Ἀτρέως, ἐπὶ δὲ τῶν ἐχόντων πρὸ τοῦ ε φωνῆεν γίνεται κρᾶσις κατὰ τὴν γενικήν, οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, Πειραιεύς Πειραιέως Πειραιῶς, Στειριεύς Στειριέως Στειριῶς, καὶ διατί ἐπὶ τῶν εἰς ευς τῶν ἐχόντων πρὸ τοῦ ε φωνῆεν γενομένης κράσεως κατὰ τὴν γενικὴν ἀπὸ τῶν Ἀττικῶν γενικῶν ἐγένετο ἡ κρᾶσις καὶ οὐκ ἀπὸ τῶν κοινῶν, οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, Πειραιεύς Πειραιέως Πειραιῶς, Στειριεύς Στειριέως Στειριῶς· ἰδοὺ γὰρ ἐνταῦθα ἀπὸ τῆς Ἀττικῆς γενικῆς ἐγένετο ἡ κρᾶσις, φημὶ δὴ τῆς διὰ τοῦ ε καὶ ω, διὸ καὶ εἰς ως ἐγένετο ἡ κρᾶσις τῆς γενικῆς, τὸ γὰρ ε καὶ ω εἰς τὸ ω κίρνανται, οἷον ποιέω ποιῶ, νοέω νοῶ· εἰ γὰρ ἐγένετο ἀπὸ τῆς κοινῆς γενικῆς ἡ κρᾶσις, φημὶ δὴ τῆς διὰ τοῦ ε καὶ ο, εἰς ους ἔμελλεν εἶναι ἡ γενική· τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κίρνανται, οἷον Δημοσθένεος Δημοσθένους, εὐγενέος εὐγενοῦς, εὐσεβέος εὐσεβοῦς.

Καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν, ὅτι ἐπὶ τῶν εἰς ης τῶν διὰ τοῦ η γραφομένων γίνεται ἡ κρᾶσις ἐν τῇ γενικῇ, ἐπειδὴ τὰ εἰς ης λήγοντα πεφύκασι καὶ περιττοσυλλάβως κλίνεσθαι καὶ ἰσοσυλλάβως, οἷον λέβης λέβητος, Λάχης Λάχητος, Χρύσης Χρύσου, Ὀρέστης Ὀρέστου· ἔχουσιν οὖν τι μιμήσασθαι τὰ εἰς ης συναιρούμενα, συναιρούμενα γὰρ μιμοῦνται τὴν ἰσοσύλλαβον κλίσιν, Δημοσθένης γὰρ Δημοσθένους ἰσοσυλλάβως, ὥσπερ καὶ Ὀρέστης Ὀρέστου· τὰ δὲ εἰς υς λήγοντα καὶ τὰ εἰς ευς ἐπειδὴ ἀεὶ πεφύκασι περιττοσυλλάβως κλίνεσθαι, οἷον ταχύς ταχέος, ὀξύς ὀξέος, Πηλεύς Πηλέος, Ἀτρεύς Ἀτρέος, εἰκότως οὐ συναιροῦνται ἐν τῇ γενικῇ, συναιρούμενα γὰρ οὐκ ἔχουσί τι μιμήσασθαι, οὐδὲ γὰρ κλίνονται ἰσοσυλλάβως, ἵνα συναιρούμενα μιμήσωνται τὴν ἰσοσύλλαβον κλίσιν. Ταῦτα εἶπεν ὁ Ἡρωδιανός, καὶ πολλοὶ τῶν ἐπισήμων διδασκάλων ἀκολουθοῦσι ταύτῃ τῇ ἀπολογίᾳ· ἡμεῖς δὲ ἐναντιούμεθα πρὸς ταῦτα ἀκολουθοῦντες τῇ ἀληθείᾳ καὶ λέγομεν, ὅτι πρῶτον μὲν τὰ εἰς υς λήγοντα εὑρίσκονται πολλάκις καὶ ἰσοσυλλάβως κλι- 225 g νόμενα, ὡς ἐπὶ τῶν εἰς υς ὑποκοριστικῶν, ὁ Διονῦς γὰρ τοῦ Διονῦ καὶ ὁ Κλαυσῦς τοῦ Κλαυσῦ καὶ ὁ Λαρδῦς τοῦ Λαρδῦ καὶ ὁ Καμμῦς τοῦ Καμμῦ· ὤφειλον οὖν τὰ εἰς υς, ὡς δυνάμενα τὴν ἰσοσύλλαβον κλίσιν μιμήσασθαι, γενέσθαι ἐν τῇ γενικῇ καὶ κατὰ συναίρεσιν ἤγουν κρᾶσιν, οἷον ταχέος ταχοῦς, βραδέος βραδοῦς· δεύτερον δὲ τὰ εἰς ευς λήγοντα πάντα ἀεὶ περιττοσυλλάβως κλίνονται καὶ οὐδέποτε ἰσοσυλλάβως, οἷον Πηλεύς Πηλέος, Ἀτρεύς Ἀτρέος, καὶ ὅμως πολλάκις συναιροῦνται κατὰ τὴν γενικὴν καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, Πειραιεύς Πειραιέως Πειραιῶς, Στειριεύς Στειριέως Στειριῶς,

[Discr. scr. ex NCV] **1** ἐν ταὐτῷ] ἐν ταυτῷ NC, ἐνταῦθα V ‖ **12** οἷον *om* N ‖ **20** *post* λέβητος *add* καὶ N ‖ **26** οὐ συναιρ. C, οὖν συναιρ. NV ‖ **28** πολλοὶ τῶν ἐπισ. διδ. NC, οἱ πλεῖστοι τῶν ἐπισ. γραμματικῶν V ‖ **40** *post* Ἐρετριῶς *add* Δωριεύς Δωριέως Δωριῶς V

καὶ παρὰ τοῖς Δωριεῦσι καὶ παρὰ τοῖς Ἴωσιν, οἷον Ἰδομενεύς Ἰδομενέος. Ὀδυσσεύς Ὀδυσσέος, καὶ γίνονται κατὰ κρᾶσιν Ἰωνικὴν ἢ Δωρικὴν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον τοῦ Ἰδομενεῦς καὶ τοῦ Ὀδυσσεῦς, οἷον ⟨Ν 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα, καὶ πάλιν ⟨ω 398⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ· ὥστε οὖν οὐ συμβάλλεται ἡμῖν ἡ προλεχθεῖσα ἀπολογία· ἐδείξαμεν γάρ καί τινα μὴ ἔχοντα μιμήσασθαι ἰσοσύλλαβον κλίσιν συναιρούμενα, ὡς ἐπὶ τῶν εἰς ευς. Ἔχομεν οὖν ἀπολογήσασθαι καὶ εἰπεῖν ταύτας τὰς ἀπολογίας· καὶ πρῶτον μὲν ἐπὶ τῶν εἰς υς μερικὴν ἀπολογίαν ἔχομεν δοῦναι, τουτέστι τοῖς εἰς υς μόνως ἁρμόζουσαν· ἔχει δὲ οὕτως· τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς θέλουσι πάντως ἰσοσυλλαβεῖν τῇ γενικῇ τοῦ ἀρσενικοῦ, οἷον Βυζαντίου Βυζαντία, Ῥοδίου Ῥοδία, ἀλλοτρίου ἀλλοτρία, τάλανος τάλαινα, μέλανος μέλαινα, χαρίεντος χαρίεσσα, παντός πᾶσα, γράψαντος γράψασα, τετυφότος τετυφυῖα· εἰ οὖν τὰ εἰς υς, φημὶ δὴ ὁ ταχύς καὶ ὁ βραδύς καὶ ὁ ὀξύς καὶ τὰ ὅμοια, ἔχουσιν εἰς α λήγοντα θηλυκά, οἷον ταχεῖα βραδεῖα ὀξεῖα, δηλονότι ἐὰν γένωνται κατὰ συναίρεσιν ἤγουν κρᾶσιν εἰς ους ἐν τῇ γενικῇ, οἷον ταχέος ταχοῦς, βραδέος βραδοῦς, ὀξέος ὀξοῦς, εὑρίσκεται ἡ γενικὴ τοῦ ἀρσενικοῦ ἐλάττο- 226 g νας συλλαβὰς ἔχουσα τοῦ εἰς α λήγοντος θηλυκοῦ, ὅπερ ἐστὶν ἀδύνατον· εἰκότως οὖν ἐπὶ τούτων, φημὶ δὴ ἐπὶ τῶν εἰς υς, οὐ γίνεται κατὰ συναίρεσιν ἤγουν κρᾶσιν ἡ γενική, ἵνα ὡς εἴρηται μὴ σχῇ ἐλάττονας συλλαβὰς ἡ γενικὴ τοῦ ἀρσενικοῦ πρὸς τὸ εἰς α λῆγον θηλυκὸν παρεσχηματισμένον.

Πρόσκειται ἐν τῷ κανόνι «παρεσχηματισμένα ἀρσενικοῖς θέλουσι πάντως ἰσοσυλλαβεῖν τῇ γενικῇ τοῦ ἀρσενικοῦ» διὰ τὸ κακία καὶ σοφία· ταῦτα γὰρ οὐκ ἰσοσυλλαβοῦσι τῇ γενικῇ τοῦ ἀρσενικοῦ, τουτέστι τῇ κακοῦ καὶ σοφοῦ, ἀλλ' οὐκ εἰσὶ ταῦτα παρεσχηματισμένα, ἀλλὰ κατὰ παρώνυμον παραγωγὴν ἐγένοντο· τὰ γὰρ παρεσχηματισμένα τούτοις τὸ σοφή καὶ κακή ἐστιν. Αὕτη ἡ ἀπολογία ἁρμόζει μόνοις τοῖς εἰς υς, οὐ μέντοι τοῖς εἰς ευς. Ἔχομεν δὲ καὶ εἰπεῖν ἀπολογίαν περὶ τῶν εἰς ευς ἁρμόζουσαν καὶ τοῖς εἰς υς, ἔστι δὲ αὕτη· πᾶσα γενικὴ ἀρσενικὴ εἰς ους λήγουσα θέλει ἔχειν τὴν αἰτιατικὴν εἰς η καταλήγουσαν, οἷον Δημοσθένης Δημοσθένους τὸν Δημοσθένη, εὐγενής εὐγενοῦς τὸν εὐγενῆ, εὐσεβής εὐσεβοῦς τὸν εὐσεβῆ· πρόσκειται «ἀρσενική» διὰ τὸ ἡ Σαπφώ τῆς Σαπφοῦς τὴν Σαπφώ καὶ τὸ τεῖχος τοῦ τείχους τὸ τεῖχος· ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ γενικὴ εἰς ους λήγει καὶ ἡ αἰτιατικὴ οὐ λήγει εἰς η, ἀλλ' οὐκ εἰσὶν ἀρσενικά· ἐὰν οὖν ἐπὶ τῶν εἰς υς καὶ εἰς ευς γένηται ἡ γενικὴ κατὰ συναίρεσιν εἰς ους, οἷον ταχύς ταχέος ταχοῦς, βραδύς βραδέος βραδοῦς, ὀξύς ὀξέος ὀξοῦς, Πηλεύς Πηλέος Πηλοῦς, Ἀχιλλεύς Ἀχιλλέος Ἀχιλλοῦς, Ἀτρεύς Ἀτρέος Ἀτροῦς, ἀναγκάζεται καὶ ἡ αἰτια-

[Discr. scr. ex NCV] **4** Ὀδυσσεὺς δὲ NCV ‖ **6** μὴ *post* κλίσιν (**7**) *transp.* NC ‖ **10** παρεσχηματισμένα V, παρασχηματιζόμενα NC ‖ **14** εἰ V, ἐὰν NC ‖ **25** διὰ — ἀρσενικοῦ (**26**) *om* N ‖ **26** καλοῦ N ‖ **29** μόνοις] ἐπὶ μόνοις V, *om* NC ‖ **30** δὲ καὶ *om* NC

τικὴ εἰc η̄ καταλήγειν· ἐὰν δὲ θελήcωμεν ἐπὶ τούτων ποιῆcαι τὴν αἰτιατικὴν εἰc η̄, κωλυόμεθα ἀπὸ τῆc κλητικῆc· οὐδέποτε γὰρ αἰτιατικὴ ἑνικῶν εἰc η̄ λήγουcα παρ' ἡμῖν ἢ παρὰ τοῖc Ἀθηναίοιc ἔχει τὴν κλητικὴν εἰc φωνῆεν λήγουcαν, οἷον τὸν εὐcεβῆ ὦ εὐcεβέc, τὸν εὐγενῆ ὦ εὐγενέc, τὸν κακοήθη ὦ κακόηθεc· ἀμέλει τοῦ Δημοcθένουc καὶ τῶν ὁμοίων ποιοῦντεc οἱ Ἀθηναῖοι τὴν κλητικὴν εἰc η̄, οἷον ὦ Δημοcθένη καὶ ὦ Διομήδη, ἐποίηcαν καὶ τὴν αἰτιατικὴν εἰc ν̄, οἷον τὸν Δημοcθέ-
227 g νην καὶ τὸν Διομήδην, ἵνα μὴ εὑρεθῇ ἡ αἰτιατικὴ εἰc η̄ καταλήγουcα τῆc κλητικῆc εἰc φωνῆεν ληγούcηc· ὅταν γὰρ εὑρεθῇ εἰc η̄ λήγουcα ἡ αἰτιατική, οἷον τὸν Δημοcθένη, τὸν Διομήδη, τότε ἔχει τὴν κλητικὴν εἰc cύμφωνον λήγουcαν, οἷον ὦ Δημόcθενεc, ὦ Διόμηδεc. Ἐπειδὴ οὖν ταῦτα, φημὶ δὴ τὰ εἰc υ̅c̅ καὶ τὰ εἰc ευc, ποιοῦcι τὴν κλητικὴν ἀποβολῇ τοῦ c̄, οἷον ὦ ταχύ, ὦ βραδύ, ὦ ὀξύ, ὦ Πηλεῦ, ὦ Ἀτρεῦ, ὦ Ἀχιλλεῦ, καὶ εἰc φωνῆεν λήγει ἡ κλητικὴ ἐπὶ τούτων, δηλονότι οὐ δύναται ἡ αἰτιατικὴ εἰc η̄ καταλήγειν· οὐδέποτε γάρ, ὡc εἴρηται, τῆc κλητικῆc εἰc φωνῆεν ληγούcηc ὀφείλει ἡ αἰτιατικὴ εἰc η̄ καταλήγειν, οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖc Ἀθηναίοιc· τῆc οὖν αἰτιατικῆc μὴ δυναμένηc εἰc η̄ καταλήγειν, εἰκότωc οὐδὲ ἡ γενικὴ τῶν ἑνικῶν εἰc ουc δύναται cυναιρεῖcθαι· πρόcκειται δέ «ἢ παρ' ἡμῖν ἢ παρὰ τοῖc Ἀθηναίοιc», ἐπειδὴ παρὰ τοῖc Δωριεῦcιν εὑρίcκομεν εἰc η̄ καταλήγουcαν τὴν αἰτιατικὴν τῆc κλητικῆc εἰc φωνῆεν ληγούcηc, οἷον τὸν Τυδῆ ὦ Τυδεῦ, ὡc παρ' Ὁμήρῳ ⟨Δ 384⟩ ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ cτεῖλαν Ἀχαιοί, ἀντὶ τοῦ ἄγγελον ἀπέcτειλαν τὸν Τυδέα, τὸ γὰρ ἀγγελίην ἄγγελον νοητέον ἐνταῦθα. Ταῦτα μὲν ἐν τούτοιc.

Ἔτι δὲ ὑπολείπεται ἡμῖν ζητῆcαι, διατί ἐπὶ μὲν τῶν εἰc ε̅υ̅c̅ τῶν ἐχόντων προηγούμενον cύμφωνον οὐ γίνεται ἡ κρᾶcιc ἐν τῇ γενικῇ, οἷον Πηλεύc Πηλέωc, Ἀχιλλεύc Ἀχιλλέωc, Ἀτρεύc Ἀτρέωc, ἐπὶ δὲ τῶν ἐχόντων προηγούμενον φωνῆεν γίνεται κρᾶcιc κατὰ τὴν γενικήν, οἷον Ἐρετριεύc Ἐρετριέωc Ἐρετριῶc, Πειραιεύc Πειραιέωc Πειραιῶc, Cτειριεύc Cτειριέωc Cτειριῶc, καὶ διατί ἀπὸ τῆc Ἀττικῆc γενικῆc, φημὶ δὴ τῆc διὰ τοῦ ε̄ καὶ ω̄, ἐγένετο ἡ κρᾶcιc καὶ οὐκ ἀπὸ τῆc κοινῆc γενικῆc τῆc διὰ τοῦ ε̄ καὶ ο̄. Ἔcτιν οὖν ἀπολογήcαcθαι οὕτωc· πᾶcα γενικὴ cυναιρουμένη ἔχει καὶ τὴν αἰτιατικὴν cυναιρουμένην δηλονότι ἐπὶ ἀρcενικῶν καὶ θηλυκῶν, οἷον Δημοcθένεοc Δημοcθένουc τὸν Δημοcθένεα τὸν Δημοcθένη, εὐγενέοc εὐγενοῦc τὸν εὐγενέα τὸν εὐγενῆ, Cαπφόοc Cαπφοῦc τὴν Cαπφόα τὴν Cαπφώ, Λητόοc Λητοῦc τὴν Λητόα τὴν Λητώ· πρόcκειται «δηλονότι ἐπὶ ἀρcενικῶν καὶ θηλυκῶν» διὰ τὰ οὐδέτερα· ἔcτι γὰρ τείχεοc τείχουc, καὶ ἰδοὺ ἡ γενικὴ cυναιρεῖται, καὶ
228 g ὅμωc ἡ αἰτιατικὴ οὐ cυναιρεῖται· τὸ τεῖχοc γάρ ἐcτιν ἡ αἰτιατικὴ ὁμο-

[Dɪscʀ. sᴄʀ. κχ NCV] **3** παρ' ἡμῖν — Ἀθηναίοιc V, παρὰ τοῖc Ἀθηναίοιc ἢ παρ' ἡμῖν NC; *cfr. v. 19* || **7** καὶ *ante* ὦ Διομ. *om* NC || **10** τότε *om* NC || **20** τὴν αἰτ. εἰc η̄ καταλ. *traicit* N || **21** *post* οἷον *add* τὸν Τυδέα NC || **23** ἐπέcτειλαν NC || **25** ἐπὶ τῶν εἰc ε̅υ̅c̅ μὲν τῶν NC || **34** οἷον C, ὡc V, *om* N || **36** Cαπφῶ N || **38** τείχεοc V, τεῖχοc NC || **39** *poster.* ἡ αἰτιατικὴ *om* NC

φώνως τῇ εὐθείᾳ· τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ βέλος τοῦ βέλους τῷ βέλει τὸ βέλος ὦ βέλος, τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. Ἐὰν οὖν ἐπὶ τῶν εἰς ευς τῶν ἐχόντων σύμφωνον πρὸ τοῦ ε θελήσωμεν ποιῆσαι ἐν τῇ γενικῇ συναίρεσιν ἤγουν κρᾶσιν, ἀναγκαζόμεθα καὶ ἐν τῇ αἰτιατικῇ ποιῆσαι συναίρεσιν ἤγουν κρᾶσιν, καὶ ἢ εἰς η ἀναγκαζόμεθα ποιῆσαι αὐτὴν ἢ εἰς α· τὸ γὰρ ε καὶ α ἢ εἰς η κίρνανται, οἷον τείχεα τείχη, βέλεα βέλη, ἢ εἰς α μακρόν, οἷον τὸν εὐφυέα τὸν εὐφυᾶ, τὸν ὑγιέα τὸν ὑγιᾶ. Καὶ εἰς η μὲν οὐ δυνάμεθα ποιῆσαι αὐτὴν διὰ τὸ εἶναι τὴν κλητικὴν εἰς φωνῆεν λήγουσαν, οἷον ὦ Ἀχιλλεῦ, ὦ Πηλεῦ· οὐ δύναται γάρ, ὡς ἐμάθομεν, ἡ κλητικὴ εἰς φωνῆεν λήγουσα ἔχειν τὴν αἰτιατικὴν εἰς η καταλήγουσαν, οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις· ἀλλ' οὔτε δὲ εἰς α δύναται γενέσθαι ἡ αἰτιατικὴ ἐπὶ τούτων, ἐπειδὴ προηγεῖται τοῦ ε σύμφωνον, οἷον Πηλέα Ἀχιλλέα, τὸ γὰρ ε καὶ α εἰς α κίρνανται ἡνίκα προηγεῖται τοῦ ε φωνῆεν, οἷον εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιᾶ, συμφώνου δὲ προηγουμένου οὐδέποτε κίρνανται τὸ ε καὶ α εἰς α, ἀλλ' εἰς η μόνον, οἷον τείχεα τείχη, βέλεα βέλη, Δημοσθένεα Δημοσθένη. Κωλυομένης οὖν τῆς αἰτιατικῆς συναιρεθῆναι ἤγουν κρᾶσιν ἀναδέξασθαι, καθότι οὔτε εἰς η δύναται γενέσθαι διὰ τὸ ἔχειν τὴν κλητικὴν εἰς φωνῆεν λήγουσαν, ἀλλ' οὔτε δὲ εἰς α διὰ τὸ ἔχειν πρὸ τοῦ ε σύμφωνον, εἰκότως κωλύεται καὶ ἡ γενικὴ συναίρεσιν ἐπιδέξασθαι ἤγουν κρᾶσιν. Τούτου οὖν χάριν ἐπὶ τῶν εἰς ευς τῶν ἐχόντων προηγούμενον σύμφωνον οὐ γίνεται κρᾶσις κατὰ τὴν γενικήν, οἷον Πηλεύς Πηλέως, Ἀχιλλεύς Ἀχιλλέως· ἐπὶ δὲ τῶν ἐχόντων προηγούμενον φωνῆεν γίνεται κρᾶσις κατὰ τὴν γενικήν, οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, Πειραιεύς Πειραιέως Πειραιῶς, Στειριεύς Στειριέως Στειριῶς, ἐπειδὴ ἀκωλύτως ἐπὶ τούτων δύναται ποιῆσαι ἡ αἰτιατικὴ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρόν, οἷον τὸν Ἐρετριέα τὸν Ἐρετριᾶ, τὸν Πειραιέα τὸν Πειραιᾶ, τὸν Στειριέα τὸν Στειριᾶ, φωνῆεν γὰρ προηγεῖται τοῦ ε· ἡνίκα δὲ τοῦ ε προηγεῖται φωνῆεν, οὐ κωλύεται τὸ ε καὶ α εἰς α κραθῆναι, οἷον τὸν εὐφυέα τὸν εὐφυᾶ, τὸν ὑγιέα τὸν ὑγιᾶ· τῆς οὖν αἰτιατικῆς [229 g] ἐπὶ τούτων μὴ κωλυομένης συναιρεθῆναι, εἰκότως οὔτε ἡ γενικὴ κωλύεται συναιρεθῆναι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι διὰ τὴν αἰτίαν τὴν λεχθεῖσαν ἐπὶ τῶν εἰς ευς τῶν ἐχόντων προηγούμενον σύμφωνον οὔτε τὰ εἰς ις τὰ διὰ τοῦ εος κλινόμενα δύνανται συναίρεσιν ἐπιδέξασθαι κατὰ τὴν γενικήν, οἷον ὄφις ὄφεος, πόλις πόλεος, μάντις μάντεος, πρᾶξις πράξεος, ἐπειδὴ καὶ ἐπὶ τούτων οὔτε εἰς η ἠδύνατο εἶναι ἡ αἰτιατικὴ οὔτε εἰς α· εἰς η μὲν γὰρ οὐκ ἠδύνατο εἶναι ἡ αἰτιατικὴ διὰ τὸ τὴν κλητικὴν εἰς φωνῆεν λήγειν, οἷον ὦ ὄφι, ὦ μάντι, ὦ πόλι, ὦ πρᾶξι· τὸ γὰρ ὦ ὄφις καὶ ὦ μάντις

[Disck. scr. ex NCV] **6** ἢ *post* καὶ *om* NC ‖ **7** ἢ *post* α *om* NC ‖ **8** ἢ εἰς α V, καὶ εἰς α NC ‖ **21** κολύεται N | καὶ *om* NC ‖ **27** ἀκωλύτως N, ἀκολούθως C, *om* V ‖ **30** κρανθῆναι N ‖ **40** ὦ *ante* πρᾶξι *om* N

⟨καὶ ὦ πόλις⟩ καὶ ὦ πρᾶξις Ἀττικά εἰσιν· εἰς α̅ δὲ οὐκ ἠδύνατο εἶναι διὰ τὸ σύμφωνον προηγεῖσθαι τοῦ ε̅, οἷον ὄφεα μάντεα πόλεα πράξεα· ἥτις αἰτιατικὴ καὶ ἐπιλέλοιπε κατὰ χρῆσιν, λέγω δὴ ἡ εἰς α̅, τὸν ὄφιν γὰρ καὶ τὸν μάντιν καὶ τὴν πόλιν καὶ τὴν πρᾶξιν μόνως λέγομεν.

Τούτων οὕτως ἐχόντων ἔτι ὑπολείπεται ἡμῖν ζητῆσαι, διατί ἐπὶ τοῦ Ἐρετριεύς καὶ Πειραιεύς καὶ Στειριεύς ἀπὸ τῆς Ἀττικῆς γενικῆς, φημὶ δὴ τῆς διὰ τοῦ ε̅ καὶ ω̅, ἐγένετο ἡ κρᾶσις κατὰ τὴν γενικήν, οἷον Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς, καὶ οὐκ ἀπὸ τῆς γενικῆς τῆς κοινῆς, φημὶ δὴ τῆς διὰ τοῦ ε̅ καὶ ο̅. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· εἰκότως ἀπὸ τῆς Ἀττικῆς γενικῆς ἐγένετο ἡ κρᾶσις καὶ οὐκ ἀπὸ τῆς κοινῆς, ἐπειδὴ εἰ ἐγένετο ἀπὸ τῆς κοινῆς γενικῆς, ἤμελλεν εἰς ο̅υ̅ς̅ εἶναι ἡ γενική. τὸ γὰρ ε̅ καὶ ο̅ εἰς τὴν ο̅υ̅ δίφθογγον κίρνανται, οἷον Δημοσθένεος Δημοσθένους, εὐγενέος εὐγενοῦς, τῆς δὲ γενικῆς εἰς ο̅υ̅ς̅ οὔσης ἠναγκάζετο ἡ αἰτιατικὴ καταλήγειν εἰς η̅· ἐμάθομεν γάρ, ὅτι πᾶσα γενικὴ ἀρσενικὴ εἰς ο̅υ̅ς λήγουσα θέλει ἔχειν τὴν αἰτιατικὴν εἰς η̅ καταλήγουσαν, οἷον τοῦ Δημοσθένους τὸν Δημοσθένη, τοῦ εὐγενοῦς τὸν εὐγενῆ, τοῦ κακοήθους τὸν κακοήθη· τῆς δὲ αἰτιατικῆς εἰς η̅ καταληγούσης οὐ δύναται ἡ κλητικὴ εἰς φωνῆεν καταλήγειν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις, ὡς προείρηται· 230 g εἰ οὖν ταῦτα εἰς φωνῆεν ἔχουσι τὴν κλητικὴν καταλήγουσαν, ὦ Ἐρετριεῦ γὰρ καὶ ὦ Πειραιεῦ καὶ ὦ Στειριεῦ, δηλονότι οὐ δύναται εἰς η̅ καταλήγειν ἐπὶ τούτων ἡ αἰτιατική· τῆς δὲ αἰτιατικῆς μὴ δυναμένης εἰς η̅ καταλήγειν, οὔτε εἰς ο̅υ̅ς̅ δύναται ἡ γενικὴ καταλήγειν· τούτου οὖν χάριν ἀπὸ τῆς κοινῆς οὐκ ἐγένετο ἡ κρᾶσις ἀλλ' ἀπὸ τῆς Ἀττικῆς. Ταῦτα μὲν ἐν τούτοις.

Τῷ ἡδέϊ καὶ ἡδεῖ κατὰ συναίρεσιν, τὸν ἡδέα καὶ ἡδύν. Ἰστέον ὅτι αὗται αἱ αἰτιατικαὶ διχῶς λέγονται, οἷον ἡδύς ἡδέος ἡδέα καὶ ἡδύν, εὐρύς εὐρέος εὐρέα καὶ εὐρύν, ⟨Ζ 291⟩ ἐπ' εὐρέα πόντον, πολύς πολέος πολέα, πολέα στρατόν, καὶ πολύν· καὶ ἡ μὲν εἰς α̅ λήγουσα ἀπὸ τῆς δοτικῆς κανονίζεται, ἡ δὲ εἰς ν̅ ἀπὸ τῆς εὐθείας.

Ὦ ἡδύ. Ἰστέον ὅτι τὰ εἰς υ̅ς̅ ἀποβολῇ τοῦ ς̅ ποιοῦσι τὴν κλητικήν, οἷον ὁ ταχύς ὦ ταχύ, ὁ ὀξύς ὦ ὀξύ, ὁ θῆλυς ὦ θῆλυ, ὁ βότρυς ὦ βότρυ, ὁ νέκυς ὦ νέκυ.

Τὼ ἡδέε. Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ εὐθεῖα τῶν δυϊκῶν, οὐδὲ γὰρ λέγομεν τὼ ἡδέε τὼ ἡδῆ, ὥσπερ τὼ Δημοσθένεε τὼ Δημοσθένη. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ εἰς υ̅ς̅ οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον ὀξύς ὀξέος τὼ ὀξέε, ἡδύς ἡδέος τὼ ἡδέε, βραδύς βραδέος τὼ βραδέε. Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἡνίκα συναιρεῖται ἡ εὐθεῖα τῶν δυϊκῶν, πάντως ἡ γε-

---

[Discr. scr. ex NCV] **1** καὶ ὦ πόλις *om* NCV | καὶ ὦ πρᾶξις NC, καὶ τὰ τοιαῦτα V | ἠδύναντο NC ‖ **3** ἡ εἰς α̅ V, εἰς η̅ NC ‖ **12** τὴν ο̅υ̅ V, τὴν ε̅ι̅ NC ‖ **23** οὖν *om* NC ‖ **26** ἡδῦν NC ‖ **27** ἡδῦν N ‖ **28** εὐρῦν N | ἐπ' εὐρέα NCV, ἐπιπλὼς εὐρέα Z 291 ‖ **29** πολέα στρ.] *cfr. Schneideri Callim. 2, 761* ‖ **31** *post* υ̅ς̅ *add* τριγενῆ NC

νικὴ τῶν ἑνικῶν μακροκαταληκτεῖ, οἷον Δημοσθένης Δημοσθένους Δημοσθένεε Δημοσθένη, βασιλεύς βασιλέως βασιλέε βασιλῆ, πόλις πόλεως πόλεε πόλη· ἐπειδὴ οὖν τὰ εἰς ῡς τριγενῆ οὐδέποτε μακροκαταληκτοῦσι κατὰ τὴν γενικὴν τῶν ἑνικῶν, οὐδὲ γὰρ γίνεται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς, τούτου χάριν οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ τραχύς μόνον εὑρίσκεται συναιρούμενον κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν εἰς τὴν ει̅ δίφθογγον παρὰ Ἴωνι τῷ τραγικῷ, οἷον ⟨fragm. 67 N²⟩ τὼ τραχέε τὼ τραχεῖ. Ταῦτα μὲν ἐν τούτοις.

Τοῖν ἡδέοιν. Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ γενικὴ τῶν 231 g δυϊκῶν, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν συναιρεῖται. Ταῦτα μὲν ἐν τούτοις.

Ὦ ἡδέε. Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ κλητικὴ τῶν δυϊκῶν, ἐπειδὴ οὔτε ἡ εὐθεῖα τῶν δυϊκῶν συναιρεῖται· τῶν δὲ δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Οἱ ἡδέες καὶ ἡδεῖς· εἴρηται. Ζητοῦσι δέ τινες λέγοντες, διὰ ποίαν αἰτίαν τῆς εὐθείας τῶν δυϊκῶν μὴ συναιρουμένης ἐνταῦθα ἡ εὐθεῖα τῶν πληθυντικῶν συναιρεῖται. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ εὐθεῖα τῶν πληθυντικῶν, ὅπου εὕρῃ ἀλλεπάλληλα φωνήεντα, συναιρεῖ αὐτά, οἷον Δημοσθένεες Δημοσθένεις, ὄφιες ὄφις, ἰχθύες ἰχθῦς· οὐδὲ γὰρ ἀκολουθεῖ τῇ εὐθείᾳ τῶν δυϊκῶν εἰς τοῦτο· ἰδοὺ γὰρ τοῦ βότρυς καὶ στάχυς καὶ τῶν ὁμοίων καὶ τοῦ βοῦς καὶ χροῦς καὶ τῶν ὁμοίων μὴ συναιρουμένων κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον βότρυε στάχυε βόε χρόε, ἡ εὐθεῖα τῶν πληθυντικῶν συναιρεῖται, οἷον βότρυες βότρυς, στάχυες στάχυς, βόες βοῦς, χρόες χροῦς.

Τῶν ἡδέων. Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ γενικὴ τῶν πληθυντικῶν, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν συναιρεῖται.

Τοῖς ἡδέσι. Κανονίζεται ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, τῷ ἀπὸ τῆς δοτικῆς κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ Δημοσθένεσι διδασκαλίᾳ· οὐδὲ γὰρ δύναται ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν κανονισθῆναι, ἐπειδὴ οὐκ ἔστι μετὰ μακρᾶς· τὸ γὰρ ῡς συνεσταλμένον ἐστίν.

Τοὺς ἡδέας καὶ ἡδεῖς· εἴρηται.

Ὦ ἡδέες καὶ ὦ ἡδεῖς· εἴρηται.

[Discr. scr. ex NCV] **6** τραχύς NC, ταχύς V ‖ **8** τὼ τραχέε τὼ τραχεῖ NC, τὼ ταχέε τὼ ταχεῖ V ‖ **10** *ante* συναιρεῖται *add* οὔτε ἡ εὐθεῖα τῶν δυϊκῶν *et post* συναιρεῖται *add* οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν V ‖ **15** *ante* Οἱ ἡδ. *add* ἡ εὐθεῖα τῶν πληθυντικῶν NC ‖ **18** εὕρῃ V, εὕροι NC | ἀλλεπάλληλα φωνήεντα V, ἀλλεπάλληεντα N, ἀλλεπάλληλα C *et in marg.* φωνήεντα C² ‖ **19** ὄφιες ὄφις V, ὄφεες ὄφεις NC ‖ **20** εἰς *om* NC ‖ **26** συναιρεῖται *om* NC ‖ **28** εἰρημένῳ] *cfr. p. 180, 5*

Κανὼν ιβ΄.

Ὁ βότρυς τοῦ βότρυος.

Λέγει ὁ τεχνικός, ὅτι τὰ εἰς υς μονογενῆ τὸ υ φυλάττουσιν ἐπὶ
232 g τῆς γενικῆς δηλονότι καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται, οἷον στάχυς στάχυος, βότρυς βότρυος, νέκυς νέκυος, Τίφυς Τίφυος (ἔστι δὲ ὄνομα κύριον), Ῥαδάμανθυς Ῥαδαμάνθυος, Πάλμυς Πάλμυος· τὸ γὰρ Πάλμυδος διὰ τοῦ δος κλιθὲν παρὰ Αἰσχύλῳ ⟨fragm. 437 N[2]⟩ ἡμάρτηται· ἔστι δὲ ὄνομα κύριον βασιλέως. Δεῖ προσθεῖναι «χωρὶς τοῦ πῆχυς πήχεως καὶ πέλεκυς πελέκεως». Πρόσκειται ἐν τῷ κανόνι «μονογενῆ» διὰ τὰ προλεχθέντα τριγενῆ· ταῦτα γὰρ οὐ φυλάττουσι τὸ υ ἐπὶ τῆς γενικῆς, οἷον ταχύς ταχέος, βραδύς βραδέος, ὀξύς ὀξέος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς υς μονοσύλλαβα περισπῶνται καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται κατὰ τὴν γενικὴν καὶ συστέλλουσι τὸ υ ἐν τῇ γενικῇ καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν, οἷον μῦς μυός, σῦς συός, δρῦς δρυός· τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν περισπώμενα, εἰ μὲν ὦσιν ὑποκοριστικά, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν, οἷον ὁ Καμμῦς τοῦ Καμμῦ, ὁ Διονῦς τοῦ Διονῦ, ὁ Κλαυσῦς τοῦ Κλαυσῦ, ὁ Λαρδῦς τοῦ Λαρδῦ, εἰ δὲ μὴ ὦσιν ὑποκοριστικά, διὰ καθαροῦ τοῦ ος κλίνονται καὶ συστέλλουσι τὸ υ καὶ ἐν τῇ γενικῇ καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν, οἷον ὀσφῦς ὀσφύος (σημαίνει δὲ τὴν ῥάχιν), ἰχθῦς ἰχθύος, ὀφρῦς ὀφρύος.

Ἰστέον δὲ ὅτι πάντα τὰ εἰς υς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν ὄντα ὑποκοριστικά εἰσιν, οἷον ὁ Καμμῦς, ὁ Κλαυσῦς, ὁ Διονῦς, ὁ Λαρδῦς, χωρὶς τῶν τριῶν τούτων, φημὶ δὴ τοῦ ὀσφῦς ὀφρῦς ἰχθῦς (ὀσφῦς δέ ἐστιν, ὡς εἴρηται, ἡ ῥάχις)· τὸ γὰρ ἰξύς (σημαίνει δὲ καὶ αὐτὸ τὴν ῥάχιν), εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸς ἐν τῷ Ὀνοματικῷ ὡς περισπώμενον, ἀλλ' οὖν οὐ περισπᾶται ἀλλ' ὀξύνεται, ὥς φησιν ἐν τῇ Καθόλου. Ταῦτα δὲ τὰ εἰς υς ὑποκοριστικὰ εἰς τὰ ἑνικὰ κλίνονται μόνον, δυϊκὰ γὰρ ἢ πληθυντικὰ οὐ δύνανται ἐπιδέξασθαι διὰ τὴν ἀνακολουθίαν τῆς ἀναλογίας· οὐδὲ γὰρ εὑρίσκομεν πῶς ὤφειλον καταλήγειν· οὐκ ἔχουσι γὰρ κατάληξιν ἁρμόζουσαν τοῖς δυϊκοῖς καὶ τοῖς πληθυντικοῖς, τὸ γὰρ υ οὐκ ἔστι τελικὸν οὔτε τῶν δυϊκῶν οὔτε τῶν πληθυντι-
233 g κῶν. Ταῦτα δὲ τὰ εἰς υς ὑποκοριστικὰ οὐκ ἔχουσι τὸ ι ἐν τῇ δοτικῇ τῶν ἑνικῶν· τῷ Καμμῦ γὰρ καὶ τῷ Κλαυσῦ καὶ τῷ Διονῦ καὶ τῷ Λαρδῦ χωρὶς τοῦ ι, ἐπειδὴ οὐδέποτε ἐν τέλει λέξεως ἡ υι δίφθογγος εὑρίσκεται, οἷον μυῖα ἅρπυια υἱός· εἰ εἶχον οὖν ταῦτα ἐν τῇ δοτικῇ τῶν ἑνι-

[Discr. scr. ex NCV] **2** τοῦ βότρυος *om* NC ‖ **3** φυλάττουσιν — διὰ καθ. (**4**) NC, φυλάττει καὶ ἐπὶ γενικῆς δῆλον ὡς διὰ καθ. V ‖ **6** Πάλμυς Πάλμυος *Dindorfius,* Πάλαμυς Παλάμυδος NC, Παλαμύς Παλαμύος V | τὸ γὰρ Πάλμυδος V, τὸ γὰρ Παλάμυδος NC ‖ **7** παρὰ Αἰσχύλῳ NC, παρ' Αἰσχίνῃ V ‖ **8** κύριον NCV, Φρύγιον *Nauckius* | πήχεως NC, πήχεος V ‖ **10** προλεχθέντα CV, λεχθέντα N | γὰρ *om* NC ‖ **17** Καμμὺ *et* **18** Διονὺ *et* Κλαυσὺ *et* Λαρδὺ N ‖ **29** τὴν ἀνακολουθίαν] τὴν ἀκολουθίαν NC, τὸ ἀνακόλουθον V

κῶν τὸ ι̅, ἤμελλεν ἡ υ̅ι̅ δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεσθαι, ὅπερ ἐστὶν ἀδύνατον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς υ̅ς̅ σύνθετα, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υ̅ς̅ ληγόντων εἰσὶ συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον βραχύς βραχέος τρίβραχυς τριβράχεος, πῆχυς πήχεως δεκάπηχυς δεκαπήχεως, θῆλυς θήλεος ἀρσενόθηλυς ἀρσενοθήλεος, ἰχθῦς ἰχθύος κάλλιχθυς καλλίχθυος, ὀφρῦς ὀφρύος λεύκοφρυς λευκόφρυος· εἰ δὲ ἀπὸ ῥήματός εἰσι συντεθειμένα, διὰ τοῦ δ̅ο̅ς̅ κλίνονται, οἷον ἔπηλυς ἐπήλυδος, νέηλυς νεήλυδος (σημαίνει δὲ τὸν ξένον)· ταῦτα γὰρ οὐκ εἰσὶν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων συντεθειμένα, ἀλλ' ἀπὸ ῥήματος τοῦ ἐλεύθω τοῦ σημαίνοντος τὸ παραγίνομαι. Τούτων οὕτως ἐχόντων ἐμάθομεν, ὅτι τὰ εἰς υ̅ς μονογενῆ τὸ υ̅ φυλάττουσιν ἐπὶ τῆς γενικῆς· σημειοῦται δὲ ὁ τεχνικὸς τὸ πῆχυς πήχεως καὶ πέλεκυς πελέκεως ὡς μὴ φυλάξαντα τὸ υ̅ ἐπὶ τῆς γενικῆς. Καὶ λέγει ὁ Ἡ ρ ω δ ι α ν ό ς, ὅτι πήχυος ἦν καὶ πελέκυος κατὰ τὴν ἀκολουθίαν, ὥσπερ βότρυς βότρυος, καὶ ἐπειδὴ τὰ μεταβάλλοντα τὸ ο̅ ἀττικῶς εἰς τὸ ω̅ δηλονότι κατὰ τὴν γενικὴν ἠναγκάσθησαν καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε̅ μεταβάλλειν — ὁ δὲ λόγος ἐπὶ τῶν καθαριευόντων, οἷον μάντιος μάντεως, ὄφιος ὄφεως, λαός λεώς, Μενέλαος Μενέλεως — εἰκότως καὶ τὸ πήχυος καὶ πελέκυος, ἐκτείναντα τὸ ο̅ εἰς τὸ ω̅ ἀττικῶς δηλονότι κατὰ τὴν γενικήν, ἠναγκάσθησαν καὶ τὸ παραλῆγον φωνῆεν τρέψαι εἰς τὸ ε̅ καὶ γενέσθαι πήχεως καὶ πελέκεως διὰ τοῦ ε̅ καὶ ω̅· εἰ δέ που εὑρήσεις πήχεος καὶ πελέκεος διὰ τοῦ ο̅, γνῶθι ὅτι κατὰ συστολὴν ἐγένοντο ἀπὸ τοῦ πήχεως καὶ πελέκεως. Πρόσκειται «ὁ δὲ λόγος ἐπὶ τῶν καθαριευόντων» διὰ τὸ κάλος κάλως (σημαίνει δὲ τὸ σχοινίον) καὶ Τάλος Τάλως (ἔστι δὲ ὄνομα κύριον)· ταῦτα γὰρ ἔτρεψαν τὸ ο̅ εἰς τὸ ω ἀττικῶς καὶ τὸ παραλῆγον φωνῆεν οὐκ 231 8 ἔτρεψαν εἰς τὸ ε̅, ἀλλ' οὐ καθαριεύουσιν.

Ἐζητήθη δὲ ἡμῖν καὶ περὶ τοῦ πρέσβυς πρέσβεος, εἴτε διὰ τοῦ ε̅ καὶ ο̅ μόνως εὕρηται εἴτε καὶ διὰ τοῦ ε̅ καὶ ω̅, καὶ ἠπόρηται ἡμῖν, εἰ ἔστι τριγενὲς τὸ πρέσβυς· εἰ γάρ ἐστι τριγενές, διὰ τοῦ ε̅ καὶ ο̅ μόνως ἐστί· τὰ γὰρ εἰς υ̅ς̅ ἔχοντα τριγένειαν οὐ γίνονται διὰ τοῦ ε̅ καὶ ω̅ ἀττικῶς, ὡς ἐμάθομεν, οἷον ἡδύς ἡδέος, ὀξύς ὀξέος, θῆλυς θήλεος, ἥμισυς ἡμίσεος διὰ τοῦ ε̅ καὶ ο̅· ταῦτα γὰρ οὐδέποτε γίνονται διὰ τοῦ ε̅ καὶ ω̅. Εἰ οὖν τὸ πρέσβυς ἔχει τριγένειαν, οὐ δύναται γενέσθαι διὰ τοῦ ε̅ καὶ ω̅ ἀττικῶς· εἰ δὲ οὐκ εὐποροῦσι χρήσεως τριγενείας, οὐκ ἔχουσι γὰρ χρῆσιν δοῦναι ἡμῖν οὔτε τοῦ πρέσβυ οὐδετέρου ἀλλ' οὔτε δὲ τοῦ πρέσβεια θηλυκοῦ, τὸ γὰρ πρέσβα κατὰ συγκοπήν ἐστιν ἀπὸ τοῦ πρεσβεία, δηλονότι μονογενές ἐστιν· εἰ δὲ μονογενές ἐστιν, ὤφειλε φυλάξαι τὸ υ̅ ἐν τῇ γενικῇ, ὥσπερ τὸ βότρυς βότρυος καὶ στάχυς στάχυος·

[DISCR. SCR. EX NCV] **5** πήχεως *et* δεκαπήχεως V, πήχεος *et* δεκαπήχεος NC ‖ **6** ἀρσενόθηλυς V, ἀρσενοθῆλυς NC ‖ **12** δὲ *om* NC ‖ **13** φυλάξαντα V, φυλάξαν NC ‖ **14** ἦν *om* NC ‖ **15** τὴν *om* NC ‖ **18** ὄφιος] ὄφις NCV ‖ **23** *post* συστολὴν *add* ἰωνικὴν V ‖ **28** δὲ V, μὲν NC ‖ **34** τὸ] ὁ N

εἰ δὲ οὐ φυλάττει τὸ ῡ ἐν τῇ γενικῇ, δηλονότι ἠκολούθηcε τῷ πῆχυc πήχεωc καὶ πέλεκυc πελέκεωc· καὶ πρότερον ἐγένετο ἡ ἔκταcιc τοῦ ο̄ εἰc τὸ ω̄ ἐν τῇ γενικῇ, καὶ οὕτωc ἐγένετο ἡ παραλήγουcα διὰ τοῦ ε̄, ὡc ἐπὶ τοῦ πῆχυc πήχεωc καὶ πέλεκυc πελέκεωc· καὶ τελευταῖον ἔτρεψε τὸ ω̄ εἰc τὸ ο̄ καὶ ἐγένετο πρέcβεοc, ὡc ἐπὶ τοῦ πήχεοc καὶ πελέκεοc. Ἰcτέον δὲ ὅτι εὕρηται τὸ θηλυκὸν αὐτοῦ ἡ πρέcβυc τῆc πρέcβυοc, καὶ τὸ ἀρcενικὸν δὲ παρὰ τοῖc Δωριεῦcι κατὰ τροπὴν τοῦ β̄ εἰc τὸ γ̄ εὕρηται πρέcγυc πρέcγυοc. Ἰcτέον δὲ ὅτι τὸ πρέcβυc οἱ τεχνικοὶ μονογενὲc λέγουcιν εἶναι, καὶ ὅτι ἐπειδὴ μονογενέc ἐcτιν ὤφειλε τὸ ῡ φυλάττειν ἐπὶ τῆc γενικῆc· εἰ δὲ μὴ φυλάττει τὸ ῡ ἐν τῇ γενικῇ, δηλονότι τῷ λόγῳ τοῦ πῆχυc πήχεοc καὶ πέλεκυc πελέκεοc ἠκολούθηcε, καὶ ἔcτι τρίτον μετὰ τῶν cεcημειωμένων. Δεῖ δὲ γινώcκειν, ὅτι τὸ πρέcβυc ἐπὶ τοῦ γέροντοc δεῖ νοεῖν, ἐπὶ γὰρ τῶν ἐκπεμπομένων εἰc πρεcβείαν οὐχ εὑρίcκομεν τὴν εὐθεῖαν εἰc ῡc̄, ὥcπερ ἐνόμιcάν τινεc· εἰ γὰρ εὕρη-
235 g ται ἡ αἰτιατικὴ τὸν πρέcβιν, ὡc μάντιν, καὶ ἡ κλητικὴ ὦ πρέcβιc ἀττικῶc, ὥcπερ ὦ μάντιc, δηλονότι καὶ ἡ εὐθεῖα ὁ πρέcβιc, ὥcπερ ὁ μάντιc, καὶ ἡ γενικὴ τοῦ πρέcβεωc ἀκολούθωc, ὥcπερ τοῦ μάντεωc. Ταῦτα μὲν ἐν τούτοιc.

Καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ βότρυc βότρυοc καὶ cτάχυc cτάχυοc οὐ γίνεται παρὰ τοῖc Ἀττικοῖc διὰ τοῦ ω̄. Καὶ ἔcτιν εἰπεῖν, ὅτι, ὡc ἐμάθομεν, τὰ ἐκτείνοντα τὸ ο̄ εἰc τὸ ω̄ ἀττικῶc ἐπὶ τῶν καθαριευόντων καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλουcιν, οἷον ὄφιc ὄφιοc καὶ ὄφεωc, πόλιc πόλιοc καὶ πόλεωc, ναόc νεώc, λαόc λεώc· εἰ οὖν ἐξέτειναν ταῦτα τὸ ο̄ εἰc τὸ ω̄ ἀττικῶc, ἠναγκάζοντο καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλειν, ὅπερ ἐcτὶν ἄτοπον· τὰ γὰρ εἰc ῡc̄ μονογενῆ, ὡc εἴρηται, τὸ ῡ θέλουcι φυλάττειν ἐπὶ τῆc γενικῆc·

Τῷ βότρυϊ. Ἰcτέον ὅτι οὐ cυναιρεῖται ἐνταῦθα ἡ δοτικὴ τῶν ἐνικῶν, ἐπειδὴ εἰ cυνῃρεῖτο ἤμελλεν εἰc τὴν ῡῑ δίφθογγον λήγειν, ὅπερ ἐcτὶν ἀδύνατον· οὐδέποτε γὰρ ἡ ῡῑ δίφθογγοc ἐν τέλει λέξεωc εὑρίcκεται, οἷον μυῖα ἅρπυια υἱόc.

Τὸν βότρυν. Ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν οὐ λέγονται αἱ αἰτιατικαὶ τῶν εἰc ῡc̄ μονογενῶν διχῶc, οἷον τὸν βότρυα καὶ βότρυν, ἀλλ' εἰc ν̄ μόνωc, οἷον τὸν βότρυν. Ἔcτιν οὖν εἰπεῖν, ὅτι πᾶcα γενικὴ εἰc ο̄c̄ καθαρὸν λήγουcα διχρόνῳ παραληγομένη εἰc ν̄ μόνωc ἔχει τὴν αἰτιατικήν, οἷον ὄφιc ὄφιοc ὄφιν, μάντιc μάντιοc μάντιν, πόλιc πόλιοc πόλιν· ἐπειδὴ οὖν καὶ τὰ εἰc ῡc̄ μονογενῆ ἔχουcι τὴν γενικὴν εἰc ο̄c̄ καθαρὸν διχρόνῳ παραληγομένην, οἷον cτάχυοc βότρυοc νέκυοc, τούτου χάριν εἰc ν̄ μόνωc ἔχουcι τὴν αἰτιατικήν, οἷον βότρυν cτάχυν

[Discr. sch. ex NCV] **1** τῷ V, τὸ NC ‖ **6** δὲ *om* NC ‖ **8** πρέcγυc] *EM 723, 17 ex Herodiani libro* Περὶ παθῶν *add:* καὶ ὑπερθέcει (*seu* ὑπερβιβαcμῷ) cπέργυc ‖ **9** ὅτι ἐπ. V, ὅcον ἐπ. NC ‖ **12** δὲ *om* NC ‖ **14** ἐνόμιcαν τινὲc V, νομίcαντεc τινὲc NC ‖ **17** καὶ ἡ γεν. — τούτοιc (18) *om* N ‖ **28** cυνῃρεῖτο V, cυνῄρητο N, cυνήρητο C ‖ **32** μονογενῶν *om* NC ‖ **37** παραληγομένην V, παραληγόμενα NC

νέκυν. Σεσημείωται παρ' Εὐφορίωνι ἅπαξ εὑρεθὲν τὸ βότρυα, καὶ παρὰ 30 Διονυσίῳ, οὐκ ἐν τῇ Περιηγήσει ἀλλ' ἐν ἑτέρῳ αὐτοῦ ποιήματι, τὸ δρύα. Ὦ βότρυ· εἴρηται.

Τὼ βότρυε. Ἄξιόν ἐστι ζητῆσαι, διατί ὥσπερ τὸ βότρυες γίνεται κατὰ κρᾶσιν τοῦ ῡ καὶ ε̄ εἰς ῡ μακρὸν [καὶ γίνεται] βότρυς, μὴ τὸν αὐτὸν 236 g τρόπον καὶ ἡ βότρυε εὐθεῖα τῶν δυϊκῶν [γίνεται] κατὰ κρᾶσιν τοῦ ῡ καὶ ε̄ εἰς τὸ ῡ μακρὸν [καὶ] γίνεται βότρυ. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται ἡ εὐθεῖα τῶν δυϊκῶν γενέσθαι κατὰ κρᾶσιν τοῦ ῡ καὶ ε̄ εἰς τὸ ῡ μακρόν, ἐπειδὴ ἤμελλεν εἰς τὸ ῡ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον· τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν· ἐν γὰρ τῇ εὐθείᾳ τῶν πληθυντικῶν, εἰ καὶ γίνεται κρᾶσις τοῦ ῡ καὶ ε̄ εἰς τὸ ῡ μακρόν, ἀλλ' οὖν εἰς τὸ σ̄ λήγει ἡ λέξις, ὅπερ τελικόν ἐστι τῆς εὐθείας τῶν πληθυντικῶν, οἷον Αἴαντες Ἕκτορες. Τοῖν βοτρύοιν, ὢ βότρυε· εἴρηται. 10

Οἱ βότρυες καὶ βότρυς. Ἰστέον ὅτι κατὰ κρᾶσιν τοῦ ῡ καὶ ε̄ εἰς υ μακρὸν γίνεται οἱ βότρυς. Τῶν βοτρύων· εἴρηται. Τοῖς βότρυσιν. Ἰστέον ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ Δημοσθένει 20 διδασκαλίᾳ· οὐδὲ γὰρ δυνάμεθα τῷ ἀπὸ τῆς εὐθείας κανόνι κανονίσαι αὐτὴν τῷ λέγοντι, ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς σ̄ λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γάρ ἐστι μετὰ μακρᾶς ἡ εὐθεῖα τῶν ἑνικῶν ἐνταῦθα· τὸ γὰρ ῡ συνεσταλμένον ἐστίν.

Τοὺς βότρυας καὶ βότρυς. Ἰστέον ὅτι τὸ μὲν βότρυας ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν κανονίζεται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ε̄σ̄ λήγουσα τροπῇ τοῦ ε̄ εἰς ᾱ τὴν αἰτιατικὴν 30 ποιεῖ, οἷον Αἴαντες Αἴαντας, Λάχητες Λάχητας, Πάριδες Πάριδας· οὕτως οὖν καὶ βότρυες βότρυας· οὐδὲ γὰρ δύναται ἀπὸ τῆς αἰτιατικῆς τῶν ἑνικῶν κανονισθῆναι, ἐπειδὴ οὐ λήγει ἡ αἰτιατικὴ τῶν ἑνικῶν εἰς ᾱ ἀλλ' εἰς ν̄, οἷον τὸν βότρυν· τὸ γὰρ παρ' Εὐφορίωνι βότρυα σεσημείωται· τὸ δὲ βότρυς ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ τῶν πληθυντικῶν τῇ 237 g οἱ βότρυς. Ὦ βότρυες καὶ ὦ βότρυς· εἴρηται.

Κανὼν ιγ΄.

Ὁ βοῦς τοῦ βοός.

Ἰστέον ὅτι τὰ εἰς ο̄ῡσ̄ ἀπαθῆ διὰ καθαροῦ τοῦ ο̄σ̄ κλίνονται, οἷον βοῦς βοός, [νοῦς νοός], χροῦς χροός, χοῦς χοός, χνοῦς χνοός, πλὴν τοῦ πούς ποδός καὶ ὀδούς ὀδόντος· ἰστέον δὲ ὅτι εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ

[Discr. scr. ex NCV] **1** τὸ βότρυα V, τὸν βότρυα NC; *cfr. A Meinekii Anal. Alex. p. 157* ‖ **2** τὸ δρύα] τὸν δρύα NC, τὴν δρύα V ‖ **5** καὶ γίνεται *om* V ‖ **6** γίνεται *om* V ‖ **7** καὶ *om* V ‖ **17** εἰρημένῳ] *cfr. p. 180, 5* ‖ **26** οἷον *om* N ‖ **31** οἱ *om* NC ‖ **33** τοῦ βοός *om* NC ‖ **35** νοῦς νοός *om* V χοῦς — χνοός *om* NC

⟨fragm. 258 N²⟩ καὶ παρὰ τῷ Αἰcχύλῳ ⟨fragm. 421 N²⟩. Πρόcκειται ἐν τῷ κανόνι «ἀπαθῆ» διὰ τὰ εἰc ουc τὰ ἀπὸ cυναιρέcεωc ὄντα, περὶ ὧν ἐφεξῆc διαλαμβάνει, φημὶ δὴ διὰ τὸ πλόοc πλόου πλοῦc πλοῦ καὶ νόοc νόου νοῦc νοῦ. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ βοῦc βοόc οὐ γίνεται κατ᾽ ἔκταcιν Ἀττικὴν τοῦ ο̅ εἰc τὸ ω̅. Ἔcτιν οὖν εἰπεῖν, ὅτι, ὡc ἐμάθομεν ἀνωτέρω, τὰ ἐκτείνοντα τὸ ο̅ εἰc τὸ ω̅ ἀττικῶc ἐπὶ τῶν καθαριευόντων καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̅ μεταβάλλουcιν, οἷον ὄφιc ὄφιοc ὄφεωc, πόλιc πόλιοc πόλεωc, ναόc νεώc, λαόc λεώc· εἰ ἐξέτεινεν οὖν τὸ βοῦc βοόc τὸ ο̅ εἰc τὸ ω̅ ἀττικῶc, ἠναγκάζετο καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̅ μεταβαλεῖν· ἀλλὰ μὴν καὶ τὸ παραλῆγον φωνῆεν οὐκ ἠδύνατο εἰc ε̅ μεταβαλεῖν· τὰ γὰρ μεταβαλλόμενα κατὰ τὴν παραλήγουcαν εἰc τὸ ε̅ δίχρονα εὑρίcκονται, οἷον ὄφιοc ὄφεωc, πόλιοc πόλεωc, ναόc νεώc, λαόc λεώc· τοῦτο δὲ οὐκ ἔcτι δίχρονον ἀλλὰ ο̅· δῆλον οὖν ὅτι τῆc παραληγούcηc μὴ δυναμένηc μεταβληθῆναι εἰc τὸ ε̅, εἰκότωc οὐδὲ ἡ λήγουcα ἐξετάθη εἰc ω̅.

Πάλιν ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ βοῦc βοόc οὐ κίρναται κατὰ τὴν γενικήν. Ἔcτιν οὖν εἰπεῖν, ὅτι εἰ ἐκίρνατο τὸ βοῦc βοόc κατὰ τὴν γενικήν, εἰc ου̅c̅ ἔμελλεν εἶναι, οἷον πλόοc πλοῦc, νόοc νοῦc, ῥόοc ῥοῦc· τὰ γὰρ δύο οο εἰc τὴν ου̅ δίφθογγον κιρνῶνται· καὶ λοιπὸν πρῶτον μὲν ἤμελλεν cυνεμπίπτειν τῇ εὐθείᾳ ἡ γενική· δεύτερον δέ, ὡc ἐμάθομεν ἀνωτέρω, πᾶcα γενικὴ ἀρcενικὴ εἰc ου̅c̅ λήγουcα θέλει ἔχειν
238 8 τὴν αἰτιατικὴν εἰc η̅ καταλήγουcαν, οἷον τοῦ Δημοcθένουc τὸν Δημοcθένη, τοῦ εὐcεβοῦc τὸν εὐcεβῆ, τοῦ εὐγενοῦc τὸν εὐγενῆ· ἀλλὰ μὴν ⟨ἐνταῦθα⟩ ἡ αἰτιατικὴ οὐ καταλήγει εἰc η̅, τὸν βόα γὰρ καὶ τὸν βοῦν· δῆλον οὖν ὅτι τῆc αἰτιατικῆc μὴ καταληγούcηc εἰc η̅, οὐδὲ ἡ γενικὴ δύναται εἶναι εἰc ου̅c̅· διὰ τοῦτο οὖν οὐ cυναιρεῖται. Ταῦτα μὲν ἐν τούτοιc.

Δεῖ δὲ γινώcκειν, ὅτι τὰ εἰc ου̅c̅ λήγοντα ὀνόματα εἰ μὲν ὦcιν ἁπλᾶ περιcπῶνται, οἷον βοῦc νοῦc χροῦc χοῦc χνοῦc ῥοῦc χαλκοῦc χρυcοῦc ἀργυροῦc ἀδελφιδοῦc θυγατριδοῦc, πλὴν τοῦ πούc καὶ ὀδούc, ταῦτα γὰρ ὀξύνονται· εἰ δὲ ὦcι cύνθετα βαρύνονται, οἷον εὔπλουc εὔχρουc εὔνουc cύννουc Ἀλκίνουc Οἰδίπουc· πρόcκειται «ὀνόματα» διὰ τὰc μετοχάc, αὗται γὰρ ὀξύνονται, οἷον διδούc βιούc ἁλούc. Ταῦτα μὲν ἐν τούτοιc. Ἰcτέον δὲ ὅτι τὸ μὲν ὀδούc ὀξύνεται ἐπειδὴ μετοχικόν ἐcτιν, αἱ δὲ εἰc ου̅c̅ μετοχαὶ ὀξύνεcθαι θέλουcιν, οἷον διδούc βιούc ἁλούc· οὕτωc οὖν καὶ τὸ ὀδούc ὀξυτόνωc· ἔcτι δὲ παρὰ τὸ ἔδω (τὸ ἐcθίω), οἱονεὶ δι᾽ οὗ ἐcθίομεν. Τὸ δὲ πούc ὀξύνεται διὰ λόγουc τοιούτουc, ἢ ὅτι ἀπὸ τοῦ παύcω μέλλοντοc γίνεται κατὰ ἀποβολὴν τοῦ ω̅ παύc ἐν ὀξείᾳ

[Discr. scr. ex NCV] **3** δὴ V, δὲ NC || **7** ἀττικῶc *om* NC || **8** μεταβάλλουcιν V, μεταβάλλει NC || **14** ἀλλὰ ο̅· δῆλον οὖν ὅτι V, ἀλλ᾽ οὖν δηλονότι NC || **16** ἐξετάνθη NC || **23** τὸν Δημοcθένην NC || **25** ἐνταῦθα *om* NCV || **26** δῆλον οὖν ὅτι V, δηλονότι NC || **28** ὀνόματα *om* NC || **29** χοῦc — ἀργυροῦc (**30**) *om* NC || **32** cύνουc N | Ἀλκίνουc V, ἀκλίνουc NC || **33** βιούc V, βιβούc NC; *item v. 35* || **34** μὲν *om* NC || **36** δι᾽ οὗ ἐcθίομεν] δι᾽ οὓc ἐcθίομεν NC, ὁ διδοὺc ἐcθιόμενα V

τάϲει, ὥϲπερ τρώϲω τρώϲ, δώϲω δώϲ, ⟨Hes. Opp. 356⟩ δὼϲ ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα (ϲημαίνει δὲ τὴν δόϲιν), καὶ κατὰ μετάθεϲιν τοῦ α̅ εἰϲ τὸ ο̅ πούϲ· πούϲ γὰρ λέγεται εἰϲ ὃ ἀποπαύεται μέροϲ τὸ ϲῶμα, ὥϲπερ καὶ παρὰ τὸ λήγω γίνεται λαγών, οἱονεὶ ᾧ λήγει ἡ κοιλία. Ἢ οὖν τούτῳ τῷ λόγῳ ὀξύνεται τὸ πούϲ, ἢ ὅτι εἰϲί τινα λήγοντα εἰϲ ο̅ϲ̅ διϲύλλαβα πρὸϲ διάφορον ϲημαϲίαν διάφορον ἔχοντα τὸν τόνον· ἐὰν μὲν γὰρ διαλυθῶϲιν εἰϲ ἐνέργειαν ὀξύνονται, ἐὰν δὲ εἰϲ πάθοϲ διαλυθῶϲι βαρύνονται, οἷόν ἐϲτι παρὰ τὸ φέρω φορόϲ καὶ φόροϲ, καὶ φορόϲ μὲν ὀξυτόνωϲ ἐϲτὶν ὁ φέρων, οἷον «φορὸϲ ἄνεμοϲ» ὁ πρὸϲ τὸ φέρειν ἐπιτήδειοϲ, φόροϲ δὲ βαρυτόνωϲ ὁ φερόμενοϲ καὶ βαϲταζόμενοϲ· καὶ πάλιν ἀπὸ τοῦ τέμω γίνεται τομόϲ ὀξυτόνωϲ ὁ τέμνων καὶ τόμοϲ βαρυτόνωϲ ὁ τεμνόμενοϲ· καὶ πάλιν παρὰ τὸ τρέχω γίνεται τροχόϲ ὀξυτόνωϲ ὁ τρέχων καὶ τρόχοϲ βαρυτόνωϲ ὁ τρεχόμενοϲ τόποϲ, τουτέϲτι τὸ γυμνάϲιον ἔνθα τρέχουϲιν, 239 g ὡϲ παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ ⟨46⟩ ἀλλ' οἵδε παῖδεϲ ἐκ τρόχων πεπαυμένοι Cτείχουϲι, μητρὸϲ οὐδὲν ἐννοούμενοι Κακῶν· καὶ πάλιν παρὰ τὸ περῶ γίνεται ἐν ὀξείᾳ τάϲει πορόϲ ὁ διαπερῶν καὶ ἐν βαρείᾳ τάϲει πόροϲ ὁ διαπερώμενοϲ τόποϲ. Ἀπὸ οὖν τοῦ ὀξυτονουμένου, φημὶ δὴ ἀπὸ τοῦ πορόϲ τοῦ ϲημαίνοντοϲ ἐνέργειαν ἤγουν τὸν διαπερῶντα, γίνεται κατ' ἔλλειψιν τοῦ ρ̅ ποόϲ, καὶ λοιπὸν κρᾶϲιϲ παρακολουθεῖ τῶν δύο ο̅ο̅ εἰϲ τὴν ο̅υ̅ δίφθογγον, καὶ γίνεται πούϲ ἐν ὀξείᾳ τάϲει, ἤγουν ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰϲ ὀξεῖαν ϲυνέρχονται, οἷον ζωόϲ ζώϲ, Νηρηΐϲ Νηρήϲ, ἑϲταώϲ ἑϲτώϲ, βεβαώϲ βεβώϲ· οὕτωϲ οὖν καὶ ποόϲ πούϲ ἐν ὀξείᾳ τάϲει, ὥϲπερ καὶ ἐκ τοὐναντίου ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰϲ περιϲπωμένην ϲυνέρχονται, οἷον πάϊϲ παῖϲ, Πηλέϊ Πηλεῖ, εὐϲεβέοϲ εὐϲεβοῦϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, εἰ ἄρα, ὡϲ εἴρηται, τὰ εἰϲ ο̅υ̅ϲ̅ ἀπαθῆ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλίνονται, οἷον βοῦϲ βοόϲ, [νοῦϲ νοόϲ], χροῦϲ χροόϲ, διατί τὸ πούϲ καὶ ὀδούϲ οὐ κλίνονται διὰ καθαροῦ τοῦ ο̅ϲ̅, οἷον ποόϲ καὶ ὀδόοϲ. Ἔϲτιν οὖν εἰπεῖν, ὅτι, ὡϲ ἐμάθομεν, τὰ εἰϲ ο̅υ̅ϲ̅ λήγοντα ὀνόματα οὐδέποτε ὀξύνονται, χωρὶϲ τοῦ πούϲ καὶ ὀδούϲ, ταῦτα γὰρ ὀξύνονται· ἐπειδὴ οὖν διήλλαξαν περὶ τὸν τόνον, τούτου χάριν καὶ περὶ τὴν κλίϲιν διήλλαξαν καὶ οὐ κλίνονται διὰ καθαροῦ τοῦ ο̅ϲ̅. Καὶ τὸ μὲν ὀδούϲ ὀδόντοϲ διὰ τοῦ ν̅τ̅ κλίνεται, ἐπειδή, ὡϲ εἴρηται, μετοχικόν ἐϲτιν· αἱ δὲ εἰϲ ο̅υ̅ϲ̅ μετοχαὶ διὰ τοῦ ν̅τ̅ κλίνονται, οἷον βιούϲ βιόντοϲ, διδούϲ διδόντοϲ, ἁλούϲ ἁλόντοϲ· οὕτωϲ οὖν καὶ ὀδούϲ ὀδόντοϲ· τὸ δὲ πούϲ ποδόϲ καὶ κατὰ τοῦτο παράλογόν ἐϲτιν, ὅτι ὀξυνθὲν ὁμοίωϲ ταῖϲ εἰϲ ο̅υ̅ϲ̅ μετοχαῖϲ οὐκ ἐκλίθη διὰ τοῦ ν̅τ̅ ὁμοίωϲ αὐταῖϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, εἰ ἄρα τὰ εἰϲ ο̅υ̅ϲ̅ λήγοντα ὑπὲρ μίαν ϲυλλαβὴν ὀνόματα οὐδέποτε ϲυντίθενται, οἷον χαλκοῦϲ χρυϲοῦϲ Cιμοῦϲ γλαυκοῦϲ, διατί τὸ ὀδούϲ ϲυντίθεται, ὡϲ ἐν τῷ τριόδουϲ κυνόδουϲ· 240 g

[Dɪsᴄʀ. sᴄʀ ᴇx NCV] **2** δὲ *om* NC || **5** τὸ V, ὁ NC || **16** κακὸν N || **18** πόροϲ *om* N || **19** δὴ V, δὲ NC || **22** οἷον *om* NC || **33** Καὶ τὸ μὲν V, τὸ δὲ NC || **37** κατὰ *om* NC || **40** οἷον — γλαυκοῦϲ (**41**) *om* V || **41** γλαυκοῦϲ NC, πλακοῦϲ *Lentz.*

πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὰ μονοσύλλαβα, οἷον διὰ τὸ νοῦς καὶ πλοῦς καὶ ῥοῦς καὶ πούς· ταῦτα γὰρ συντίθενται, ὡς ἐν τῷ εὔνους εὔπλους εὔρους Οἰδίπους. Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ εἰς ο̅υ̅ς̅ ὀνόματα οὐδέποτε ὀξύνονται, ἀλλ' ἢ βαρύνονται ἢ περισπῶνται· καὶ περισπῶνται μὲν ἡνίκα ὦσιν ἁπλᾶ, οἷον νοῦς βοῦς χροῦς χοῦς ἀδελφιδοῦς θυγατριδοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνονται, βαρύνονται δὲ ἡνίκα ὦσι σύνθετα, οἷον εὔχρους εὔπλους Ἀλκίνους· ἐπειδὴ οὖν τὸ ὀδούς παραλόγως ὀξύνεται, τούτου χάριν συντίθεται, ἵνα διὰ τῆς συνθέσεως βαρυνθῇ καὶ ⟨ἐκ⟩φύγῃ τὴν παράλογον τάσιν, λέγω δὴ τὴν ὀξεῖαν, οἷον τριόδους κυνόδους.

Τῷ βοΐ. Ἰστέον ὅτι ἡ δοτικὴ ἐνταῦθα οὐ δύναται συναίρεσιν ἐπιδέξασθαι τοῦ ο̅ καὶ ι̅ εἰς τὴν ο̅ι̅ δίφθογγον, ὥσπερ ἐπὶ τοῦ Λητόϊ Λητοΐ, ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ τῶν ἑνικῶν ἐπ' ὀνομάτων μονοσυλλάβων ἐκφωνεῖ τὸ ι̅, οἷον τῷ Γρᾷ, τῇ γῇ, τῇ μνᾷ, τῷ νῷ· εἰ οὖν ἐγένετο κατὰ συναίρεσιν βοΐ βοῖ, ἤμελλεν ἐκφωνεῖσθαι τὸ ι̅ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν ἐπὶ μονοσυλλάβων ὀνομάτων, ὅπερ ἐστὶν ἄτοπον· ἐκφωνεῖν δὲ ἤμελλεν αὐτό, ἐπειδή, ὡς ἐμάθομεν, τὸ ι̅ τότε ἐστὶν ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̅ ἢ μετὰ τοῦ ω̅ ἢ μετὰ τοῦ α̅ μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῇ Μηδείᾳ· ἐν οἷς οὖν ἐνταῦθα τὸ ι̅ οὔτε μετὰ τοῦ η̅ ἐστὶν οὔτε μετὰ τοῦ ω̅ οὔτε μετὰ τοῦ α̅ μακροῦ, ἀλλὰ μετὰ τοῦ ο̅, δηλονότι οὐκ ἠδύνατο ἀνεκφώνητον εἶναι. Πρόσκειται ἐν τῷ κανόνι «ἡ δοτικὴ τῶν ἑνικῶν» διὰ τὸ πλοῖς, τοῦτο γὰρ μονοσύλλαβόν ἐστι καὶ ἐκφωνεῖ τὸ ι̅, ἀλλ' οὐκ ἔστι δοτικὴ ἑνικῶν ἀλλὰ πληθυντικῶν· πρόσκειται «ἐπ' ὀνομάτων» διὰ τὴν σοί ἀντωνυμίαν, αὕτη γὰρ μονοσύλλαβος οὖσα ἐκφωνεῖ τὸ ι̅, ἀλλ' οὐκ ἔστιν ὄνομα· πρόσκειται «μονοσυλλάβων» διὰ τὸ Λητοΐ, τοῦτο γὰρ ἐκφωνεῖ τὸ ι̅, ἀλλ' οὐκ ἔστι μονοσύλλαβον.

Τὸν βόα καὶ τὸν βοῦν. Ἰστέον ὅτι διφοροῦνται τούτων αἱ αἰτιατικαί, καὶ ἡ μὲν εἰς α̅ λήγουσα ἀπὸ τῆς δοτικῆς κανονίζεται, ἡ δὲ εἰς
241 g ν̅ ἀπὸ τῆς εὐθείας· καὶ δεῖ παραφυλάξασθαι, ὅτι ἐπὶ τῆς βοῦς ἡ αἰτιατικὴ μᾶλλον εἰς ν̅ λήγει, οἷον τὸν βοῦν, σπανιωτέρα δέ ἐστιν ἡ εἰς α̅, οἷον τὸν βόα· εὑρέθη δὲ σπανίως παρὰ Φερεκύδῃ τῷ Ἀθηναίῳ, καὶ οὐ δεῖ χρῆσθαι αὐτῇ, ἐπειδὴ οἱ τεχνικοὶ κωλύουσιν. Εἰ δέ τις εἴποι, καὶ πῶς τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν πληθυντικῶν τῇ συνῃρημένῃ τῇ οἱ βότρυς καὶ τοὺς βότρυς κεχρήμεθα σπανίως εὑρημέναις; λέγομεν ὡς ἐκείνας μὲν οὐδεὶς τῶν τεχνικῶν ἐκώλυσε, τὴν δὲ αἰτιατικὴν τὴν βόα κωλύουσιν. Ταῦτα μὲν περὶ τοῦ βοῦς· ἐπὶ δὲ τοῦ χροῦς καὶ χοῦς τὸ ἐναντίον ἡ μὲν εἰς α̅ ἐστὶν ἐν πλάτει, οἷον χρόα καὶ χόα, ⟨N 649⟩ μή τις χρόα χαλκῷ ἐπαύρῃ, ἡ δὲ εἰς ν̅ σπανιωτέρα, οἷον χροῦν καὶ

[Discr. scr. ex NCV] **1** τὰ μονος. οἷον διὰ *om* NC ‖ **8** Ἀλκίνους *Lentzius*, ἀκλίνους N, εὐκλίνους C, *om* V ‖ **9** φύγῃ NCV ‖ **11** Τῷ βοΐ *om* NC | *post* Ἰστέον *add* δὲ N ‖ **19** οὖν *om* NC ‖ **24** σοί N, σοἳ *et in mg.* οὐκ οἶδα C[1], οἷ V ‖ **25** πρόσκειται — μονοσύλλαβον (**27**) *om* V ‖ **27** μονοσύλλαβος NC ‖ **28** Τὸν βόα — βοῦν *om* NC ‖ **32** Φερεκύδει NC ‖ **36** τὴν βόα] τὸν βόα NC, τοὺς βόας V

χοῦν. Ἰστέον ⟨δὲ⟩ ὅτι τὸ χόα ἀπὸ τοῦ χοῦς χοός ὂν καὶ βαρύνεται καὶ συνεσταλμένον ἔχει τὸ ᾰ· τὸ δὲ παρὰ τῷ Μενάνδρῳ χοᾶ, οἷον ⟨fragm. 915 K⟩ τὸν χοᾶ Ἐκκέχυκας, ᾧ τινι καὶ χρῶνται οἱ Ἀττικοί, περισπώμενον καὶ ἐκτεταμένον ἔχον τὸ ᾱ, ἀπὸ τῶν εἰς ευς ἐστίν, οἷον ἀπὸ τοῦ χοεύς χοέως χοέϊ χοέα γέγονε χοᾶ κατὰ κρᾶσιν τοῦ ε καὶ ᾰ εἰς ᾱ μακρόν, ὥσπερ Ἐρετριέα Ἐρετριᾶ. Ἄξιον δέ ἐστι ζητῆσαι, διατί ὥσπερ ἀπὸ τοῦ Σαπφόα καὶ Λητόα γέγονε Σαπφώ καὶ Λητώ κατὰ κρᾶσιν τοῦ ο καὶ ᾰ εἰς ω, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ βόα καὶ χρόα καὶ χόα γίνεται βῶ καὶ χρῶ καὶ χῶ, κατὰ κρᾶσιν τοῦ ο καὶ ᾰ εἰς ω. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπὶ τοῦ Λητόα καὶ Σαπφόα πρῶτον ἡ γενικὴ συνηρέθη καὶ οὕτως ἡ αἰτιατική, οἷον Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς, ἐπὶ δὲ τούτων ἐπειδὴ οὐ συνηρέθη ἡ γενική, τούτου χάριν οὐδὲ ἡ αἰτιατικὴ συνηρέθη.

Ὦ βοῦ. Εἴρηται ὅτι τὰ εἰς ς λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν κλητικήν, οἷον ὁ χαρίεις ὦ χαρίει, ὁ παῖς ὦ παῖ, ὁ Πηλεύς ὦ Πηλεῦ, ὁ νοῦς ὦ νοῦ· οὕτως οὖν καὶ ὁ βοῦς ὦ βοῦ.

Τὼ βόε. Ἄξιόν ἐστι ζητῆσαι, διατί ὥσπερ ἡ εὐθεῖα τῶν πληθυντικῶν γίνεται κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, οἷον βόες βοῦς, μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν γίνεται κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, οἷον βόε βοῦ. Καὶ ἔστιν 242 g εἰπεῖν ὅτι οὐ δύναται ἡ εὐθεῖα τῶν δυϊκῶν γενέσθαι κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, ἐπειδὴ εἰ ἐγένετο τοῦτο ἤμελλεν εἰς ῡ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον, τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν· ἐν γὰρ τῇ εὐθείᾳ τῶν πληθυντικῶν εἰ καὶ γίνεται κρᾶσις τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον, ἀλλ' οὖν εἰς ς λήγει ἡ λέξις, ὅπερ ἐστὶ τελικὸν τῆς εὐθείας τῶν πληθυντικῶν, οἷον Αἴαντες Λάχητες.

Τοῖν βοοῖν, ὦ βόε· εἴρηται. Οἱ βόες οἱ βοῦς. Ἰστέον ὅτι κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον γίνεται βοῦς, ὥσπερ οἱ κρείττονες καὶ οἱ ἀρείονες καὶ οἱ βελτίονες, οἷον κρείττονες κρείττοες κρείττους, ἀρείονες ἀρείοες ἀρείους, βελτίονες βελτίοες βελτίους. Ἰστέον δὲ ὅτι σπανία ἐστὶν ἡ χρῆσις τῆς βοῦς εὐθείας τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόες εὕρηται· ἐπὶ δὲ τῆς ὁμοφωνούσης αὐτῇ αἰτιατικῆς, λέγω δὴ τῆς τοὺς βοῦς, πλατεῖά ἐστιν ἡ χρῆσις, ὡς ἐν Κόλαξιν Εὐπόλιδος ⟨fragm. 153 K⟩ θὲς νῦν ἀγροὺς καὶ πρόβατα καὶ βοῦς, καὶ παρὰ τῷ Ἡρακλείδῃ ἐν τῇ ἀρχῇ τῆς Λέσχης.

Τῶν βοῶν, τοῖς βουσίν· εἴρηται. Τοὺς βόας τοὺς βοῦς.

[Discr. scr. ex NCV] **1** δὲ *om* NCV ‖ **3** ἐκκέχυκας NC, ἐκκεχύκασιν, *quod prob. Schneidewino,* V ‖ **4** περισπωμένως NC ‖ **5** χοέος NC ‖ **7** Σαπφῶ καὶ Λητῶ NC ‖ **11** *post* Λητοῦς *add* Λητόα Λητῶ *et post* Σαπφοῦς *add* Σαπφόα Σαπφῶ N ‖ **14** Εἴρηται] *cfr. p. 209, 12* ‖ **15** ποιεῖ NC ‖ **17** Τὼ βόε *om* NC ‖ **27** Οἱ βόες οἱ βοῦς *om* NC ‖ **28** ὥσπερ — βελτίους (**30**)] ὥσπερ καὶ ἐπὶ τοῦ χείρονες καὶ ἐλλείψει τοῦ ν καὶ κράσει τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον χείρους, ὡς καὶ κρείττονες κρείττους, βελτίονες βελτίους, ἀρείονες ἀρείους V ‖ **32** εὕρηται V, εὕρηνται NC ‖ **36** Τοὺς — βοῦς *om* NC

Ἰсτέον ὅτι οὐ δυνάμεθα εἰπεῖν ἀπὸ τοῦ τοὺс βόαс γεγονέναι<τὸ>τοὺс βοῦс κατὰ κρᾶсιν τοῦ ο̅ καὶ α̅ εἰс τὴν ου̅ δίφθογγον, οὐδέποτε γὰρ τὸ ο̅ καὶ α̅ εἰс τὴν ου̅ δίφθογγον κίρνανται, ἀλλ' ἀεὶ ὅλωс εἰс τὸ ω̅, οἷον κρείττονα κρείττοα καὶ κρείττω, βελτίονα βελτίοα βελτίω, ἀρείονα ἀρείοα ἀρείω· ἀλλ' ἔсτιν εἰπεῖν, ὅτι ὁμοφωνία ἐсτὶν τῆс αἰτιατικῆс τῶν πληθυντικῶν πρὸс τὴν εὐθεῖαν τῶν πληθυντικῶν· ἔχομεν γὰρ κανόνα ἐν τοῖс προλαβοῦсιν, ὅτι πᾶсα εὐθεῖα πληθυντικῶν εἰс с̅ λήγουсα καὶ сυνῃρημένη κατὰ τὴν τελευταίαν сυλλαβὴν ἔχει τὴν αἰτιατικὴν ὁμόφωνον αὐτῇ δηλονότι καὶ τὴν κλητικήν, οἷον οἱ ἰχθῦс τοὺс ἰχθῦс ὦ ἰχθῦс, οἱ βότρυс τοὺс βότρυс ὦ βότρυс, οἱ ἡδεῖс τοὺс ἡδεῖс ὦ ἡδεῖс, οἱ Πηλεῖс τοὺс Πηλεῖс ὦ Πηλεῖс, οἱ Δημοсθένειс τοὺс Δημοсθένειс ὦ Δημοсθένειс· οὕτωс οὖν καὶ οἱ βοῦс τοὺс βοῦс ὦ βοῦс, καὶ οἱ κρείττουс τοὺс κρείττουс ὦ κρείττουс, καὶ οἱ βελτίουс τοὺс βελτίουс ὦ βελτίουс, καὶ οἱ ἀρείουс τοὺс ἀρείουс ὦ ἀρείουс. Ὦ βόεс καὶ ὦ βοῦс, ὁμοφώνωс τῇ εὐθείᾳ.

243 g

Κανὼν ιδ'.

Ὁ πλοῦс τοῦ πλοῦ.

Λέγει ὅτι τὰ εἰс ουс̅ сυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουсι κλίсιν, οἷον χρύсεοс χρυсέου χρυсοῦс χρυсοῦ, ἀργύρεοс ἀργυρέου ἀργυροῦс ἀργυροῦ, νόοс νόου νοῦс νοῦ· οὕτωс οὖν καὶ πλόοс πλόου πλοῦс πλοῦ. Καὶ καθόλου δὲ τὰ сυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουсι κλίсιν, οἷον τιμήειс τιμήεντοс τιμῆс τιμῆντοс, <C 475> καὶ χρυсὸν τιμῆντα καὶ ἄργυρον, δαφνήειс δαφνήεντοс δαφνῆс δαφνῆντοс, Сιμόειс Сιμόεντοс Сιμοῦс Сιμοῦντοс, πλακόειс πλακόεντοс πλακοῦс πλακοῦντοс, Ἑρμέαс Ἑρμέου Ἑρμῆс Ἑρμοῦ, Ἡρακλέηс Ἡρακλέουс Ἡρακλῆс Ἡρακλοῦс, Сωсέαс Сωсέου Сωсῆс Сωсοῦ, ὁ ζωόс τοῦ ζωοῦ ὁ ζώс τοῦ ζῶ, ὁ сάοс τοῦ сάου ὁ сῶс τοῦ сῶ· ταῦτα δὲ εἰ καὶ μὴ τὴν αὐτὴν κατάληξιν ἐφύλαξαν, ἀλλ' οὖν τὴν αὐτὴν κλίсιν ἐφύλαξαν, φημὶ δὴ τὴν ἰсοсύλλαβον, ὥсπερ γὰρ τὰ ἐντελῆ αὐτῶν ἰсοсυλλάβωс κλίνονται, οὕτω καὶ τὰ сυνῃρημένα ἰсοсυλλάβωс κλίνονται. Καλῶс δὲ εἴρηται, ὅτι τὰ сυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουсι κλίсιν, καὶ οὐχὶ τὰ πεπονθότα τὴν τῶν ἀπαθῶν· ἰδοὺ γάρ ἐсτιν ἡ εἰκών, καὶ κατὰ ἀποβολὴν τοῦ ν̅ γίνεται εἰκώ ἐπὶ τοῦ αὐτοῦ сημαινομένου, καὶ οὐ φυλάττει τὴν αὐτὴν κλίсιν· εἰκών μὲν γὰρ εἰκόνοс, εἰκώ δὲ εἰκοῦс, ὡс Сαπφώ Сαπφοῦс, ἀλλ' οὐκ ἔсτι κατὰ сυναίρεсιν. Ταῦτα μὲν ἐν τούτοιс.

Ἰсτέον δὲ ὅτι τὸ μὲν τιμῆс τιμῆντοс γέγονε τοῦτον τὸν τρόπον· ἔсτι τιμήειс, καὶ κατὰ κρᾶсιν τοῦ η̅ καὶ ε̅ εἰс η̅ γέγονε τιμῆс τοῦ ι̅

[Discr. scr. ex NCV] **1** τὸ *om* NCV ‖ **6** ἐν τοῖс προλ.] *cfr. p. 181, 33* ‖ **7** εἰс с̅ V, εἰс εс̅ NC ‖ **10** οἱ Πηλεῖс — ὦ Δημοсθένειс (**11**) *om* NC ‖ **17** Ὁ — πλοῦ] ὁ πλοῦс NC, ὁ πλόοс πλόου, πλοῦс πλοῦ V ‖ **20** *post* πλόου *add* καὶ NC ‖ **21** сυνημένα N ‖ **27** τοῦ ζῶ N | ὁ сαὸс τοῦ сαοῦ ὁ сῶс τοῦ сῶ NC ‖ **28** κατάληξιν — τὴν αὐτὴν *om* NC ‖ **37** ἔсτι — ἀπεβλήθη (**240**, **1**) *om* N

ἀποβληθέντοc· τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ κανών ἐcτιν ὁ λέγων, ὅτι τὰ εἰc c̄ λήγοντα ἀρcενικὰ οὐ θέλουcιν ἔχειν ἐν τῇ τελευταίᾳ cυλλαβῇ τί ποτε ἀνεκφώνητον, οἷον Λάχηc Χρύcηc ἱδρώc κοχλίαc· οὕτωc οὖν καὶ τὸ τιμῆc χωρὶc τοῦ ῑ· πρόcκειται «εἰc c̄ λήγοντα» διὰ τὸ Θρᾷξ, τοῦτο γὰρ ἔχει τὸ ῑ ἀνεκφώνητον, ἀλλ' οὐ λήγει εἰc c̄ ἀλλ' εἰc ξ̄· πρόcκειται «ἀρcενικά» διὰ τὸ Κιccηΐc Κιccῄc, Νηρηΐc Νηρῄc, Βριcηΐc Βριcῄc, δαΐc δᾴc (ἡ λαμπάc)· ταῦτα γὰρ εἰc τὸ c̄ λήγουcιν καὶ ἔχουcι τὸ ῑ ἀνεκφώνητον, ἀλλ' οὐκ εἰcὶν ἀρcενικὰ ἀλλὰ θηλυκά· πρόcκειται «ἐν τῇ τελευ- 241 g ταίᾳ cυλλαβῇ» διὰ τὸ Ἅιδηc καὶ Ἡρῴδηc· ταῦτα γὰρ εἰc c̄ λήγουcι καὶ ἀρcενικά εἰcι καὶ ἔχουcι τὸ ῑ ἀνεκφώνητον, ἀλλ' οὐκ ἐν τῇ τελευταίᾳ cυλλαβῇ. Ταῦτα μὲν περὶ τοῦ τιμῆc. Τὸ δὲ πλακοῦc πλακοῦντοc καὶ Cιμοῦc Cιμοῦντοc γέγονε τοῦτον τὸν τρόπον· ἔcτι πλακόειc πλακόεντοc καὶ Cιμόειc Cιμόεντοc, καὶ κατὰ κρᾶcιν τοῦ ō καὶ ε̄ εἰc τὴν ου̅ δίφθογγον γίνεται πλακοῦc καὶ Cιμοῦc, τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ οὐ δύνανται τρία φωνήεντα ἐν μιᾷ cυλλαβῇ παραλαμβάνεcθαι· τὸ γὰρ ō οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υι̅ δίφθογγον cύμφωνον εὑρίcκεται ἐπιφερόμενον ἀλλὰ φωνῆεν, οἷον μυῖα ἅρπυια υἱόc· εἰ ἀπεβλήθη οὖν τὸ ō καὶ ἐφυλάχθη ἡ υι̅ δίφθογγοc, εὑρίcκετο μετὰ τὴν υι̅ δίφθογγον cύμφωνον ἐπιφερόμενον τὸ c̄, ὅπερ ἐcτὶν ἀδύνατον· τὸ δὲ ῡ οὐκ ἀπεβλήθη, ἵνα μὴ γένηται ὑπόνοιά τιc, ὅτι τὸ ō καὶ ε̄ εἰc τὴν οι̅ δίφθογγον κίρνανται· τὸ γὰρ ō καὶ ε̄ εἰc τὴν ου̅ δίφθογγον κίρνανται, οἷον τὸ ἐμόν τοὐμόν, προέcτη προὔcτη, προέβη προὔβη· ἐξ ἀνάγκηc οὖν ἀπεβλήθη τὸ ῑ καὶ ἔμεινεν ἡ ου̅ δίφθογγοc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν ὥcπερ ἀπὸ τοῦ πλόοc γίνεται πλοῦc κατὰ κρᾶcιν τῶν δύο οο̅ εἰc τὴν ου̅ δίφθογγον καὶ ἀπὸ τοῦ νόοc νοῦc καὶ ἀπὸ τοῦ ῥόοc ῥοῦc, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ γόοc καὶ θοόc γίνεται κατὰ κρᾶcιν τῶν δύο οο̅ εἰc τὴν ου̅ δίφθογγον γοῦc καὶ θοῦc. Καὶ περὶ μὲν τοῦ γόοc ἔcτιν εἰπεῖν, ὅτι ἔχει ῥῆμα ἀντιπαρακείμενον τῆc δευτέραc cυζυγίαc τῶν περιcπωμένων, τῶν ἄλλων μὴ ἐχόντων, οἷον πλόοc πλέω πλέειc, ῥόοc ῥέω ῥέειc, νόοc νοῶ νοεῖc, θρόοc θροῶ θροεῖc· ἐπειδὴ οὖν τὸ γόοc ἔχει ῥῆμα ἀντιπαρακείμενον τῆc δευτέραc cυζυγίαc τῶν περιcπωμένων, γοῶ γὰρ γοᾷc, εἰκότωc ὡc παραλλάξαν κατὰ τοῦτο πρὸc τὰ διὰ τοῦ οοc̅, παρήλλαξε καὶ κατὰ τὸ μὴ κίρναcθαι. Περὶ δὲ τοῦ θοόc ἔcτιν εἰπεῖν, ὅτι ἐπειδὴ τῶν διὰ τοῦ οοc διcυλλάβων πάντων βαρυνομένων, οἷον πλόοc ῥόοc θρόοc νόοc, τὸ θοόc μόνον ὀξύνεται, εἰκότωc ὡc παραλλάξαν κατὰ τὸν τόνον παρήλλαξε

[Discr. scr. ex NCV] **6** δαΐc δᾴc NV, δάϊc δᾶc *et in marg.* ∵ C; *de accentu cfr. Herod. I 399, 22 et adnot.* ‖ **9** Ἅιδηc — τὸ ῑ (**10**) NC, Κῷοc. τοῦτο γὰρ εἰc c̄ λήγει καὶ τὸ ῑ ἔχει V ‖ **12** *post* ἔcτι *add* δὲ NC ‖ **13** ō καὶ ε̄ V, ε̄ καὶ ō NC ‖ **20** ὅτι *om* N ‖ **22** προέcτη προὔcτη V, πρόεcτι προῦcτι NC ‖ **27** ἀπὸ τοῦ *ante* ῥόοc *om* N ‖ **30** ἀντιπαρακείμενον V, παρακείμενον NC; *item v. 32* ‖ **31** νοῶ νοεῖc V, νέω νέειc NC ‖ **34** κατὰ *ante* τοῦτο *om* NC ‖ **35** θοὸc V, θόc C, θο̅ο̅c̅ N | ἔcτιν εἰπεῖν *om* NC ‖ **36** *post* ῥόοc *add* γόοc NC

215 g καὶ κατὰ τὴν κρᾶσιν, καὶ οὐ κίρναται ὁμοίως τοῖς ἄλλοις· ἄλλως τε δὲ τὸ ὀφειλόμενον ἐν τῇ ἁπλότητι ἐν τῇ συνθέσει ἀναδέχεται· ἐν γὰρ τῇ συνθέσει κίρναται ἐπειδὴ καὶ βαρύνεται, οἷον Πάνθοος Πάνθους. Πάλιν ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ διὰ τοῦ οος δισύλλαβα πάντα βαρύνονται, οἷον πλόος νόος ῥόος γόος θρόος, διατί τὸ θοός μόνον ὀξύνεται· πρόσκειται «δισύλλαβα» διὰ τὸ ὀλοός ὀξυνόμενον. Ἔστιν οὖν εἰπεῖν, ὅτι μόνον τὸ θοός ἐκ πάντων τῶν δισυλλάβων τῶν διὰ τοῦ οος ἀπὸ μόνου τοῦ θ ⟨ἀρξάμενον — τὸ γὰρ θρόος ἀπὸ τοῦ θ ἀρξάμενον οὐκ ἀπὸ μόνου τοῦ θ⟩ ἤρξατο, ἀλλ' ἔχει τὸ ρ μετὰ τοῦ θ — εἰκότως ὡς παραλλάξαν κατὰ τὴν ἄρχουσαν παρήλλαξε καὶ κατὰ τὸν τόνον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὅσα εἰσὶν εἰς πλους λήγοντα ἀπὸ συναιρέσεώς εἰσιν, οἷον διπλοῦς τριπλοῦς, ἀπὸ γὰρ τοῦ διπλόος καὶ τριπλόος ἐγένοντο, καὶ τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν, οἷον διπλόος διπλόου διπλοῦς διπλοῦ, τριπλόος τριπλόου τριπλοῦς τριπλοῦ. Ταῦτα δὲ ἁπλᾶ εἰσι καὶ οὐ σύνθετα, ὥσπερ ὑπενόησάν τινες. Πρῶτον μὲν γὰρ τὸ διπλοῦς καὶ τριπλοῦς οὐδὲν ἐφύλαξαν τοῦ σημαινομένου τοῦ πλοῦς, ἵνα εἴπωμεν αὐτὰ σύνθετα ἐξ αὐτοῦ· δεύτερον δέ, εἰ ἦσαν σύνθετα ἤμελλον βαρυτονεῖσθαι· ἔχομεν γάρ, ὅτι τὰ εἰς ους ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται, οἷον βοῦς νοῦς πλοῦς χροῦς θροῦς θυγατριδοῦς ἀδελφιδοῦς χαλκοῦς χρυσοῦς πλακοῦς Σιμοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνονται· σύνθετα δὲ ὄντα βαρύνονται, οἷον εὔπλους εὔχρους Ἀλκίνους· εἰ ἄρα οὖν τὸ διπλοῦς καὶ τριπλοῦς οὐ βαρύνονται ἀλλὰ περισπῶνται, δηλονότι οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ· τρίτον δέ, εἰ ἦσαν σύνθετα κοινὰ ἤμελλον εἶναι τῷ γένει, ὥσπερ ὁ εὔνους καὶ ἡ εὔνους, ὁ εὔπλους καὶ ἡ εὔπλους, ὁ εὔχρους καὶ ἡ εὔχρους· νυνὶ δὲ τὸ θηλυκὸν λέγομεν ἡ διπλῆ, ἡ τριπλῆ, ἡ τετραπλῆ, ὡς τὸ ⟨A 128⟩ τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν, ὥσπερ ὁ χαλκοῦς καὶ ἡ χαλκῆ, ὁ χρυσοῦς καὶ ἡ χρυσῆ· δῆλον οὖν ὅτι οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ παράγωγα, 246 g ἀπὸ γὰρ τοῦ δίς παρήχθη τὸ διπλόος καὶ ἀπὸ τοῦ τρίς τοῦ σημαίνοντος τὸ τρίτον τὸ τριπλόος καὶ ἀπὸ τοῦ τετράκις τετραπλόος καὶ ἀπὸ τοῦ πεντάκις πενταπλόος, συγκοπῆς γενομένης τῆς κις συλλαβῆς, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως· καὶ τὸ ἁπλόος δὲ ἀπὸ τοῦ ἅπαξ παρήχθη. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς δους λήγοντα εἰς τὴν ου δίφθογγον ποιοῦσι τὴν γενικήν, οἷον ὁ ἀδελφιδοῦς τοῦ ἀδελφιδοῦ, ὁ θυγατριδοῦς τοῦ θυ-

[Discr. scr. ex NCV] **4** τὰ διὰ V, τὴν διὰ NC ‖ **7** ὅτι — μετὰ τοῦ θ (**9**)] ὅτι ἐπειδὴ μόνον τὸ θοός ἐκ πάντων τῶν διὰ τοῦ οος δισυλλάβων ἀπὸ μόνου τοῦ θ V | μόνου τοῦ θοὸς NC ‖ **8** ἀρξάμενον — μόνου τοῦ θ (**9**) *om* NC; *cfr. EM 446, 35. Herod. I 111, 24 adnot.* ‖ **10** τόνον V, χρόνον NC ‖ **20** χροῦς θροῦς NC, χοῦς V ‖ **21** *post* χρυσοῦς *add* ἀργυροῦς V | Σιμοῦς *om* V ‖ **22** *ante* εὔπλους *add* εὔνους ἄνους σύννους V | εὔχρους *om* V | Ἀλκίνους V, ἀκλίνους NC ‖ **27** ἡ τριπλῆ — ὡς τὸ V, καὶ τριπλῆ NC ‖ **29** δῆλον οὖν ὅτι V, δηλονότι NC ‖ **30** ἀπὸ γὰρ V, παρὰ NC

γατριδοῦ. Ταῦτα δέ τινες μὲν ἐδόξασαν ἀπὸ συναιρέσεως εἶναι, οἷον ἐκ τοῦ θυγατριδεός καὶ ἀδελφιδεός· τινὲς δὲ ἐκ τοῦ ἐναντίου δοξάζουσιν, ὅτι κατὰ διάλυσιν ἐγένοντο, οἷον ἀπὸ τοῦ ἀδελφιδοῦς καὶ θυγατριδοῦς τὸ ἀδελφιδεός καὶ θυγατριδεός κατὰ διάλυσιν τῆς ου διφθόγγου, λέγοντες ὅτι οὐ δύναται τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός γενέσθαι κατὰ κρᾶσιν, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρῄς, Βρισηΐς Βρισῄς· πῶς οὖν τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς, εἰ ἐγένοντο ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός, περισπῶνται καὶ οὐκ ὀξύνονται; ὤφειλον γὰρ ὡς ἀπὸ βαρείας καὶ ὀξείας συναιρεθέντα ὀξύνεσθαι καὶ μὴ περισπᾶσθαι. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός γεγόνασι τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς κατὰ κρᾶσιν· οὐδὲ γὰρ δυνάμεθα λέγειν, ὅτι τοὐναντίον ἀπὸ τοῦ ἀδελφιδοῦς καὶ θυγατριδοῦς γεγόνασι τὸ ἀδελφιδεός καὶ θυγατριδεός κατὰ διάλυσιν τῆς ο̅υ̅ διφθόγγου εἰς τὸ ε̅ καὶ ο̅, ἐπειδή, ὥς φησιν ὁ Ἡρωδιανός, οὐδέποτε εὐθεῖα διαλέλυται· τὸ γὰρ εἰς ἔεις κατὰ πλεονασμὸν ἔχει τὸ ε̅, οὐ μὴν διελύθη· ἄρα οὖν οὐδὲ τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς δύνανται διάλυσιν ἀναδέξασθαι καὶ ποιῆσαι τὸ ἀδελφιδεός καὶ θυγατριδεός. Πρὸς δὲ τὸ λέγειν αὐτούς, ὅτι εἰ ἐγένοντο τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός ὤφειλον ὀξύνεσθαι, λέγομεν ὅτι πρὸς τὸν χαρακτῆρα περισπῶνται· τὰ γὰρ εἰς ο̅υ̅ς̅ ὀνόματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ ἢ βαρύνονται ἢ περισπῶνται· καὶ περισπῶνται μὲν ἡνίκα ὦσιν ἁπλᾶ, οἷον βοῦς νοῦς χροῦς χαλκοῦς οὖς διπλοῦς τριπλοῦς ἁπλοῦς Σιμοῦς πλακοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύ- 247 g νονται· βαρύνονται δὲ ἡνίκα ὦσι σύνθετα, οἷον εὔνους εὔχρους εὔπλους Ἀλκίνους Οἰδίπους ὀξυόδους· ἐπειδὴ οὖν τὸ θυγατριδοῦς καὶ ἀδελφιδοῦς ἁπλᾶ εἰσιν, εὐλόγως περισπῶνται. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὰ ἀπὸ ὀξείας καὶ δύο βαρειῶν συναιρούμενα εἰς ὀξεῖαν καὶ βαρεῖαν συναιροῦνται, οἷον Δημοσθένεος Δημοσθένους, Πολυδεύκεα Πολυδεύκη, τείχεα τείχη, βέλεα βέλη — τὸ γὰρ ἔαρος ἦρος καὶ κέαρος κῆρος διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ βραχείας μιᾶς περιεσπάσθησαν — διατί τὸ χάλκεος χαλκοῦς καὶ χρύσεος χρυσοῦς καὶ ἀργύρεος ἀργυροῦς καὶ σιδήρεος σιδηροῦς ἀπὸ ὀξείας καὶ δύο βαρειῶν συναιρεθέντα οὐ συνῃρέθησαν εἰς ὀξεῖαν καὶ βαρεῖαν ἀλλ' εἰς περισπωμένην. Ἔστιν οὖν εἰπεῖν, ὅτι πρὸς τὸν χαρακτῆρα περιεσπάσθησαν· ἐμάθομεν γάρ, ὅτι τὰ εἰς ο̅υ̅ς̅ λήγοντα ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται, οἷον νοῦς βοῦς Σιμοῦς πλακοῦς ἀδελφιδοῦς θυγατριδοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνονται· σύνθετα δὲ ὄντα βαρύνονται, οἷον εὔνους εὔχρους εὔπλους Οἰδίπους· ἐπειδὴ οὖν τὸ χαλ-

[Discr. scr. ex NCV] **1** ἐδόξασαν V, ἔδοξαν NC ‖ **2** καὶ *om* NC ‖ **10** ὡς *om* NC ‖ **15** ε̅ καὶ ο̅ V, ο̅ καὶ ε̅ NC ‖ **16** εἰς ἔεις *Lentzius*, εἰς ἔεις V, εἰσέως NC ‖ **25** εὔνους *om* NC ‖ **26** Ἀλκίνους *Lentzius*, ἀκλίνους NC, *om* V | ὀξυόδους *om* NC ‖ **28** δέ *om* NC ‖ **31** διὰ *om* N | μακρὰν V, μακρὰ NC ‖ **33** καὶ σιδ. σιδ. *om* NC ‖ **34** συναιρέθησαν NC

κοῦς καὶ χρυσοῦς καὶ ἀργυροῦς καὶ σιδηροῦς οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ, οὐ δύνανται βαρύνεσθαι καὶ εἰκότως περισπῶνται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ νοῦς τοῦ νοῦ κλίνεται κατὰ τὸν λόγον τῆς συναιρέσεως, οἷον ὁ νόος τοῦ νόου, ὁ νοῦς τοῦ νοῦ· εὑρίσκεται δὲ ἐν ταῖς χρήσεσι τῷ νοΐ ἡ δοτική, ὡς ἀπὸ τῆς νοός γενικῆς· καὶ τὸ εὔνους τὸ σύνθετον ἰσοσυλλάβως κλίνεται ὁμοίως τῷ ἁπλῷ, οἷον ὁ εὔνους τοῦ εὔνου· καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ εὖνοι ἐστίν, οἱ γὰρ χρησάμενοι καὶ εἰπόντες οἱ εὔνους κακῶς ἐχρήσαντο· ἔστι δὲ πᾶσα ἡ κλίσις ἀπὸ συναιρέσεως. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ παρὰ τὸ πούς σύνθετα τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν καὶ διὰ τοῦ $\overline{δος}$ κλίνονται ὁμοίως τῷ ἁπλῷ, οἷον πούς ποδός, Οἰδίπους Οἰδίποδος, τρίπους τρίποδος, τετράπους τετράποδος, ἑπτάπους ἑπτάποδος· τὰ γὰρ ἀποβολῇ τοῦ $\overline{c}$ ποιοῦντα τὴν γενικὴν καὶ εἰς τὴν $\overline{ου}$ δίφθογγον ἔχοντα αὐτὴν Ἀττικά εἰσιν, οἷον ὁ τρίπους τοῦ τρίπου, ὁ Οἰδίπους τοῦ Οἰδίπου. 248 g Ἰστέον δὲ ὅτι πολλάκις τὰ παρὰ τὸ πούς ἀποβάλλουσι τὸ $\overline{υ}$ κατὰ τὴν εὐθεῖαν, οἷον ἀελλόπος ἀελλόποδος, ὡς παρὰ τῷ ποιητῇ ⟨e. gr. Θ 409⟩ ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα, καὶ ἴσως, φασί τινες, ἐξ ἀφορμῆς τούτου ἐποίησαν οἱ Ἀττικοὶ εἰς τὴν $\overline{ου}$ δίφθογγον τὴν γενικήν· ἀλλ' εἰ διὰ τοῦτο ἐποίησαν οἱ Ἀττικοὶ εἰς τὴν $\overline{ου}$ δίφθογγον τὴν γενικὴν ἐπὶ τούτων, ὤφειλον καὶ τὴν αἰτιατικὴν χωρὶς τοῦ $\overline{υ}$ ποιῆσαι ὁμοίως τῇ εὐθείᾳ, οἷον τὸν Οἰδίπον, τὸν τρίπον, τὸν ἀελλόπον, καὶ οὐχὶ μετὰ τοῦ $\overline{υ}$ τὸν Οἰδίπουν, τὸν τρίπουν, τὸν ἀελλόπουν· κρεῖττον οὖν αὐτὰ μόνον λέγειν Ἀττικά.

Ἰστέον ⟨δὲ⟩ ὅτι τὰ εἰς $\overline{οc}$ ἀρσενικὰ ἢ θηλυκὰ εἰς τὴν $\overline{ου}$ δίφθογγον ἔχουσι τὴν γενικήν, οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, Ἀρίσταρχος Ἀριστάρχου, Ἡρόδοτος Ἡροδότου, Ἐπίκουρος Ἐπικούρου, Λέσβος Λέσβου, Χίος Χίου, Ῥόδος Ῥόδου, Σάμος Σάμου, Ἔφεσος Ἐφέσου, Κάρπαθος Καρπάθου· οὕτως οὖν καὶ πλόος πλόου καὶ κατὰ κρᾶσιν τῶν δύο $\overline{οο}$ εἰς τὴν $\overline{ου}$ δίφθογγον πλοῦς πλοῦ· τὸ γὰρ καλοῖο καὶ σοφοῖο μὴ ἔχοντα εἰς τὴν $\overline{ου}$ δίφθογγον τὴν γενικὴν οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ κατὰ διάλεκτόν εἰσι, Θετταλικὰ γάρ εἰσιν· ἀλλ' οὔτε δὲ τὸ ἀελλόπος διὰ τοῦ $\overline{δος}$ κλινόμενον ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι φύσει εἰς $\overline{οc}$, ἀελλόπους γὰρ ἦν καὶ κατὰ ἀποβολὴν τοῦ $\overline{υ}$ ἀελλόπος γέγονε, καὶ λοιπὸν τὴν τοῦ ἁπλοῦ κλίσιν ἐφύλαξε. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί τὰ εἰς $\overline{οc}$ ὀνόματα οὐκ εἰσὶ μονοσύλλαβα· τὸ γὰρ πός, οἷον ὡς πὸς ἔχει μαινομένοισιν, ἀπὸ τοῦ πούς

[Discr. scr. ex NCV] **4** τῆς *om* NC ‖ **6** ταῖς χρήσεσι V, τοῖς χρησμοῖς NC ‖ **7** τῷ ἁπλῷ *om* NC ‖ **9** ἡ *om* NC ‖ **11** παρὰ τὸ N *et EM 20, 14,* παρὰ τοῦ C, ἀπὸ τοῦ V ‖ **14** καὶ *om* NC ‖ **17** ἀέλοπος NC; *item v. 18* | ἀελόποδος NC ‖ **18** ἶρις NC ‖ **23** τὸν ἀελλόπον *om* NC ‖ **24** τὸν τρίπουν τὸν ἀελλ. *om* NC | μόνον V, μόνα NC ‖ **25** δὲ *om* NCV | ἢ NC, καὶ V ‖ **32** ἐπειδὴ – ἡμῖν (**33**) *om* V ‖ **33** ἀέλοπος N; *item v. 34* ‖ **34** ἀελόπους N ‖ **36** τὰ *om* N ‖ **37** οἷον — μαινομ. *om* V | ὥσπος N; *cfr. p. 192, 15 adnot.*

γέγονε κατὰ ἀποβολὴν τοῦ ῡ, καὶ τὸ ὅς, ὃς ἂν ἔλθῃ μεινάτω με, ἔστι δὲ ὄνομα ἀόριστον ἰσοδυναμοῦν τῷ ὅστις ὑποτακτικῷ ἄρθρῳ ὁμοφωνοῦν τῷ ἄνθρωπος ὃς ἦλθεν. Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὡς ἐμάθομεν ἐν τῇ περὶ τοῦ Πάρις διδασκαλίᾳ· πᾶν ὄνομα μονοσύλλαβον φύσει ἢ θέσει μακροκαταληκτεῖν θέλει, οἷον Γρᾶς πᾶς Κρής Τρώς νύξ φλόξ Φρύξ στίξ (ἡ τάξις)· εἰ ἦσαν οὖν εἰς ο̅ς̅ μονο- 249 g σύλλαβα ὀνόματα, ἤμελλον βραχυκαταληκτεῖν, ὅπερ ἐστὶν ἀδύνατον· τούτου οὖν χάριν εἰς ος μονοσύλλαβα ὀνόματα οὐκ εἰσίν. Ἄλλως τε δὲ εἰ ἦσαν εἰς ο̅ς̅ μονοσύλλαβα ὀνόματα, δύο κανόνες ἤμελλον μάχεσθαι· καθὸ μὲν γὰρ εἰς ο̅ς̅ εἰσί, τὰ δὲ εἰς ο̅ς̅ ἀρσενικὰ ἢ θηλυκὰ εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχουσι τὴν γενικήν, οἷον Ὅμηρος Ὁμήρου, Ἀρίσταρχος Ἀριστάρχου, Λέσβος Λέσβου, Ῥόδος Ῥόδου, ἠναγκάζοντο καὶ ταῦτα εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχειν τὴν γενικήν· καθὸ δὲ πᾶσα μονοσύλλαβος εὐθεῖα ἰσοσυλλάβως κλινομένη ἀποβολῇ τοῦ ς̄ τὴν γενικὴν ποιεῖ, οἷον ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Χνᾶς τοῦ Χνᾶ, ὁ Δρῆς τοῦ Δρῆ, ὁ Τρῆς τοῦ Τρῆ (εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια), ὁ νοῦς τοῦ νοῦ, ὁ ῥοῦς τοῦ ῥοῦ, ἠναγκάζοντο καὶ ταῦτα ὡς μονοσύλλαβα καὶ ἰσοσυλλάβως κλινόμενα ἀποβολῇ τοῦ ς̄ τὴν γενικὴν ἀποτελεῖν, καὶ οὐχὶ εἰς τὴν ο̅υ̅ δίφθογγον ἔχειν αὐτήν· τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος εἰς τὴν ο̅υ̅ δίφθογγον εἶναι τὴν γενικήν, τοῦ δὲ ἑτέρου μὴ εἶναι εἰς τὴν ο̅υ̅ δίφθογγον τὴν γενικὴν ἀλλ' ἀποβολῇ τοῦ ς̄, ἐπιλελοίπασι τὰ εἰς ο̅ς̅ μονοσύλλαβα.

Τῷ πλόῳ τῷ πλῷ. Ἰστέον ὅτι ὥσπερ ὁ σοφός τοῦ σοφοῦ τῷ σοφῷ, οὕτω καὶ ὁ πλόος τοῦ πλόου τῷ πλόῳ, καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ τῆς ῳ̄ διφθόγγου εἰς τὴν ῳ̄ δίφθογγον τῷ πλῷ, καὶ ἔχει τὸ ῑ ἀνεκφώνητον· ὅσοι γὰρ ἐν τῇ συνθέσει ἐκφωνοῦσιν αὐτό, πταίουσι πλωῖ λέγοντες.

Τὸν πλόον τὸν πλοῦν. Ἰστέον ὅτι ὥσπερ ὁ σοφός τὸν σοφόν, οὕτως ἐστὶν ὁ πλόος τὸν πλόον, καὶ κατὰ κρᾶσιν τῶν δύο ο̅ο̅ εἰς τὴν ο̅υ̅ δίφθογγον πλοῦν.

Ὦ πλόε ὦ πλοῦ. Ἰστέον ὅτι τὰ εἰς ο̅ς̅ ἀρσενικὰ ἢ θηλυκὰ εἰς ε̄ ἔχουσι τὴν κλητικήν, οἷον Ὅμηρος Ὅμηρε, ἄνθρωπος ἄνθρωπε, Ἀρίσταρχος Ἀρίσταρχε, Λέσβος Λέσβε, Ῥόδος Ῥόδε, ἔρημος ἔρημε· τὸ γὰρ ὁμόφωνον Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ τὰς αὐτὰς εἰώθασιν ὀρθὰς ποιεῖν καὶ κλητικάς, οἷον ὁ φίλος ὦ φίλος, ⟨Φ 106⟩ ἀλλά, φίλος, θάνε καὶ σύ, ὁ ἥλιος ὦ ἥλιος, ⟨Γ 277⟩ ἠέλιός ⟨θ'⟩, ὃς πάντ' 250 g ἐφορᾷς καὶ πάντ' ἐπακούεις· ἔστιν οὖν ὁ πλόος ὦ πλόε, καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ο̅υ̅ δίφθογγον ὦ πλοῦ· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ο̅υ̅ δίφθογγον κίρνανται, οἷον τὸ ἐμόν τοὐμόν, προέστη προὔστη,

[Discr. scr. ex NCV] **2** ἔστιν ὄν. NC | τῷ ὅστις V, τῷ τίς N, τὸ τίς C ‖ **4** ἐν τῇ διδασκ.] *cfr. p. 192, 11* ‖ **7** ὀνόματα — μονοσύλλαβα (**8**) *om* C ‖ **8** οὖν] γοῦν V, *om* N ‖ **10** δὲ *om* NC ‖ **11** Ἀρίστ. Ἀριστ. *om* NC ‖ **12** ἠναγκάζετο N ‖ **19** τῶν μὲν οὖν NC ‖ **25** τῆς *om* NC ‖ **26** συνθέσει V, συνηθείᾳ NC ‖ **36** θ' *om* NCV ‖ **39** προέστη προὔστη V, πρόεστι προῦστι NC

προέβη προύβη. Δύναται δὲ καὶ ἀπὸ τοῦ ὁ πλοῦc γενέcθαι ὦ πλοῦ κατὰ ἀποβολὴν τοῦ c̅· εἴρηται γάρ, ὅτι τὰ εἰc c̅ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ c̅ ποιοῦcι τὴν κλητικήν, οἷον ὁ χαρίειc ὦ χαρίει, ὁ Ζεύc ὦ Ζεῦ, ὁ Πηλεύc ὦ Πηλεῦ, ὁ πλακοῦc ὦ πλακοῦ, ὁ Cιμοῦc ὦ Cιμοῦ, ὁ βοῦc ὦ βοῦ, ὁ νοῦc ὦ νοῦ· οὕτωc οὖν καὶ ὁ πλοῦc ὦ πλοῦ.

Τὼ πλόω τὼ πλώ. Εἴρηται ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc α̅ ἢ εἰc ω̅ λήγουcα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν· ἀλλ' ἐν τοῖc δυϊκοῖc οὐκ ἔcτι προcγεγραμμένον τὸ ι̅, οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ Ὁμήρῳ τὼ Ὁμήρω· οὕτωc οὖν ἐcτι τῷ πλόῳ ἡ δοτικὴ τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίωc τὼ πλόω, ἀλλὰ δηλονότι χωρὶc τοῦ ι̅, καὶ λοιπὸν κατὰ κρᾶcιν γίνεται τὼ πλώ. Ἰcτέον δὲ ὅτι πᾶcαι αἱ πτώcειc cυναιρεθεῖcαι περιεcπάcθηcαν, οἷον πλόοc πλοῦc, πλόου πλοῦ, πλόῳ πλῷ, χωρὶc τῆc εὐθείαc τῶν δυϊκῶν, ὡcαύτωc δὲ καὶ τῆc κλητικῆc τῶν δυϊκῶν· αὗται γὰρ cυναιρεθεῖcαι οὐ περιcπῶνται ἀλλ' ὀξύνονται, οἷον τὼ πλόω τὼ πλώ, ὦ πλόω ὦ πλώ· τὸ γὰρ ω̅ ἐν τοῖc δυϊκοῖc ἀπέcτραπται τὴν περιcπωμένην τάcιν, οἷον τὼ καλώ, τὼ cοφώ, τὼ ἀγαθώ.

Τοῖν πλόοιν τοῖν πλοῖν. Εἴρηται ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̅ ἢ εἰc ω̅ λήγουcα εἰc οι̅ν̅ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, οἷον καλώ καλοῖν, Αἴαντε Αἰάντοιν· οὕτωc οὖν καὶ πλόω πλόοιν, καὶ κατὰ κρᾶcιν τοῦ ο̅ καὶ τῆc ο̅ι̅ διφθόγγου εἰc τὴν ο̅ι̅ δίφθογγον πλοῖν. Ἰcτέον δὲ ὅτι ἡ γενικὴ περιcπᾶται· εἴρηται γὰρ ἡμῖν, ὅτι ἡ εὐθεῖα καὶ ἡ κλητικὴ ὀξύνονται μόναι.

Ὦ πλόω ὦ πλώ. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

251 g Οἱ πλόοι οἱ πλοῖ. Ἰcτέον ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc ω̅ λήγουcα εἰc τὴν ο̅ι̅ δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον τὼ φίλω οἱ φίλοι, τὼ καλώ οἱ καλοί, τὼ Ὁμήρω οἱ Ὅμηροι, τὼ ἀνθρώπω οἱ ἄνθρωποι· οὕτωc οὖν καὶ τὼ πλόω οἱ πλόοι καὶ κατὰ κρᾶcιν οἱ πλοῖ. Δεῖ προcθεῖναι «χωρὶc τῶν οὐδετέρων», ἐπειδή ἐcτι τὼ ξύλω, τὼ δένδρω ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ γίνεται ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ ξύλα, τὰ δένδρα· καὶ ἰδοὺ εἰc ω̅ λήγει ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ οὐ λήγει εἰc τὴν ο̅ι̅ δίφθογγον ἡ εὐθεῖα τῶν πληθυντικῶν.

Τῶν πλόων τῶν πλῶν. Εἴρηται ὅτι πᾶcα γενικὴ πληθυντικῶν εἰc ω̅ν̅ λήγει ἐπὶ παντὸc γένουc.

Τοῖc πλόοιc τοῖc πλοῖc. Εἴρηται ὅτι πᾶcα εὐθεῖα πληθυντικῶν εἰc ι̅ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, δηλονότι χωρὶc τῶν ἐπεκτεταμένων, οἷον τοξόται τοξόταιc, κοχλίαι κοχλίαιc, Ὅμηροι Ὁμήροιc, ἄνθρωποι ἀνθρώποιc, Ἀρίcταρχοι Ἀριcτάρχοιc· οὕτωc οὖν καὶ πλόοι πλόοιc καὶ κατὰ κρᾶcιν τοῦ ο̅ καὶ τῆc ο̅ι̅ διφθόγγου εἰc τὴν ο̅ι̅ δίφθογγον πλοῖc. Πρόcκειται «δηλονότι χωρὶc

[Discr. scr. ex NCV] **2** γὰρ V, δὲ NC ‖ **16** τὼ cωφὼ N ‖ **20** καὶ *post* οὖν *om* NC ‖ **26** ἰcτέον δὲ ὅτι NC ‖ **40** οὕτωc οὖν καὶ *om* NC

τῶν ἐπεκτεταμένων», ἐπειδή ἐcτι τηλικουτοιΐ καὶ τοιουτοιΐ, καὶ ἰδοὺ ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰc ι̅ λήγει καὶ οὐ ποιεῖ προcθέcει τοῦ c̅ τὴν δοτικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τοῖc τηλικουτοιΐc καὶ τοιουτοιΐc, ἀλλὰ τηλικουτοιcί καὶ τοιουτοιcί· κατὰ πτῶcιν γὰρ γίνεται ἡ ἐπέκταcιc, οἷον τοιοῦτοι καὶ τηλικοῦτοι, τοιουτοιΐ καὶ τηλικουτοιΐ, τοιούτων καὶ τηλικούτων, τοιουτωνί καὶ τηλικουτωνί, τοιούτοιc καὶ τηλικούτοιc, τοιουτοιcί καὶ τηλικουτοιcί, τοιούτουc καὶ τηλικούτουc, τοιουτουcί καὶ τηλικουτουcί.

Τοὺc πλόουc τοὺc πλοῦc. Ἰcτέον ὅτι πᾶcα εὐθεῖα πληθυντικῶν εἰc τὴν ο̅ι̅ δίφθογγον λήγουcα εἰc ο̅υ̅c̅ ποιεῖ τὴν αἰτιατικήν, οἷον ἄνθρωποι ἀνθρώπουc, Ὅμηροι Ὁμήρουc, Ἀρίcταρχοι Ἀριcτάρχουc, Λέcβοι Λέcβουc, Ῥόδιοι Ῥοδίουc, ἔρημοι ἐρήμουc· οὕτωc οὖν καὶ πλόοι πλόουc καὶ κατὰ κρᾶcιν τοῦ ο̅ καὶ τῆc ο̅υ̅ διφθόγγου εἰc τὴν ο̅υ̅ δίφθογγον πλοῦc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, διατί ἡνίκα εἰc τὴν α̅ι̅ δίφθογγον λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, τροπῇ τοῦ ι̅ εἰc τὸ c̅ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον κοχλίαι κοχλίαc, Χρῦcαι Χρύcαc, Μοῦcαι Μούcαc, ἡνίκα δὲ εἰc τὴν ο̅ι̅ δίφθογγον λήγει, οὐ ποιεῖ τροπῇ τοῦ ι̅ εἰc τὸ c̅ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, ἀλλ' εἰc ουc ποιεῖ αὐτήν, οἷον Ὅμηροι Ὁμήρουc, καλοί καλούc, cοφοί cοφούc. Καὶ λέγουcί τινεc, ὅτι διὰ τοῦτο ἡνίκα εἰc τὴν ο̅ι̅ δίφθογγον λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, οὐ γίνεται τροπῇ τοῦ ι̅ εἰc τὸ c̅ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, οἷον Ὅμηροι Ὅμηροc, ἵνα μὴ cυνεμπέcῃ τῇ εὐθείᾳ τῶν ἑνικῶν. Κακῶc δὲ οὗτοι λέγουcι· τούτῳ γὰρ τῷ λόγῳ οὐδὲ ἡνίκα εἰc τὴν α̅ι̅ δίφθογγον λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, ὤφειλε τροπῇ τοῦ ι̅ εἰc τὸ c̅ γενέcθαι ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ἐπειδὴ καὶ τότε πολλάκιc cυνεμπίπτει τῇ εὐθείᾳ τῶν ἑνικῶν, οἷον οἱ Αἰνεῖαι τοὺc Αἰνείαc καὶ ὁ Αἰνείαc, οἱ κοχλίαι τοὺc κοχλίαc καὶ ὁ κοχλίαc. Κρεῖττον οὖν ἐcτιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἡνίκα εἰc τὴν ο̅ι̅ δίφθογγον λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, οὐ γίνεται τροπῇ τοῦ ι̅ εἰc c̅ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ἐπειδή, ὡc ἐν τῇ αἰτιατικῇ τῶν πληθυντικῶν τοῦ κοχλίαc μεμαθήκαμεν, πᾶcα αἰτιατικὴ πληθυντικῶν ἰcοχρονεῖν θέλει τῇ ἰδίᾳ εὐθείᾳ, οἷον Αἴαντεc Αἴανταc, Λάχητεc Λάχηταc, Αἰνεῖαι Αἰνείαc, κοχλίαι κοχλίαc· τούτων οὕτωc ἐχόντων οἱ Ὅμηροι καὶ οἱ ἄνθρωποι ἡ εὐθεῖα τῶν πληθυντικῶν· ἐὰν τραπῇ οὖν τὸ ι̅ εἰc c̅ καὶ γένηται ἡ αἰτιατικὴ τῶν πληθυντικῶν Ὅμηροc καὶ ἄνθρωποc, οὐκέτι ἰcοχρονεῖ τῇ ἰδίᾳ εὐθείᾳ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ὅπερ ἐcτὶν ἀδύνατον.

Ὦ πλόοι ὦ πλοῖ. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν

[Discr. scr. ex N C V] **1—8** *omnia* ἐπεκτάcεωc *exempla exceptis* τοιουτωνί *et* τηλικουτωνί (**6**) *in* N C προπαροξυτόνωc *leguntur* ‖ **4** κατὰ — τηλικουτουcί (**8**) *om* V ‖ **9** Τοὺc πλόουc τοὺc πλοῦc *om* N C ‖ **17** οἷον *om* N C | Χρῦcαι — Μούcαc] καλαί καλάc V ‖ **27** οἱ Αἰνεῖαι — ὁ κοχλίαc (**28**) *omnes articulos om* N C | καὶ ὁ Αἰνείαc *om* V ‖ **30** οὐ γίνεται — πληθυντικῶν *om* V | τῶν πληθ. *om* N ‖ **31** τοῦ κοχλίαc] τοῦ κοχλίου N C, τοὺc κοχλίαc V | μεμαθ.] *cfr. p. 151, 7*

ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική. Ἰστέον δὲ ὅτι κακῶς καὶ παρὰ τὴν ἀναλογίαν οἱ φιλόσοφοι χρῶνται λέγοντες τὸν νόα τὴν αἰτιατικὴν τῶν ἑνικῶν καὶ οἱ νόες τὴν εὐθεῖαν τῶν πληθυντικῶν καὶ τοὺς νόας τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, δέον γὰρ τὸν νοῦν λέγειν καὶ οἱ νοῖ καὶ τοὺς νοῦς· πᾶσα γὰρ ἡ κλίσις ἀπὸ συναιρέσεώς ἐστι καὶ πρὸς τὸ ἐντελὲς γίνεται. Σεσημείωται παρὰ Φιλήμονι τῷ κωμικῷ ⟨fragm. 222 K⟩
253 g οἱ εὔνους· τοῦτο γὰρ ὡς ἀπὸ τοῦ παρὰ φιλοσόφοις· εὔνοες γὰρ γέγονε καὶ κατὰ κρᾶσιν εὔνους· δεῖ δὲ λέγειν οἱ εὖνοι πρὸς τὸ ἐντελές, οἱ εὔνοοι γάρ.

Κανὼν ιε΄.

Ὁ ἱδρώς τοῦ ἱδρῶτος.

Διαλαμβάνει περὶ τῶν εἰς ωϲ ἐνταῦθα ὁ τεχνικός. Ἰστέον δὲ ὅτι τὰ εἰς ωϲ λήγοντα μονοσύλλαβα εἰ μὲν περισπῶνται ἀποβολῇ τοῦ ϲ ποιοῦσι τὴν γενικήν, οἷον ὁ σῶς τοῦ σῶ, οἷον ⟨N 773⟩ νῦν τοι σῶς αἰπὺς ὄλεθρος, ὁ Κρῶς τοῦ Κρῶ, ὁ Τλῶς τοῦ Τλῶ, ὁ Κῶς τοῦ Κῶ· ταῦτα δὲ ὀνόματά εἰσιν ἡρώων ἀρσενικὰ κύρια ὁμοφωνοῦντα ταῖς πόλεσιν, εἰσὶ γὰρ καὶ ὀνόματα πόλεων ταῦτα, ἀλλὰ τότε θηλυκῶς λέγονται, οἷον ἡ Κρῶς, ἡ Τλῶς, ἡ Κῶς· ἐξ ἐκείνων δὲ ὠνομάσθησαν καὶ αἱ πόλεις· εἰ δὲ ὀξύνονται τὰ εἰς ωϲ μονοσύλλαβα, περιττοσυλλάβως κλίνονται, χωρὶς τοῦ ζώς, ⟨E 887⟩ ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν· τοῦτο γὰρ ἀποβολῇ τοῦ ϲ ποιεῖ τὴν γενικήν, οἷον ὁ ζώς τοῦ ζῶ. Καὶ ἔχει ἀπολογίαν, ὅτι ἀπὸ συναιρέσεως ἐγένετο· ἀπὸ γὰρ τοῦ ὁ ζωός τοῦ ζωοῦ ἐγένετο κατὰ κρᾶσιν ὁ ζώς τοῦ ζῶ, τῆς βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συναιρεθεισῶν, ὥσπερ ἐπὶ τοῦ ἑσταώς ἑστώς, βεβαώς βεβώς, Νηρηΐς Νηρῄς. Ἐμάθομεν γὰρ ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν, οἷον Ἑρμέας Ἑρμέου Ἑρμῆς Ἑρμοῦ, χρύσεος χρυσέου χρυσοῦς χρυσοῦ, τιμήεις τιμήεντος τιμῆς τιμῆντος, ⟨Σ 475⟩ χρυσὸν τιμῆντα καὶ ἄργυρον, δαφνήεις δαφνήεντος δαφνῆς δαφνῆντος, ὁ σῶος τοῦ σώου ὁ σῶς τοῦ σῶ· οὕτως οὖν καὶ ὁ ζωός τοῦ ζωοῦ ὁ ζώς τοῦ ζῶ· ταῦτα δὲ εἰ καὶ μὴ τὴν αὐτὴν κατάληξιν ἐφύλαξαν, ἀλλ' οὖν τὴν αὐτὴν κλίσιν ἐφύλαξαν, φημὶ δὴ τὴν ἰσοσύλλαβον· ὥσπερ γὰρ τὰ ἐντελῆ αὐτῶν ἰσοσυλλάβως κλίνονται, οὕτω καὶ τὰ συνῃρημένα ἰσοσυλλάβως κλίνονται. Ταῦτα μὲν ἐν τούτοις.

254 g Ἰστέον δὲ ὅτι τὰ εἰς ωϲ ὀξύτονα μονοσύλλαβα ἢ διὰ καθαροῦ τοῦ οϲ κλίνονται ἢ διὰ τοῦ τοϲ· καὶ τὰ μὲν ἔχοντα σύμφωνον τῆς τρίτης

[Discr. scr. ex NCV] **5** γὰρ *om* N ‖ **6** Φιλήμωνι N ‖ **7** φιλοσόφοις — γέγονε NC, τοῖς φιλοσόφοις εἰρημένον οἱ εὔνοες γέγονε V ‖ **8** καὶ *et* εὔνους *om* NC ‖ **11** Ὁ ἱδρ. τοῦ ἱδρ.] ὁ ἱδρώς NC, ἱδρώς ἱδρῶτος V ‖ **14** νῦν — αἰπὺς (**14**) V, αὐτὸ σῶ ἔπους NC ‖ **15** *ante* ὁ Κρῶς *add* ὁ Γλῶς τοῦ Γλῶ V | ὁ Τλῶς τοῦ Τλῶ *om* V ‖ **18** ἡ Κρῶς — Κῶς] *genetivos add* N | ἡ Τλῶς NC, ἡ Γλῶς V ‖ **20** ἤ κε ζὼς C, ἦκε ζὼς N, εἴ κε ζωὸς V ‖ **21** χαλκ. τυπ. *om* V ‖ τυπεῖς NC ‖ **26** Ἑρμέου] ἑρμοῦ N ‖ **29** ὁ σῶος τοῦ σώου NC, ὁ σάος τοῦ σάου V

cυζυγίας τῶν βαρυτόνων, τουτέςτι τὸ δ ἢ θ ἢ τ, διὰ καθαροῦ τοῦ οc κλίνονται, τὰ δὲ μὴ οὕτως ἔχοντα διὰ τοῦ τοc, οἷον θώς θωός, ⟨Λ 481⟩ θῶες μέν τε διέτρεςαν, ἔχει γὰρ τὸ θ (ἔςτι δὲ εἶδος θηρίου), δμώς δμωός, ἔχει γὰρ τὸ δ, Τρώς Τρωός, ἔχει γὰρ τὸ τ. Ἰςτέον δὲ ὅτι τὸ Τρώς παρὰ τῷ Ὁμήρῳ ἑνικῶς μὲν λεγόμενον ἐπὶ τοῦ κυρίου ὀνόματος παραλαμβάνεται καὶ οὐδέποτε ἐθνικῶς, οἷον ⟨Ε 265⟩ τῆς γάρ τοι γενεῆς, ἧς Τρωῒ περ εὐρύοπα Ζεὺς Δῶχ' υἷος ποινὴν Γανυμήδεος· ἐὰν δὲ τὸ ἔθνος δηλώςῃ, ἐν πληθυντικῇ φωνῇ παραλαμβάνεται, οἷον ⟨Ν 1⟩ Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε, ⟨Ζ 1⟩ Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή, ⟨Θ 173⟩ Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί. Τὰ δὲ μὴ ἔχοντα cύμφωνον τῆς τρίτης cυζυγίας τῶν βαρυτόνων, ὡς εἴρηται, διὰ τοῦ τοc κλίνονται, οἷον πλώς πλωτός (πλώς δὲ λέγεται ὁ ἰχθῦς παρὰ τὸ πλέειν), φώς φωτός (cημαίνει δὲ τὸν ἄνδρα, οἷον ⟨Β 565⟩ ἰςόθεος φώς), χρώς χρωτός· οἱ δὲ Ἀθηναῖοι ἐχρήςαντο καὶ ἰςοςυλλάβως, τὸν χρώ γὰρ εἰρήκαςιν, ὁ δὲ λόγος περὶ τῶν εἰς ως κοινολεκτουμένων ἐςτί· τὸ γὰρ βοῦς βῶς λέγουςιν αἱ διάλεκτοι, καὶ ἰδοὺ περιςπᾶται καὶ διὰ καθαροῦ τοῦ οc κλίνεται, βοός γάρ· καὶ ἐπὶ ἄλλων δὲ εἰς ουc τρέπουςι τὴν ου εἰς τὸ ω, καὶ οὐκ ἐναντιοῦνται ταῦτα ἡμῖν, ἐπειδὴ οὐκ εἰςὶ φύςει εἰς ως. Ταῦτα μὲν ἐν τούτοις.

Κανονίζει δὲ ὁ τεχνικὸς τὰ εἰς ως ὑπὲρ μίαν cυλλαβὴν λέγων, ὅτι τὰ εἰς ως ὀξύτονα ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ τοc κλίνονται, οἷον ἱδρώς ἱδρῶτος, ἀπτώς ἀπτῶτος (ἀπτώς δέ ἐςτιν ὁ μὴ πεπτωκώς), ἀγνώς ἀγνῶτος (ὁ ἄγνωςτος)· πρόςκειται «ὀξύτονα» διὰ τὰ 255
βαρύτονα, οἷον διὰ τὸ Μίνως Μίνωος καὶ ἥρως ἥρωος διὰ καθαροῦ τοῦ οc κλινόμενα, περὶ ὧν ἐν τοῖς ἐφεξῆς λέγει. Εἰ δέ τις εἴποι, ἰδοὺ τὸ νεώς καὶ λεώς ὑπὲρ μίαν cυλλαβὴν ὄντα καὶ ὀξύτονα οὐ κλίνονται διὰ τοῦ τοc ἀλλ' ἀποβολῇ τοῦ ϲ ποιοῦςι τὴν γενικήν, οἷον τοῦ νεώ καὶ τοῦ λεώ, λέγομεν ὅτι ταῦτα Ἀττικά εἰςιν, ὥςπερ τὸ Μενέλεως, περὶ ὧν ἐν τοῖς ἑξῆς διαλαμβάνει. Ταῦτα δέ, φημὶ δὴ τὸ ἱδρώς καὶ τὰ ὅμοια, πανταχοῦ φυλάττουςι τὸν τόνον ἐπάνω τοῦ ω, εἰ καὶ μὴ πάντως τὸν αὐτόν· ἰδοὺ γὰρ τὸ μὲν ἱδρώς καὶ ἀπτώς καὶ ἀγνώς ὀξύνονται, τὸ δὲ ἱδρῶτος καὶ ἀπτῶτος καὶ ἀγνῶτος προπεριςπῶνται· καὶ πάλιν τὸ μὲν ἱδρῶτες καὶ ἀπτῶτες καὶ ἀγνῶτες προπεριςπῶνται, τὸ δὲ ἱδρώτων καὶ ἀπτώτων καὶ ἀγνώτων παροξύνονται.

Τῷ ἱδρῶτι, τὸν ἱδρῶτα· εἴρηται. Ἰςτέον δὲ ὅτι εὑρίςκεται ἡ δοτικὴ τοῦ ἱδρώς κατὰ ἀποκοπὴν τοῦ τι ἱδρῶ, ὡς παρὰ τῷ ποιητῇ ⟨Ρ 385⟩ καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεί, καὶ ἡ αἰτιατικὴ

[Discr. scr. ex NCV] **6** ἐθνικῶς] ἐθνικὸν V, πληθυντικῶς NC ‖ **7** Δῶχ' — Γανυμ. (8) *om* V | δόκ' υἱὸς NC ‖ **8** γαννυμήδεος N ‖ **10** οἰώθη V, ὀρώθη NC ‖ **15** τὸν χρώ NC, ἐν χρῶ V; *cfr. Herod. II 495, 31* ‖ **17** αἱ διάλεκτοι] παρὰ Δωριεῦςι *EM 815, 36* ‖ **19** ἐναντιοῦνται V, ἐναντιοῦται NC ‖ **31** εἰ *om* N ‖ **37** ἱδρῶ] ι *vocali* ω *addi iubet EM 466, 47* ‖ **38** νολεμεὺς NC

ὁμοίωc τὸν ἱδρῶ κατὰ ἀποκοπὴν τοῦ τα, οἷον ⟨Χ 2⟩ ἱδρῶ ἀπεψύχοντο.

Ὦ ἱδρώc. Ἰcτέον ὅτι τὰ εἰc ωc τὴν αὐτὴν ἔχουcιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ ἱδρώc ὦ ἱδρώc, ὁ ἀπτώc ὦ ἀπτώc, ὁ ἔρωc ὦ ἔρωc, ὁ Μίνωc ὦ Μίνωc, ὁ ἥρωc ὦ ἥρωc. Δεῖ προcθεῖναι «χωρὶc τῶν εἰc ωc ὀξυτόνων θηλυκῶν»· ταῦτα γὰρ εἰc τὴν οι δίφθογγον ἔχουcι τὴν κλητικήν, οἷον ἡ αἰδώc ὦ αἰδοῖ, ἡ ἠώc ὦ ἠοῖ, ὁμοίωc τοῖc εἰc ω θηλυκοῖc, ὥcπερ ἡ Cαπφώ ὦ Cαπφοῖ, ἡ Λητώ ὦ Λητοῖ.

Τὼ ἱδρῶτε, τοῖν ἱδρώτοιν, ὦ ἱδρῶτε· εἴρηται. Οἱ ἱδρῶτεc, τῶν ἱδρώτων, τοῖc ἱδρῶcι, τοὺc ἱδρῶταc, ὦ ἱδρῶτεc· εἴρηται.

Κανὼν ιϛʹ.

Ὁ ἥρωc τοῦ ἥρωοc, ὁ γέλωc τοῦ γέλωτοc.

Ἰcτέον ὅτι τῶν εἰc ωc βαρυτόνων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τοc κλίνονται, οἷον γέλωc γέλωτοc, ἔρωc ἔρωτοc, Νέπωc Νέ-
256 g πωτοc (ἔcτι δὲ ὄνομα ὄρουc). Καὶ ἀποροῦcί τινεc λέγοντεc, καὶ πῶc τὸ κάλωc, ὃ cημαίνει τὸ cχοινίον, βαρύτονον ὂν καὶ βραχείᾳ παραληγόμενον, οὐ κλίνεται διὰ τοῦ τοc ἀλλὰ διὰ καθαροῦ τοῦ οc, οἷον κάλωc κάλωοc, ὡc μαρτυρεῖ Ἀπολλώνιοc ὁ τὰ Ἀργοναυτικὰ γράψαc, κάλωαc εἰπὼν τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον ⟨1, 1277⟩ εὐναίαc ἐρύcαντεc ἀνεκρούcαντο κάλωαc, ἐν τῷ τέλει τοῦ πρώτου λόγου· ὡc ἀπὸ γὰρ τοῦ κάλωc κάλωοc ἐcτὶν ἡ εὐθεῖα τῶν πληθυντικῶν κάλωεc, ὥcπερ ἥρωc ἥρωοc ἥρωεc, καὶ ἐκεῖθεν ἡ αἰτιατικὴ τῶν πληθυντικῶν κάλωαc, ὥcπερ ἥρωαc· καὶ τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐχρήcατο ἐν τῷ δευτέρῳ λόγῳ, λέγων ⟨2, 727⟩ δερκόμενοι παράμειβον, ὑπὸ πνοιῇ δὲ κάλωεc· οὐδὲ γὰρ δυνάμεθα εἰπεῖν, ὡc Ἀττική ἐcτιν ἡ κλίcιc· οἱ γὰρ Ἀθηναῖοι κατὰ ἀποβολὴν τοῦ c κλίνουcιν, οἷον ὁ κάλωc τοῦ κάλω, ὥcπερ ὁ Μενέλεωc τοῦ Μενέλεω. Ἔcτιν οὖν εἰπεῖν, ὅτι οὐκ ἔcτιν αὕτη ἡ τοῦ κάλωc κάλωοc κλίcιc, ἀλλ' ἐπέκταcιc· ἔcτι γὰρ ὁ κάλωc τοῦ κάλω ἀττικῶc, καὶ κατ' ἐπέκταcιν ἰωνικὴν τῆc οc cυλλαβῆc κάλωοc, ὥcπερ ἡ ἅλωc τῆc ἅλω, ὃ cημαίνει τὸ ἀλώνιον, γέγονε κατ' ἐπέκταcιν ἰωνικὴν τῆc οc cυλλαβῆc ἅλωοc, ἐξ οὗ καὶ ἡ αἰτιατικὴ ἅλωα, ὡc παρὰ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ ⟨fragm. 51 Sch⟩ δινομένην πέρι βουcὶν ἐμὴν ἐφύλαccον ἅλωα. Ἔχομεν οὖν ὅτι τῶν εἰc ωc βαρυτόνων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τοc κλίνονται, οἷον γέλωc γέλωτοc, ἔρωc ἔρωτοc, Νέπωc Νέπωτοc, τὰ δὲ μακρᾷ παραλη-

---

[Discr. scr. ex NCV] **8** ἰcτέον δὲ ὅτι NC | *post* εἰc ωc *add* ὀξύτονα V, *qui pro exemplis* ὁ ἔρωc — ὦ ἥρωc *praebet* ὁ ἀγνώc ὦ ἀγνώc ‖ **12** Ὁ ἥρωc — τοῦ γέλωτοc V, ὁ γέλωc N, *om* C ‖ **16** τὸ cχοινίον V, τὸ cχινίον *et in marg.* γρ. cχοῖνον N, τὸν cχοῖνον C ‖ **19** ἐρύcαντεc V, ἐρρύcαντεc C, ἐρρύcαντο N ‖ **25** ὑπὸ πνοιῇ δὲ CV, ὕπνοι ἠδὲ N ‖ **29** ἰωνικὴν *om* NC; *item v. 31* ‖ **32** Ἑκάλῃ] ἑκάλη NC, καλῇ V, Ἑκάβῃ *EM 74, 15* | δινομένην V, δεινουμένην N, δεινουμένηc C ‖ **33** ἐμὴν ἐφύλαccον NC, ἔμεινε φυλάττον V

γόμενα διὰ καθαροῦ τοῦ ο̅c̅ κλίνονται, οἷον Μίνωc Μίνωοc (τὸ γὰρ ῑ ἐκτείνεται· ἰcτέον δὲ ὅτι εὑρίcκεται cπανίωc καὶ cυcτελλόμενον), ἥρωc ἥρωοc. Cεcημείωται τὸ εἵλωc εἵλωτοc, ὅτι μακρᾷ παραληγόμενον διὰ τοῦ το̅c̅ ἐκλίθη· εἵλωτεc δὲ λέγονται οἱ τὴν Μεccηνιακὴν οἰκοῦντεc τῆc Πελοποννήcου. Ἔcτιν οὖν εἰπεῖν, ὅτι ἕλωc ἕλωτοc ἦν, καὶ ὡc βραχείᾳ παραληγόμενον διὰ τοῦ το̅c̅ κλίνεται, ὥcπερ γέλωc γέλωτοc, καὶ λοιπὸν πλεονάcαν τὸ ῑ ἐφύλαξε τὴν αὐτὴν κλίcιν καὶ ἐγένετο εἵλωc εἵλωτοc. Ἰcτέον δὲ ὅτι οἱ Λακεδαιμόνιοι πάνταc τοὺc δούλουc εἵλωταc καλοῦcι 257 g πρὸc ὕβριν τούτων, φημὶ δὴ τῶν τὴν Μεccηνιακὴν οἰκούντων τῆc Πελοποννήcου. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τούτων πάντων ἰcοcύλλαβον ποιοῦνται κλίcιν, τοῦ γέλω γὰρ καὶ τοῦ Μίνω καὶ τοῦ ἥρω λέγουcιν· περὶ δὲ τῆc κλίcεωc τούτων ἐν τῇ περὶ τοῦ Μενέλεωc διδαcκαλίᾳ ἔχομεν γνῶναι. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ ἥρωc ἥρωοc οὐκ ἐπεκτείνει τὸ ο̄ εἰc τὸ ω̄ ἀττικῶc κατὰ τὴν γενικήν. Καὶ λέγουcί τινεc, ὅτι διὰ τοῦτο τὸ ἥρωc ἥρωοc οὐκ ἐπεκτείνει τὸ ο̄ εἰc τὸ ω̄ ἀττικῶc κατὰ τὴν γενικήν, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ ω̄, καὶ εὑρεθῇ πρὸ τεccάρων χρόνων τόνοc, ὅπερ ἐcτὶν ἀδύνατον· οὐδέποτε γὰρ πρὸ τεccάρων χρόνων τόνοc πίπτει. Οὗτοι δὲ οὐκ ἀκριβῶc λέγουcιν· ὡc γὰρ ἐμάθομεν ἐν τοῖc προλαβοῦcιν, οἱ Ἀττικοὶ ἐπὶ τῶν καθαριευόντων ἐκτείνοντεc τὸ ο̄ εἰc τὸ ω̄ καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλουcιν, οἷον ὄφιοc ὄφεωc, πόλιοc πόλεωc, λαόc λεώc, ναόc νεώc· εἰ ἐξέτειναν οὖν τὸ ο̄ εἰc τὸ ω̄, ἠναγκάζοντο καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλειν, καὶ οὐκέτι λοιπὸν εὑρίcκετο ἀλλεπάλληλον τὸ ω̄. Κρεῖττον οὖν ἐcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἀττικοί, ὡc εἴρηται, ἐπὶ τῶν καθαριευόντων ἐκτείνοντεc τὸ ο̄ εἰc τὸ ω̄ καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλουcιν, οἷον πόλιοc πόλεωc, ὄφιοc ὄφεωc, ναόc νεώc, λαόc λεώc· εἰ ἐξέτειναν οὖν ἐπὶ τοῦ ἥρωοc τὸ ο̄ εἰc τὸ ω̄, ἠναγκάζοντο καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβάλλειν· ἀλλὰ μὴν τὸ παραλῆγον φωνῆεν εἰc ε̄ μεταβληθῆναι οὐ δύναται· τὰ γὰρ μεταβαλλόμενα κατὰ τὴν παραλήγουcαν εἰc ε̄ δίχρονά εἰcιν, οἷον ὄφιοc ὄφεωc, πόλιοc πόλεωc, ναόc νεώc, λαόc λεώc· τοῦτο δὲ οὐκ ἔcτι δίχρονον ἀλλὰ ω̄· δῆλον οὖν ὅτι τῆc παραληγούcηc μὴ δυναμένηc μεταβληθῆναι εἰc τὸ ε̄ οὔτε ἡ λήγουcα ἐξετάθη εἰc τὸ ω̄.

Τῷ ἥρωϊ, τῷ γέλωτι. Ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν ἡ ἥρωϊ δοτικὴ οὐ γίνεται κατὰ cυναίρεcιν τοῦ ω̄ καὶ ῑ εἰc τὴν ῳ̄ δίφθογγον ἥρῳ. Ἔcτιν οὖν εἰπεῖν, ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc ῑ ἀνεκφώνητον λήγουcα τὴν γενικὴν ἔχει ἰcοcύλλαβον τῇ εὐθείᾳ, οἷον τῷ κοχλίᾳ 258 g ὁ κοχλίαc τοῦ κοχλίου, τῷ Χρύcῃ ὁ Χρύcηc τοῦ Χρύcου, τῷ cοφῷ ὁ

[Discr. scr. ex NCV] **5** Πελοπονήcου NCV ‖ **9** Πελοπονήcου NV ‖ **11** Ἰcτέον — τούτοιc (**14**) *om* V ‖ **20** δὲ *om* NC ‖ **21** ἐν τοῖc προλ.] *cfr. p. 201, 9* ‖ **34** δῆλον οὖν ὅτι] δηλονότι NC, καὶ δῆλον ὡc V ‖ **36** ἄξιον δὲ ἐcτὶ NC

σοφός τοῦ σοφοῦ· εἰ ἐγένετο οὖν τοῦτο κατὰ συναίρεσιν τοῦ ω̄ καὶ ῑ εἰς τὴν ῳ δίφθογγον, ἤμελλεν ἔχειν τὸ ῑ ἀνεκφώνητον, ὅπερ ἐστὶν ἀδύνατον, οὐδὲ γὰρ ἔχει τὴν γενικὴν ἰσοσύλλαβον τῇ εὐθείᾳ, οἷον ἥρως ἥρωος· τούτου οὖν χάριν τοῦτο οὐ συναιρεῖται κατὰ τὴν δοτικήν, ἵνα μὴ εὑρεθῇ ἡ δοτικὴ εἰς ῑ ἀνεκφώνητον λήγουσα, τῆς γενικῆς περιττοσυλλαβούσης τῆς εὐθείας. Οἱ μέντοι Ἀττικοὶ ἐπειδὴ ἰσοσυλλάβως κλίνουσιν, οἷον ὁ ἥρως τοῦ ἥρω, καὶ τὴν δοτικὴν εἰς ῑ ἀνεκφώνητον ποιοῦσιν, οἷον τῷ ἥρῳ, ⟨Η 453⟩ ἥρῳ Λαομέδοντι, καὶ ⟨θ 483⟩ ἥρῳ Δημοδόκῳ.

Τὸν ἥρωα, τὸν γέλωτα· ὦ ἥρως, ὦ γέλως. Τὼ ἥρωε, τὼ γέλωτε. Ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἡ ἥρωε εὐθεῖα τῶν δυϊκῶν οὐ γίνεται κατὰ κρᾶσιν τοῦ ω̄ καὶ ε̄ εἰς τὸ ω̄· καὶ γὰρ εὑρίσκομεν τὸ ω̄ καὶ ε̄ εἰς τὸ ω̄ κιρνάμενα, ὡς ἐπὶ τοῦ τῷ ἐμῷ τὠμῷ, οὕτω δὲ εἰ ἐγένετο ἡ εὐθεῖα τῶν δυϊκῶν, οὐδὲν ἄτοπον συνέβαινεν, ἐπειδὴ τὸ ω̄ τελικόν ἐστι τῆς εὐθείας τῶν δυϊκῶν, οἷον τὼ Ὁμήρω, τὼ ἀνθρώπω. Ἔστιν οὖν εἰπεῖν, ὅτι, ὡς ἐμάθομεν ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν τοῦ ἡδύς, ἡνίκα συναιρεῖται ἡ εὐθεῖα τῶν δυϊκῶν, πάντως ἡ γενικὴ τῶν ἑνικῶν μακροκαταληκτεῖ, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τὼ Δημοσθένεε καὶ Δημοσθένη, ὁ Πηλεύς τοῦ Πηλέως τὼ Πηλέε καὶ Πηλῆ, ἡ πόλις τῆς πόλεως τὰ πόλεε καὶ πόλη· ἐπειδὴ οὖν ἐπὶ τοῦ ἥρως ἥρωος οὐ μακροκαταληκτεῖ ἡ γενικὴ τῶν ἑνικῶν, οὐδὲ γάρ, ὡς εἴρηται, γίνεται διὰ τοῦ ω̄ ἀττικῶς, εἰκότως οὐδὲ ἡ εὐθεῖα τῶν δυϊκῶν συναιρεῖται.

Τοῖν ἡρώοιν, τοῖν γελώτοιν· ὦ ἥρωε, ὦ γέλωτε. Οἱ ἥρωες, οἱ γέλωτες. Ἰστέον ὅτι φησὶν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου ἐν τῇ περὶ τῆς εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ, ὡς ⟨ἡ⟩ οἱ
259 g ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ἥρωσιν, οἷον ⟨fragm. 304 K⟩ οἱ γὰρ ἥρως ἐγγύς εἰσιν, ἀντὶ τοῦ οἱ ἥρωες.

Τῶν ἡρώων, τῶν γελώτων· τοῖς ἥρωσι, τοῖς γέλωσι· τοὺς ἥρωας, τοὺς γέλωτας· ὦ ἥρωες, ὦ γέλωτες.

[Discr. scr. ex NCV] **13** τοῦ τῷ ἐμῷ τὠμῷ] τοῦ τὸ ἐμῶ τὠμῶ N, τοῦ ἐμῶ τὠμῶ C, τῷ ἐμῷ τὠμῷ V | *post* τὠμῷ *add* V: ἀποβολῆς γὰρ γενομένης τοῦ ῑ πρότερον τοῦ ἐν τῷ ἄρθρῳ καὶ κρᾶσις παρηκολούθησε τοῦ ε̄ καὶ ω̄ εἰς τὸ ω̄ καὶ ἐγένετο τὠμῷ ‖ **14** οὐδὲν — δυϊκῶν (**15**) *om* V ‖ **16** ἐμάθομεν] *cfr. p. 229, 39* ‖ **22** εἴρηται] *vide p. 250, 15* ‖ **25** *ante* Ἰστέον *add* V: ἰστέον ὅτι ἡ εὐθεῖα τῶν πληθυντικῶν διὰ τοῦτο οὐ συναιρεῖται, ἐπειδὴ τραχεῖά ἐστιν ἡ κρᾶσις τοῦ ω̄ καὶ ε̄ εἰς τὸ ω̄ καὶ σπανίως εὑρίσκεται | ἐν τῇ — κρᾶσιν (**27**) *om* V ‖ **26** ἡ *Dindorfius, om* NC ‖ **28** ἐν Ἥρωσιν *Bergkius et Meinekius,* ἐν Ὄρνισιν NCV | οἷον *om* V

Κανὼν ιζ΄.

Ὁ Μενέλαος ὁ Μενέλεως.

Ἰστέον ὅτι τὰ εἰς ως σύνθετα εἰ μὲν κοινά εἰσι τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον ἱδρώς ἱδρῶτος λυσίδρως λυσίδρωτος, ἔρως ἔρωτος χρυσέρως χρυσέρωτος, γέλως γέλωτος φιλογέλως φιλογέλωτος, εἰ δὲ Ἀττικά εἰσιν ἀποβολὴ τοῦ ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ δύσερως τοῦ δύσερω, ὁ φιλόγελως τοῦ φιλόγελω, ὁ χρυσόκερως τοῦ χρυσόκερω, ὁ ἀξιόχρεως τοῦ ἀξιόχρεω, ὁ ἀνάπλεως τοῦ ἀνάπλεω, ὁ εὔγηρως τοῦ εὔγηρω. Ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς περὶ τοῦ Μενέλεως διαλαμβάνει· καὶ δεῖ παραφυλάξασθαι, ὅτι ἐπὶ τῶν εἰς ος καθαρὸν τῶν διὰ τοῦ ο τῶν ἐχόντων τὴν παραλήγουσαν μακρὰν ὑπερβιβασμὸν ποιοῦνται τοῦ χρόνου οἱ Ἀθηναῖοι, καὶ τὴν μὲν τελευταίαν ἐκτείνουσιν εἰς τὸ ω, τὴν δὲ παραλήγουσαν συστέλλουσιν εἰς τὸ ε, οἷον Μενέλαος Μενέλεως, Ἰόλαος Ἰόλεως, λαός λεώς, ναός νεώς· ἰδοὺ ταῦτα ἔχοντα τὴν μὲν παραλήγουσαν μακρὰν τὴν δὲ τελευταίαν βραχεῖαν, ἐκ τοῦ ἐναντίου ἐποίησαν τὴν μὲν τελευταίαν φύσει μακρὰν τὴν δὲ παραλήγουσαν συνέστειλαν· ὅθεν τὸ Οἰνόμαος ἐπειδὴ οὐκ ἔχει μακρὰν τὴν παραλήγουσαν, τὸ γὰρ α συνεσταλμένον ἐστίν, οὐκ ἐγένετο παρὰ τοῖς Ἀττικοῖς διὰ τοῦ ε καὶ ω, οἷον Οἰνόμεως, ἐπειδὴ τὸ α συνεσταλμένον ἔχον οὐκ ἠδύνατο ὑπερβιβασμὸν τοῦ χρόνου ποιήσασθαι. Εἰ δέ τις εἴποι, καὶ πῶς τὸ ἵλαος συνεσταλμένον ἔχον τὸ α, οἷον ὡς παρὰ Παρθενίῳ ⟨Anall. Alex. ed. Mein. p. 286⟩ ἵλαος, ὦ Ὑμέναιε, γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε καὶ ω, οἷον ἵλεως, λέγομεν ὅτι τὸ ἵλαος μᾶλλον ἐκτείνει τὸ α, σπάνιον γὰρ τὸ ἐν συστολῇ ἐστιν εὑρισκόμενον, καὶ τούτου χάριν ἐγένετο παρὰ τοῖς Ἀθηναίοις ἵλεως· ὅτι γὰρ ἐκτείνει τὸ α, ἐδήλωσε Παρθένιος ἐν τῷ εἰς 260g Βίαντα εἰπὼν ⟨Mein. l. l. p. 262⟩ ἵλαος ταύτην δέχνυσο πυρκαϊήν· ἔστι δὲ ἐλεγεῖον τὸ μέτρον· καὶ ἐν τῷ Εὐφορίωνος Δημοσθένει ὁμοίως ἐκτεταμένον εὑρίσκεται, οἷον ⟨Mein. l. l. p. 45⟩ δαίμονος ἱλάοιο. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται δὲ ἀνωτέρω «εἰς ος καθαρόν», ἐπειδὴ εἰσί τινα μὴ καθαριεύοντα καὶ γινόμενα διὰ τοῦ ω παρὰ τοῖς Ἀθηναίοις, οἷον ὁ κάλος ὁ κάλως (σημαίνει δὲ τὸν σχοῖνον), ὁ Τάλος ὁ Τάλως (ἔστι δὲ ὄνομα κύριον), ὁ ὄρφος ὁ ὀρφῶς (σημαίνει τινὰ ἰχθύν, τοῦτο δὲ περισπᾶται παρὰ τοῖς Ἀθηναίοις, τοῦ παρ' ἡμῖν ἤγουν τοῦ κοινοῦ βαρυνομένου)· ἰδοὺ ταῦτα διὰ τοῦ ω γινόμενα ἀττικῶς οὐκ ἔτρεψαν τὸ παραλῆγον φωνῆεν εἰς τὸ ε, ἀλλ' οὐ καθαριεύουσιν· τούτου οὖν χάριν

[Discr. scr. ex NCV] **5** χρυσέρως χρυσέρωτος NC, δύσερως δυσέρωτος V | φιλογέλως N, φιλόγελως CV ‖ **7** ὁ φιλόγελως — τοῦ χρυσόκερω *om* NC ‖ **11** καθαρὸν V, καθαρῶν NC ‖ **14** Ἰόλαος — λεώς (**15**) NC, ἵλαος ἵλεως V ‖ **21** τοῦ *om* NC ‖ **26** εἰς V, *om* NC ‖ **27** δέχνυσο b, δὲ χρυσο N, δὲ χρύσω C, δὲ χρυσοῦ V ‖ **28** τὸ μέτρον *om* NC | Εὐφορίονος NC ‖ **31** δὲ *om* NC ‖ **34** τινὰ V, τὸν NC

πρόσκειται «εἰς ος καθαρόν». Τούτων οὕτως ἐχόντων ἰστέον, ὅτι ταῦτα τὰ εἰς ως Ἀττικὰ φυλάττουσι τῆς κοινῆς εὐθείας τὸν τόνον· εἴτε γὰρ προπαροξύνεται τὸ κοινὸν εἴτε παροξύνεται εἴτε ὀξύνεται, τὴν αὐτὴν τάσιν φυλάττει καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον τὸ λαός καὶ ναός ὀξυτονούμενα παρ' ἡμῖν φυλάττουσι τὴν ὀξεῖαν τάσιν καὶ παρὰ τοῖς Ἀθηναίοις, λεώς γὰρ καὶ νεώς λέγουσιν ὀξυτόνως· καὶ πάλιν τὸ Τάλος καὶ κάλος παροξυνόμενα παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις παροξύνονται, οἷον Τάλως καὶ κάλως· καὶ πάλιν τὸ Μενέλαος καὶ Ἰόλαος προπαροξυνόμενα παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις προπαροξύνονται, οἷον Μενέλεως καὶ Ἰόλεως. Σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶς περισπώμενα, ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον τῶν κοινῶν· τοῦ μὲν γὰρ ὀρφῶς τὸ κοινὸν ὄρφος ἐστὶ βαρυτόνως, τοῦ δὲ λαγῶς ὀξυτόνως λαγός. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐπὶ πάσης πτώσεως τὰ εἰς ως Ἀττικὰ τῆς ἰδίας εὐθείας τὸν τόνον φυλάττουσιν· εἴτε γὰρ προπαροξύνεται ἡ εὐθεῖα εἴτε παροξύνεται εἴτε ὀξύνεται, ὁ αὐτὸς τόνος φυλάττεται καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν, οἷον ὁ Μενέλεως τοῦ Μενέλεω τῷ Μενέλεῳ τὸν
261 g Μενέλεων ὦ Μενέλεως, ὁ κάλως τοῦ κάλω τῷ κάλῳ τὸν κάλων ὦ κάλως, ὁ λεώς τοῦ λεώ τῷ λεῴ τὸν λεών ὦ λεώς· κλίνουσι δὲ πάντα, ὥς φησιν ὁ τεχνικός, κατὰ ἀποβολὴν τοῦ ς.

Ἰστέον δὲ ὅτι τὰ εἰς ως Ἀττικὰ ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ Μενέλεως τοῦ Μενέλεω, ὁ Ἰόλεως τοῦ Ἰόλεω, ὁ λεώς τοῦ λεώ, ὁ νεώς τοῦ νεώ, ὁ κάλως τοῦ κάλω, ὁ Τάλως τοῦ Τάλω· ὁ Τυφῶς καὶ ὁ ταῶς κοινῶς μὲν Τυφῶν καὶ ταῶν λέγονται καὶ διὰ τοῦ νος κλίνονται, οἷον Τυφῶνος καὶ ταῶνος, ἀττικῶς δὲ Τυφῶς καὶ ταῶς λέγονται καὶ ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν γενικὴν τῷ Ἀττικῷ ἔθει, οἷον ὁ Τυφῶς τοῦ Τυφῶ καὶ ὁ ταῶς τοῦ ταῶ, ὥσπερ ὁ ὀρφῶς τοῦ ὀρφῶ καὶ ὁ λαγῶς τοῦ λαγῶ· Τυφῶς δέ ἐστιν ὁ σφοδρὸς ἄνεμος. Καὶ ἀποροῦσί τινες λέγοντες, διατί τὸ Τυφῶς καὶ ταῶς οὐ κλίνονται κοινῶς διὰ τοῦ τος, ὥσπερ τὸ ἱδρώς ἱδρῶτος καὶ ἀπτώς ἀπτῶτος. Ἔστιν οὖν εἰπεῖν, ὅτι πρῶτον μὲν ἐκεῖνα ὀξύτονά εἰσιν, τὸ δὲ Τυφῶς καὶ ταῶς περισπώμενά εἰσι· δεύτερον δὲ ὅτι ταῦτα καὶ εἰς ν λήγουσι, οἷον Τυφῶς Τυφῶν, ταῶς ταῶν, ὅπερ οὐ παρέπεται ἐκείνοις. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν ὅτι πολλὰ εὑρίσκονται παρὰ τοῖς Ἀθηναίοις εἰς ως μὴ ἔχοντα προϋποκείμενον κοινόν, οἷον κορώνεως φιβάλεως δαμαρίππεως χελιδόνεως ἱέρεως· προπαροξύνονται δὲ ὅλα ταῦτα καὶ ἀποβολῇ τοῦ ς ποιοῦσι τὴν γενικὴν ὁμοίως τοῖς ἄλλοις Ἀττικοῖς· εἰσὶ δὲ τὸ μὲν κορώνεως καὶ φιβάλεως καὶ δαμαρίππεως καὶ χελιδόνεως εἴδη

[Discr. scr. ex NCV] **10** καὶ *ante* Ἰόλεως *om* NC ‖ **12** ὄρφος CV, ὄρφως N | λαγός CV, λαγώς N ‖ **13** δὲ *om* NC ‖ **18** λεῴ] λεὼ N, λεῷ CV ‖ **20** δὲ *om* NC ‖ **31** οἷον *om* NC ‖ **34** *ante* πολλὰ *add* τὰ NC ‖ **35** δαμαρίππεως] δαμερίππεως NC, δαμαρίσπεως V; *cfr. Eupol. fragm. 407 K* ‖ **36** χελιδόνεως N, χελιδώνεως CV; *item v. 38* ‖ **37** Ἀττικοῖς *om* N | εἰσὶ V, ἔστι NC ‖ **38** δαμαρίππεως NC, δαμαρίσπεως V

φυτῶν, τὸ δὲ ἵερεως τὸν ἱερέα cημαίνει· ἵερεως γὰρ παρ' αὐτοῖc ὁ ἱερεύc. Εἰcὶ δὲ καὶ Περcικὰ ὀνόματα καὶ Αἰγύπτια εἰc ω̄c̄ λήγοντα, ἅτινα τὴν αὐτὴν κλίcιν ἐπιδέχονται τοῖc εἰc ω̄c̄ Ἀττικοῖc· οὐ μέντοι προπαροξύνονται κατὰ τὴν εὐθεῖαν, ὥcπερ οὐδὲ ἐν ταῖc ἄλλαιc πτώcεcιν· ἔcτι γὰρ Ἰναρῶc (ὄνομα βαcιλέωc) Cπαραμιζῶc (ὄνομα εὐνούχου) Cαβακῶc Μανεθῶc (ταῦτα δὲ ὀνόματά εἰcι κύρια)· καὶ ἱcτέον ὅτι τινὲc μὲν ὀξύνουcιν αὐτά, τινὲc δὲ περιcπῶcιν· τὸ δὲ Cαβακῶc Ῥωμανὸc βαρύνει Cαβάκωc λέγων· ἀποβολῇ δὲ τοῦ c̄ ποιοῦcι τὴν γενικήν. Δεῖ δὲ ἡμᾶc ἀναμνηcθῆναι καὶ τούτου, ὅτι τὸ ἥρωc καὶ τὸ ἔρωc καὶ τὸ γέλωc, ἅτινα περιττοcυλλάβωc παρ' ἡμῖν κλίνονται, οἱ Ἀθηναῖοι ἰcοcυλλάβωc κλίνουcιν· τοῦ ἥρω γὰρ καὶ τοῦ ἔρω καὶ τοῦ γέλω λέγουcιν, οἷον <Arist. Ran. 45> ἀλλ' οὐχ οἷόc τ' εἴμ' ἀποcοβῆcαι τὸν γέλων· καὶ τὰc ἑξῆc δὲ πτώcειc οὕτω κλίνουcιν ὥcπερ καὶ τὸ Μενέλεωc κλίνεται.

Τῷ Μενέλεῳ. Εἴρηται ὅτι πᾶcα γενικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ῑ ἀνεκφώνητον λήγουcαν μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc ἢ μείζονοc ἀντιcτοίχου.

Τὸν Μενέλεων. Εἴρηται ὅτι πᾶcα εὐθεῖα εἰc c̄ λήγουcα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων, εἰc ν̄ αὐτὴν ἔχει λήγουcαν.

Ὦ Μενέλεωc. Εἴρηται ὅτι τὰ εἰc ω̄c̄ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ ἱδρώc ὦ ἱδρώc, ὁ ἔρωc ὦ ἔρωc, ὁ γέλωc ὦ γέλωc· οὕτωc οὖν καὶ ὁ Μενέλεωc ὦ Μενέλεωc· ἄλλωc τε δὲ καὶ οἱ Ἀττικοὶ τὰc αὐτὰc ἔχουcιν ὀρθὰc καὶ κλητικάc, οἷον ὁ Αἴαc ὦ Αἴαc, οἷον <Soph. Ai. 89> Αἴαc, δεύτερόν cε προcκαλῶ, ὁ φίλοc ὦ φίλοc, <Φ 106> ἀλλά, φίλοc, θάνε καὶ cύ, ὁ ἥλιοc ὦ ἥλιοc, <Γ 277> ἠέλιόc <θ'> ὃc πάντ' ἐφορᾷc καὶ πάντ' ἐπακούειc· οὕτωc οὖν καὶ ὁ Μενέλεωc ὦ Μενέλεωc ἀττικῶc.

Τὼ Μενέλεω. Εἴρηται ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc ᾱ ἢ εἰc ω̄ λήγουcα δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ῑ ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν· ἀλλ' ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν οὐκ ἔcτι προcγεγραμμένον τὸ ῑ, οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ καλῷ τὼ καλώ· οὕτωc οὖν καὶ τῷ Μενέλεῳ τὼ Μενέλεω χωρὶc τοῦ ῑ.

Τοῖν Μενέλεῳν. Λέγει ὅτι τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονεν ἀπὸ τοῦ τοῖν Μενελάοιν, τροπῇ τοῦ ο̄ εἰc τὸ ω̄ καὶ τῆc παραληγούcηc εἰc τὸ ε̄, διὸ καὶ ἔχει τὸ ῑ προcγεγραμμένον· πᾶcα γὰρ δοτικὴ ἐπὶ παντὸc ἀριθμοῦ τὸ ῑ θέλει ἔχειν ἐν τῇ τελευταίᾳ cυλλαβῇ, οἷον καλῷ cοφῷ

[Dɪscʀ. scʀ. ᴇx NCV] **3** οὐ V, εἰ NC ‖ **5** Cπαραμιζῶc N, Παραμιζῶc C, Παραμειζῶc V ‖ **6** Μανεθῶc] Μανεῶc NC, Μανεθώc V, Κανεῶc b ‖ **9** τούτου V, τοῦτο NC | τὸ *ante* ἥρωc *om* NC ‖ **12** οἷον *om* NC | οἷοc τέ εἰμι NCV ‖ **22** ὁ ἱδρῶc ὦ ἱδρῶc N ‖ **25** προcκαλῶ] προκαλῶ V, φωνῶ N, προcφώνω C | *ante* ὁ φίλοc *add* οὗτοc ὦ οὗτοc <Soph. Ai. 89> V ‖ **26** θ' *om* NCV ‖ **28** *post* ἀττικῶc *add* ἐcτιν NC ‖ **30** ἀνεκφων. *om* NC ‖ **35** τὸ ω̄] τῇ ω̄ N ‖ **36** προcγεγρ. *om* NC

κοχλίᾳ, καλοῖν σοφοῖν κοχλίαιν, καλοῖς σοφοῖς κοχλίαις· πότε δὲ οὐκ ἔχει τὸ ῑ ἡ δοτικὴ τῶν ἑνικῶν, ἐν τῇ δοτικῇ τοῦ κοχλίας μεμαθήκαμεν. Ὦ Μενέλεω· εἴρηται.

Οἱ Μενέλεῳ. Λέγει ὅτι καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονεν ἀπὸ τοῦ οἱ Μενέλαοι, τροπῇ τοῦ ο̅ εἰς ω̅ καὶ τῆς παραληγούσης δηλονότι εἰς τὸ ε̅. Τὸ δὲ κοινόν ἐστιν οἱ Μενέλαοι, ἐπειδὴ πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω̅ λήγουσα εἰς τὴν ο̅ι̅ δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χωρὶς τῶν οὐδετέρων, οἷον τὼ καλώ οἱ καλοί, τὼ σοφώ οἱ σοφοί, τὼ Ὁμήρω οἱ Ὅμηροι, τὼ ἀνθρώπω οἱ ἄνθρωποι· οὕτω καὶ τὼ Μενελάω οἱ Μενέλαοι καὶ τὼ Νικολάω οἱ Νικόλαοι· πρόσκειται «χωρὶς τῶν οὐδετέρων», ἐπειδή ἐστι τὼ ξύλω καὶ τὼ δένδρω ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ γίνεται ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ ξύλα καὶ τὰ δένδρα, καὶ ἰδοὺ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς ω̅ λήγει, καὶ οὐ λήγει εἰς τὴν ο̅ι̅ δίφθογγον ἡ εὐθεῖα τῶν πληθυντικῶν. Τούτων οὕτως ἐχόντων ἐστὶν οἱ Μενέλαοι, καὶ τροπῇ τοῦ ο̅ εἰς ω̅ καὶ τῆς παραληγούσης δηλονότι εἰς τὸ ε̅ γέγονεν οἱ Μενέλεῳ, καὶ μένει τὸ ῑ προσγεγραμμένον ἀναγκαίως· πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν ἀρσενικὴ ἢ θηλυκὴ ἀνεπέκτατος ἀπὸ ἑνικῶν κεκλιμένη εἰς φωνῆεν λήγουσα εἰς ῑ θέλει λήγειν, οἷον καλοί σοφοί κοχλίαι Αἰνεῖαι σοφαί Μοῦσαι ἅμαξαι. Πρόσκειται «ἀρσενικὴ ἢ θηλυκή» διὰ τὰ οὐδέτερα, οἷον τὰ βήματα, τὰ ξύλα, τὰ δένδρα· ἰδοὺ ταῦτα οὐ λήγουσιν εἰς ῑ· «ἀνεπέκτατος» δὲ πρόσκειται διὰ τὸ τοιοῖδε καὶ τοσοῖδε· ταῦτα γὰρ οὐ λήγουσιν εἰς ῑ, ἀλλ' ἐπέκτασιν τῆς δ̅ε̅ συλλαβῆς ἀνεδέξαντο· πρόσκειται δέ «ἀπὸ ἑνικῶν κεκλιμένη» διὰ τὸ οἱ πέντε, οἱ ἑπτά, οἱ ὀκτώ, οἱ δέκα· ταῦτα γὰρ οὐ λήγουσιν εἰς ῑ, ἀλλ' οὐκ εἰσὶν ἀπὸ ἑνικῶν κεκλιμένα, οὐκ ἔχουσι γὰρ ἑνικά, ἐπειδὴ τὸ σημαινόμενον κωλύει· πῶς γὰρ οἱ πέντε καὶ οἱ ἑπτά καὶ οἱ ὀκτώ καὶ
264 g οἱ δέκα δύνανται ἑνικῷ ἀριθμῷ θεωρηθῆναι; ἐὰν γὰρ θεωρηθῶσιν ἑνικῷ ἀριθμῷ, καὶ τοῦ σημαινομένου ἐκπίπτουσι καὶ οὐκέτι μένουσι πέντε ἢ ἑπτὰ ἢ ὀκτὼ ἢ δέκα· ἀλλ' οὔτε δὲ ταῦτα ἀρσενικοῦ ἢ θηλυκοῦ μόνου γένους εἰσίν, ἀλλὰ καὶ οὐδετέρου, οἷον οἱ πέντε αἱ πέντε καὶ τὰ πέντε· ὁμοίως δὲ καὶ τὰ λοιπά· πρόσκειται δέ «εἰς φωνῆεν λήγουσα» διὰ τὸ Αἴαντες μητέρες· ταῦτα γὰρ οὐ λήγουσιν εἰς ῑ, ἀλλ' οὐ λήγουσιν εἰς φωνῆεν ἀλλ' εἰς σύμφωνον.

Τῶν Μενέλεων. Εἴρηται ὅτι πᾶσα γενικὴ πληθυντικῶν εἰς ω̅ν̅ λήγει ἐπὶ παντὸς γένους.

Τοῖς Μενέλεῳς. Εἴρηται ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ ς̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον καλοί καλοῖς, σοφοί σοφοῖς, κοχλίαι κοχλίαις, Μοῦσαι Μούσαις· ἔστιν οὖν οἱ Μενέλεῳ σὺν τῷ ῑ, καὶ λοιπὸν προσθέσει τοῦ ς̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον τοῖς Μενέλεῳς. Ἀναγκαίως οὖν καὶ τοῦτο μετὰ τοῦ

[Discr. scr. ex NCV] **2** μεμαθήκαμεν] *cfr. p. 144, 36* ‖ **7** ω̅ V, ω̅ μέγα NC | ο̅ι̅] ε̅ι̅ N ‖ **17** ἀρσενική τε ἢ θηλυκή NC, ἀρσενικῶν ἢ θηλυκῶν V ‖ **19** ἀρσενικὴ ἢ θηλυκὴ NC, ἀρσενικῶν ἢ θηλυκῶν V ‖ **31** δὲ *om* N

ῑ γράφεται, ἐπειδὴ δοτικῆϲ ἐϲτι πτώϲεωϲ· ἐμάθομεν δὲ ὅτι πᾶϲα δοτικὴ ἐπὶ παντὸϲ ἀριθμοῦ τὸ ῑ θέλει ἔχειν ἐν τῇ τελευταίᾳ ϲυλλαβῇ. Δύναται δὲ καὶ ἀπὸ τοῦ κοινοῦ, φημὶ δὴ ἀπὸ τοῦ Μενελάοιϲ, γενέϲθαι κατὰ τροπὴν τοῦ ο̄ εἰϲ τὸ ω̄ καὶ τῆϲ παραληγούϲηϲ δηλονότι εἰϲ τὸ ε̄.

Τοὺϲ Μενέλεωϲ. Λέγει ὅτι καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε, τὸ δὲ κοινόν ἐϲτι τοὺϲ Μενελάουϲ· πᾶϲα γὰρ εὐθεῖα πληθυντικῶν εἰϲ τὴν οι̅ δίφθογγον λήγουϲα εἰϲ ουϲ̅ ποιεῖ τὴν αἰτιατικήν, οἷον καλοί καλούϲ, Ὅμηροι Ὁμήρουϲ, ἄνθρωποι ἀνθρώπουϲ· οὕτωϲ οὖν οἱ Μενέλαοι τοὺϲ Μενελάουϲ, καὶ τροπῇ τοῦ ο̄ εἰϲ τὸ ω̄ ἀττικῶϲ καὶ τῆϲ παραληγούϲηϲ δηλονότι εἰϲ τὸ ε̄ γίνεται τοὺϲ Μενέλεωϲ· ἀποβάλλει δὲ τὸ ῡ διὰ τὴν κακοφωνίαν, ὥϲ φηϲιν ὁ τεχνικόϲ, τραχεῖα γάρ ἐϲτιν ἡ ἐκφώνηϲιϲ τοῦ ω̄ καὶ ῡ ἐν μιᾷ ϲυλλαβῇ. Καὶ ἀποροῦϲί τινεϲ λέγοντεϲ, διατί ἡνίκα μὲν τὸ κοινὸν ἔχει τὸ ῑ, φυλάττεται καὶ ἐν τῷ Ἀττικῷ, οἷον τῷ Μενελάῳ τῷ Μενέλεῳ, τοῖν Μενελάοιν τοῖν Μενέλεῳν, οἱ Μενέλαοι οἱ Μενέλεῳ, τοῖϲ Μενελάοιϲ τοῖϲ Μενέλεῳϲ, ἡνίκα δὲ τὸ κοινὸν ἔχει τὸ ῡ, 265 g οὐ φυλάττεται ἐν τῷ Ἀττικῷ, οἷον τοὺϲ Μενελάουϲ τοὺϲ Μενέλεωϲ. Ἔϲτιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ ῑ φυλάττεται καὶ ἐν τῷ Ἀττικῷ, ἐπειδὴ πέφυκε τὸ ῑ καὶ ἀνεκφώνητον εἶναι, οἷον τῷ καλῷ, τῷ ϲοφῷ· τὸ δὲ ῡ διὰ τοῦτο ἀποβάλλεται ἐν τῷ Ἀττικῷ, ἐπειδὴ ἡ ωυ̅ δίφθογγοϲ ἐν ἁρμογῇ μόνῃ δύο λέξεων εὑρίϲκεται, οἷον ὁ αὐτόϲ ὡὐτόϲ, ⟨Ε 396⟩ εὖτέ μιν ὡὐτὸϲ ἀνήρ, ἐμέο αὐτοῦ ἐμεωυτοῦ καὶ κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ω̄ εἰϲ τὸ ω̄ ἐμωυτοῦ· ἀμέλει ἐν τῷ θαυμαϲτόϲ καὶ θαυμάϲιοϲ τραπέντοϲ τοῦ ᾱ εἰϲ τὸ ω̄ ἀπεβλήθη τὸ ῡ, οἷον θωμαϲτόϲ θωμάϲιοϲ, ἐπειδὴ οὐκ ἔϲτιν ἁρμογὴ δύο λέξεων· εἰϲὶ δὲ ταῦτα πάντα Ἰωνικά· ἐν οὖν τῇ τοὺϲ Μενελάουϲ αἰτιατικῇ τραπέντοϲ τοῦ ο̄ εἰϲ τὸ ω̄ ἀναγκαίωϲ καὶ τὸ ῡ ἀπεβλήθη διὰ τὸ μὴ εἶναι ἐν ἁρμογῇ δύο λέξεων.

Ὦ Μενέλεῳ. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡϲ ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική· ἔχει δὲ καὶ τὸ ῑ προϲγεγραμμένον ὁμοίωϲ τῇ εὐθείᾳ τῶν πληθυντικῶν.

Κανὼν ιη΄.

Ὁ ἅλϲ τοῦ ἁλόϲ.

Πληρώϲαϲ ὁ τεχνικὸϲ τὰ εἰϲ ϲ̄ μόνον λήγοντα ἔρχεται καὶ διαλαμβάνει περὶ τῶν εἰϲ ϲ̄ ληγόντων μετ' ἐπιπλοκῆϲ ϲυμφώνου. Καὶ ἰϲτέον ὅτι τὰ εἰϲ δύο ϲύμφωνα λήγοντα ἢ εἰϲ τὸ ϲ̄ λήγουϲιν ἢ εἰϲ τὸ ξ̄· καὶ τὰ μὲν εἰϲ τὸ ϲ̄ λήγοντα πρὸ τοῦ ϲ̄ ἔχουϲιν ἢ τὸ λ̄, ὡϲ τὸ ἅλϲ, ἢ τὸ ν̄, ὡϲ τὸ Τίρυνϲ, ἢ τὸ ρ̄, ὡϲ τὸ μάκαρϲ· τὰ δὲ εἰϲ ξ̄ λήγοντα, περὶ ὧν ἐν τοῖϲ θηλυκοῖϲ λέγει, πρὸ τοῦ ξ̄ ἔχουϲιν ἢ τὸ ᾱ, ὡϲ τὸ ὦλξ

[Discr. scr. ex NCV] **3** δὲ *om* NC | δὴ V, δὲ NC ‖ **8** οὖν *om* N ‖ **9** καὶ τῆϲ — δηλονότι (**10**) C, δηλονότι καὶ τῆϲ παραλ. N, δῆλον ὡϲ καὶ τῆϲ παραλ. V ‖ **10** ἀποβάλλει NC, ἀποβάλλουϲι V ‖ **13** τῷ Μεν. τῷ Μεν. *om* NC ‖ **22** εἰϲ τὸ ω̄ *om* NC ‖ **24** εἰϲὶ δὲ — λέξεων (**26**) V, *om* NC ‖ **31** Ὁ ἅλϲ τοῦ ἁλόϲ V, ὁ ἅλϲ C, *om* N ‖ **37** ὦλξ ὦλκόϲ V, ὄλξ ὀλκὸϲ N, ὄλξ ὀλκὶϲ C

ὠλκόc (cημαίνει δὲ τὴν αὔλακα), ἢ τὸ ρ̄, ὡc τὸ cάρξ cαρκόc, ἢ τὸ γ̄, ὡc τὸ Cφίγξ Cφιγγόc. Ταῦτα μὲν ἐν τούτοιc.

Κανονίζει δὲ ὁ τεχνικὸc τὸ ἅλc ἁλόc λέγων, ὅτι τὰ εἰc δύο cύμφωνα λήγοντα διὰ δύο cυμφώνων κλίνονται δηλονότι καὶ εἰc ο̄c̄ ἔχουcι τὴν γενικήν, οἷον Τίρυνc Τίρυνθοc (ἔcτι δὲ ὄνομα πόλεωc τοῦ Ἄργουc, ἐξ ἧc ἦν ὁ Εὐρυcθεύc), μάκαρc μάκαρτοc, ἕλμινc ἕλμινθοc, δάμαρc δάμαρτοc. Εἰ οὖν ἐcτιν ἅλc ἡ εὐθεῖα, ὤφειλεν εἶναι ἡ γενικὴ ἁλτόc, ἵνα εὑρεθῇ διὰ δύο cυμφώνων ἐκφερομένη· ἀλλ' ἐπειδὴ δαcυνομένηc τῆc 266 g εὐθείαc ἔμελλε ψιλοῦcθαι ἡ γενική, ἀδύνατον δέ ἐcτι τὸ πνεῦμα τῆc εὐθείαc ἐναλλάξαι κατὰ τὰc ἄλλαc πτώcειc, — θέλουcι γὰρ τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεcθαι καὶ ἐν ταῖc λοιπαῖc πτώcεcιν, οἷον τοῦ ἄλγοc ψιλουμένου καὶ αἱ λοιπαὶ πτώcειc ψιλοῦνται, τοῦ ἄλγουc τῷ ἄλγει τὸ ἄλγοc ὦ ἄλγοc, καὶ πάλιν τοῦ ἁγνόc δαcυνομένου καὶ αἱ λοιπαὶ πτώcειc δαcύνονται, οἷον τοῦ ἁγνοῦ τῷ ἁγνῷ τὸν ἁγνόν ὦ ἁγνέ — διὰ τοῦτο ἀπέβαλεν ἡ γενικὴ τὸ τ̄ καὶ ἐγένετο ἁλόc, ἵνα ὁμοίωc τῇ εὐθείᾳ δαcυνθῇ καὶ ἡ γενική. Καὶ ἡ μὲν εὐθεῖα δαcύνεται κανόνι τοιούτῳ· τὸ ᾱ τὸ ἀθροιcτικὸν ἤγουν τὸ cημαῖνον ἄθροιcιν δαcύνεcθαι θέλει, οἷον ἅμαξα (εἴρηται δὲ ἅμαξα παρὰ τὸ ἅμα ἄγειν τὰ cυνηθροιcμένα), ἁθρόον (ἀντὶ τοῦ ὁμοῦ· ἀθρόον δὲ ἀντὶ τοῦ ἐξαίφνηc ψιλοῦται), ἅπαc ἅμα· οὕτωc οὖν καὶ τὸ ἅλc, εἴτε ἐπὶ τῆc θαλάccηc, ὅπου πάντα τὰ ὕδατα ἁλίζονται ἤγουν cυναθροίζονται, εἴτε ἐπὶ τούτου τοῦ ἁλμυροῦ, ὃ ἡ cυνήθεια λέγει τὸ ἅλαc οὐδετέρωc, cπανίωc εἰρημένον παρὰ τοῖc ἀρχαίοιc, καὶ αὐτὸ γὰρ ἄθροιcίν τινα cημαίνει· εἰ δὲ ἐγένετο ἡ γενικὴ ἁλτόc ἔμελλε ψιλοῦcθαι· τὸ γὰρ ᾱ καταλῆγον εἰc λ̄ ἐπιφερομένου cυμφώνου τῆc τρίτηc cυζυγίαc τῶν βαρυτόνων, τουτέcτι τοῦ δ̄ ἢ θ̄ ἢ τ̄, ψιλοῦcθαι θέλει, οἷον ἀλθαία (ἔcτι δὲ εἶδοc βοτάνηc) Ἄλτηc (ὄνομα δὲ τοῦτο κύριον) ἀλδιcκάνειν, ὅ ἐcτιν τὸ ἄλλεcθαι· εὐλόγωc οὖν ἀπέβαλε τὸ τ̄ καὶ ἐγένετο ἁλόc, ἵνα ὁμοίωc τῇ εὐθείᾳ δαcυνθῇ καὶ ἡ γενική. Περὶ δὲ τοῦ θρίξ τριχόc, ὅτι οὐκ ἐφύλαξε τὴν ἄρχουcαν τῆc εὐθείαc ἡ γενική, φημὶ δὴ τὸ θ̄, ἀλλ' ἐνήλλαξεν αὐτὴν εἰc τὸ τ̄, ἤγουν τὸ δαcὺ μετέβαλεν εἰc ψιλόν, ἔcτιν εἰπεῖν, ὅτι ὤφειλεν ἡ γενικὴ θριχόc εἶναι ὁμοίωc τῇ θρίξ εὐθείᾳ, ἀλλ' ἔτρεψε τὸ θ̄ εἰc τ̄ καὶ ἐγένετο τριχόc διὰ τοιαύτην αἰτίαν. Κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι τὸ ρ̄ μετὰ τῶν δαcέων δαcύ ἐcτι καὶ μετὰ τῶν ψιλῶν ψιλόν ἐcτιν· ἀδύνατον δέ ἐcτιν λέξιν διcύλλαβον εὑρεθῆναι ἐν χρήcει ἀρχομένην ἀπὸ δύο δαcέων, τῆc δευτέραc cυλλαβῆc ἀρχομένηc ἀπὸ δαcέοc cυμφώνου· τοῦ γὰρ ⟨ε 110. 267 g 133. η 251⟩ ἀπέφθιθον ἐcθλοὶ ἑταῖροι ὁ φθίθω ἐνεcτὼc οὐχ εὔ-

[Discr. scr. ex NCV] **3** ἁλόc *om* NC ‖ **6** ἕλμινc ἕλμινθοc NC ‖ **7** ἡ εὐθεῖα *om* NC ‖ **11** τοῦ ἄλγοc *Lentzius,* τοῦ ἄλγουc NCV ‖ **12** τοῦ ἄλγουc — ὦ ἄλγοc (**13**) V, ἄλγουc ἄλγει ἄλγοc NC ‖ **24** ὀλτὸc N ‖ **25** τοῦ δ̄] τὸ δ̄ NCV ‖ **26** Ἄλτηc NC, Ἄλτοc V ‖ **27** τὸ ἄλλεcθαι V, ἄλεcθαι N, ἄλεcθαι C ‖ **31** ἔcτιν — τούτοιc (**258, 8**)] εἴρηται ἡμῖν ἐν τοῖc προλεγομένοιc V | *post* ἔcτιν *add* οὖν N ‖ **34** ψιλῶν ψιλόν C, δαcέων δαcύ N ‖ **36** τοῦ γὰρ] τὸ γὰρ NC ‖ **37** ἀπέφθιθον NC

ρηται ἐν χρήσει, ἵνα εἴπωμεν ὅτι ἰδοὺ λέξις δισύλλαβος ἀρχομένη ἀπὸ δύο δασέων, τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος συμφώνου. Τούτου χάριν ἡ θρίξ εὐθεῖα ἐν τῇ τριχός γενικῇ ἔτρεψε τὸ θ̄ εἰς τὸ τ̄, ἵνα μὴ εὑρεθῇ ἀπὸ δύο δασέων ἀρχομένη, τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος συμφώνου· ὅθεν ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν ἐπειδὴ ἀπέστη τὸ δασὺ τῆς δευτέρας συλλαβῆς, λέγω δὴ τὸ χ̄, τούτου χάριν προσῆλθε τὸ δασὺ τῆς πρώτης συλλαβῆς, λέγω δὴ τὸ θ̄, καὶ γέγονε θριξίν. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα ἐν τῷ ἅλς ἁλός τὸ πνεῦμα ἠνάγκασεν ἀποβληθῆναι τὸ τ̄ ἐν τῇ γενικῇ, διατί ἐπὶ τοῦ δάμαρς δάμαρτος καὶ μάκαρς μάκαρτος οὐδὲν τοιοῦτον ἐγένετο. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ δάμαρς δάμαρτος καὶ μάκαρς μάκαρτος ἀπὸ συμφώνου ἄρχονται, δηλονότι οὔτε δασύνονται οὔτε ψιλοῦνται· τὰ γὰρ σύμφωνα οὔτε δασεῖαν ἐπιδέχονται οὔτε ψιλήν, ὑπεσταλμένου τοῦ ρ̄, τοῦτο γὰρ πέφυκε καὶ δασύνεσθαι, οἷον ῥάπτω, καὶ ψιλοῦσθαι, οἷον μέρος· οὐκ ἔχουσιν οὖν τὸ μάκαρς καὶ δάμαρς πνεῦμα τὸ ἀναγκάζον αὐτὰ ἀποβολὴν ποιήσασθαι κατὰ τὴν γενικήν, ὡς ἐπὶ τοῦ ἅλς ἁλός. Πάλιν ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς δύο σύμφωνα λήγοντα, δηλονότι τοῦ σ̄ ληκτικοῦ ὄντος, οὐ μόνον διὰ τοῦ τ̄ κλίνονται, οἷον μάκαρς μάκαρτος, ἀλλὰ καὶ διὰ τοῦ θ̄, οἷον Τίρυνς Τίρυνθος, διατί εἶπεν ὁ τεχνικός «εἰ οὖν ἐστιν ἅλς, ὤφειλεν εἶναι ἁλτός ἡ γενική»· πόθεν γὰρ δῆλον ὅτι οὐκ εἶχε διὰ τοῦ θ̄ κλίνεσθαι; πρόσκειται «δηλονότι τοῦ σ̄ ληκτικοῦ ὄντος» διὰ τὰ εἰς ξ̄ λήγοντα, ταῦτα γὰρ οὔτε διὰ τοῦ τ̄ κλίνονται οὔτε διὰ τοῦ θ̄, οἷον σάρξ σαρκός, Σφίγξ Σφιγγός. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὰ εἰς σ̄ λήγοντα μεθ' ἑτέρου συμφώνου τότε διὰ τοῦ τ̄ κλίνονται, ἡνίκα ἔχουσι τὸ ᾱ, οἷον μάκαρς μάκαρτος, δάμαρς δάμαρτος· τὰ γὰρ διὰ τοῦ θ̄ κλινόμενα οὐκ ἔχουσι τὸ ᾱ, οἷον Τίρυνς Τίρυνθος, ἕλμινς ἕλμινθος· εἰ ἄρα οὖν τὸ ἅλς τὸ ᾱ ἔχει, δηλονότι διὰ τοῦ τ̄ ὤφειλε κλίνεσθαι· καλῶς οὖν εἶπεν ὁ τεχνικός «εἰ οὖν ἅλς, ἔδει εἶναι ἁλτός». Ἄλλως τε 268 g
δὲ τὸ τ̄ πέφυκεν ἐλλείπειν ἐν τῇ γενικῇ, οὐ μὴν τὸ θ̄, οἷον τάλαντος τάλανος, μέλαντος μέλανος, εἷς ἑντός καὶ ἑνός· εἰ ἄρα οὖν ἡ ἁλός γενικὴ ἔλλειψιν ἔπαθε συμφώνου, δηλονότι διὰ τοῦ τ̄ ὤφειλε κλίνεσθαι καὶ οὐ διὰ τοῦ θ̄· καλῶς οὖν εἶπεν ὁ τεχνικός «εἰ οὖν ἅλς, ἔδει εἶναι ἁλτός». Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ἅλς ὅτε μὲν θηλυκῶς λέγεται δηλοῖ τὴν θάλασσαν καὶ ἕως τῶν ἑνικῶν κλίνεται μόνον, οὐχ ὅτι μία ἔστι θάλασσα, πολλαὶ γὰρ εἰσίν, οἷον ἡ ἐρυθρά, ἡ νεκρὰ καὶ αἱ ἄλλαι, ἀλλ' ὅτι ἐν τῇ χρήσει οὐχ εὕρηται αὕτη οὔτε δυϊκῶς οὔτε πληθυντικῶς. Τινὲς δὲ ἐπιχειροῦσι λέγειν, ὅτι πληθυντικὰ αὐτῆς εὕρηνται παρὰ τῷ ποιητῇ, πλανώμενοι ἐκ τοῦ στίχου τοῦ λέγοντος ⟨λ 122⟩ οἳ οὐκ ἴσασι θάλασσαν Ἀνέ-

---

[Discr. scr. ex NCV] **4** δευτέρας] πρώτης NC ‖ **19** τοῦ τ̄] τοῦ ντ NCV ‖ **20** εἰ οὖν — γενική (**21**) NC, εἰ γοῦν ἅλς ἔδει ἁλτός V ‖ **21** ἁλτὸς NC | *post* γενική *add* εἰ οὖν ἔδει ἁλτὸς NC ‖ **28** τοῦ τ̄] τοῦ ντ N ‖ **29** εἶναι *om* V; *item v. 33* ‖ **34** ἁλτός N ‖ **37** οἷον *om* NC ‖ **39** εὕρηνται V, εἴρηται NC

ρεc, οὐδέ θ' ἅλεccι μεμιγμένον εἶδαρ ἔδουcιν· ἐπειδὴ γὰρ εἶπε θάλαccαν, νομίζουcιν ὅτι καὶ τὸ ἅλεccιν ἐπὶ τῆc θαλάccηc κεῖται· οὐκ ἔcτι δὲ εἰ μὴ ἐπὶ τῶν ἁλῶν, ὅπερ ἡ cυνήθεια λέγει ἅλαc οὐδετέρωc, καὶ δῆλον εἴγε τὸ εἶδαρ ἐπήγαγεν, ὅ ἐcτι τὸ βρῶμα, τουτέcτι τὸ βρῶμα τὸ μεμιγμένον μετὰ ἁλῶν· ὅτε δὲ τὸ ἁλμυρὸν τοῦτο δηλοῖ, ὃ εἰρήκαμεν οὐδετέρωc λέγεcθαι ἐν τῇ cυνηθείᾳ, ἀρcενικῶc λέγεται καὶ διόλου κλίνεται, τουτέcτι καὶ εἰc τὰ ἑνικὰ καὶ εἰc τὰ δυϊκὰ καὶ εἰc τὰ πληθυντικά. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι τὸ ἅλαc τὸ οὐδετέρωc λεγόμενον ἐν τῇ cυνηθείᾳ cπανίωc εὕρηται ἐν χρήcει· εὕρηται δὲ παρὰ Λύκωνι τῷ Τρωαδεῖ, οἷον τὸ ἅλαc εὐῶδεc ἢ δυcῶδεc ὀρύccεται, καὶ πάλιν ἅλατοc μέδιμνον. Καὶ λέγουcί τινεc, ὅτι ἀπὸ τούτου τοῦ οὐδετέρου γέγονε τὸ ἅλc τὸ ἀρcενικὸν κατὰ cυγκοπὴν τοῦ ᾱ, ὥcπερ καὶ ἀπὸ τοῦ κάρηνον οὐδετέρου γέγονε κατὰ ἀποκοπὴν τῆc νον cυλλαβῆc τὸ κάρη θηλυκόν. Οὗτοι δὲ οὐ καλῶc λέγουcιν· ἄτοπον γὰρ τὸ πλατέωc εὑριcκόμενον ἐν χρήcει λέγειν γεγενῆcθαι ἐκ τοῦ cπανίωc εὑριcκομένου ἐν χρήcει. Φαcὶ δέ τινεc, ὅτι οὐχ εὕρηται τὸ ἅλc τὸ ἀρcενικὸν αὐτὸ καθ' ἑαυτό, ἀλλὰ 269 g πάντωc μετὰ τοῦ χονδρόc, οἷον χονδρὸc ἅλc, χονδροῦ ἁλόc, χονδροὶ ἅλεc. Ψευδὲc δὲ τοῦτο, ὡc μαρτυρεῖ ὁ Ἀριcτοφάνηc εἰπὼν ⟨Nub. 1237⟩ ἁλcὶν διαcμηχθεὶc ὄναιτ' ἂν οὑτοcί· ἰδοὺ γὰρ οὐκ εἶπε χονδροῖc· καὶ πάλιν ὁ Μένανδροc ⟨fragm. 750 K⟩ οὐκ ἔχω οὔθ' ἅλαc οὔτ' ὄξοc οὔτ' ὀρίγανον, καὶ οὐκ εἶπε χονδροὺc ἅλαc. Περὶ δὲ τῆc cυντάξεωc τοῦ χονδρὸc ἅλc, εἴτε ὁμοιοπτώτωc δεῖ cυντάττειν εἴτε ἀνομοιοπτώτωc, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθηcόμεθα.

Τῷ ἁλί, τὸν ἅλα· εἴρηται. Ὦ ἅλc. Ἰcτέον ὅτι τὰ εἰc δύο cύμφωνα λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Τίρυνc ὦ Τίρυνc, ἡ ἕλμινc ὦ ἕλμινc, ὁ μάκαρc ὦ μάκαρc, ἡ δάμαρc ὦ δάμαρc· οὕτωc οὖν καὶ τὸ ὁ ἅλc ὦ ἅλc.

Τὼ ἅλε, τοῖν ἁλοῖν, ὦ ἅλε. Οἱ ἅλεc, τῶν ἁλῶν, τοῖc ἁλcίν. Εἴρηται ὅτι πᾶcα εὐθεῖα ἑνικῶν εἰc c̄ λήγουcα μετὰ μακρᾶc περιττοcυλλάβωc κλινομένη καὶ μὴ cυναιρουμένη κατὰ τὴν γενικὴν προcθέcει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον Αἴαc Αἴαντοc Αἴαcι, Τρώc Τρωόc Τρωcί, λέβηc λέβητοc λέβηcιν· οὕτωc οὖν καὶ ἅλc ἁλόc ἁλcί. Τοὺc ἅλαc, ὦ ἅλεc· εἴρηται.

[Discr. scr. ex NCV] **1** οὐδὲ θ' ἅλεccι V, οὐδ' ἅλεcι NC ‖ **2** καὶ *om* N | ἅλεcιν NC | τῆc *om* NC ‖ **10** Λύκωνι τῷ Τρωαδεῖ *g*, λυκάωνι τῷ τρωάδη NC, λυκάωνι τῷ τρωάδι V ‖ **11** ἅλατοc NC, ἁλάτων V ‖ **13** cυγκοπὴν NC, ἔκθλιψιν V ‖ **18** χονδρόc *Lentzius*, χόνδροc NCV, *et sic ubique* παροξυτόνωc; *cfr. tamen Arcad. p. 84, 14 Sch.* | οἷον *om* NC | χονδροὶ ἅλεc *om* V ‖ **19** Ψευδὲc NV, τινὲc C ‖ **20** ἁλcὶ διαμιχθεὶc ὄνοιτο ἂν οὑτοcί NC, ἁλcὶ διαμιχθεὶc ὤνατ' ἀνότου V ‖ **21** οὐθ' ἅλαc V, οὔτε ἅλc NC ‖ **22** ὀρίγανον V, ἀρύχανον N, ὀρύχανον C | χόνδροc ἅλc N ‖ **23** τῆc cυντάξεωc *om* NC ‖ **28** ὁ ἕλμινc N | ὁ δάμαρc N

Κανὼν ιθʹ.

Ὁ Ἀλκμάν ⟨τοῦ Ἀλκμᾶνος⟩.

Ἄρχεται ὁ τεχνικὸς τεχνολογεῖν τὰ εἰς ν̄ λήγοντα· καὶ ἰστέον ὅτι τὰ εἰς ν̄ ξ̄ ρ̄ ψ̄ λήγοντα ὀνόματα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ περιττοσύλλαβον ἔχουσι τὴν γενικήν, τουτέστιν εἰς ο̄ς̄, οἷον Μέμνων Μέμνονος, τρήρων τρήρωνος, Φοῖνιξ Φοίνικος, μάστιξ μάστιγος, Ἕκτωρ Ἕκτορος, Δημήτηρ Δημήτερος, Πέλοψ Πέλοπος, λαῖλαψ λαίλαπος, καὶ εἰς ῑ ἐκφωνούμενον τὴν δοτικήν, οἷον Μέμνονι τρήρωνι Φοίνικι μάστιγι Ἕκτορι Δημήτερι Πέλοπι λαίλαπι, καὶ εἰς ᾱ τὴν αἰτιατικήν, οἷον Μέμνονα τρήρωνα Φοίνικα μάστιγα Ἕκτορα Δημήτερα Πέλοπα λαίλαπα, χωρὶς εἰ μὴ πάθῃ ἀποκοπήν, δηλονότι ἡ αἰτιατική· τοῦτο δὲ εἴρηται διὰ τὸ Ποσειδῶνα Ποσειδῶ καὶ Ἀπόλλωνα Ἀπόλλω καὶ κυκεῶνα κυκεῶ· τὴν δὲ 270 g κλητικὴν εἰς τὸ αὐτὸ σύμφωνον ἔχουσι λήγουσαν εἰς ὃ ἂν καὶ ἡ εὐθεῖα, οἷον Μέμνων ὦ Μέμνον, τρήρων ὦ τρήρων, Φοῖνιξ ὦ Φοῖνιξ, μάστιξ ὦ μάστιξ, Ἕκτωρ ὦ Ἕκτορ, Δημήτηρ ὦ Δήμητερ, Πέλοψ ὦ Πέλοψ, λαῖλαψ ὦ λαῖλαψ, χωρὶς τοῦ ὦ γύναι, ἀπὸ τῆς γύναιξ γὰρ εὐθείας ἐστὶ καὶ ἀπέβαλε τὸ ξ̄, καὶ τοῦ Ζεῦ ἄνα, ἀπὸ τῆς ἄναξ γὰρ εὐθείας ἐστί· τοῦτο δὲ ποιητικῶς ἀπέβαλε τὸ ξ̄ διὰ τὸ μέτρον, ἐπειδὴ εὑρίσκεται καὶ μετὰ τοῦ ξ̄, ὡς ἐν τῷ ⟨Β 434⟩ Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι κατὰ τὴν εὐθεῖαν τὰ εἰς ν̄ λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν̄ οὔτε δίφθογγον οὔτε βραχὺ φωνῆεν, ἀλλ' ἢ ἓν ἐκ τῶν τριῶν διχρόνων, ὅπερ δὴ καὶ ἐκτείνεται, ἢ ἓν ἐκ τῶν μακρῶν φωνηέντων, ὡς εἶναι πέντε φωνήεντα τὰ εὑρισκόμενα πρὸ τοῦ ν̄ κατὰ τὴν εὐθεῖαν, ᾱ ῑ ῡ η̄ ω̄, οἷον Ἀλκμάν παιάν δελφίν Σαλαμίν μόσυν Φόρκυν σωλήν ποιμήν Πλάτων τρήρων· περὶ γὰρ τοῦ Λεόντιον καὶ Ἁβρότονον ἐν τοῖς θηλυκοῖς εἰ θεῷ φίλον μαθησόμεθα.

Πρόσκειται «εἴτε ἀρσενικὰ εἴτε θηλυκά» διὰ τὰ οὐδέτερα, ἐπειδὴ τὰ οὐδέτερα εὑρίσκονται ἔχοντα πρὸ τοῦ ν̄ βραχὺ φωνῆεν καὶ δίφθογγον, οἷον τὸ ξύλον, τὸ δένδρον, τὸ ἁπλοῦν, τὸ διπλοῦν. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὰ εἰς ν̄ λήγοντα ἀρσενικὰ ἢ θηλυκὰ ἢ ὀξύνονται ἢ βαρύνονται, οἷον δελφίν Σαλαμίν ποιμήν Τροιζήν ἄρσην Ἕλλην· οὐδέποτε δὲ περισπῶνται, χωρὶς εἰ μὴ ὦσιν εἰς ω̄ν̄, ἐν γὰρ τῇ εἰς ω̄ν̄ καταλήξει ἔστιν ὅτε ἐπιδέχονται καὶ τὴν περισπωμένην τάσιν, οἷον Ξενοφῶν Ποσειδῶν, περὶ ὧν ἔχομεν ἐν τοῖς ἑξῆς μαθεῖν· πρόσκειται «ἀρσενικὰ ἢ

[Discr. scr. ex NCV] **2** Ὁ Ἀλκ. τοῦ Ἀλκ. *om* V | τοῦ Ἀλκ. *om* NC ‖ **4** περιττοσύλλαβον V, περιττοσυλλάβως N, περιττοσύλλαβα C ‖ **5** Μέμνωνος NC ‖ **7** Δημήτερος *sed supra* ε *posito* ο NC ‖ **9** Δημήτορι NC ‖ **10** Δημήτορα NC ‖ **11** Ποσειδόνα N ‖ **12** Ποσειδῶν NC ‖ **15** ὦ Δημήτερ NC ‖ **23** ἀλλ' ἢ — τοῦ ν̄ (**25**) NC, πέντε δὲ φωνήεντα πρὸ τοῦ ν̄ εὑρίσκομεν V | δή] δὲ NC ‖ **27** Λεόντιον] Κλεόντιον NC, λεοντοῦ (*sic*) V

θηλυκά» διὰ τὰ οὐδέτερα, διὰ τὸ χαλκοῦν χρυσοῦν ὀστοῦν περισπώμενα. Ταῦτα μὲν ἐν τούτοις.

Διδάσκει δὲ ἡμᾶς ὁ τεχνικὸς περὶ τῶν εἰς α̅ν̅ ληγόντων· καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί περὶ τῶν εἰς α̅ν̅ ληγόντων πρῶτον διαλαμβάνει· καὶ ἔστιν εἰπεῖν, ἐπειδὴ τὸ ᾱ προτερεύει τῶν ἄλλων στοιχείων. Ἰστέον δὲ
271 g ὅτι τὰ εἰς α̅ν̅ λήγοντα εἰ μὲν ὦσιν ἁπλᾶ ὀξύνονται, οἷον Ἀλκμάν παιάν Τιτάν, εἰ δὲ ὦσι σύνθετα βαρύνονται, τουτέστι παροξύνονται, οἷον Ἑρμόπαν Αἰγίπαν Τιτανόπαν· μόνον δὲ τὸ καρβάν (σημαίνει δὲ τὸν βάρβαρον) οὔτε ἁπλοῦν ἐστιν οὔτε σύνθετον ἀλλὰ παρασύνθετον καὶ ὀξύνεται· ἔστι γὰρ ἀπὸ τοῦ Κάρ Καρός Καρί καὶ τοῦ βοή κάριβος σύνθετον, καὶ παρασύνθετον καριβοάν, καὶ ἐν συγκοπῇ καρβάν, οἱονεὶ ὁ ἔχων βοὴν Καρὸς τουτέστι βάρβαρον· οἱ γὰρ Κᾶρες βάρβαρον φωνὴν εἶχον, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων ⟨Β 867⟩ Νάστης ⟨αὖ⟩ Καρῶν ἡγήσατο βαρβαροφώνων. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ γινώσκειν, ὅτι τὰ εἰς α̅ν̅ λήγοντα καὶ μακρὸν ἔχουσι τὸ ᾱ καὶ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ᾱ πανταχοῦ μακρόν, οἷον Ἀλκμάν Ἀλκμᾶνος, Τιτάν Τιτᾶνος, παιάν παιᾶνος, Πάν Πανός, ὅτε ἀρσενικόν ἐστιν· πρόσκειται «ὅτε ἀρσενικόν ἐστιν», ἐπειδή ἐστιν οὐδέτερον τὸ πᾶν ἀπὸ τοῦ πᾶς ἀρσενικοῦ γεγενημένον, ὅπερ καὶ περισπᾶται καὶ διὰ τοῦ ν̅τ̅ κλίνεται πρὸς ὁμοιότητα τοῦ ἀρσενικοῦ· ὁ πᾶς γὰρ τοῦ παντός καὶ τὸ πᾶν τοῦ παντός. Δεῖ δὲ γινώσκειν ὅτι ταῦτα, φημὶ δὴ τὸ Ἀλκμάν καὶ παιάν καὶ Τιτάν, προπερισπῶνται κατὰ τὴν γενικήν, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας, οἷον Ἀλκμᾶνος παιᾶνος Τιτᾶνος· τὸ γὰρ Πάν Πανός ὀξύνεται κατὰ τὴν γενικὴν ὡς δισύλλαβον, ὥσπερ τὸ μηνός Ζηνός χηνός. Περὶ δὲ τοῦ Δυμάν, ἀπὸ ποίας εὐθείας ἐστίν, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα.

Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς α̅ν̅ λήγοντα οὐδέποτε τρία σύμφωνα ἔχουσι πρὸ τοῦ ᾱ, ἀλλ' ἢ καθαριεύουσιν, ὡς τὸ παιάν, ἢ ἔχουσιν ἓν σύμφωνον πρὸ τοῦ ᾱ, ὡς τὸ Τιτάν, ἢ δύο, καὶ ταῦτα ἢ κατὰ σύλληψιν ἢ κατὰ διάστασιν, κατὰ σύλληψιν μέν, ὡς ἐν τῷ ἰδμάν (σημαίνει δὲ τὸν ἔμπειρον) μεγιστάν, κατὰ διάστασιν δέ, ὡς ἐν τῷ Πορθάν Ἑλλάν, οὐδέποτε δὲ τρία σύμφωνα ἔχουσιν, ὡς
272 g εἴρηται, πῶς οὖν τὸ Ἀλκμάν τρία σύμφωνα ἔσχεν. Φησὶν οὖν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου περὶ τούτου ἀπολογούμενος, ὅτι ἢ παρὰ τὸ ἀκμή γέγονεν ἀκμάν καὶ πλεονασμῷ τοῦ ᾱ Ἀλκμάν, οἱονεὶ ὁ ἀκμάζων, ἢ παρὰ τὸ ἀλκή (ὃ σημαίνει τὴν δύναμιν) γέγονεν ἀλκάν καὶ πλεο-

[Discr. scr. ex NCV] **8** *ante* Ἑρμόπαν *add* εὐόπαν (*l.* Εὐάπαν *aut* Εὐπαίαν?) V ‖ **10** κάριβος *EM 490, 47 adn.*, κάρηβος V, καριβοῦς NC ‖ **11** καριβοάν N *et EM*, καριβοᾶν C, καρηβοᾶν V ‖ **12** βοὴν V, φωνὴν NC ‖ **13** αὖ *om* NCV ‖ **15** εἰς α̅ν̅ V, εἰς ᾱ΄ NC ‖ **22** καὶ τὸ παιάν NC ‖ **26** Δυμάν, ἀπὸ] δύμαν ἀπὸ NC, δ.ν..να (*sic*) V ‖ **35** ἢ ὅτι *traicit* N | παρὰ τὸ ἀκμή] παρὰ (τὸ *add* C) τὴν ἀκμὴν NC, ἀπὸ τοῦ ἀκμὴ V

ναcμῷ τοῦ μ̄ Ἀλκμάν, οἱονεὶ ὁ ἰcχυρόc, ἢ παρὰ τὸ ἄλκιμοc ἀλκιμάν καὶ ἐν cυγκοπῇ Ἀλκμάν.

Τῷ Ἀλκμᾶνι, τὸν Ἀλκμᾶνα, ὦ Ἀλκμάν. Ἰcτέον ὅτι καθόλου τὰ εἰc ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχουcιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Ἀλκμάν ὦ Ἀλκμάν, ὁ παιάν ὦ παιάν, ὁ αὐχήν ὦ αὐχήν, ὁ cωλήν ὦ cωλήν, ὁ ποιμήν ὦ ποιμήν, ὁ δελφίν ὦ δελφίν, ἡ ἀκτίν ὦ ἀκτίν, ἡ Cαλαμίν ὦ Cαλαμίν, ἡ Ἐλευcίν ὦ Ἐλευcίν, ὁ ἀcτήρ ὦ ἀcτήρ, ὁ ξυcτήρ ὦ ξυcτήρ, ὁ ἐλατήρ ὦ ἐλατήρ, ὁ Cαρπηδών ὦ Cαρπηδών, ὁ ἀλεκτρυών ὦ ἀλεκτρυών, ὁ Μυρμιδών ὦ Μυρμιδών, ἡ Cιδών ὦ Cιδών· χωρὶc τεccάρων τινῶν, φημὶ δὴ τοῦ ἄνερ πάτερ cῶτερ δᾶερ, ταῦτα γὰρ οὐκ ἔχουcι τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν· αἱ γὰρ εὐθεῖαι τούτων εἰc ηρ̄ εἰcίν, οἷον ἀνήρ πατήρ cωτήρ δαήρ (δαήρ δέ ἐcτιν ὁ ἀνδράδελφοc). Ταῦτα δὲ ἀπολογίαν ἔχουcι τοιαύτην· τὸ μὲν γὰρ ἄνερ πάτερ δᾶερ ἠκολούθηcαν τοῖc cυγγενικοῖc αὐτῶν, φημὶ δὴ τῷ μῆτερ καὶ θύγατερ· ὥcπερ γὰρ τὸ μήτηρ καὶ θυγάτηρ, ὀφείλοντα ἐν τῇ γενικῇ προπαροξυνθῆναι διὰ τὸ φυλάξαι τὸν τόνον τῆc εὐθείαc ἐν τῇ αὐτῇ cυλλαβῇ, οἷον μήτηρ μήτεροc καὶ θυγάτηρ θυγάτεροc, ὥcπερ Δημήτηρ Δημήτεροc καὶ εἰνάτηρ εἰνάτεροc (cημαίνει δὲ τὴν cύννυμφον), οὐ προπαρωξύνθηcαν ἀλλὰ παρωξύνθηcαν, οἷον μητέροc θυγατέροc — ἠκολούθηcαν γὰρ τοῖc cυγγενικοῖc αὐτῶν, φημὶ δὴ τῷ ἀνέροc πατέροc δαέροc —, τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρcενικὰ τοῖc θηλυκοῖc ἠκολούθηcαν κατὰ τὴν κλητικήν· καὶ ὥcπερ μῆτερ καὶ θύγατερ βαρυτόνωc διὰ τοῦ ε̄, οὕτω καὶ ἄνερ πάτερ δᾶερ διὰ τοῦ ε̄ βαρυτόνωc. Τὸ δὲ cῶτερ ψευδαιολικόν ἐcτι, καὶ τούτου χάριν cυνέcτειλε τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἐβαρύνθη· οἱ γὰρ Αἰολεῖc ἔθοc ἔχουcι πολλάκιc cυcτέλλειν τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ αἰολικῶc (ἔcτι δὲ εἶδοc ἀκάνθηc). Πρόcκειται δὲ 273 g «ψευδαιολικόν», ἐπειδὴ οὐκ ἔcτι κυρίωc Αἰολικόν· οἱ γὰρ Αἰολεῖc τότε cυcτέλλουcι τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ· ἡνίκα γὰρ μακρᾷ παραλήγεται, οὐ cυcτέλλουcι τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ, οἷον ὡc ἐπὶ τοῦ χρηcτήρ· τοῦτο γὰρ μακρᾷ παραληγόμενον οὐ cυcτέλλει τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ παρὰ τοῖc Αἰολεῦcι (χρηcτήρ δέ ἐcτιν ὁ παρέχων χρηcμούc)· τὸ οὖν cωτήρ μακρὰν ἔχον τὴν παραλήγουcαν οὐ δύναται cυcταλῆναι παρὰ τοῖc Αἰολεῦcιν· διὰ τοῦτο οὖν εἰρήκαμεν, ὅτι ψευδαιολικόν ἐcτιν καὶ οὐ κυρίωc Αἰολικόν. Ἰcτέον δὲ ὅτι τὸ ἄνερ πάτερ cῶτερ δᾶερ cυcτείλαντα τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ κλητικῇ εὐλόγωc ἐβαρύνθηcαν· τὰ γὰρ εἰc ρ̄ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν cυλλαβὴν ἀποcτρέφονται τὴν ὀξεῖαν τάcιν χωρὶc τῆc ὑπέρ προθέcεωc καὶ τοῦ ἀτάρ καὶ αὐτάρ cυν-

[Discr. scr. ex NCV] **2** ἐν cυγκοπῇ NC, ἐκθλίψει τοῦ ῑ V ‖ **4** ἀμετάβολα NC ‖ **8** ὁ *ante* ἀλεκτρ. *om* N ‖ **9** ὁ Μυρμηδών ὦ Μυρμηδών NC ‖ **10** δάερ NCV, *et sic paene ubicunque in eis quae sequuntur hoc exstat vocabulum* ‖ **14** τῷ] τὸ N ‖ **18** cύνυμφον NC ‖ **19** γὰρ *om* NC ‖ **29** η̄ εἰc τὸ *om* NC ‖ **34** cωτήρ V, cῶτερ NC ‖ **36** cυcτείλαντα CV, cυcτέλλοντα N ‖ **39** cυνδ. καὶ

δέcμου, οἷον μάκαρ ἄφαρ ἦτορ ἄορ ἧπαρ ἔαρ φρέαρ δέλεαρ cτέαρ ὄνειαρ· οὕτωc οὖν καὶ τὸ ἄνερ πάτερ cῶτερ δᾶερ ἐβαρυτονήθηcαν. Πρόcκειται «βραχυκατάληκτα» διὰ τὸ πατήρ καὶ ἀνήρ ὀξυνόμενα· πρόcκειται «ὑπὲρ μίαν cυλλαβήν» διὰ τὸν γάρ cύνδεcμον ὀξυνόμενον, οὗτοc γὰρ βραχυκατάληκτόc ἐcτι καὶ ὀξύνεται, ἀλλʼ οὐκ ἔcτιν ὑπὲρ μίαν cυλλαβήν.

Τὼ Ἀλκμᾶνε, τοῖν Ἀλκμάνοιν, ὦ Ἀλκμᾶνε· εἴρηται.

Οἱ Ἀλκμᾶνεc, τῶν Ἀλκμάνων, τοῖc Ἀλκμᾶcι. Κανονίζεται ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν· ἔχομεν γὰρ ἐν τοῖc προλαβοῦcιν, ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc ν̅ι̅ λήγουcα μὴ οὖcα κατὰ μεταπλαcμὸν τροπῇ τοῦ ν̅ εἰc c̅ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον φρενί φρεcίν, αὐχένι αὐχέcι, ποιμένι ποιμέcι, Πλάτωνι Πλάτωcι, τέκτονι τέκτοcι, γείτονι γείτοcιν· οὕτωc οὖν καὶ Ἀλκμᾶνι Ἀλκμᾶcι. Πρόcκειται «μὴ οὖcα κατὰ μεταπλαcμόν», ἐπειδή ἐcτι τῇ ὑcμίνῃ καὶ τῇ Δωδώνῃ διὰ τοῦ η̅ καὶ ι̅, καὶ γίνεται κατὰ μεταπλαcμὸν τῇ ὑcμῖνι καὶ τῇ Δωδῶνι διὰ τοῦ ι̅ μόνου, οἷον ὡc παρὰ τῷ ποιητῇ ⟨Θ 56⟩ μέμαcαν δὲ καὶ ὣc ὑcμῖνι μάχεcθαι, καὶ παρὰ Καλλιμάχῳ
274 g ⟨fragm. 306 Sch.⟩ μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον, καὶ ἰδοὺ εἰc ν̅ι̅ λήγουcι καὶ οὐ τρέπουcι τὸ ν̅ εἰc τὸ c̅ καὶ ποιοῦcι τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν ταῖc ὑcμῖcι καὶ ταῖc Δωδῶcιν, ἀλλὰ ταῖc ὑcμίναιc καὶ ταῖc Δωδώναιc· ἀλλʼ οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ μεταπλαcμὸν πέπονθεν ἡ δοτικὴ τῶν ἑνικῶν καὶ τούτου χάριν εἰc ν̅ι̅ λήγει διὰ τοῦ ι̅. Ταῦτα μὲν ἐδόθηcαν ἐν τούτοιc.

Τοὺc Ἀλκμᾶναc, ὦ Ἀλκμᾶνεc· εἴρηται.

Κανὼν κʹ.

Ὁ cωλήν τοῦ cωλῆνοc, ὁ ποιμήν τοῦ ποιμένοc.

Περὶ τῶν εἰc η̅ν̅ ὀξυτόνων διαλαμβάνει ὁ τεχνικόc· καὶ ἰcτέον ὅτι τὰ εἰc η̅ν̅ λήγοντα μονοcύλλαβα μὴ ὄντα μόνωc θηλυκά, ἀλλʼ ἢ μόνωc ἀρcενικὰ ἢ καὶ ἀρcενικὰ καὶ θηλυκά, προcθέcει τοῦ ο̅c̅ ποιοῦcι τὴν γενικὴν καὶ τὸ η̅ φυλάττουcι δηλονότι ἐν τῇ γενικῇ, οἷον cπλήν cπληνόc, cφήν cφηνόc, μήν μηνόc, Ζήν Ζηνόc, ῥήν ῥηνόc (cημαίνει δὲ τὸ πρόβατον, οἷον ὡc παρὰ Νικάνδρῳ ⟨Ther. 453⟩ αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν), χήν χηνόc· τοῦτο δὲ καὶ ἀρcενικῶc καὶ θηλυκῶc λέγεται, ὁ χήν γὰρ καὶ ἡ χήν· ὅτι δὲ καὶ θηλυκῶc λέγεται, ἐδήλωcεν ὁ ποιητὴc εἰπὼν ⟨ο 161⟩ αἰετὸc ἀργὴν χῆνα φέρων

[Discr. scr. ex NCV] αὐτάρ *traic.* NC ‖ **1** ἄορ *om* NC ‖ **2** τὸ *om* NC | ἐβαρυτονήθηcαν] βαρυτονήθηcαν N, βαρυτόνωc C, βαρύνεται V ‖ **9** ἐν τοῖc προλαβ.] *cfr. p. 139, 15* ‖ **12** τέκτωνι τέκτωcι N ‖ **14** ὑcμίνῃ V, ἰcμήνῃ NC ‖ **15** ὑcμῖνι V, ἰcμῆνι NC; *item v. 16* ‖ **16** μέμαcαν] μέμονε NC, μέμηνε V ‖ **17** μή με τὸν NC, μήτε τὴν V; *cfr. p. 130, 13 et 139, 26* ‖ **18** εἰc ν̅ι̅ V, εἰc ν̅ NC ‖ **19** ὑcμῖcι V, ἰcμῆcι NC ‖ **20** ὑcμίναιc V, ἰcμήναιc NC ‖ **21** καὶ *om* NC ‖ **22** εἰc ν̅ι̅ C, εἰc ν̅ NV ‖ **25** τοῦ cωλῆνοc — ποιμένοc *om* NC ‖ **31** αὐτὰρ ὅτου NC, ἤτοι ὅτου V ‖ **32** λαγωόν NC, λαγῶνα V

ὀνύχεσσι πέλωρον [ἀργὴν χῆνα εἶπε θηλυκῶς]· τὸ δὲ φρὴν ἐπειδὴ μόνον ἐν τοῖς εἰς ην μονοσυλλάβοις μόνου θηλυκοῦ γένους ἐστίν, τούτου χάριν ἔτρεψε τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ καὶ ἐγένετο φρενός· διαλλάξαν γὰρ κατὰ τὸ γένος πρὸς τὰ ἄλλα διήλλαξε καὶ κατὰ τὴν κλίσιν· διὸ καὶ πρόσκειται ἀνωτέρω «μὴ ὄντα μόνως θηλυκά». Ταῦτα μὲν περὶ τῶν εἰς ην̄ μονοσυλλάβων.

Τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν εἰς ην ὀξύτονα ἐὰν μὲν ἔχωσι τὸ μ̄, τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον ποιμήν ποιμένος, λιμήν λιμένος, ὑμήν ὑμένος, πυθμήν πυθμένος. Καὶ τὸ αὐχήν αὐχένος· λέγει ὅτι αὐχμήν ἦν τὸ ἐντελέστερον (ὁ γὰρ τράχηλος αὐχμηρὸς καὶ κατάξηρός ἐστι), καὶ διὰ τοῦτο τρέπει τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ ὡς 275 g ἔχον δυνάμει τὸ μ̄· περὶ γὰρ τοῦ εἰπεῖν τὸν ποιητὴν ⟨Γ 371⟩ ἁπαλὴν ὑπὸ δειρήν λέγομεν, ὅτι κατὰ ἀντίφρασιν εἶπε, τουτέστι μὴ οὖσαν ἁπαλήν· τὸ μήν μηνός ἔχον τὸ μ̄ καὶ φυλάττον τὸ η̄ ἐν τῇ γενικῇ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ μονοσύλλαβόν ἐστι, περὶ τῶν ὑπὲρ μίαν συλλαβὴν δέ ἐστιν ὁ λόγος. Τὰ δὲ μὴ ἔχοντα τὸ μ̄ φυλάττουσιν τὸ η̄ ἐν τῇ γενικῇ, οἷον σωλήν σωλῆνος, τριβήν τριβῆνος (τριβήν δέ ἐστιν ὁ τρίπους, οἱονεὶ ὁ τρεῖς βάσεις ἔχων), λειχήν λειχῆνος, δοθιήν δοθιῆνος. Ἀντίκειται μὲν τῷ κανόνι τῷ πρώτῳ τὸ Δαμήν ἔχον τὸ μ̄ καὶ φυλάττον τὸ η̄ ἐν τῇ γενικῇ, οἷον Δαμῆνος (ἔστι δὲ ὄνομα κύριον), περὶ οὗ ἀπολογούμεθα οὕτως· τὰ εἰς ην̄ ἔχοντα τὸ μ̄ οὐκ εἰσὶ κύρια, οἷον ποιμήν ὑμήν λιμήν πυθμήν, τὸ δὲ Δαμήν κύριόν ἐστιν· ἐπειδὴ οὖν μόνον ἐστὶ κύριον ἐν τοῖς ἔχουσι τὸ μ̄, εἰκότως ὡς παραλλάξαν κατὰ τὸ εἶδος παρήλλαξε καὶ κατὰ τὴν κλίσιν. Τῷ δὲ δευτέρῳ κανόνι ἀντίκειται τὸ ἀζήν ἀζένος (ἀζήν δὲ λέγεται κατὰ Φρύγας ὁ πώγων, ὅθεν τινὲς καὶ τὸ αἰζηός ἐτυμολογοῦσιν), ἔτι δὲ καὶ τὸ ἀδήν ἀδένος (ἀδένες δὲ λέγονται οἱ βουβῶνες)· ταῦτα γὰρ μὴ ἔχοντα τὸ μ̄ ἔτρεψαν τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ. Καὶ ἀπολογίαν ἔχουσιν ἁρμόζουσαν καὶ τῷ αὐχήν αὐχένος, ἔχει δὲ οὕτως· τὰ εἰς ην̄ ὀξύτονα ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ ᾱ καὶ σημαίνοντα μέρος σωματικὸν ἢ πάθος τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον αὐχήν αὐχένος, ἔχει γὰρ τὸ ᾱ ἐν τῇ παραληγούσῃ καὶ σημαίνει μέρος σωματικόν, ἀζήν ἀζένος, ἔχει γὰρ καὶ αὐτὸ τὸ ᾱ ἐν τῇ παραληγούσῃ καὶ σημαίνει μέρος σωματικόν, τὸν γὰρ πώγωνα, ὡς εἴρηται, κατὰ Φρύγας δηλοῖ, ἀδήν ἀδένος, ἔχει γὰρ καὶ αὐτὸ τὸ ᾱ ἐν τῇ παραληγούσῃ καὶ σημαίνει πάθος, τὸν γὰρ βουβῶνα, ὡς εἴρηται, δηλοῖ· τὸ λειχήν λειχῆνος καὶ δοθιήν δοθιῆνος πάθος σημαίνουσι καὶ ὅμως οὐ τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, ἀλλ' οὐκ ἔχουσιν ἐν τῇ παραληγούσῃ τὸ ᾱ. Ταῦτα μὲν ἐν τούτοις. Περὶ δὲ τοῦ ⟨μ 313⟩ ὦρσε δ'

[Discr. scr. ex N C V] **1** ὀνύχεσι N C | ἀργὴν — θηλυκ. N C, *om* V ‖ **10** λέγει N C, λέγουσιν V ‖ **12** περὶ τοῦ εἰπεῖν γὰρ τὸν N C ‖ **17** δέ *om* N ‖ **18** δοθιὴν δοθιῆνος V, δοθὴν δοθῆνος N C; *item v. 36* ‖ **21** οἷον ποιμήν — ὡς (**23**) N C, ὁ καὶ V ‖ **25** δὲ V, γὰρ N C | καὶ τὸ αἰζηός V, ἀπὸ τοῦ ἐζῆνος N C ‖ **27** βουβόνες N ‖ **28** καὶ τῷ V, καὶ τὸ N C ‖ **32** τὸ ᾱ *om* N ‖ **35** βουβόνα N, βουβῶνα *et in marg.* γρ. βουβόνα C[1] ‖ **38** ὦρσε] ὄρσε N C, ὦσε V

276 g ἔπι ζαῆν' ἄνεμον (σημαίνει δὲ τὸν σφοδρόν), πόθεν γέγονεν, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα.

Τῷ σωλῆνι, τῷ ποιμένι· τὸν σωλῆνα, τὸν ποιμένα· ὦ σωλήν, ὦ ποιμήν. Εἴρηται ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ.

Τὼ σωλῆνε, τὼ ποιμένε· τοῖν σωλήνοιν, τοῖν ποιμένοιν· ὦ σωλῆνε, ὦ ποιμένε.

Οἱ σωλῆνες, οἱ ποιμένες· τῶν σωλήνων, τῶν ποιμένων· τοῖς σωλῆσι, τοῖς ποιμέσιν. Ἰστέον ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐνταῦθα τροπῇ τοῦ ν̄ εἰς σ̄, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ τοῖς Ἀλκμᾶσι διδασκαλίᾳ.

Τοὺς σωλῆνας, τοὺς ποιμένας· ὦ σωλῆνες, ὦ ποιμένες.

Κανὼν κα΄.

Ὁ Ἕλλην τοῦ Ἕλληνος, ὁ τέρην τοῦ τέρενος.

Κανονίζει ὁ τεχνικὸς τὰ εἰς ην̄ βαρύτονα λέγων, ὅτι τὰ εἰς ην̄ λήγοντα βαρύτονα εἰ μέν εἰσι μονογενῆ (τουτέστι μὴ ἔχοντα οὐδετέρου παρασχηματισμόν· τοῦτο γὰρ βούλεται ἡ λέξις σημαίνειν) φυλάττουσι τὸ η̄ καὶ ἐν τῇ γενικῇ, οἷον Ἕλλην Ἕλληνος (τοῦτο γὰρ οὐκ ἔχει οὐδέτερον· οὐκ ἀγνοοῦμεν δέ, ὅτι καὶ θηλυκῶς λέγεται ἡ Ἕλλην), Γέρην Γέρηνος (ἔστι δὲ ὄνομα κύριον), Σέβην Σέβηνος (ἔστι δὲ ὄνομα ἥρωος)· εἰ δὲ ἔχουσιν οὐδετέρου παρασχηματισμὸν τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον ἄρσην ἄρσενος, ἔχει γὰρ οὐδέτερον τὸ ἄρσεν, τέρην τέρενος, ἔχει γὰρ οὐδέτερον τὸ τέρεν· τέρεν δέ ἐστι τὸ ἁπαλόν. Τῷ πρώτῳ κανόνι τὸ εἴρην ἀντίκειται· εἴρην δὲ λέγεται ὁ δυνάμενος ὑπὲρ ἑαυτοῦ λέγειν, τουτέστιν ὁ εἴκοσιν ἐνιαυτῶν· τοῦτο γὰρ ὁ Καλλίμαχος διὰ τοῦ ε̄ ἔκλινεν εἰπὼν <fragm. 473 Sch> ἀλλ' ἀντὶ βρεφέων πολιὸν νέον, εἴρενα, μέσσον, καὶ ταῦτα μὴ ἔχοντος αὐτοῦ οὐδετέρου παρασχηματισμόν· καὶ ἴσως διὰ τὸ μέτρον τοῦτο ἐποίησεν.

Τῷ Ἕλληνι, τῷ τέρενι· τὸν Ἕλληνα, τὸν τέρενα· ὦ Ἕλλην,
277 g ὦ τέρεν. Κανονίζεται ἐπὶ τούτων ἡ κλητικὴ τούτῳ τῷ λόγῳ· τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα, ἐὰν μὲν φυλάξωσι τὸ φωνῆεν τῆς εὐθείας ἐν τῇ γενικῇ, φυλάττουσιν αὐτὸ καὶ ἐν τῇ κλητικῇ, οἷον Πλάτων Πλάτωνος ὦ Πλάτων, Θέων Θέωνος ὦ Θέων, Τρύφων Τρύφωνος ὦ Τρύφων, Ἕλλην Ἕλληνος ὦ Ἕλλην· ἐὰν δὲ τρέψωσι τὸ φωνῆεν τῆς εὐθείας ἐν τῇ γενικῇ, τρέπουσιν αὐτὸ καὶ ἐν τῇ κλητικῇ, οἷον Ἕκτωρ Ἕκτορος ὦ Ἕκτορ, Μέμνων

[Discr. scr. ex NCV] **1** ζαῆν'] ζαὴν NCV ‖ **4** Εἴρηται] *cfr. p. 262, 4* ‖ **5** ἔχουσιν V, ἔχει NC ‖ **12** ῥηθέντι] *cfr. p. 263, 9* | τοῖς *om* NC ‖ **15** τοῦ Ἑλλ. — τέρενος *om* NC ‖ **16** ὁ τεχνικὸς *om* NC ‖ **17** εἰ μέν εἰσι] εἰ εἰσὶ N, εἰσὶ C, εἰ μὲν ὦσι V ‖ **27** πολιὸν νέον V, πολιῶν N, πολλῶν C ‖ **28** μέσσον] μέσον NV, μέσσων C; *cfr. Lobeck, Paralip. 194* | καὶ ταῦτα — αὐτοῦ N, καὶ ταῦτα μὴ ἔχοντα C, τοῦτο γὰρ οὐκ ἔχει V

Μέμνονοϲ ὦ Μέμνον, γείτων γείτονοϲ ὦ γεῖτον, ἄρϲην ἄρϲενοϲ ὦ ἄρϲεν, τέρην τέρενοϲ ὦ τέρεν. Ὁ δὲ τεχνικὸϲ οὐκ εἶπεν οὕτωϲ, ἀλλὰ λέγει, ὅτι τὰ εἰϲ ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆϲ γενικῆϲ τὴν ἐϲχάτην τὸ ο̅ϲ̅ ποιεῖ τὴν κλητικήν, οἷον Πλάτωνοϲ ὦ Πλάτων, Ἕλληνοϲ ὦ Ἕλλην, τέρενοϲ ὦ τέρεν, Τρύφωνοϲ ὦ Τρύφων, Μαχάονοϲ ὦ Μαχᾶον, ἄρϲενοϲ ὦ ἄρϲεν, Ἕκτοροϲ ὦ Ἕκτορ, Ἀγαμέμνονοϲ ὦ Ἀγάμεμνον· καὶ ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουϲα πρὸ τοῦ ο̅ϲ̅ τὸ τ̅, καὶ τὸ τ̅ ἀποβάλλεται ἐν τῇ κλητικῇ, οἷον θεράποντοϲ ὦ θεράπον, λέοντοϲ ὦ λέον, δράκοντοϲ ὦ δράκον, γέροντοϲ ὦ γέρον. Cεϲημείωται τὸ Ἄπολλον καὶ Ποϲείδαον, ὡϲ παρὰ τῷ ποιητῇ 〈Ξ 357〉 πρόφρων νῦν Δαναοῖϲι, Ποϲείδαον, ἐπάμυνον· ταῦτα γὰρ φυλάξαντα τὸ ω̅ ἐν τῇ γενικῇ, Ἀπόλλωνοϲ γὰρ καὶ Ποϲειδάωνοϲ, οὐκ ἐφύλαξαν καὶ ἐν τῇ κλητικῇ αὐτό, ἀλλὰ ϲυνέϲτειλαν αὐτὸ εἰϲ τὸ ο̅. Καὶ περὶ μὲν τοῦ Ἄπολλον ἔϲτιν εἰπεῖν, ὅτι αἰολικῶϲ ϲυνέϲτειλεν τὸ ω̅ εἰϲ τὸ ο̅ κατὰ τὴν κλητικήν· περὶ δὲ τοῦ Ποϲείδαον ἔϲτιν εἰπεῖν, ὅτι ψευδαιολικόν ἐϲτι· καὶ διὰ τοῦτο εἴρηται, ὅτι ψευδαιολικόν ἐϲτι καὶ οὐ κυρίωϲ Αἰολικόν, ἐπειδὴ οὐκ ἴϲαϲιν οἱ Αἰολεῖϲ ἐπὶ ταύτηϲ τῆϲ λέξεωϲ εἰϲ ων τὴν εὐθεῖαν, ἀλλ' εἰϲ α̅ν̅, Ποϲείδαν γὰρ λέγουϲιν· τῆϲ οὖν εὐθείαϲ εἰϲ ω̅ν̅ μὴ οὔϲηϲ παρ' αὐτοῖϲ, πῶϲ δύναται ἡ κλητικὴ εἰϲ ον διὰ τοῦ ο̅ γίνεϲθαι αἰολικῶϲ; τούτου οὖν χάριν εἴρηται, ὅτι ψευδαιολικόν ἐϲτι καὶ οὐ κυρίωϲ Αἰολικόν. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουϲα πρὸ τοῦ 278 g ο̅ϲ̅ τὸ τ̅ καὶ τὸ τ̅ ἀποβάλλεται ἐν τῇ κλητικῇ, οἷον θεράπων θεράποντοϲ ὦ θεράπον, γέρων γέροντοϲ ὦ γέρον, λέων λέοντοϲ ὦ λέον. Ἔϲτιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο ἀποβάλλεται τὸ τ̅ ἐν τῇ κλητικῇ, ἐπειδὴ οὐδέποτε λέξιϲ Ἑλληνικὴ εἰϲ ἄφωνον καταλήγει· εἰ ἐφυλάχθη οὖν τὸ τ̅, ἤμελλεν ἡ λέξιϲ εἰϲ ἄφωνον τὸ τ̅ καταλήγειν, ὅπερ ἐϲτὶν ἀδύνατον· τούτου οὖν χάριν ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουϲα πρὸ τοῦ ο̅ϲ̅ τὸ τ̅, καὶ τὸ τ̅ ἀποβάλλεται ἐν τῇ κλητικῇ.

Τὼ Ἕλληνε, τὼ τέρενε· τοῖν Ἑλλήνοιν, τοῖν τερένοιν· ὦ Ἕλληνε, ὦ τέρενε.

Οἱ Ἕλληνεϲ, οἱ τέρενεϲ· τῶν Ἑλλήνων, τῶν τερένων, τοῖϲ Ἕλληϲι, τοῖϲ τέρεϲιν. Ἰϲτέον ὅτι ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν γίνεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ ν̅ εἰϲ τὸ ϲ̅, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ τοῖϲ Ἀλκμᾶϲι διδαϲκαλίᾳ.

Τοὺϲ Ἕλληναϲ, τοὺϲ τέρεναϲ· ὦ Ἕλληνεϲ, ὦ τέρενεϲ.

[Discr. scr. ex NCV] **4** οἷον *om* NC ‖ **6** ὦ Μαχάον NCV ‖ **10** Ποϲείδαον NC, Πόϲειδον V; *item v. 15* ‖ **11** Δαναοῖϲι Ποϲείδαον NC, δὲ Πόϲειδον V | ἐπάμεινον N ‖ **12** Ποϲειδάωνοϲ NC, Ποϲειδῶνοϲ V ‖ **14** ὅτι *om* N | ϲυνέϲτειλαν N ‖ **16** καὶ διὰ — ψευδαιολικόν ἐϲτι *om* NC ‖ **18** Ποϲείδαν *Ahrensius,* Ποτειδὰν N, Ποτειδᾶν C, Ποτίδαν V ‖ **27** εἴμελλεν N ‖ **28** οὖν *om* NC ‖ **30** τὴν τερένοιν N ‖ **33** τοῖϲ τέρεϲι, τοῖϲ Ἕλληϲιν *traic.* NC ‖ **35** τῷ ῥηθέντι] *cfr. p. 263, 9* | τοῖϲ *om* NC

Κανὼν κβ'.

Ὁ δελφίν τοῦ δελφῖνος.

Ἰστέον ὅτι τὰ εἰς ῑν̄ μακρὸν ἔχουσι τὸ ῑ, καὶ εἰ μέν εἰσιν ἁπλᾶ ὀξύνονται, εἴτε ἀρσενικά εἰσιν εἴτε θηλυκά, οἷον Σαλαμίν Ἐλευσίν ἀκτίν δελφίν Τελχίν (Τελχῖνες δέ εἰσι φθονεροὶ δαίμονες οἱ οἰκήσαντες τὴν Ῥόδον) ῥίν θίν ἴν (ὃ σημαίνει τὴν δύναμιν)· ἡ ἴκτινα αἰτιατικὴ προπαροξυνομένη, οἷον ὡς παρὰ Ἀριστοφάνει ⟨fragm. 628 K⟩ ἴκτινα παντόφθαλμον ἅρπαγα στρέφων, οὐκ ἔστιν ὡς ἀπὸ τῆς ἴκτιν εὐθείας, οὐδαμοῦ γὰρ ἡ εὐθεῖα αὕτη εὕρηται ἐν χρήσει, ἀλλ' ἔστιν ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ ⟨fragm. 700 N²⟩ ἴκτινος ὣς ἔκλαγξε παρασύρας κρέας· τούτου ἡ γενικὴ ἰκτίνου, ὡς παρὰ Σιμωνίδῃ ⟨fragm. 12 B⁴ II p. 454⟩ σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην, εἶτα ἡ δοτικὴ ἰκτίνῳ, καὶ ἡ αἰτιατικὴ ἴκτινον, ὡς παρὰ Μενάνδρῳ ⟨fragm. 926 K⟩ ἀλλὰ προσέδωκας τάλαντον εἶναι
279 g παρ' ἡμῖν τὸν ἴκτινον· εἶτα αὕτη ἡ αἰτιατική, φημὶ δὴ ἡ ἴκτινον, κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα, ὡς παρὰ Ἀριστοφάνει ⟨fragm. 628 K⟩ ἴκτινα παντόφθαλμον ἅρπαγα στρέφων, ὥσπερ ἁλίτροχον ἁλίτροχα, παρίβυκον παρίβυκα καὶ διθύραμβον διθύραμβα παρὰ Πινδάρῳ ⟨fragm. 86 B⁴⟩· εἰ δέ εἰσι σύνθετα τὰ εἰς ῑν̄ βαρύνονται, οἷον δελφάκτιν εὐάκτιν τριγλώχιν· πάντα δὲ προσθέσει τοῦ ο̄ς̄ ποιοῦσι τὴν γενικὴν καὶ πανταχοῦ φυλάττουσι τὸ ῑ μακρόν, οἷον δελφῖνος ἀκτῖνος Σαλαμῖνος Ἐλευσῖνος ῥινός θινός. Δικατάληκτα δὲ καλοῦνται, ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις εἰς ς̄ λήγουσιν, οἷον δελφίς Τελχίς Σαλαμίς, παρὰ δὲ τοῖς νεωτέροις εἰς ν̄, οἷον δελφίν Τελχίν Σαλαμίν· πλατυτέρα δέ ἐστιν ἡ εἰς ς̄ λήγουσα κατάληξις, σπανιωτέρα δὲ ἡ εἰς ν̄· σπανίως γὰρ εὕρηται ἐν χρήσει ἡ εἰς ν̄ κατάληξις, ὡς παρὰ Σιμωνίδῃ ⟨fragm. 248 B⁴⟩ τριγλώχιν ὀϊστός, καὶ παρὰ Καλλιμάχῳ ⟨fragm. 382 Sch.⟩ τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, ποῖά εἰσιν ἀναλογώτερα, τὰ εἰς ν̄ λήγοντα ἢ τὰ εἰς ς̄. Καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ν̄ λήγοντα ἀναλογώτερά εἰσιν· πᾶσα γὰρ γενικὴ εἰς ο̄ς̄ λήγουσα μετὰ ἀμεταβόλου ἔχουσα μακρὰν φύσει τὴν παραλήγουσαν ἀποβολῇ τοῦ ο̄ς̄ τὴν εὐθεῖαν ἀποτελεῖ, οἷον Ἀλκμᾶνος Ἀλκμάν, Θέωνος Θέων, Πλάτωνος Πλάτων, ἰχῶρος ἰχώρ, Δίωνος Δίων. Πρόσκειται «ἔχουσα φύσει μακρὰν τὴν παραλήγουσαν» διὰ τὸ κτενός· τοῦτο γὰρ οὐκ ἀποβολῇ τοῦ ο̄ς̄ ποιεῖ τὴν εὐθεῖαν, κτείς γὰρ

[Discr. scr. ex NCV] **2** τοῦ δελφῖνος *om* NC ‖ **8** ἅρπαγα στρέφων V *et EM *470, 99,* ἅρπαγας τρέφων NC, ἅρπαγα τρέφων *EM 470, 36; item v. 17* ‖ **11** παρασύρας V *et EM,* παρὰ συρὰν NC ‖ **12** σπλάγχνα NC | ἀμπέχοντες NCV, ἀμφέποντες *Bergkius,* ἐμφαγόντες *Stadtmuellerus* ‖ **14** προσέδωκας NC, προσεδόκας V ‖ **15** τὸν ἴκτινον] τὸν ἴκτινα NC, τὸν ἰχθὺν V | δὴ V, δὲ NC ‖ **18** παρίβυκον V, *om* NC | παρίβυκα V, παρ' ἴβυκα NC, παρ' Ἰβύκῳ g; *cfr. Bergkius⁴ fragm. 50* ‖ **20** πάντα δὲ *om* NC ‖ **21** πανταχοῦ V, πάντα NC ‖ **24** τοῖς *ante* νεωτ. *om* NC ‖ **28** ὀλοῷ νῆσος b, ὀλοόνησος NC, ὀλοὴ νῆσος V

ἐϲτι καὶ οὐ κτέν, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπειδὴ βραχεῖαν ἔχει τὴν παραλήγουϲαν· καὶ πάλιν ἐϲτὶ Μέμνονοϲ καὶ Νέϲτοροϲ, καὶ ἐπειδὴ ταῦτα βραχεῖαν ἔχουϲι τὴν παραλήγουϲαν, οὐκ ἀποβολῇ τοῦ ο̅ϲ̅ ποιοῦϲι τὴν εὐθεῖαν, Μέμνων γὰρ καὶ Νέϲτωρ διὰ τοῦ ω̅ καὶ οὐ διὰ τοῦ ο̅· καὶ πάλιν ἐϲτὶ θεράποντοϲ καὶ γέροντοϲ, καὶ ἐπειδὴ ταῦτα οὐκ ἔχουϲι μακρὰν φύϲει τὴν παραλήγουϲαν, οὐκ ἀποβολῇ τοῦ ο̅ϲ̅ ποιοῦϲι τὴν εὐθεῖαν, οὐδὲ γὰρ λέγομεν θεράποντ καὶ γέροντ, ἀλλὰ θεράπων καὶ γέρων διὰ τοῦ ω̅· ἄλλωϲ τε δὲ οὐκ ἔχουϲι τὴν γενικὴν ταῦτα εἰϲ ο̅ϲ̅ 250 g λήγουϲαν μετὰ ἀμεταβόλου, πρὸ γὰρ τοῦ ο̅ οὐκ ἔϲτιν ἀμετάβολον, ἀλλὰ τὸ τ̅. Εἰ οὖν ἡ δελφῖνοϲ καὶ Τελχῖνοϲ καὶ Cαλαμῖνοϲ γενικὴ εἰϲ ο̅ϲ̅ λήγει ϲὺν ἀμεταβόλῳ καὶ φύϲει μακρᾷ παραλήγεται, δηλονότι ἀποβολῇ τοῦ ο̅ϲ̅ ἀποτελεῖ τὴν εὐθεῖαν· ἄρα οὖν εἰϲ ν̅ καταλήγουϲι καὶ οὐκ εἰϲ ϲ̅· ἀποβαλλομένηϲ γὰρ τῆϲ ο̅ϲ̅ ϲυλλαβῆϲ τὸ ν̅ καταλιμπάνεται, οἷον δελφῖνοϲ δελφίν, Τελχῖνοϲ Τελχίν, Cαλαμῖνοϲ Cαλαμίν, ἀκτῖνοϲ ἀκτίν.

Δείκνυται δὲ ὅτι ἀναλογωτέρα ἐϲτὶν ἡ εἰϲ ν̅ κατάληξιϲ καὶ ἐξ ἄλλων κανόνων· τὰ γὰρ εἰϲ ϲ̅ λήγοντα περιττοϲυλλάβωϲ κλινόμενα ἢ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλίνονται, οἷον ἡδύϲ ἡδέοϲ, βότρυϲ βότρυοϲ, ἢ διὰ τοῦ δ̅, οἷον Πάριϲ Πάριδοϲ, Θέτιϲ Θέτιδοϲ, ἢ διὰ τοῦ θ̅, οἷον ὄρνιϲ ὄρνιθοϲ, δέλλιϲ δέλλιθοϲ, ἢ διὰ τοῦ τ̅, οἷον Λάχηϲ Λάχητοϲ, ἔρωϲ ἔρωτοϲ· πρόϲκειται «περιττοϲυλλάβωϲ κλινόμενα» διὰ τὸ καλόϲ καλοῦ, Χρύϲηϲ Χρύϲου· ταῦτα γὰρ εἰϲ ϲ̅ λήγουϲι καὶ οὐ κλίνονται διὰ τοῦ δ̅ ἢ θ̅ ἢ τ̅ ἢ διὰ καθαροῦ τοῦ ο̅ϲ̅, ἀλλ' οὐ κλίνονται περιττοϲυλλάβωϲ ἀλλ' ἰϲοϲυλλάβωϲ· εἰ ἄρα οὖν τὸ δελφίϲ καὶ Τελχίϲ καὶ τὰ ὅμοια οὐ κλίνονται δι' ἑνὸϲ τούτων, οὔτε γὰρ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλίνονται, ἀλλ' οὔτε δὲ διὰ τοῦ δ̅ ἢ θ̅ ἢ τ̅, δηλονότι οὐ καταλήγει φύϲει εἰϲ ϲ̅ ἡ εὐθεῖα ἀλλ' εἰϲ ν̅. Περὶ γὰρ τῶν δοκούντων ἐναντιοῦϲθαι, οἷον περὶ τοῦ ἅλϲ ἁλόϲ καὶ εἷϲ ἑνόϲ, ἤδη ἐλέχθη, ὅτι ἐλλείπουϲι ταῦτα τὸ τ̅· καὶ τὸ τάλαϲ δὲ τάλανοϲ καὶ μέλαϲ μέλανοϲ ἐλλείπουϲι τὸ τ̅, μέλαντοϲ γὰρ καὶ τάλαντοϲ ἦϲαν, καὶ κατὰ ἀποβολὴν τοῦ τ̅ γεγόναϲι μέλανοϲ καὶ τάλανοϲ· ὅτι γὰρ τοῦ μέλαϲ μέλαντοϲ ἦν ἡ γενική, δηλοῖ τὸ ⟨Apoll. Rhod. 4, 1707?⟩ Μελαντείουϲ δ' ἐπὶ πέτραϲ διὰ τοῦ ν̅τ̅ ἐξενεχθέν, καὶ τὸ ⟨Δ 277⟩ μελάντερον ἠΰτε πίϲϲα· ὅτι δὲ καὶ τοῦ τάλαϲ τάλαντοϲ ἦν ἡ γενική, δηλοῖ ὁ Ἱππῶναξ εἰπὼν ⟨fragm. 12 B[4]⟩ τί τῷ τάλαντι Βουπάλῳ ϲυνῴκηϲαϲ; καὶ ὁ Καλλίμαχοϲ δὲ γινώϲκει τὴν 251 g διὰ τοῦ ν̅τ̅ κλίϲιν, ἐν οἷϲ φηϲιν ⟨fragm. 506 Sch⟩ οἱ δὲ τὸν αἰνο-

[Discr. scr. ex NCV] **4** ω̅ C, ω̅ μεγάλου NV | ο̅ C, ο̅ μικροῦ NV ‖ **5** καὶ ἐπειδὴ — γέροντ (**7**) *om* V ‖ **7** καὶ *ante* γέρων *om* N ‖ **16** γὰρ *om* NC ‖ **19** δέλλιϲ δέλλιθοϲ *Lentzius*, βέλλιϲ βέλλιθοϲ NC, κόρυϲ κόρυθοϲ V ‖ **21** εἰϲ ϲ̅ — ἀλλ' (**22**) *om* V ‖ **27** καὶ *ante* εἷϲ *om* NC | ἐλέχθη] *cfr. p. 257, 15 et 206, 1* ‖ **29** κατὰ ἀποβ. NC, κατ' ἔλλειψιν V ‖ **31** Μελαντ] *cfr. Callim. ed. OSchneid. 2, 761* ‖ **33** Ἱππῶναξ] ἱππόναξ NC, ἱππώναξ V | τί *om* V ‖ **34** βουπάλῳ ϲυνῴκηϲαϲ NC, βουπώλῳ ϲυνοικήϲαϲ V | ὁ Καλλ.] Καλλίμαχοϲ V, ὁ Ἀντίμαχοϲ NC; *inter Antimachi fragm. locum receperunt Stollius (170) et Kinkelius (fr. dub. 106)* ‖ **35** αἰνοτάλαντα V, λινοτάλαντα NC

τάλαντα κατέστεψαν. Περὶ δὲ τῆς κτενός γενικῆς ἔστιν εἰπεῖν, ὅτι κτείν ἦν ἡ εὐθεῖα, καὶ λοιπὸν ἀκολούθως κτεινός ἡ γενικὴ δι' ἀμεταβόλου· καὶ ἐπεὶ οὐδέποτε τὰ εἰς ν̄ λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ θέλουσιν ἔχειν πρὸ τοῦ ν̄ δίφθογγον, οἷον δελφίν ἀκτίν Σαλαμίν Τιτάν μόσυν (σημαίνει δὲ τὸν ξύλινον πύργον) Ἕλλην Τροιζήν Πλάτων τρήρων, τούτου χάριν ἔτρεψε τὸ ν̄ εἰς τὸ σ̄ καὶ γέγονε κτείς, καὶ ἐφύλαξε τὴν αὐτὴν κλίσιν, τουτέστι τὴν διὰ τοῦ ν̄· πρόσκειται «εἴτε ἀρσενικὰ εἴτε θηλυκά» διὰ τὸ δίπουν, τοῦτο γὰρ ἔχει πρὸ τοῦ ν̄ δίφθογγον, ἀλλ' οὐδέτερόν ἐστιν. Τὸ δὲ τίς τινός, ⟨ὡς⟩ εἰ θεῷ φίλον μαθησόμεθα ἐν τῷ προοιμίῳ τοῦ Ὀνοματικοῦ Ἡρωδιανοῦ, μὴ δυνάμενον κλιθῆναι δι' ἄλλου συμφώνου ἐξ ἀνάγκης ἐκλίθη διὰ τοῦ ν̄.

Τρίτος δὲ κανών ἐστιν οὗτος ὁ δεικνύς, ὅτι τὰ εἰς ν̄ λήγοντα ἀναλογώτερά εἰσι τῶν εἰς σ̄ ληγόντων, οἷον τὸ δελφίν καὶ τὸ ἀκτίν ἀναλογώτερά εἰσι τοῦ δελφίς καὶ τοῦ ἀκτίς. Τὰ εἰς ῑσ̄ λήγοντα ἀποβολῇ τοῦ σ̄ ποιοῦσι τὴν κλητικήν, οἷον ὁ Πάρις ὦ Πάρι, ὁ μάντις ὦ μάντι, ὁ λάτρις ὦ λάτρι, ἡ πόλις ὦ πόλι, ἡ Θέτις ὦ Θέτι· τὸ γὰρ ὁμόφωνον Ἀττικόν ἐστιν, ὦ μάντις, ὦ πόλις· εἰ ἄρα οὖν τὸ δελφίς καὶ Τελχίς καὶ τὰ ὅμοια οὐκ ἀποβάλλουσι τὸ σ̄ ἐν τῇ κλητικῇ, ἀλλὰ τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ δελφίς ὦ δελφίς, ὁ Τελχίς ὦ Τελχίς, δηλονότι οὐ καταλήγουσι φύσει εἰς σ̄ ἀλλ' εἰς ν̄, τροπὴ δὲ ἐγένετο τοῦ ν̄ εἰς σ̄ κατὰ Δωρικὴν διάλεκτον, ὥσπερ ἦν ἧς, εἵρπομεν εἵρπομες, ὡς παρὰ Θεοκρίτῳ ⟨7, 1⟩ ἧς χρόνος, ἀντὶ τοῦ ἦν χρόνος, καὶ παρὰ τῷ αὐτῷ ⟨7, 2⟩ εἵρπομες ἐκ πόλιος, ἀντὶ τοῦ εἵρπομεν ἐκ πόλεως, καὶ οὕτω λοιπὸν ἀπετελέσθη ἡ εἰς σ̄ κατάληξις, οἷον δελφίν δελφίς, Τελχίν Τελχίς. Ταῦτα μὲν οὕτως ἐν τούτοις. Ἰστέον δὲ ὅτι ταῦτα
282 g τὰ δικατάληκτα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ δελφίς ὦ δελφίς, ὁ Τελχίς ὦ Τελχίς, ὁ δελφίν ὦ δελφίν, ὁ Τελχίν ὦ Τελχίν. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα οὖν τὰ εἰς ῑσ̄ διὰ τοῦ ν̄ος κλινόμενα ἅπαντα δικατάληκτά εἰσιν, οἷον ἀκτίς ἀκτῖνος ἀκτίν, δελφίς δελφῖνος δελφίν, Τελχίς Τελχῖνος Τελχίν, Σαλαμίς Σαλαμῖνος Σαλαμίν, ῥίς ῥινός ῥίν, θίς θινός θίν, διατί τὸ τίς κλινόμενον διὰ τοῦ ν̄ος̄, οἷον τινός, οὐκ ἔστι δικατάληκτον, οὐ λέγομεν γὰρ τίν. Ἔστιν οὖν εἰπεῖν, ὅτι πάντα τὰ εἰς ῑσ̄ δικατάληκτα μακρὸν ἔχουσι τὸ ῑ, οἷον δελφίς ἀκτίς Σαλαμίς ῥίς θίς· τὸ δὲ τίς οὐκ ἔχει μακρὸν τὸ ῑ, ἀλλὰ βραχύ, καὶ εἰκότως οὐκ ἔστι δικατάληκτον.

Τῷ δελφῖνι, τὸν δελφῖνα, ὦ δελφίν. Εἴρηται ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ.

[Discr. scr. ex NCV] **1** κατέστεψαν V, κατέστυγον NC ‖ **8** δίπουν NC, διπλοῦν V ‖ **9** ὡς *om* NCV ‖ **10** κλιθῆναι NC, οὖν κλιθῆναι τὸ κτείς V ‖ **11** ἐκκλίθη N ‖ **19** ἔχουσιν V, ἔχει NC ‖ **21** εἵρπομεν εἵρπομες V, ἥρπομεν ἥρπομες NC ‖ **22** *post* ἧς χρόνος *add* V: ἀνίκ' ἐγών τε καὶ εὔκριτος εἰς τὸν ἄλεντα | ἀντὶ — αὐτῷ (**23**) *om* V ‖ **23** τῷ αὐτῷ g, εὐκρίτω NC, Εὐκρίτῳ b | εἵρπομες V, ἥρπομες N, ἥρπομες C | ἀντὶ — πόλεως (**24**) *om* V | εἵρπομεν] ἥρπομεν N, ἥρπομεν C ‖ **25** Ταῦτα — ὦ Τελχίν (**27**) *om* V ‖ **26** τὰ *om* N

Τὼ δελφῖνε, τοῖν δελφίνοιν, ὦ δελφῖνε· εἴρηται.

Οἱ δελφῖνες, τῶν δελφίνων, τοῖς δελφῖσιν. Ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ $\bar{\nu}$ εἰς τὸ $\bar{c}$, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ τοῖς Ἀλκμᾶσι διδασκαλίᾳ. Τοὺς δελφῖνας, ὦ δελφῖνες· εἴρηται.

Κανὼν κγ΄.

Ὁ Φόρκυν τοῦ Φόρκυνος.

Ἰστέον ὅτι τὰ εἰς $\overline{\upsilon\nu}$ λήγοντα προσθέσει τοῦ $\overline{ος}$ ποιοῦσι τὴν γενικήν, οἷον Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης), μόσυν μόσυνος (σημαίνει δὲ τὸν ξύλινον πύργον), Φόρκυν Φόρκυνος, οἷον ⟨P 312⟩ Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα· ἡ γὰρ αἰτιατικὴ ἡ Φόρκυν, ὡς τὸ ⟨P 318⟩ Φόρκυν θ' Ἱππόθοόν τε, ἀπὸ ἄλλης εὐθείας ἐστίν, ὡς ἀπὸ τοῦ ὁ Φόρκυς τοῦ Φόρκυος, ὥσπερ βότρυς βότρυος βότρυν· κίνδυν κίνδυνος· οὕτως δὲ ἔφη Σαπφὼ τὸν κίνδυνον· ὁ γοῦν Ἀλκαῖος τὴν δοτικὴν ἔφη τῷ κίνδυνι· αὕτη δὲ ἡ κίνδυνος γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ κίνδυνος, ὥσπερ ὁ ψάρ τοῦ ψαρός καὶ ὁ ψάρος, 253 g ὁ Τρώς τοῦ Τρωός καὶ ὁ Τρωός. Ἡ κυνός γενικὴ οὐκ ἔστιν ἀπὸ τῆς κύν εὐθείας, ἀλλ' ἀπὸ τῆς κύων κύονος κατὰ συγκοπήν, ὡς ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι πάντα τὰ εἰς $\overline{\upsilon\nu}$ βαρύνονται, οἷον μόσυν Φόρκυν Γόρτυν, ἐπειδὴ τὰ πολλὰ παρὰ τοῖς Αἰολεῦσιν εὑρίσκονται, καὶ λοιπὸν ὡς δοκοῦντα εἶναι Αἰολικὰ εὐλόγως βαρύνονται· οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσιν, οἷον Πηλεύς Πήλευς, Ἀτρεύς Ἄτρευς, Ἀχιλλεύς Ἀχίλλευς. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι διάφοροι δόξαι περὶ τοῦ χρόνου τῆς εὐθείας γεγόνασιν· οἱ μὲν γὰρ ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ καὶ ἐν πάσαις ταῖς ἄλλαις πτώσεσιν ἐκτείνεσθαι τὸ $\bar{\upsilon}$, οἱ δὲ λέγουσιν ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ $\bar{\upsilon}$, ἐν δὲ ταῖς ἄλλαις πτώσεσι ταῖς πλαγίοις ἐκτείνεται· καὶ διάφοροί εἰσιν αἱ δόξαι τῶν τεχνικῶν περὶ τούτου. Ταῦτα δὲ τὰ εἰς $\overline{\upsilon\nu}$ λήγοντα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ μόσυν ὦ μόσυν, ὁ Φόρκυν ὦ Φόρκυν, ὁ Γόρτυν ὦ Γόρτυν.

Τῷ Φόρκυνι, τὸν Φόρκυνα, ὦ Φόρκυν. Εἴρηται ὅτι τὰ εἰς

[Discr. scr. ex NCV] 4 τῷ ῥηθέντι] *cfr. p. 263, 9* | τοῦ *om* NC ‖ 7 Ὁ Φόρκ. τοῦ Φόρκ. *om* NC | *in marg. add* V[1]: ὅμηρος. φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος ⟨ν 345⟩. καὶ εὐριπίδης. γωλειὰ καὶ φόρκυνος οἰκητήριον (*immo Lycophr. Alex. 376*) ‖ 10 οἷον *om* NC ‖ 11 Φόρκυν, ὡς τὸ *om* NC ‖ 12 θ' ἱπποθόαν τε NC, εἰς ἱπποθόαντα V ‖ 13 τοῦ Φόρκυος *om* N ‖ 14 *ante* οὕτως *add* κίνδυνα V | Σαπφὼ] *cfr. fragm. 161 B*[4] | Ἀλκαῖος] *cfr. fragm. 138 B*[4] ‖ 15 κίνδυνι V, κινδύνῳ NC ‖ 16 ὁ ψάρ τοῦ ψαρός καὶ ὁ ψάρος *EM 514, 44,* ὁ φὰρ τοῦ φαρὸς καὶ (τὸ *add* V) ὁ φάρος NCV ‖ 17 ὁ Τρωός V, ὁ Τρῶος NC | κῦν N ‖ 18 κατὰ συγκ. C, καὶ κατὰ συγκ. N, καὶ κατ' ἔκθλιψιν τοῦ $\bar{o}$ κυνός V ‖ 24 δὲ *om* NC ‖ 25 οἱ μὲν V, αἱ μὲν NC | ἄλλαις *om* NC ‖ 27 πλαγίαις NCV ‖ 28 τούτου CV, τούτων N

ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ο̅ς̅ ποιεῖ τὴν κλητικήν, πλὴν τοῦ Ἄπολλον καὶ Ποσείδαον.

Τὼ Φόρκυνε, τοῖν Φορκύνοιν, ὦ Φόρκυνε. Οἱ Φόρκυνες, τῶν Φορκύνων, τοῖς Φόρκυσιν. Ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ ν̅ εἰς τὸ σ̅, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ τοῖς Ἀλκμᾶσι διδασκαλίᾳ.

Τοὺς Φόρκυνας, ὦ Φόρκυνες. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Κανὼν κδʹ.

Ὁ Θέων ὁ σώφρων ὁ λέων, τοῦ Θέωνος τοῦ σώφρονος τοῦ λέοντος.

Ἐμάθομεν ἐν τοῖς προλαβοῦσιν, ὅτι τὰ εἰς ν̅ λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ ἀποστρέφονται τὴν περισπωμένην τάσιν, καὶ ἢ ὀξύνονται ἢ βαρύνονται, οἷον δελφίν Ἐλευσίν Σαλαμίν Ἕλλην τέρην, χωρὶς 284 g τῆς εἰς ω̅ν̅ καταλήξεως· τὰ γὰρ εἰς ω̅ν̅ λήγοντα ἢ ὀξύνονται, ὡς τὸ Σαρπηδών Ἑλικών, ἢ βαρύνονται, ὡς τὸ Θέων Τρύφων, ἢ περισπῶνται, ὡς τὸ Ξενοφῶν Ποσειδῶν. Καὶ ἰστέον ὅτι τὰ μὲν εἰς ω̅ν̅ βαρύτονα τρεῖς κλίσεις ἐπιδέχονται· ἢ γὰρ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ω̅, οἷον Θέων Θέωνος, Πλάτων Πλάτωνος, Τρύφων Τρύφωνος, ἢ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ τρέπουσι τὸ ω̅ εἰς τὸ ο̅, οἷον σώφρων σώφρονος, γείτων γείτονος, τέκτων τέκτονος, ἢ διὰ τοῦ ν̅τ̅ κλίνονται καὶ πάλιν τρέπουσι τὸ ω̅ εἰς τὸ ο̅, οἷον θεράπων θεράποντος, δράκων δράκοντος, λέων λέοντος. Τὰ δὲ εἰς ω̅ν̅ ὀξύτονα δύο κλίσεις ἐπιδέχονται· ἢ γὰρ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ω̅, ὡς ἐπὶ τοῦ κοιτών κοιτῶνος, Ἑλικών Ἑλικῶνος, ἢ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ τρέπουσι τὸ ω̅ εἰς τὸ ο̅, οἷον Σαρπηδών Σαρπηδόνος, ἀλεκτρυών ἀλεκτρυόνος, οὐδέποτε δὲ διὰ τοῦ ν̅τ̅ κλίνονται· αὕτη γὰρ ἡ κλίσις μετοχῶν ἐστιν, ὡς ἐπὶ τοῦ λαβών λαβόντος, δραμών δραμόντος, πεσών πεσόντος. Ὅτι γὰρ τὰ εἰς ω̅ν̅ ὀνόματα ὀξύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ν̅τ̅ κλίσιν, δῆλον, εἴγε τὸ Σαρπηδών ὀξυνόμενον Σαρπηδόνος κλίνεται, ὅταν δὲ κλιθῇ διὰ τοῦ ν̅τ̅ τότε καὶ βαρεῖαν ἐπιδέχεται τάσιν, οἷον ⟨Μ 379⟩ Σαρπήδοντος ἑταῖρον προπαροξυτόνως, ὡς ἀπὸ τῆς Σαρπήδων εὐθείας βαρυνομένης, καὶ ⟨Μ 392⟩ Σαρπήδοντι δ' ἄχος γένετο ὁμοίως προπαροξυτόνως, καὶ Σαρπήδοντα ἡ αἰτιατική, καὶ ἡ κλητικὴ Σαρπῆδον, ὡς τὸ ⟨Ε 633⟩ Σαρπῆδον, Λυκίων βουληφόρε, προ-

[Discr. scr. ex NCV] **2** Ποσείδαον NC, Πόσειδον V ‖ **6** τῷ ῥηθέντι] *cfr. p. 263, 9* ‖ **10** Ὁ Θέων — λέοντος (**11**) V, ὁ κοιτών NC ‖ **12** ἐν τοῖς προλ.] *cfr. p. 260, 32* ‖ **13** καὶ V, ἀλλ' NC ‖ **14** τέρην V, τροιζήν NC ‖ **17** μὲν *om* N ‖ **22** κλίνονται V, κλίνεται NC; *item v. 28* ‖ **23** δράκων *om* N ‖ **32** κλιθῇ V, ἐκλίθη N, ἐκλίθη καὶ C ‖ **34** ἄχος V, ὄχος N, ὄχθος C | ἐγένετο NCV ‖ **36** Σαρπῆδον, ὡς τὸ *om* NC

περισπωμένως. Τὰ δὲ εἰς ων περισπώμενα πάντα φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς καὶ οὐδέποτε τρέπουσιν αὐτό, κλίνονται δὲ καὶ ⟨αὐτὰ⟩ διὰ τοῦ ντ, οἷον Ξενοφῶν Ξενοφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος· μόνον τὸ Ποσειδῶν καὶ Τυφῶν καὶ ταῶν φυλάττουσι μὲν τὸ ω ἐν τῇ γενικῇ καὶ οὐ κλίνονται διὰ τοῦ ντ, οἷον Ποσει- 285 g δῶνος καὶ Τυφῶνος καὶ ταῶνος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ων πατρωνυμικὰ ἅπαντα φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς, οἷον Ἀτρείων Ἀτρείωνος, Πηλείων Πηλείωνος· ὅθεν τὸ Κρονίων ἀναλογώτερόν ἐστι κλινόμενον διὰ τοῦ ω Κρονίωνος, οἷον ⟨Α 405⟩ ὅς ῥα παρὰ Κρονίωνι καθέζετο· τὸ γὰρ ⟨Ξ 247⟩ Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην ὑπερβιβασμὸν ἐδέξατο τοῦ χρόνου, καὶ τὸ μὲν ι ἐξετάθη, τὸ δὲ ω συνεστάλη εἰς ο. Ὁμοίως δὲ καὶ τὰ εἰς ων ὑποκοριστικὰ φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ, οἷον Βακχυλίδης Βάκχων Βάκχωνος, Σιμωνίδης Σίμων Σίμωνος, Σικελός Σίκων Σίκωνος, Λακεδαιμόνιος Λάκων Λάκωνος, Μιτυληναῖος Μίτων Μίτωνος.

Τὰ εἰς ων συγκριτικὰ τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον μείζων μείζονος, κρείσσων κρείσσονος, χερείων χερείονος, βελτίων βελτίονος, γλυκίων γλυκίονος, ἡδίων ἡδίονος, ἀμείνων ἀμείνονος, ἐλάττων ἐλάττονος, βραχίων βραχίονος, εἴτε ἐπὶ τοῦ συγκριτικοῦ τοῦ σημαίνοντος τὸ βραχύτερον εἴτε ἐπὶ τοῦ μέρους τοῦ σώματος, ὅπερ ἐν τῇ συνηθείᾳ παραλόγως ὀξύνουσι βραχιών λέγοντες, καὶ αὐτὸ γὰρ ὁμοίως τῷ συγκριτικῷ βαρύνεται, οἷον βραχίων, οἱονεὶ τὸ βραχὺ μέρος τοῦ σώματος.

Τὰ εἰς ων καθαρὸν βαρύτονα ἔχοντα δίχρονον ἐν τῇ παραληγούσῃ, εἰ μὲν ἐκτείνουσι τὸ δίχρονον, τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον Μαχάων Μαχάονος, Ἱκετάων Ἱκετάονος, Ἀρετάων Ἀρετάονος, Ἀμφίων Ἀμφίονος, Ὑπερίων Ὑπερίονος, ⟨Θ 480⟩ Ὑπερίονος Ἠελίοιο, Ἐχίων Ἐχίονος, Πανδίων Πανδίονος· εἰ δὲ συστέλλουσι τὸ δίχρονον, φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ, οἷον Ἠετίων Ἠετίωνος, Δευκαλίων Δευκαλίωνος, Ἀμφιτρύων Ἀμφιτρύωνος, Εὐρυτίων Εὐρυτίωνος, Ἠλεκτρύων Ἠλεκτρύωνος, Ἐρευθαλίων Ἐρευθαλίωνος· ὅθεν τὸ Ὠρίων 286 g ἀναλογώτερόν ἐστι συστέλλον τὸ ι, ὡς παρ' Εὐριπίδῃ ⟨Cycl. 213 D⟩ τά τ' ἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι· ὁ γὰρ ποιητὴς διὰ τὸ μέτρον ἐξέτεινεν αὐτὸ εἰπών ⟨Σ 488⟩ ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCV] **2** αὐτὰ *om* NCV ‖ **6** ταῶνος V, τὰ ὅμοια NC ‖ **10** τὸ γὰρ V, τὸ C, *om* N ‖ **12** ἐξετάνθη N ‖ **14** Σικελός — Σίκωνος (**15**) V, σικελίδης σικελῶν σικελῶνος NC ‖ **25** καθαρὸν V, καθαρὰ NC ‖ **27** Ἱκετ. Ἱκετ. V, οἰκετάων οἰκετάονος N, οἰκετάων οἰκετάονος C ‖ **31** Εὐρυτίων Εὐρυτίωνος *in marg. add* C[1], εὐρυτρύων εὐρυτρύωνος NV ‖ **32** Ἠλεκτρύων Ἠλεκτρύωνος N, ἀλεκτρύων ἀλεκτρύωνος C, ἠλεκτρίων ἠλεκτρίωνος V ‖ **33** συστέλλων N ‖ **34** τά τ' V, τά τε NC | γὰρ CV, δὲ N | διὰ τὸ μέτρον *om* NC ‖ **36** Ταῦτα — τούτοις *om* N

Κανονίζει δὲ ὁ τεχνικὸc τὰ εἰc ω̅ν̅ λήγοντα βαρύτονα λέγων, ὅτι τῶν εἰc ω̅ν̅ βαρυτόνων τὰ μὲν παρώνυμα φυλάττουcι τὸ ω̅ καὶ ἐπὶ τῆc γενικῆc, οἷον θεόc Θέων Θέωνοc, τρυφή Τρύφων Τρύφωνοc· εἰ γὰρ παρὰ τὸ τρυφῶ ῥῆμα ἦν, εἶχε τρέπειν τὸ ω̅ εἰc τὸ ο̅ ἐν τῇ γενικῇ, ὥcπερ ἐλεῶ ἐλεήcω ἐλεήμων ἐλεήμονοc, φιλῶ φιλήcω Φιλήμων Φιλήμονοc, νοῶ νοήcω νοήμων νοήμονοc. Ἀναδράμωμεν δὲ ἐπὶ τὰ παραδείγματα τῶν παρωνύμων, ἱερόc Ἱέρων Ἱέρωνοc, ἁβρόc Ἅβρων Ἅβρωνοc, πλατύc Πλάτων Πλάτωνοc, κράτοc Κράτων Κράτωνοc, κλέοc Κλέων Κλέωνοc, κῦδοc Κύδων Κύδωνοc, Ζεύc Διόc Δίων Δίωνοc. Δεῖ προcθεῖναι «χωρὶc εἰ μὴ ὦcιν ἀπὸ τῶν εἰc ο̅c̅ cυνθέτων»· ταῦτα γὰρ διὰ τοῦ ο̅ κλίνονται, οἷον αἷμα ἄναιμοc ἀναίμων ἀναίμονοc, ⟨Ε 342⟩ τοὔνεκ' ἀναίμονέc εἰcι καὶ ἀθάνατοι καλέονται, κῦμα ἔγκυμοc ἐγκύμων ἐγκύμονοc, πυγή κατάπυγοc καταπύγων καταπύγονοc (ὁ κίναιδοc), χεῖμα ἄχειμοc ἀχείμων ἀχείμονοc. Διὰ τοῦτο τὸ Ἀκταίων ἀναλογώτερόν ἐcτι φυλάττον τὸ ω̅ ἐν τῇ γενικῇ, οἷον ⟨Eurip. Bacch. 337 D⟩ ὁρᾷc τὸν Ἀκταίωνοc ἄθλιον μόρον; τοῦτο γὰρ παρώνυμόν ἐcτι καὶ οὐκ ἔcτιν ἀπὸ τῶν εἰc ο̅c̅ cυνθέτων, ἀπὸ γὰρ τοῦ ἀκτή γέγονεν ἀκταῖοc καὶ Ἀκταίων· ὅταν οὖν γένηται διὰ τοῦ ο̅, οἷον ⟨Eurip. Bacch. 230 D⟩ Ἀκταίονόc τε μητέρ', Αὐτονόην λέγω, γνῶθι ὅτι cυνεcτάλη τὸ ω̅ διὰ τὸ μέτρον.

Τὰ εἰc ω̅ν̅ κοινὰ τῷ γένει τρέπουcι τὸ ω̅ εἰc τὸ ο̅ ἐν τῇ γενικῇ, οἷον ὁ cώφρων καὶ ἡ cώφρων τοῦ cώφρονοc καὶ τῆc cώφρονοc, ὁ τέκτων καὶ ἡ τέκτων τοῦ τέκτονοc καὶ τῆc τέκτονοc, ὁ γείτων καὶ ἡ γείτων τοῦ γείτονοc καὶ τῆc γείτονοc, ὁ τλήμων καὶ ἡ τλήμων τοῦ
287 g τλήμονοc καὶ τῆc τλήμονοc, ὁ ἴδμων καὶ ἡ ἴδμων τοῦ ἴδμονοc καὶ τῆc ἴδμονοc, ὁ ἄφρων καὶ ἡ ἄφρων τοῦ ἄφρονοc καὶ τῆc ἄφρονοc.

Δεῖ προcθεῖναι «χωρὶc εἰ μὴ ὦcι cύνθετα ἀπὸ τῶν εἰc ω̅ν̅ φυλαττόντων τὸ ω̅ ἐν τῇ γενικῇ»· ἔcτι γὰρ αἰών αἰῶνοc καὶ γίνεται εὐαίων εὐαίωνοc ἐκ τούτου cύνθετον, καὶ ἔcτι κοινὸν τῷ γένει, ὁ εὐαίων γὰρ καὶ ἡ εὐαίων, καὶ ὅμωc φυλάττει τὸ ω̅ ἐν τῇ γενικῇ· καὶ πάλιν ἐcτὶ χιτών χιτῶνοc καὶ γίνεται ἐκ τούτου cύνθετον ἀχίτων ἀχίτωνοc καὶ χαλκοχίτων χαλκοχίτωνοc, καὶ ἰδού εἰcι ταῦτα κοινὰ τῷ γένει, ὁ ἀχίτων γὰρ καὶ ἡ ἀχίτων καὶ ὁμοίωc ὁ χαλκοχίτων καὶ ἡ χαλκοχίτων, καὶ ὅμωc φυλάττουcι τὸ ω̅ ἐν τῇ γενικῇ· καὶ πάλιν ἐcτὶ Πλάτων Πλάτωνοc καὶ ἐκ τούτου γίνεται cύνθετον φιλοπλάτων φιλοπλάτωνοc, καὶ ἔcτι κοινὸν τῷ γένει, ὁ φιλοπλάτων γὰρ καὶ ἡ φιλοπλάτων, καὶ ὅμωc φυλάττει τὸ ω̅ ἐν τῇ γενικῇ.

Δεῖ προcθεῖναι «καὶ χωρὶc τοῦ αἴθων αἴθωνοc καὶ εἴρων εἴρωνοc»· ταῦτα γὰρ κοινά εἰcι τῷ γένει, ὁ αἴθων καὶ ἡ αἴθων, ὁ εἴρων καὶ ἡ

[Descr. scr. ex NCV] **1** δὲ *om* N ‖ **2** τῆc *om* NC ‖ **5** ἐλεήcω *om* NC ¦ φιλήcω *om* NC ‖ **6** νοήcω *om* NC ¦ δὲ *om* NC ‖ **8** κράτοc — Κράτωνοc *om* NC ‖ **12** καλέονται V, καλεῦνται NC ‖ **21** τὸ *ante* ο̅ *om* N ‖ **31** καὶ *ante* χαλκ. *om* NC ‖ **37** φυλάττει V, φυλάττουcι NC ‖ **38** εἴρων εἴρωνοc V, ἥρων ἥρωνοc NC (*sed* N[1] *in marg.* γρ. εἴρων)

εἴρων, καὶ ὅμως φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ. Ἔχουσι δὲ ἀπολογίαν τοιαύτην· τὸ μὲν αἴθων αἴθωνος, ὅτι τὰ εἰς ω̄ν̄ δισύλλαβα βαρύτονα ἔχοντα δασὺ σύμφωνον φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον Ῥίνθων Ῥίνθωνος (ἔστι δὲ ὄνομα κύριον), μόθων μόθωνος (ὁ κακοῦργος· οὕτω δὲ οἱ Λακεδαιμόνιοι τὸν οἰκογενῆ δοῦλον καλοῦσιν, οἱ δὲ Ἀθηναῖοι οἰκότριβα φασί· σημαίνει δὲ καὶ εἶδος αἰσχρᾶς καὶ ἀπρεποῦς ὀρχήσεως), κώθων κώθωνος (ἔστι δὲ εἶδος ποτηρίου), Τύχων Τύχωνος (ἔστι δὲ δαίμων περὶ τὴν Ἀφροδίτην)· οὕτως οὖν καὶ αἴθων αἴθωνος διὰ τοῦ ω̄. Πρόσκειται «δισύλλαβα» διὰ τὸ Φαέθων Φαέθοντος τρέπον τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ· πρόσκειται «βαρύτονα» διὰ τὸ Σιδών Σιδόνος ἐθνικὸν ὀξυνόμενον τρέπον τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ. Ταῦτα μὲν περὶ τοῦ αἴθων αἴθωνος. Τὸ δὲ εἴρων εἴρωνος ἔχει τοιαύτην ἀπολογίαν, ὅτι τὰ εἰς ω̄ν̄ ἔχοντα τὸ ρ̄ δισύλλαβα ἁπλᾶ μὴ ἔχοντα οὐδέτερον φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον Μάρων Μάρωνος, Χείρων Χείρωνος (ὄνομα κύριον), Νέρων Νέρωνος· οὕτως οὖν καὶ εἴρων εἴρωνος διὰ τοῦ ω̄. 288g Δεῖ προσθεῖναι «χωρὶς τοῦ Νάρων Νάρονος», ὡς τὸ Νάρονος ὄχθαι παρὰ Νικάνδρῳ ⟨Ther. 607⟩· τοῦτο γὰρ διὰ τὸ μέτρον συνέστειλε τὸ ω̄ εἰς τὸ ο̄· ἔστι δὲ ὄνομα ποταμοῦ. Πρόσκειται «δισύλλαβα» διὰ τὸ Ὑπείρων Ὑπείρονος Ὑπείρονα, οἷον ⟨Ε 144⟩ Ὑπείρονα, ποιμένα λαῶν· τοῦτο γὰρ τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, ἀλλ' οὐκ ἔστι δισύλλαβον· «ἁπλᾶ» δὲ πρόσκειται διὰ τὸ Σώφρων Σώφρονος τὸ κύριον ὄνομα· τοῦτο γὰρ τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, ἀλλ' οὐκ ἔστιν ἁπλοῦν ἀλλὰ σύνθετον, παρὰ τὸ σῶα φρονεῖν γάρ ἐστι σωάφρων καὶ Σώφρων. Μηδεὶς δὲ οἰέσθω τοῦτο ἔχειν οὐδετέρου παρασχηματισμόν· τὸ γὰρ σῶφρον τὸ οὐδέτερον τοῦ ἐπιθέτου ἐστίν, οὐ μὴν τοῦ κυρίου· οὐδέποτε γὰρ οὔτε κύρια οὔτε τὰ προσηγορικὰ ποιοῦσιν οὐδετέρου παρασχηματισμόν, οἷον κοχλίας Αἰνείας Αἴας Θόας· τοῦτο δέ, φημὶ δὴ τὸ Σώφρων τὸ κύριον, ἠκολούθησε τῷ ἐπιθέτῳ κατὰ τὴν κλίσιν, καὶ ὁμοίως αὐτῷ τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ· τοῦ σώφρονος γάρ. Πρόσκειται «μὴ ἔχοντα οὐδέτερον» διὰ τὸ χείρων χείρονος· τὸ μὲν γὰρ κύριον ὄνομα φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον Χείρων Χείρωνος (ἐπὶ τοῦ κενταύρου) κατὰ τὸν προλεχθέντα κανόνα, τὸ δὲ συγκριτικὸν τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον χείρων χείρονος (ὁ ἐλάττων), ἐπειδὴ ἔχει οὐδέτερον τὸ χεῖρον· καὶ πάλιν τὸ γέρων γέροντος, ἐπειδὴ ἔχει οὐδέτερον τὸ γέρον, οἷον ⟨χ 184⟩ τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον πεπαλαγμένον ἄζῃ, τουτέστι σάκος γέρον, διὰ τοῦτο οὐκ ἐφύλαξε τὸ ω̄ ἐν τῇ γενικῇ.

[Discr. scr. ex NCV] **2** βαρύτονα δισύλλαβα *traiciunt* NC ‖ **4** ὁ κακοῦργος *om* NC | οὕτω δὲ V, οὕτω γὰρ NC ‖ **11** τρέπον V, τρέπων NC ‖ **16** ὄχθαι] ὄχθας V *et Theogn. in AO II 36,15,* παρ' ὄχθας NC ‖ **19** Ὑπείρονα οἷον *om* NC ‖ **23** σῶα φρονεῖν V, σαοφρονεῖν NC | σωάφρων V, σαόφρων NC ‖ **27** δὴ *om* NC ‖ **28** Σώφρων V, σῶφρον NC ‖ **29** αὐτῷ] αὐτὸ N | τοῦ σώφρονος γάρ V, ὁ σώφρων γὰρ καὶ ἡ σώφρων ἐστὶ τὸ ἐπίθετον NC ‖ **30** χείρονος *om* NC | γὰρ *om* N ‖ **36** πεπαλαγμένον] πεπλασμένον NC, πεπλεγμένον V | σάκος

Τὰ δὲ ἔχοντα θηλυκὸν διὰ τοῦ αινα διὰ τοῦ ντ κλίνονται, καὶ δῆλον ὅτι τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον δράκων δράκοντος ὅτι καὶ δράκαινα, θεράπων θεράποντος ὅτι καὶ θεράπαινα, λέων λέοντος ὅτι καὶ λέαινα. Καὶ τὰ κύρια δὲ ὀνόματα παρ' ἡμῖν ἐφύλαξαν τὴν αὐτὴν κλίσιν, οἷον Δράκοντος τοῦ Στρατονικέως καὶ Λέοντος καὶ πάλιν 289 g Δράκοντος τοῦ νομοθέτου· πρόσκειται δέ «παρ' ἡμῖν», ἐπειδὴ οἱ Αἰολεῖς Δράκωνός εἰρήκασιν ἐπὶ τοῦ κυρίου ὀνόματος· ἐπὶ γὰρ τοῦ θηρίου καὶ αὐτοὶ δράκοντος λέγουσιν. Σημειούμεθα δὲ ἐν τῷ κανόνι τούτῳ τὸ Λάκων Λάκωνος· τοῦτο γὰρ ἔχον θηλυκὸν διὰ τοῦ αινα, οἷον Λάκαινα, οὐ κλίνεται διὰ τοῦ ντ, οὐδὲ γὰρ λέγομεν Λάκοντος ἀλλὰ Λάκωνος διὰ τοῦ ω, περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ὑπάγεται τῷ προλεχθέντι κανόνι τῶν ὑποκοριστικῶν· τὰ γὰρ εἰς ων ὑποκοριστικὰ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ω, οἷον Βακχυλίδης Βάκχων Βάκχωνος, Σιμωνίδης Σίμων Σίμωνος, Μιτυληναῖος Μίτων Μίτωνος· οὕτως οὖν καὶ Λακεδαιμόνιος Λάκων Λάκωνος. Ὑπάγεται δὲ καὶ τῷ λόγῳ τῶν ἐθνικῶν· τὰ γὰρ εἰς ων ἐθνικὰ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, καὶ εἰ μὲν ὀξύνονται τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον Αὐσών Αὔσόνος, Μυγδών Μυγδόνος, Σιδών Σιδόνος, ⟨Ψ 743⟩ ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν, εἰ δὲ βαρύνονται φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ, οἷον Μύτων Μύτωνος, Καύκων Καύκωνος, ⟨Κ 429⟩ καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί, Κύδων Κύδωνος· οὕτως οὖν καὶ Λάκων Λάκωνος. Δεῖ προσθεῖναι «χωρὶς τοῦ Κίκων»· τοῦτο γάρ, φημὶ δὴ τὸ Κίκων, κύριον μὲν ὂν φυλάττει τὸ ω ἐν τῇ γενικῇ, οἷον Κίκωνος, ἐθνικὸν δὲ ὂν τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον Κίκονος, ὡς παρὰ τῷ ποιητῇ ⟨ι 47⟩ Κίκονες Κικόνεσσι γεγώνευν, καὶ πάλιν ⟨ι 39⟩ Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν· ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τοῦ Μέμνων Μέμνονος», καὶ αὐτὸ γὰρ ἐθνικόν ἐστι καὶ βαρύτονον, καὶ ὅμως τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, ὥσπερ καὶ τὸ κύριον ὄνομα. Ταῦτα μὲν ἐν τούτοις.

Μὴ νομίσωμεν δὲ ἐναντιοῦσθαι τῷ κανόνι τὸ γείτων καὶ τέκτων, ὅτι ἔχουσι θηλυκὸν διὰ τοῦ αινα, οἷον γείταινα καὶ τέκταινα, καὶ οὐ κλίνονται διὰ τοῦ ντ, γείτονος γὰρ καὶ τέκτονος. Ἰστέον γὰρ ὅτι ταῦτα 290 g κοινά εἰσι τῷ γένει, οἷον ὁ γείτων καὶ ἡ γείτων, ὁ τέκτων καὶ ἡ τέκτων· ἀλλ' οἱ ποιηταὶ καὶ παρωνύμως ποιοῦσιν αὐτὰ διὰ τοῦ αινα, οἷον γείταινα καὶ τέκταινα, ⟨Callim. fr. anon. 290 Sch⟩ γεινεό μοι

[Discr. scr. ex NCV] γέρον *om* NC ‖ 1 δὲ *om* NC ‖ 7 Δράκωνος V, Δράκονος NC ‖ 11 *ante* τῷ *add* καὶ NC ‖ 14 μιτυλιναῖος N ‖ 15 δὲ καὶ] καὶ NC, δὲ V ‖ 17 τὸ *ante* ο *om* NC ‖ 18 Αὐσών Αὐσόνος NC, αἰγών αἰγόνος V ‖ 19 πολυδαίδαλοι εὖ V, πολυδαι(δα N)δάλοιο NC ‖ 23 δὴ] δὲ N ‖ 25 Κίκονες *om* NC ‖ 26 Κικόνεσσι V, κικόνεσιν N, κικόνεσι C | γεγόνευν CV, γεγονεῦν N ‖ 28 καὶ βαρύτονον *om* NC ‖ 29 ὅμως V, ὁμοίως NC ‖ 33 κλίνεται NCV | γὰρ ὅτι V, δὲ ὅτι NC ‖ 36 γεινεό μοι *OSchneiderus*, γίναιό μοι NC, *om* V

τέκταινα βίου δαμάτειρά τε λιμοῦ, ὥϲπερ καὶ ἐκ τοῦ θέων γέγονε θέαινα παρωνύμωϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Τῷ Θέωνι, τῷ ϲώφρονι, τῷ λέοντι· τὸν Θέωνα, τὸν ϲώφρονα, τὸν λέοντα· ὦ Θέων, ὦ ϲῶφρον, ὦ λέον. Εἴρηται ὅτι τὰ εἰϲ ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆϲ γενικῆϲ τὴν ἐϲχάτην τὸ οϲ ἢ καὶ τὸ τοϲ ποιοῦϲι τὴν κλητικήν, πλὴν τοῦ Ἄπολλον καὶ Ποϲείδαον· ἔϲτιν οὖν ἡ γενικὴ Θέωνοϲ διὰ τοῦ ω̄ καὶ ἡ κλητικὴ ὦ Θέων διὰ τοῦ ω̄, καὶ πάλιν ϲώφρονοϲ ἡ γενικὴ καὶ λέοντοϲ διὰ τοῦ ο̄ καὶ ἡ κλητικὴ ὁμοίωϲ ὦ ϲῶφρον καὶ ὦ λέον διὰ τοῦ ο̄.

Τὼ Θέωνε, τὼ ϲώφρονε, τὼ λέοντε· τοῖν Θεώνοιν, τοῖν ϲωφρόνοιν, τοῖν λεόντοιν· ὦ Θέωνε, ὦ ϲώφρονε, ὦ λέοντε.

Οἱ Θέωνεϲ, οἱ ϲώφρονεϲ, οἱ λέοντεϲ· τῶν Θεώνων, τῶν ϲωφρόνων, τῶν λεόντων· τοῖϲ Θέωϲι, τοῖϲ ϲώφροϲιν. Ἐμάθομεν ἐν τοῖϲ προλαβοῦϲιν, ὅτι πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ν̄ῑ λήγουϲα μὴ οὖϲα κατὰ μεταπλαϲμὸν τροπῇ τοῦ ν̄ εἰϲ τὸ ϲ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ποιμένι ποιμέϲι, αὐχένι αὐχέϲι, φρενί φρεϲί, ϲωλῆνι ϲωλῆϲι, Πλάτωνι Πλάτωϲι, Δίωνι Δίωϲι, Μέμνονι Μέμνοϲι, γείτονι γείτοϲιν· οὕτωϲ οὖν καὶ Θέωνι Θέωϲι καὶ ϲώφρονι ϲώφροϲι. Πρόϲκειται «μὴ οὖϲα κατὰ μεταπλαϲμόν», ἐπειδή ἐϲτι τῇ ὑϲμίνῃ καὶ τῇ Δωδώνῃ διὰ τοῦ η̄ καὶ ῑ, καὶ γίνεται κατὰ μεταπλαϲμὸν τῇ ὑϲμῖνι καὶ τῇ Δωδῶνι διὰ τοῦ ῑ μόνου, ὡϲ παρὰ τῷ ποιητῇ ⟨Θ 56⟩ μέμαϲαν δὲ καὶ ὧϲ ὑϲμῖνι μάχεϲθαι, καὶ παρὰ τῷ Καλλιμάχῳ ⟨fragm. 306 Sch⟩ μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον· καὶ ἰδοὺ ταῦτα εἰϲ ν̄ῑ λήγουϲιν, καὶ οὐ τρέπουϲι τὸ ν̄ εἰϲ τὸ ϲ̄ καὶ ποιοῦϲι τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν ταῖϲ ὑϲμῖϲι καὶ ταῖϲ Δωδῶϲιν, ἀλλὰ ταῖϲ ὑϲμίναιϲ καὶ ταῖϲ Δωδώναιϲ· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ μεταπλαϲμὸν πέπονθεν ἡ δοτικὴ τῶν ἑνικῶν καὶ τούτου χάριν 291 g εἰϲ νι λήγει.

Τοῖϲ λέουϲιν. Ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν κανονίζεται ἡ δοτικὴ τῶν πληθυντικῶν τούτῳ τῷ τρόπῳ· πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα, πρὸ τοῦ ῑ λαμβάνουϲα τὸ ϲ̄ καὶ ἀποβάλλουϲα τὰ μὴ δυνάμενα ϲὺν αὐτῷ ἐκφωνεῖϲθαι ϲτοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφιϊ ὄφιϲιν, ὄφεϊ ὄφεϲι, πόλεϊ πόλεϲι, βότρυϊ βότρυϲι, Πάριδι Πάριϲι, Θέτιδι Θέτιϲι, Πλάτωνι Πλάτωϲι, Μέμνονι Μέμνοϲι, Ἕκτορι Ἕκτορϲι, Νέϲτορι Νέϲτορϲι· οὕτωϲ οὖν καὶ λέοντι λέουϲι, τοῦ ϲ̄ προϲελθόντοϲ καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχείων, φημὶ δὴ τοῦ ν̄ καὶ τοῦ τ̄. Διὰ τοῦτο

[Discr. scr. ex NCV] **1** δεμάτειρά τε V | λιμοῦ V, λιμοῖο NC | ἐκ—γέγονε NC, τὸ θεὰ (*et supra* εὰ *eadem manu* οϲ) λέγεται V; *cfr. EM 444, 11* ‖ **7** Ποϲείδαον NC, Πόϲειδον V | ἔϲτιν — λεόντων (**13**) *om* V ‖ **14** ἐν τοῖϲ προλ. *om* NC; *cfr. p. 139, 15* ‖ **19** ὑϲμήνη N, ἰϲμήνη C ‖ **20** ὑϲμῆνι N, ἰϲμῆνι C ‖ **21** μέμαϲαν] μένοιμε N, μένοινα C, μέμονε V ‖ **22** ὑϲμῆνι NC ‖ **23** ν̄ῑ CV, ν̄ N ‖ **25** ὑϲμῖϲι V, ὑϲμῆϲι N, ὑϲμῆϲιν C ‖ **26** ὑϲμίναιϲ V, ὑϲμήναιϲ NC ‖ **28** εἰϲ ν̄ N ‖ **30** πληθυντικῶν V, ἑνικῶν NC ‖ **33** οἷον ὄφιϊ ὄφιϲιν *om* NC

δὲ ἡ λέουσι δοτικὴ τὸ ῡ προσέλαβεν, ἐπειδὴ ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν οὐ θέλει εἶναι ἐλάττων τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλ' ἢ ἴση ἢ μείζων· ἴση μέν, οἷον λέβητες λεβήτων λέβησι λέβητας λέβητες, Λάχητες Λαχήτων Λάχησι Λάχητας Λάχητες, Πάριδες Παρίδων Πάρισι Πάριδας Πάριδες, ἀκτῖνες ἀκτίνων ἀκτῖσιν ἀκτῖνας ἀκτῖνες· μείζων δέ, οἷον Ἕκτορες Ἑκτόρων Ἕκτορσιν Ἕκτορας Ἕκτορες, Νέστορες Νεστόρων Νέστορσι Νέστορας Νέστορες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς θέσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει βραχεῖα, τὸ δὲ θέσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος· καὶ πάλιν Αἴαντες Αἰάντων Αἴασιν Αἴαντας Αἴαντες, Θόαντες Θοάντων Θόασι Θόαντας Θόαντες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς φύσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων θέσει μακρά ἐστι, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ· καὶ πάλιν Πηλέες Πηλέων Πηλεῦσι Πηλέας Πηλέες, βασιλέες βασιλέων βασιλεῦσι βασιλέας βασιλέες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς φύσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει βραχεῖα, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος. Τούτων οὕτως ἐχόντων εἰ μὴ προσέλαβε τὸ ῡ ἡ λέουσι 292 g δοτική, ἤμελλεν ἐλάττονα ἔχειν τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ὅπερ ἐστὶν ἄτοπον· ἡ μὲν γὰρ παραλήγουσα τῶν ἄλλων πτώσεων θέσει μακρά ἐστιν, οἷον λέοντες λεόντων λέοντας λέοντες, ἡ δὲ παραλήγουσα τῆς δοτικῆς τούτων εἰ μὴ προσέλαβε τὸ ῡ φύσει βραχεῖα εὑρίσκετο, τὸ δὲ θέσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος. Τούτου οὖν χάριν προσέλαβεν ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ῡ, ἵνα μὴ εὑρεθῇ ἔχουσα τὴν ἰδίαν παραλήγουσαν ἐλάττονα τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, καὶ ἐγένετο λέουσιν· τοῦ γὰρ ῡ προσελθόντος οὐκέτι εὑρίσκεται ἐλάττων ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλὰ τοὐναντίον καὶ μείζων· τὸ γὰρ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ δὲ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν οὐ θέλει εἶναι ἐλάττων τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλ' ἢ ἴση ἢ μείζων, «χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ»· ἐπειδή ἐστι κήρυκες κηρύκων κήρυξι κήρυκας κήρυκες καὶ Φοίνικες Φοινίκων Φοίνιξι Φοίνικας Φοίνικες· καὶ ἰδοὺ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν ἐλάττονα ἔχει τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων· ἡ μὲν γὰρ δοτικὴ θέσει μακρὸν ἔχει τὸ δίχρονον, αἱ δὲ ἄλλαι πτώσεις φύσει μακρὸν ἔχουσιν αὐτό, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. Διὰ τοῦτο δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν θέσει μακρὸν ἔχει τὸ δίχρονον, οἷον Φοίνιξι καὶ κήρυξιν,

[Discr. scr. ex NCV] **22** τούτων *om* N ‖ **31** δὲ *om* NC ‖ **32** εἶναι *post* πτώσεων (**33**) *transp.* N, *om* C ‖ **37** τὸ δίχρονον V, τὸ ῑ NC ‖ **40** κήρυξιν CV, κήρυξι καὶ N

ἐπειδὴ τὸ ῑ καὶ τὸ ῡ οὐδέποτε εὑρίσκονται πρὸ τοῦ ξ̄ φύσει μακρά, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων, οἷον πέρδιξ τέττιξ Βέβρυξ ὄνυξ. Πρόσκειται «χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων» διὰ τὸ ἰξεύω ἴξευον· τὸ μὲν γὰρ ἰξεύω θέσει μακρὸν ἔχει τὸ ῑ, τὸ δὲ ἴξευον φύσει μακρὸν τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρῳχημένων· οἱ γὰρ παρῳχημένοι ἢ χρονικῶς ἢ συλλαβικῶς θέλουσι μεγεθύνεσθαι, συλλαβικῶς μέν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω ἔλεγον, χρονικῶς δέ, οἷον ἄγω ἦγον, ἄρχομαι ἠρχόμην, ἅπτω ἧπτον· ἐν οἷς οὖν τὸ ἰξεύω 293 g ἴξευον οὐκ ἠδύνατο μεγεθυνθῆναι συλλαβικῶς, οὐδὲ γὰρ ἄρχεται ὁ ἐνεστὼς ἀπὸ συμφώνου, ἐξ ἀνάγκης χρονικῶς ἐμεγεθύνθη, καὶ τούτου χάριν φύσει μακρὸν ἔχει τὸ ῑ. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν οὐ θέλει εἶναι ἐλάττων τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλ' ἢ ἴση ἢ μείζων, «καὶ χωρὶς τῆς χερσί δοτικῆς τῶν πληθυντικῶν»· ἐνταῦθα γὰρ ἐλάττων ἐστὶν ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων· ἡ μὲν γὰρ παραλήγουσα τῆς δοτικῆς θέσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει μακρά ἐστιν, οἷον χεῖρες χειρῶν χερσί χεῖρας χεῖρες, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ· διατί δὲ χερσί μόνως λέγομεν τὴν δοτικὴν τῶν πληθυντικῶν καὶ οὐχὶ χειρσί διὰ τῆς ε̄ῑ διφθόγγου, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐν τῇ λέουσι δοτικῇ τῶν πληθυντικῶν τὸ ῡ ἐπλεόνασε καὶ μὴ ἄλλο φωνῆεν. Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ ῡ ἐπλεόνασεν, ἐπειδὴ τὸ ο̄ διὰ τῆς προσθήκης τοῦ ῡ μεγεθύνεσθαι πέφυκεν, οἷον τύπτοντος τύπτουσα, λέγοντος λέγουσα, γράφοντος γράφουσα, καὶ αὐτὸ δὲ τὸ οὖ τὸ ὄνομα τοῦ στοιχείου διὰ τοῦ ο̄ καὶ ῡ γράφεται καὶ ἐκφωνεῖται· τὸ δὲ ε̄ ἐκ τοῦ ἐναντίου διὰ τῆς προσθήκης τοῦ ῑ πέφυκε μεγεθύνεσθαι, οἷον τυφθέντος τυφθεῖσα, δαρέντος δαρεῖσα, νυγέντος νυγεῖσα, καὶ αὐτὸ δὲ τὸ εἶ τὸ ὄνομα τοῦ στοιχείου διὰ τοῦ ε̄ καὶ ῑ γράφεται καὶ ἐκφωνεῖται· ἐπειδὴ οὖν διὰ τῆς προσθήκης τοῦ ῡ πέφυκε μεγεθύνεσθαι τὸ ο̄, τούτου χάριν ἐν τῇ λέουσι δοτικῇ τῶν πληθυντικῶν τὸ ῡ ἐπλεόνασε καὶ οὐκ ἄλλο φωνῆεν. Ταῦτα μὲν ἐν τούτοις.

Καὶ πάλιν ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὸ ο̄ προσέλαβε τὸ ῡ ἐν τῇ λέουσι δοτικῇ καὶ μὴ μᾶλλον ἐτράπη τὸ ο̄ εἰς τὸ ω̄. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐκ ἠδύνατο τραπῆναι τὸ ο̄ εἰς τὸ ω̄ ἐν τῇ λέουσι δοτικῇ, ἐπειδὴ ἡνίκα ἔχει ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ω̄, καὶ ἡ δοτικὴ τῶν ἑνικῶν αὐτὸ ἔχει, οἷον Τρύφωνι Τρύφωσι, Πλάτωνι Πλάτωσι, 294 g

[Discr. scr. ex NCV] **1** τὸ *ante* ῡ *om* NC ‖ **2** λόγῳ V, λόγου NC | παρῳχημένων V, παρῳχημένου NC | οἷον — παρῳχημένων (**3**) *om* V ‖ **3** λόγῳ] λόγου NC ‖ **9** γὰρ *om* N ‖ **13** ἀλλ' ἢ — πτώσεων (**16**) *om* V ‖ **18** χερσί *om* NC ‖ **23** μὴ NC, οὐκ V ‖ **26** τὸ οὖ *om* NC ‖ **27** ε̄ *om* N | ἐκ τοῦ — τοῦ ῑ (**28**) V, ἐκ τῆς προσθήκης τοῦ ῑ ἤγουν ἐκ τοῦ ἐναντίου NC ‖ **29** τὸ εἶ V, τὸ ε̄ NC ‖ **31** ἐν *om* N

Θέωνι Θέωσι, Δίωνι Δίωσι· τῆς οὖν δοτικῆς τῶν ἑνικῶν τῆς λέοντι διὰ τοῦ ο̅ οὔσης, πῶς δύναται ἡ δοτικὴ τῶν πληθυντικῶν διὰ τοῦ ω̅ εἶναι; ὅτε γὰρ ἡ δοτικὴ τῶν ἑνικῶν τὸ ο̅ ἔχει, καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ο̅ ἔχει, οἷον σώφρονι σώφροσι, γείτονι γείτοσι, τέκτονι τέκτοσι. Προσλαμβάνει οὖν τὸ υ̅ ἡ δοτικὴ τῶν πληθυντικῶν καὶ γίνεται λέουσι, καὶ λοιπὸν φυλάττει τὸ ο̅ τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ μείζονα χρόνον εὑρίσκεται ἔχουσα κατὰ τὴν παραλήγουσαν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων.

Τοὺς Θέωνας, τοὺς σώφρονας, τοὺς λέοντας· ὦ Θέωνες, ὦ σώφρονες, ὦ λέοντες.

Κανὼν κε΄.

Ὁ κοιτὼν ὁ Σαρπηδὼν ὁ ἀλεκτρυών, τοῦ κοιτῶνος τοῦ Σαρπηδόνος τοῦ ἀλεκτρυόνος.

Κανονίζει ὁ τεχνικὸς τὰ εἰς ω̅ν̅ ὀξύτονα καὶ παραλιμπάνει τὰ εἰς ω̅ν̅ μονοσύλλαβα. Ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς ω̅ν̅ ὀξύτονα μονοσύλλαβα προσθέσει τοῦ ος κλίνονται καὶ φυλάττουσι τὸ ω̅ ἐπὶ τῆς γενικῆς, οἷον κλών κλωνός (σημαίνει δὲ τὸν κλάδον), πρών πρωνός, ἐξ οὗ καὶ ⟨Π 299⟩ πρώονες ἄκροι κατὰ πλεονασμὸν τοῦ ο̅ (σημαίνει δὲ τὴν ἐξοχήν). Μόνον δὲ τὸ χθών χθονός ὡς θηλυκοῦ μόνον γένους ὂν ἐν τοῖς εἰς ω̅ν̅ μονοσυλλάβοις τρέπει τὸ ω̅ εἰς τὸ ο̅ ἐν τῇ γενικῇ, ὥσπερ καὶ τὸ φρήν φρενός ὡς θηλυκοῦ μόνον γένους εὑρεθὲν ἐν τοῖς εἰς η̅ν̅ μονοσυλλάβοις ἔτρεψε τὸ η̅ εἰς τὸ ε̅ ἐν τῇ γενικῇ· τὸ Θῶν Θῶντος (ἔστι δὲ ὄνομα κύριον) διὰ τοῦ ν̅τ̅ κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ὀξύτονον ἀλλὰ περισπώμενον. Ταῦτα μὲν ἐν τούτοις.

Ἔχομεν δέ, ὅτι τὰ εἰς ω̅ν̅ ὀξύτονα δύο κλίσεις ἐπιδέχονται· ἢ γὰρ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ω̅, οἷον Ἑλικών Ἑλικῶνος, παρθενών παρθενῶνος, ἢ προσθέσει τοῦ ο̅ς̅ ποιοῦσι τὴν γενικὴν καὶ τρέπουσι τὸ ω̅ εἰς τὸ ο̅, οἷον Σαρπηδών Σαρπηδόνος, Μακεδών Μακεδόνος. Ἄλλως δέ πως οὐ κλίνονται· οὐδέποτε γὰρ τὰ εἰς ω̅ν̅ ὀνόματα ὀξύτονα κλίνονται διὰ τοῦ ν̅τ̅· τοῦτο γὰρ ἴδιόν ἐστι μετοχῶν, οἷον λαβών λαβόντος, δραμών δραμόντος, φαγών φαγόντος.
295 g Ἀμέλει τὸ Σαρπηδών ὅτε μὲν ὀξύνεται, Σαρπηδόνος ἔχει τὴν γενικήν, ὅταν δὲ κλιθῇ διὰ τοῦ ν̅τ̅, τότε καὶ ὡς ἀπὸ βαρυτόνου εὐθείας ποιούμεθα τὴν κλίσιν, οἷον ⟨Μ 379⟩ Σαρπήδοντος ἑταῖρον προπαροξυτόνως, ὡς ἀπὸ τῆς Σαρπήδων βαρυτονουμένης εὐθείας, καὶ ⟨Μ 392⟩ Σαρπήδοντι δ' ἄχος γένετο· οὕτω δὲ καὶ τὴν κλητικὴν ἀναγινώ-

---

[Discr. scr. ex NCV] **12** Ὁ κοιτών — τοῦ ἀλεκτρυόνος (**13**) *om* NC ‖ **14** παραλιμπάνει *om* N ‖ **19** μόνον] μόνου NC, *om* V ‖ **21** μόνον γένους] μόνου γένους NC, γένους μόνον V ‖ **26** ἐπιδέχεται N ‖ **27** προσθέσει τοῦ ο̅ς̅ *om* NC ‖ **33** τὸ CV, ὁ N ‖ **37** ἄχος V, ἄνχος N, ἔγχος C | ἐγένετο NCV | δὲ V, γὰρ NC

σκομεν, ⟨Ε 633⟩ Σαρπῆδον, Λυκίων βουληφόρε προπερισπωμένως, ὡς ἀπὸ τῆς βαρυτονουμένης εὐθείας. Ταῦτα μὲν ἐν τούτοις.

Τὸ δὲ κοιτών κοιτῶνος κανονίζει ὁ τεχνικὸς λόγῳ τοιούτῳ· τῶν εἰς ων̄ ὀξυτόνων τὰ περιεκτικὰ καὶ ὡς περιεκτικὰ τὸ ω̄ φυλάττουσιν ἐπὶ τῆς γενικῆς, περιεκτικὰ μέν, οἷον κοιτών κοιτῶνος (ὁ περιέχων κοίτας), δαφνών δαφνῶνος (ὁ περιέχων δάφνας), ἀμπελών ἀμπελῶνος (ὁ περιέχων ἀμπέλους), παρθενών παρθενῶνος (ὁ περιέχων παρθένους), ἀκανθών ἀκανθῶνος (ὁ περιέχων ἀκάνθας), ὡς περιεκτικὰ δέ, ὡς ἐπὶ τῶν μηνῶν τῶν Ἀθηναίων, περιέχουσι δὲ ἡμέρας, οἷον ἐλαφηβολιών ἐλαφηβολιῶνος, ἀνθεστηριών ἀνθεστηριῶνος, μεταγειτνιών μεταγειτνιῶνος, πυανεψιών πυανεψιῶνος, βοηδρομιών βοηδρομιῶνος· ταῦτα πάντα φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ, περιέχουσι γὰρ ἑορτὰς καὶ ἡμέρας· καὶ τὸ αἰών δὲ αἰῶνος τούτῳ τῷ λόγῳ ὑπάγεται, περιέχει γὰρ χρόνους, ὡσαύτως δὲ καὶ τὸ ἀγών ἀγῶνος, περιέχει γὰρ γυμνάσια. Δοκεῖ τὸ κανών κανόνος ἀντικεῖσθαι· περιέχει γὰρ τὰ ὑπ᾽ αὐτῷ, καὶ ὅμως τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ. Οὐ καλοῦνται δὲ ταῦτα περιεκτικά, ἀλλ᾽ ὡς περιεκτικά, ἐπειδὴ οὐκ ἔχουσι τὴν ὀνομασίαν ἀπὸ τῶν περιεχομένων· τὰ γὰρ περιεκτικὰ θέλουσιν ἔχειν τὴν ὀνομασίαν ἐξ αὐτῶν τῶν περιεχομένων, οἷον ἀπὸ τοῦ περιέχειν παρθένους λέγεται παρθενών, καὶ ἀπὸ τοῦ περιέχειν ἀμπέλους λέγεται ἀμπελών, καὶ ἀπὸ τοῦ περιέχειν δάφνας λέγεται δαφνών· ταῦτα δέ, φημὶ ⟨δὴ⟩ τὰ λεγόμενα ὡς περιεκτικά, οὐκ ἔχουσι τὴν ὀνομασίαν ἀπὸ τῶν περιεχομένων· οὐδὲ γὰρ ἀπὸ τοῦ ἔχειν χρόνους ὁ αἰών ἔσχε τὸ ὄνομα, ἐπεὶ χρονών ὤφειλεν εἶναι, οὐδὲ ἐκ τοῦ περιέχειν ἡμέρας καὶ ἑορτὰς ὁ βοηδρομιών καὶ πυανεψιών καὶ μεταγειτνιών ἔσχον τὸ ὄνομα, ἐπεὶ ἡμερών καὶ ἑορτών εἰ τύχοι ὤφειλον λέγεσθαι. Αὕτη οὖν ἐστιν ἡ διαφορὰ τῶν περιεκτικῶν 296 g καὶ τῶν ὡς περιεκτικῶν, ὅτι τὰ μὲν περιεκτικὰ ἐξ αὐτῶν τῶν περιεχομένων θέλουσιν ἔχειν τὴν ὀνομασίαν, τὰ δὲ ὡς περιεκτικὰ οὐκ ἔχουσι τὴν ὀνομασίαν ἐκ τῶν περιεχομένων. Ταῦτα μὲν ἐν τούτοις.

Τὸ δὲ Σαρπηδών κανονίζεται τούτῳ τῷ λόγῳ· τὰ εἰς δων̄ λήγοντα ὀξύτονα τρέπουσι τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον Σαρπηδών Σαρπηδόνος, Μακεδών Μακεδόνος, Μυρμιδών Μυρμιδόνος, ὡς τὸ ⟨Φ 188⟩ ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι. Δεῖ προσθεῖναι «χωρὶς τοῦ Καλυδών Καλυδῶνος καὶ Ἀμυδών Ἀμυδῶνος», εἰσὶ δὲ ταῦτα ὀνόματα ἡρώων καὶ φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ· ἔχουσι δὲ ἀπολογίαν τοιαύτην, ὅτι ὡμοφώνησαν πόλεσι τῇ ἡ Ἀμυδών τῆς Ἀμυδῶνος καὶ τῇ ἡ Καλυδών τῆς Καλυδῶνος, καὶ τούτου χάριν ἐφύλαξαν τὸ ω̄ κατὰ τὴν

[Discr. scr. ex NCV] **2** εὐθείας *om* NC ‖ **4** φυλάττουσιν — γενικῆς (**5**) NC, φυλάττει καὶ ἐπὶ γενικῆς V ‖ **7** *ante* παρθενών *add* V: ἐλαιών ἐλαιῶνος, φοινικών φοινικῶνος ‖ **9** οἷον *om* N ‖ **11** ποιανεψιών ποιανεψιῶνος NC ‖ **18** τὰ γὰρ — περιεχομένων (**19**) *om* NC ‖ **20** ἀμπέλους λ. ἀμπελών NC, ξένους λ. ξενών V ‖ **21** δάφνας λ. δαφνών NC, ἀκάνθας λ. ἀκανθών V | φημὶ δὴ] φημὶ NC, *om* V ‖ **25** ποιανεψιών NC ‖ **30** τὸ Σαρπηδὼν δὲ καν. NC ‖ **32** ὡς τὸ *om* NC ‖ **33** μυρμιδόνεσι N | Δεῖ προσθ. *om* NC ‖ **36** ὁμοφώνησαν N

γενικὴν ὁμοίως ταῖς πόλεσιν. Εἴ τι γὰρ εἰς δ̄ω̄ν̄ φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ, τοῦτο εὑρίσκεται ἐν ὁμοφωνίᾳ πόλεως γενόμενον, ὡς ἐπὶ τοῦ Καλυδών Καλυδῶνος καὶ Ἀμυδών Ἀμυδῶνος, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ὁμοφωνοῦντα πόλεσι πάντως φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ· ἰδοὺ γὰρ τὸ ὁ Σιδών τοῦ Σιδόνος ὁμοφωνεῖ πόλει τῇ ἡ Σιδών τῆς Σιδῶνος, καὶ ὅμως τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον ὡς παρὰ τῷ ποιητῇ ⟨Ψ 743⟩ ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν. Ταῦτα μὲν ἐν τούτοις.

Τὸ δὲ ἀλεκτρυών κανονίζεται τούτῳ τῷ λόγῳ· τὰ εἰς ω̄ν̄ καθαρὸν ὀξύτονα βραχεῖ διχρόνῳ παραληγόμενα, τουτέστι συνεσταλμένῳ, τρέπουσι τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον περικτιών περικτιόνος, ἀλεκτρυών ἀλεκτρυόνος, Ἀμφικτυών Ἀμφικτυόνος (ἔστι δὲ ἔθνος)· τὸ Κνακιών ὀξύτονόν ἐστι καὶ εἰς ω̄ν̄ καθαρὸν καὶ διχρόνῳ παραλήγεται, ἀλλ' ἐπειδὴ οὐκ ἔχει τὸ δίχρονον συνεσταλμένον ἀλλ' ἐκτεταμένον, φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον Κνακιῶνος (ἔστι δὲ ὄνομα ποταμοῦ). Ταῦτα δὲ τὰ ὀξύτονα ἐναντίως πως ἔχουσι τοῖς βαρυτόνοις· τὰ γὰρ βαρύτονα, ὡς ἐμάθομεν, ἐὰν ὦσιν εἰς ω̄ν̄ καθαρὸν ἔχοντα δίχρονον ἐν τῇ παραλη- 297 g γούσῃ, εἰ μὲν συστέλλουσι τὸ δίχρονον, φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον Ἀμφιτρύων Ἀμφιτρύωνος, Δευκαλίων Δευκαλίωνος, Ἠετίων Ἠετίωνος, εἰ δὲ ἐκτείνουσι τὸ δίχρονον, τρέπουσι τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον Μαχάων Μαχάονος, Ἱκετάων Ἱκετάονος· διὰ τοῦτο τὸ Ὠρίων Ὠρίωνος ἀναλογώτερόν ἐστι συστέλλον τὸ ῐ ὡς φυλάττον τὸ ω̄ ἐν τῇ γενικῇ.

Τῷ κοιτῶνι, τῷ Σαρπηδόνι, τῷ ἀλεκτρυόνι· τὸν κοιτῶνα, τὸν Σαρπηδόνα, τὸν ἀλεκτρυόνα· ὦ κοιτών, ὦ Σαρπηδών, ὦ ἀλεκτρυών. Εἴρηται ὅτι τὰ εἰς ἀμετάβολα λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ ἄνερ σῶτερ πάτερ δᾶερ.

Τὼ κοιτῶνε, τὼ Σαρπηδόνε, τὼ ἀλεκτρυόνε· τοῖν κοιτώνοιν, τοῖν Σαρπηδόνοιν, τοῖν ἀλεκτρυόνοιν· ὦ κοιτῶνε, ὦ Σαρπηδόνε, ὦ ἀλεκτρυόνε.

Οἱ κοιτῶνες, οἱ Σαρπηδόνες, οἱ ἀλεκτρυόνες· τῶν κοιτώνων, τῶν Σαρπηδόνων, τῶν ἀλεκτρυόνων· τοῖς κοιτῶσι, τοῖς Σαρπηδόσι, τοῖς ἀλεκτρυόσιν. Ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ ν̄ εἰς τὸ σ̄, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ ⟨τοῦ⟩ τοῖς σώφροσι διδασκαλίᾳ.

Τοὺς κοιτῶνας, τοὺς Σαρπηδόνας, τοὺς ἀλεκτρυόνας· ὦ κοιτῶνες, ὦ Σαρπηδόνες, ὦ ἀλεκτρυόνες.

[Discr. scr. ex NCV] **1** ἐν τῇ γεν. *om* NC ‖ **4** πόλεσι V, πόλει NC ‖ **6** τῆς Σιδόνος NC ‖ **7** πολυδέδαλοι N ‖ **10** βραχεῖ V, βραχὺ NC ‖ **12** Κνακιών V, Κνακυών NC ‖ **13** ἀλλ' V, καὶ NC ‖ **14** τὸ δίχρονον *om* NC ‖ **15** Κνακυῶνος NC | *ante* ποταμοῦ *add* κύριον NC ‖ **22** συστέλλων N | φυλάττων N ‖ **24** Τῷ κοιτῶνι — ὦ ἀλεκτρυόνες (**33**) *om* V ‖ **34** ἀλλεκτρυόσιν N ‖ **36** τῷ ῥηθέντι] *cfr. p. 276, 14* | τῇ C, τοῖς N | τοῦ *om* NC

Κανὼν κς΄.

Ὁ Ξενοφῶν τοῦ Ξενοφῶντος, ὁ Ποσειδῶν τοῦ Ποσειδῶνος, ὁ ταῶν τοῦ ταῶνος.

Ἰστέον ὅτι τὰ εἰς ων περισπώμενα διὰ τοῦ ντ κλίνονται καὶ φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ καὶ εἰσὶ μόνον ἀρσενικοῦ γένους, οἷον ὁ Θῶν τοῦ Θῶντος (ἔστι δὲ ὄνομα κύριον), ὁ Ξενοφῶν τοῦ Ξενοφῶντος, ὁ Ἀγλαοφῶν τοῦ Ἀγλαοφῶντος, ὁ Ἱπποκῶν τοῦ Ἱπποκῶντος, χωρὶς ἑνὸς ἐν τῇ συνηθείᾳ λεγομένου, ἔστι δὲ ὄνομα πόλεως Περσικῆς· τοῦτο γὰρ θηλυκοῦ γένους ἐστίν, οἷον ἡ Κτησιφῶν, περισπᾶται δὲ καὶ διὰ τοῦ ντ κλίνεται καὶ φυλάττει τὸ ω ἐν τῇ γενικῇ, οἷον τῆς Κτησιφῶντος· τοῦτο δὲ ἀπὸ ἀρσενικοῦ γένους γέγονε θηλυκὸν καὶ τὴν αὐτὴν κλίσιν ἐφύλαξεν, οἷον ἀπὸ τοῦ ὁ Κτησιφῶν· οὐ μόνον δέ ἐστι τοῦτο τὸ ὄνομα ἐν τῇ συνηθείᾳ, ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις τὸ ὄνομα τοῦτο τῆς πό- 298 g λεως εὕρηται. Ὡς εἰρήκαμεν δὲ πάντα τὰ εἰς ων περισπώμενα διὰ τοῦ ντ κλίνονται, χωρὶς δηλονότι τοῦ Ποσειδῶν Ποσειδῶνος καὶ ταῶν ταῶνος καὶ Τυφῶν Τυφῶνος· ταῦτα γὰρ οὐ κλίνονται διὰ τοῦ ντ, ἀλλὰ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ ω. Καὶ τὸ μὲν Ποσειδῶν ἔχει τοιαύτας ἀπολογίας· τὰ εἰς ων περισπώμενα οὐδέποτέ εἰσι παρασύνθετα, οἷον Δημοφῶν ἀμνοκῶν Ξενοφῶν, τὸ δὲ Ποσειδῶν παρασύνθετόν ἐστιν, ἀπὸ γὰρ τοῦ Ποσειδέης συνθέτου γέγονε Ποσειδέων καὶ Ποσειδῶν παρασύνθετον· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα διήλλαξε καὶ περὶ τὴν κλίσιν· ἄλλως τε δὲ τὰ εἰς ων περισπώμενα τὴν ἐντέλειαν διὰ τοῦ ο καὶ ω ἔχουσιν, οἷον ἀμνοκόων Ἀγλαοφόων Δημοφόων, ὡς παρὰ Καλλιμάχῳ ⟨fragm. 505 Sch⟩ νύμφιε Δημοφόων, ἄδικε ξένε, τὸ δὲ Ποσειδῶν οὐκ ἔχει τὴν ἐντέλειαν διὰ τοῦ ο καὶ ω, ἀλλ' ἢ διὰ τοῦ α καὶ ω, οἷον Ποσειδάων, ἢ διὰ τοῦ ε καὶ ω, οἷον Ποσειδέων· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ περὶ τὴν κλίσιν. Ἔτι τὰ εἰς ων περισπώμενα οὐδέποτέ εἰσι παρώνυμα, οἷον Ξενοφῶν Ἀγλαοφῶν, τὸ δὲ Ποσειδῶν παρώνυμόν ἐστιν, ἀπὸ γὰρ τοῦ Ποσειδέης γέγονε Ποσειδέων παρωνύμως, ὥσπερ καὶ ἀπὸ τοῦ Ἡρακλέης γέγονεν Ἡρακλέων παρωνύμως, καὶ λοιπὸν ἀπὸ τοῦ Ποσειδέων Ποσειδέωνος γίνεται Ποσειδῶν Ποσειδῶνος· ἐπειδὴ οὖν διήλλαξε καὶ κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ κατὰ τὴν κλίσιν. Τὸ δὲ Ποσειδέων Ποσειδέωνος τὸ ω φυλάττει ἐπὶ τῆς γενικῆς, ἐπειδή, ὥσπερ εἰρήκαμεν, παρώνυμόν ἐστιν ἀπὸ τοῦ Ποσειδέης· ἐμάθομεν δὲ ὅτι τὰ εἰς ων παρώνυμα βαρύτονα τὸ ω φυλάττουσιν ἐπὶ τῆς γενικῆς,

---

[Discr. scr. ex NCV] **1** Κανὼν — ταῶνος (**3**) *om* N ‖ **2** τοῦ Ξενοφ. — ταῶνος (**3**) *om* C ‖ **12** ὁ *om* NC ‖ **19** ἀμνοκῶν] ἀμμοκῶν N, *8 fere litt. vac. spatium* C, *om* V ‖ **20** σύνθετον γεγ. N ‖ **21** καὶ *om* NC | διαλλάξαν V, διήλλαξε NC; *item v. 28* ‖ **24** ἀμνοκόων V, ἀμμοκόων N, ἀμ..κόων C ‖ **33** οὖν *om* NC ‖ **36** ἐμάθομεν] *cfr. p. 273, 2*

οἷον θεός Θέων Θέωνος, τρυφή Τρύφων Τρύφωνος, πλατύς Πλάτων Πλάτωνος, δῖος Δίων Δίωνος. Ἔτι τὰ εἰς $\overline{\text{ων}}$ περισπώμενα οὐδέποτε φύσει μακρᾷ παραλήγονται, ἀλλ' ἢ βραχείᾳ, ὡς ἐπὶ τοῦ Δημοφῶν Ἱπποκῶν Ἀγλαοφῶν Κτησιφῶν, ἢ θέσει μακρᾷ, ὡς ἐπὶ τοῦ Δεξικρῶν (τοῦτο γὰρ θέσει μακρᾷ παραλήγεται), τὸ δὲ Ποσειδῶν φύσει μακρᾷ 299 g παραλήγεται· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα διήλλαξε καὶ περὶ τὴν κλίσιν. Ἔτι τὰ εἰς $\overline{\text{ων}}$ περισπώμενα οὐδέποτε γίνονται παρὰ ταῖς διαλέκτοις εἰς $\overline{\text{αν}}$· τὸ δὲ Ποσειδῶν γίνεται παρὰ τοῖς Αἰολεῦσι καὶ παρὰ τοῖς Δωριεῦσιν εἰς $\overline{\text{αν}}$· οἱ μὲν γὰρ Δωριεῖς Ποτιδάν λέγουσιν ὀξυτόνως, οἱ δὲ Αἰολεῖς Ποτείδαν καὶ Ποσείδαν λέγουσι βαρυτόνως· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα διήλλαξε καὶ περὶ τὴν κλίσιν. Ἔτι τὰ εἰς $\overline{\text{ων}}$ περισπώμενα οὐδέποτε ἀποκοπὴν ἀναδέχονται κατὰ τὴν αἰτιατικήν, οἷον Ξενοφῶντα Ἀγλαοφῶντα, τὸ δὲ Ποσειδῶνα ἀποκοπὴν ἀναδέχεται κατὰ τὴν αἰτιατικὴν καὶ γίνεται Ποσειδῶ, οἷον ⟨Aristoph. Nub. 83⟩ νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον, ὥσπερ τὸν Ἀπόλλωνα τὸν Ἀπόλλω· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα διήλλαξε καὶ κατὰ τὴν κλίσιν.

Ἰστέον δὲ ὅτι διαφόρως ἐτυμολογοῦσι τὸ Ποσειδῶν· οἱ μὲν γὰρ λέγουσιν ὅτι παρὰ τὸ πόσει ἐνδεῖν λέγεται, οὐδεὶς γὰρ πίνει ἐκ τοῦ θαλαττίου ὕδατος· οἱ δὲ παρὰ τὸ πέδον σείειν, ἤτοι τὴν γῆν κινεῖν, ὁ αὐτὸς γὰρ λέγεται καὶ ἐνοσίγαιος καὶ ἐνοσίχθων· οἱ δὲ παρὰ τὸ τοὺς πόδας δεῖν, ἤτοι δεσμεῖν, ἐκεῖσε γὰρ ἀφικόμενοι βαδίζειν οὐ δυνάμεθα· οἱ δὲ παρὰ τὸ τὴν πόσιν τῷ δάει, ἤγουν τῷ ἡλίῳ, ἀναπέμπειν· ἐκ τῆς θαλάττης γὰρ ὁ ἥλιος ἀνιμᾶται τὴν ὑγρότητα. Ταῦτα μὲν περὶ τοῦ Ποσειδῶν.

Τὸ δὲ Τυφῶν καὶ ταῶν, ἐπειδὴ δισύλλαβά εἰσι τῶν ἄλλων ὑπὲρ δύο συλλαβὰς ὄντων, οἷον Ξενοφῶν Ἀγλαοφῶν Ποσειδῶν, εἰκότως ὡς διαλλάξαντα κατὰ τὴν ποσότητα τῶν συλλαβῶν πρὸς τὰ ἄλλα περισπώμενα διήλλαξαν καὶ κατὰ τὴν κλίσιν· καὶ ὅτι τὸ Τυφῶν καὶ ταῶν ἁπλᾶ εἰσι, τῶν ἄλλων περισπωμένων μὴ ὄντων ἁπλῶν ἀλλ' ἢ συνθέτων, ὡς τὸ Δημοφῶν Ξενοφῶν Ἀγλαοφῶν Κτησιφῶν (παρὰ γὰρ τὸ φῶ τὸ σημαῖνον τὸ φαίνω) Ἱπποκῶν (παρὰ τὸ κτῶμαι γὰρ Ἱπποκτῶν καὶ Ἱπποκῶν) Δεξικρῶν (παρὰ τὸ κρείω τὸ σημαῖνον τὸ βασιλεύω καὶ κρατῶ), 300 g ἢ παρασυνθέτων, ὥσπερ τὸ Ποσειδῶν (τοῦτο γάρ, ὡς εἴρηται, ἀπὸ συνθέτου τοῦ Ποσειδέης γέγονεν). Ὁ δὲ τεχνικὸς λέγει, ὅτι ἐπειδὴ τὸ

[Discr. scr. ex NCV] **2** δῖος — Δίωνος *om* NC ‖ **4** Ἀγλαοφῶν *om* NC ‖ **5** παραλήγεται V, παραληγόμενον NC ‖ **6** οὖν *om* N | διαλλάξαν CV, διήλλαξεν N ‖ **10** Ποτείδαν N, Ποτίδαν CV ‖ **11** διαλλάξαν V, διήλλαξε NC ‖ **17** διαλλάξαν CV, διήλλαξαν N ‖ **18** διήλλαξε CV, διήλλαξαν N ‖ **20** πόσει ἐνδεῖν NC *et EM 684, 39,* τὴν πόσιν δεῖν V, τὴν πόσιν δεσμεῖν *EM 684, 33* ‖ **22** καὶ ἐνοσίγαιος] καὶ ἐνοσίγεως NC, *om* V ‖ **24** δάει V, δεύειν NC ‖ **29** *ante* ποσότ. *add* ἄλλην NC ‖ **33** φαίνω V, φονεύω NC ‖ **35** παρασύνθετον NC, παρασύνθετα V ‖ **36** ἐπειδὴ — ταῶς (**284, 1**) NC, τὸ ταῶν

Τυφῶν καὶ ταῶν καὶ εἰc ῶc λήγουcι (λέγεται γὰρ καὶ Τυφῶc καὶ ταῶc), τούτου χάριν οὐκ ἠκολούθηcαν τῇ κλίcει τῶν περιcπωμένων καὶ ἐκλίθηcαν διὰ τοῦ ντ· τὰ γὰρ εἰc ῶν περιcπώμενα οὐ γίνονται εἰc ῶc, οἷον Κτηcιφῶν Ἀγλαοφῶν Ξενοφῶν. Ταῦτα μὲν ἐν τούτοιc.

Μηδεὶc δὲ οἰέcθω τὸ Τυφῶν καὶ Τυφῶc καὶ ταῶν καὶ ταῶc δικατάληκτα εἶναι· τὰ γὰρ δικατάληκτα τὴν αὐτὴν ἔχουcι κλίcιν, οἷον δελφίν δελφῖνοc δελφίc δελφῖνοc, Τελχίν Τελχῖνοc Τελχίc Τελχῖνοc, Cαλαμίν Cαλαμῖνοc Cαλαμίc Cαλαμῖνοc. Ταῦτα δὲ οὐκ ἔχουcι τὴν αὐτὴν κλίcιν, Τυφῶν μὲν γὰρ Τυφῶνοc καὶ ταῶν ταῶνοc, ὥcπερ καὶ Ποcειδῶν Ποcειδῶνοc, Τυφῶc δὲ Τυφῶ καὶ ταῶc ταῶ ἀποβολῇ τοῦ c ἀττικῶc, ὥcπερ ὁ ὀρφῶc τοῦ ὀρφῶ καὶ ὁ λαγῶc τοῦ λαγῶ· Τυφῶc δέ ἐcτιν ὁ cφοδρὸc ἄνεμοc· κρεῖττον οὖν ἕτερα θέματα λέγειν τὸ Τυφῶν καὶ ταῶν καὶ ἕτερα τὸ Τυφῶc καὶ ταῶc. Ἰcτέον δὲ ὅτι τινὲc βούλονται τὸ ταῶc ἀπὸ τοῦ ταόc τοῦ διὰ τοῦ ο λέγειν κατ' ἔκταcιν Ἀττικὴν τοῦ ο εἰc τὸ ω καὶ ἐναλλαγὴν τοῦ τόνου εἰc περιcπωμένην τάcιν· καὶ λέγουcί τινεc, οὐκοῦν τεώc ὤφειλεν εἶναι, ὥcπερ ναόc νεώc, λαόc λεώc. Πρὸc οὓc ἔcτιν εἰπεῖν, ὅτι cυνεcταλμένον ἔχει τὸ α καὶ τούτου χάριν οὐκ ἠναγκάζετο τρέψαι αὐτὸ εἰc τὸ ε· ἰδοὺ γὰρ τὸ Οἰνόμαοc, ὡc ἐμάθομεν ἀνωτέρω, ἐπειδὴ cυνεcταλμένον ἔχει τὸ α οὐκ ἐγένετο παρὰ τοῖc Ἀθηναίοιc Οἰνόμεωc. Κρεῖττον οὖν ἐcτι λέγειν, ὅτι τὸ ταῶc οὐκ ἠδύνατο ἀπὸ τοῦ ταόc τοῦ διὰ τοῦ ο εἶναι, ἐπειδή, ὥc φηcιν Ἡρωδιανὸc ἐν τῇ Καθόλου, τὸ ταόc τὸ διὰ τοῦ οc οὐκ ἔcτι cύνηθεc τοῖc Ἕλληcι. Ταῦτα μὲν ἐν τούτοιc.

Ἄξιον δέ ἐcτι ζητῆcαι, εἰ ἄρα τὰ εἰc ων περιcπώμενα οὐδέποτε φύcει μακρᾷ παραλήγονται, οἷον Δημοφῶν Ἀγλαοφῶν Κτηcιφῶν Ἀντιφῶν — τὸ γὰρ Δεξικρῶν οὐ παραλήγεται φύcει μακρᾷ ἀλλὰ θέcει — πῶc τὸ Ποcειδῶν φύcει μακρᾷ παραλήγεται. Ἔcτιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ Ποcειδέηc γέγονε Ποcειδέων καὶ κατὰ κρᾶcιν Ποcειδῶν, ὥcτε δυνάμει 301 g
μὴ εἶναι τὴν φύcει μακράν, φημὶ δὴ τὴν δίφθογγον, ἐν τῇ παραληγούcῃ ἀλλ' ἐν τῇ προπαραληγούcῃ. Πάλιν ἄξιόν ἐcτι ζητῆcαι, εἰ ἄρα τὰ εἰc ων περιcπώμενα οὐδέποτε πάcχουcιν ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν, οἷον Κτηcιφῶντα Ξενοφῶντα, τοῦτο γὰρ ἴδιόν ἐcτι τῶν εἰc ων βαρυτόνων καὶ ὀξυτόνων, οἷον Ἀπόλλωνα Ἀπόλλω, κυκεῶνα κυκεῶ, πῶc τὸ Ποcειδῶν περιcπώμενον πάcχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν, οἷον τὸν Ποcειδῶνα τὸν Ποcειδῶ, ⟨Aristoph. Nub. 83⟩ νὴ τὸν Ποcειδῶ τουτονὶ τὸν ἵππιον. Ἔcτιν οὖν εἰπεῖν, ὅτι δυνάμει βαρύτονόν ἐcτι τὸ Ποcειδῶν, ἀπὸ γὰρ τοῦ Ποcειδέηc γέγονε Ποcειδέων καὶ κατὰ κρᾶcιν Ποcειδῶν.

[Discr. scr. ex NCV] καὶ τυφῶν ἐπειδὴ καὶ εἰc ῶc ἔληξαν, λέγονται γὰρ καὶ ταῶc καὶ τυφῶc V ‖ **9** γὰρ *om* N ‖ **12** τὸ τυφῶν V, τοῦ τυφῶν NC ‖ **13** τὸ τυφῶc V, τοῦ τυφῶc NC ‖ **14** Ἀττικὴν *om* NC ‖ **15** ἐναλλαγῇ NC ‖ **16** τεώc V, τεῶc NC | νεῶc N | λεῶc N ‖ **19** ἀνωτέρω] *cfr. p. 252, 17* ‖ **22** τὸ διὰ C, τοῦ διὰ N, διὰ V ‖ **25** παραλήγονται V, παραλήγεται NC ‖ **29** δὴ *om* NC ‖ **32** *ante* Ξενοφ. *add* καὶ N

Τῷ Ξενοφῶντι, τῷ Ποσειδῶνι, τῷ ταῶνι· τὸν Ξενοφῶντα, τὸν Ποσειδῶνα, τὸν ταῶνα· ὦ Ξενοφῶν, ὦ Πόσειδον, ὦ ταῶν. Ἰστέον ὅτι τὰ εἰς ῶν περισπώμενα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον Ξενοφῶν ὦ Ξενοφῶν, Ἀγλαοφῶν ὦ Ἀγλαοφῶν, Κτησιφῶν ὦ Κτησιφῶν, Δημοφῶν ὦ Δημοφῶν, Ἱπποκῶν ὦ Ἱπποκῶν, ταῶν ὦ ταῶν, Τυφῶν ὦ Τυφῶν, πλὴν τοῦ Ποσειδῶν· ὦ Πόσειδον γὰρ ἡ κλητική, τοῦτο δὲ ψευδαιολικόν ἐστι· διατί δὲ λέγεται ψευδαιολϊκόν, ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ἡνίκα περὶ τοῦ Ἄπολλον καὶ Πόσειδον διελαμβάνομεν. Καὶ ἀποροῦσί τινες λέγοντες, διατί γὰρ ψευδαιολικὸν λέγομεν τὸ ὦ Πόσειδον, καὶ μὴ κατὰ ἀναλογίαν κοινὴν λέγομεν αὐτὸ ἀναβιβάσαι τὸν τόνον ἐν τῇ κλητικῇ· πολλάκις γὰρ τὰ εἰς ων σύνθετα διὰ τοῦ ο ἔχοντα τὴν κλητικὴν ἀναβιβάζουσι τὸν τόνον καὶ προπαροξύνονται, οἷον Ἀγαμέμνων Ἀγάμεμνον, κακοδαίμων κακόδαιμον, ὀλβιοδαίμων ὀλβιόδαιμον. Ἔστιν οὖν εἰπεῖν, ὅτι ὁ λόγος ἐπὶ βαρυτόνων ἐστίν, τὸ δὲ Ποσειδῶν περισπώμενόν ἐστι, καὶ δῆλον ὅτι οὐ δυνάμεθα λέγειν αὐτὸ κατὰ ἀναλογίαν κοινὴν ἀναβιβάσαι τὸν τόνον ἐν τῇ κλητικῇ.

Τὼ Ξενοφῶντε, τὼ Ποσειδῶνε, τὼ ταῶνε· τοῖν Ξενοφώντοιν, τοῖν Ποσειδώνοιν, τοῖν ταώνοιν· ὦ Ξενοφῶντε, ὦ Ποσειδῶνε, ὦ ταῶνε.

302 g Οἱ Ξενοφῶντες, οἱ Ποσειδῶνες, οἱ ταῶνες· τῶν Ξενοφώντων, τῶν Ποσειδώνων, τῶν ταώνων· τοῖς Ξενοφῶσι, τοῖς Ποσειδῶσι, τοῖς ταῶσιν. Ἰστέον ὅτι τὸ μὲν Ξενοφῶσιν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖς λέουσι διδασκαλίᾳ· προσέλαβε γὰρ τὸ ς πρὸ τοῦ ι καὶ ἀπέβαλε τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχεῖα, φημὶ δὴ τὸ ν καὶ τὸ τ· τὸ δὲ Ποσειδῶσι καὶ ταῶσιν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γέγονε τροπῇ τοῦ ν εἰς τὸ ς, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖς Θέωσι διδασκαλίᾳ.

Τοὺς Ξενοφῶντας, τοὺς Ποσειδῶνας, τοὺς ταῶνας· ὦ Ξενοφῶντες, ὦ Ποσειδῶνες, ὦ ταῶνες.

Κανὼν κζʹ.

Ὁ θώραξ τοῦ θώρακος.

Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν εἰς ξ ληγόντων. Καὶ ἰστέον ὅτι τὰ εἰς ξ καὶ εἰς ψ τὸ φωνῆεν τὸ ἐν τῇ εὐθείᾳ φυλάττουσι καὶ ἐν τῇ γενικῇ, οἷον θώραξ θώρακος, νάρθηξ νάρθηκος, σκώληξ σκώληκος, Κύκλωψ Κύκλωπος, μώλωψ μώλωπος, Αἰθίοψ Αἰθίοπος, χωρὶς τοῦ ἀλώ-

---

[Discr. scr. ex NCV] **8** ἐν τοῖς προλ.] *cfr. p. 266, 16* ‖ **24** τῷ εἰρημένῳ] *cfr. p. 276, 30* | τῇ CV, τοῖς N ‖ **25** *prius* τοῦ *om* NC ‖ **28** τῷ εἰρημένῳ] *cfr. p. 276, 14* | *poster.* τοῦ *om* NC ‖ **29** θέοσι N ‖ **33** Ὁ θώραξ τοῦ θώρακος *om* NC ‖ **36** θώραξ θώρακος *om* NC ‖ **37** Αἰθίοψ Αἰθίοπος *om* NC

πηξ ἀλώπεκος· τοῦτο γὰρ ἔτρεψε τὸ η εἰς τὸ ε ἐν τῇ γενικῇ. Ἔχουσι δὲ ταῦτα τὰ εἰς διπλοῦν λήγοντα σύμφωνον τὴν κλίσιν ἢ διὰ δασέος ἢ ψιλοῦ ἢ μέσου· καὶ τὰ μὲν εἰς ξ διὰ τῶν τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων ἐκφέρονται, τουτέστι διὰ τοῦ γ ἢ κ ἢ χ, οἷον ὄρτυξ ὄρτυγος, κόραξ κόρακος, ὄνυξ ὄνυχος, τὰ δὲ εἰς ψ λήγοντα διὰ τῶν τῆς πρώτης συζυγίας τῶν βαρυτόνων ἐκφέρονται, τουτέστι διὰ τοῦ β ἢ π ἢ φ, οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ Κίνυφος. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, τί δήποτε τὰ εἰς ξ λήγοντα διὰ τοῦ γ ἢ διὰ τοῦ κ ἢ διὰ τοῦ χ κλίνονται, οἷον τέττιξ τέττιγος, πέρδιξ πέρδικος, ὄνυξ ὄνυχος, καὶ τὰ εἰς ψ λήγοντα διὰ τοῦ β ἢ π ἢ φ κλίνονται, οἷον Ἄραψ Ἄραβος, Πέλοψ Πέλοπος, Κίνυψ Κίνυφος. Ἐν ταὐτῷ δὲ ζητοῦμεν, διατί τὰ εἰς ς λήγοντα καὶ περιττοσυλλάβως κλινόμενα διὰ τοῦ δ ἢ διὰ τοῦ θ ἢ διὰ τοῦ τ ἢ διὰ καθαροῦ τοῦ ος κλίνονται, οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, Λάχης Λάχητος, χάρις χάριτος, βότρυς βότρυος· πρόσκειται «περιττοσυλλάβως κλινόμενα» διὰ τὸ καλός καλοῦ, 303 g Χρύσης Χρύσου, ταῦτα γὰρ οὐ κλίνονται περιττοσυλλάβως ἀλλ' ἰσοσυλλάβως. Ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὡς εἰ θεῷ φίλον ἐν τῷ Ῥηματικῷ μαθησόμεθα ἐν τῇ περὶ τοῦ μέλλοντος διδασκαλίᾳ, ὅτι ἀναλογεῖ ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεστὼς τῇ γενικῇ. Ἐπειδὴ οὖν ὅταν ὁ ἐνεστὼς διὰ τοῦ β ἢ π ἢ φ ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ ψ ἐκφέρεται, οἷον λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω, τούτου χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ψ ἐκφέρηται, τότε ἡ γενικὴ διὰ τοῦ β ἢ π ἢ φ ἐκφέρεται, οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ Κίνυφος· καὶ ἐπειδὴ πάλιν ὅταν ὁ ἐνεστὼς διὰ τοῦ γ ἢ κ ἢ χ ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται, οἷον λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, τούτου χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ξ ἐκφέρηται, τότε ἡ γενικὴ διὰ τοῦ γ ἢ κ ἢ χ ἐκφέρεται, οἷον τέττιξ τέττιγος, πέρδιξ πέρδικος, ὄνυξ ὄνυχος· καὶ ἐπειδὴ πάλιν ὅταν ὁ ἐνεστὼς διὰ τοῦ δ ἢ θ ἢ τ ἢ διὰ καθαροῦ τοῦ ω ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ ς ἐκφέρεται, οἷον ᾄδω ᾄσω, πείθω πείσω, ἀνύτω ἀνύσω, ἀκούω ἀκούσω, τούτου χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ς ἐκφέρηται καὶ περιττοσυλλάβως κλίνηται, τότε ἡ γενικὴ διὰ τοῦ δ ἢ θ ἢ τ ἢ διὰ καθαροῦ τοῦ ος ἐκφέρεται, οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, Λάχης Λάχητος, βότρυς βότρυος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι οὐ διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν εἰς ξ μονοσυλλάβων, ἀλλ' ἐπειδὴ ταῦτα ποικίλης διδασκαλίας δέονται, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα. Τὸ δὲ θώραξ θώρακος

[Discr. scr. ex NCV] **8** τῶν *ante* τῆς *om* NC; *item v. 5* ‖ **15** χάρις χάριτος *om* NC ‖ **19** ῥηματικῷ V, ῥήματι NC ‖ **21** ὅταν NC, ὅτε V; *item v. 23. 25. 27. 29. 32* | φ ἐκφέρεται NV ‖ **22** ἐκφέρεται V, εἰσφέρεται NC; *item v. 24. 26. 28. 31. 34* ‖ **23** ψ ἐκφέρεται NCV ‖ **25** χ ἐκφέρεται NV ‖ **27** ξ ἐκφέρεται NV ‖ **30** ω ἐκφέρεται NCV ‖ **32** ς ἐκφέρεται NCV ‖ **33** κλίνεται NCV ‖ **36** δὲ *om* NC

κανονίζεται τούτῳ τῷ τρόπῳ· τὰ εἰς αξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ διὰ τοῦ κ κλίνονται, οἷον θώραξ θώρακος, Φαίαξ Φαίακος, φύλαξ φύλακος, κόραξ κόρακος, ἄναξ ἄνακος καὶ πλεονασμῷ τοῦ τ ἄνακτος, αὖλαξ αὔλακος, πῖδαξ πίδακος (σημαίνει δὲ τὴν πηγήν), πίναξ πίνακος, κλῖμαξ κλίμακος. Πρόσκειται «ἁπλᾶ» διὰ τὰ σύνθετα, οἷον διὰ τὸ ἀπόσφαξ ἀπόσφαγος (ἔστι δὲ παρὰ τὸ σφάζω), νεκροβάσταξ νεκροβάσταγος (ἔστι δὲ παρὰ τὸ βαστάζω)· σύνθετα δὲ δεῖ νοεῖν οὐχὶ τὰ ἀπὸ τῶν εἰς 304 g αξ ἁπλῶν σύνθετα, ἀλλὰ τὰ ἀπὸ ἄλλων τινῶν συντεθέντα, ὡς ἐπὶ τοῦ ἀπόσφαξ καὶ νεκροβάσταξ· τὰ γὰρ ἀπὸ τῶν εἰς αξ ἁπλῶν σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον φύλαξ φύλακος χαρτοφύλαξ χαρτοφύλακος, θώραξ θώρακος λινοθώραξ λινοθώρακος, Φαίαξ Φαίακος φιλοφαίαξ φιλοφαίακος, ἅρπαξ ἅρπαγος φιλάρπαξ φιλάρπαγος. Πρόσκειται ἐν τῷ κανόνι «ὑπὲρ μίαν συλλαβήν» διὰ τὰ μονοσύλλαβα, οἷον διὰ τὸ γλάξ γλαγός (γλάξ δέ ἐστι βοτάνη γαλακτοποιός). Σεσημείωται τὸ ἅρπαξ ἅρπαγος διὰ τοῦ γ κλιθὲν καὶ τὸ κέκραξ κέκραγος (σημαίνει δὲ τὸν κρακτικόν), ἔχουσι δὲ ἀπολογίαν τοῦ διὰ τοῦ γ κλίνεσθαι, ὅτι παράκειται αὐτοῖς ῥῆμα εἰς ζω λῆγον, φημὶ δὴ τὸ ἁρπάζω καὶ κράζω· τὰ δὲ εἰς ξ λήγοντα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον εἰς ζω λῆγον διὰ τοῦ γ κλίνονται, οἷον βαστάζω νεκροβάσταξ νεκροβάσταγος, σφάζω ἀπόσφαξ ἀπόσφαγος, μαστίζω μάστιξ μάστιγος· οὕτως οὖν καὶ ἁρπάζω ἅρπαξ ἅρπαγος καὶ κράζω κέκραξ κέκραγος. Ἔτι σεσημείωται τὸ Ἄτραξ Ἄτραγος διὰ τοῦ γ κλιθέν (ἔστι δὲ ἔθνος), περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι τοῦτο ἀναλογώτερόν ἐστι διὰ τοῦ κ κλινόμενον, οἷον Ἄτρακος, ὡς παρὰ Καλλιμάχῳ ⟨fragm. 474 Sch⟩ Ἀτράκιον δὲ ἔπειτα λυκοσπάδα πῶλον ἐλαύνει, ἀντὶ τοῦ Ἄτρακα πῶλον ἐλαύνει ἀποσπασθεῖσαν ὑπὸ λύκου. Ἔτι σεσημείωται τὸ λάλαξ λάλαγος διὰ τοῦ γ κλιθέν, περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ λαλαγή ἐγένετο τοῦ σημαίνοντος τὸν θόρυβον, καὶ ἐφύλαξεν ἐν τῇ κλίσει τὸ σύμφωνον τοῦ λαλαγή, φημὶ δὴ τὸ γ. Τὸ λάταξ λάταγος (θηλυκόν ἐστι καὶ σημαίνει τὴν μεγάλην σταγόνα) οὐκ ἀντίκειται τῷ κανόνι, πρῶτον μὲν ὅτι σύνθετόν ἐστιν, ἀπὸ γὰρ τοῦ στάζω στάξω γέγονεν ἐν συνθέσει [κατ' ἐπέκτασιν] τοῦ λα μορίου λάσταξ καὶ κατὰ ἀποβολὴν τοῦ σ λάταξ· περὶ δὲ ἁπλῶν διαλαμβάνει ὁ κανών, «ἁπλᾶ» γὰρ πρόσκειται ἐν τῷ κανόνι· δεύτερον δὲ παράκειται αὐτῷ ῥῆμα εἰς ζω λῆγον, φημὶ δὴ τὸ στάζω, καὶ τούτου χάριν διὰ τοῦ γ κλίνεται· εἰρήκαμεν γὰρ ὅτι τὰ εἰς ξ λήγοντα ἔχοντα ῥῆμα παρακείμενον εἰς ζω λῆγον διὰ τοῦ γ κλίνονται, 305 g οἷον μαστίζω μάστιξ μάστιγος, ἁρπάζω ἅρπαξ ἅρπαγος· οὕτως οὖν καὶ

[Discr. scr. ex NCV] **3** πλεονασμῷ NC, παρεμπτώσει V ‖ **4** πίναξ πίνακος *om* NC ‖ **7** δεῖ *om* N ‖ **12** φιλοάρπαξ φιλοάρπαγος N ‖ **24** Ἀτράκιον NC, ἄτρακα V ‖ **25** ἐλαύνει *om* V ‖ **26** ὑπὸ] ἀπὸ NCV ‖ **31** κατ' ἐπέκτασιν NC, κατὰ ἐπίτασιν V, κατ' ἐπίτασιν *Lentzius II 740, 25* ‖ **32** κατὰ ἀποβολὴν NC, ἐλλείψει V ‖ **35** εἰρήκαμεν — κλίνονται (**36**) *om* V ‖ **36** κλίνεται NC

στάζω λάσταξ λάσταγος καὶ κατὰ ἀποβολήν, ὡς εἴρηται, τοῦ ϲ λάταξ λάταγος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὰ εἰς αξ λήγοντα δισύλλαβα ἀρσενικά, ἐὰν ἔχωσι φύσει μακρὰν τὴν παραλήγουσαν, ἐκτείνουσι πάντως τὸ ᾱ, τουτέστι φύσει μακρὸν αὐτὸ ἔχουσιν, οἷον θώραξ Φαίαξ οἴαξ. Πρόσκειται «ἐὰν ἔχωσι φύσει μακρὰν τὴν παραλήγουσαν» διὰ τὰ θέσει μακρὰν ἔχοντα ταύτην, οἷον διὰ τὸ ἅρπαξ καὶ κέκραξ· ταῦτα γὰρ συνεσταλμένον ἔχουσι τὸ ᾱ, τουτέστι θέσει μακρόν, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ τὰ ἔχοντα ἢ βραχεῖαν τὴν παραλήγουσαν ἢ θέσει μακρὰν πάντως συστέλλουσι τὸ ᾱ, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχουσιν· εὑρίσκομεν γάρ τινα ἐν αὐτοῖς ἔχοντα τὸ ᾱ ἐκτεταμένον, τουτέστι φύσει μακρόν, οἷον νέαξ (σημαίνει δὲ τὸν νεώτερον) φέναξ (σημαίνει δὲ τὸν ἀπατεῶνα) κόρδαξ (σημαίνει δὲ τοῦτο ὄρχησιν κωμικήν)· ἰδοὺ οὖν ταῦτα μὴ παραληγόμενα φύσει μακρᾷ ἔχουσι τὸ ᾱ ἐκτεταμένον, τουτέστι φύσει μακρόν, ὡς δῆλον ἐκ τῶν ἄλλων πτώσεων τῶν μὴ ἐχουσῶν τὸ ξ. Σημειούμεθα δὲ ἐν τῷ κανόνι τινὰ ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν καὶ συστέλλοντα τὸ ᾰ, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχοντα· εἰσὶ δὲ ταῦτα, Ὕλαξ Κῆαξ (ὀνόματα δὲ ταῦτα κύρια) σῦαξ (φασηλοειδὲς ὄσπριον) καὶ τὸ καύαξ διφορούμενον· τοῦτο γὰρ ποτὲ μὲν συστέλλει τὸ ᾰ ποτὲ δὲ ἐκτείνει αὐτό· ἔστι δὲ εἶδος ὀρνέου. Πρόσκειται «δισύλλαβα», ἐπειδὴ τὰ ὑπὲρ δύο συλλαβὰς κἂν βραχείᾳ παραλήγωνται ἐκτείνουσι τὸ ᾱ, ὡς ἐπὶ τοῦ ἱέραξ, χωρὶς εἰ μὴ ὦσι σύνθετα ἀπὸ ἁπλοῦ συστέλλοντος τὸ ᾱ, ὡς ἐπὶ τοῦ Ἱππῶναξ καὶ Ἀρχιάναξ· ταῦτα γὰρ συστέλλουσι τὸ ᾱ, ἐπειδὴ ἀπὸ ἁπλοῦ συστέλλοντος τὸ ᾰ εἰσίν, φημὶ δὴ ἀπὸ τοῦ ἄναξ· τὸ ἀσφάλαξ ὑπὲρ δύο συλλαβὰς ὂν καὶ συστέλλον τὸ ᾰ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ⟨κατὰ⟩ πλεονασμὸν ἔχει τὸ ᾱ καὶ φύσει δισύλλαβόν ἐστιν· ἀπὸ γὰρ τοῦ σπῶ γέγονεν σπάλαξ, καὶ κατὰ πλεονασμὸν τοῦ ᾱ ἀσπάλαξ, καὶ κατὰ μετάθεσιν τοῦ ψιλοῦ εἰς δασὺ ἀσφάλαξ· τὸ γὰρ ζῷον τοῦτο ἀποσπᾷ τὴν γῆν καὶ ποιεῖ βάθος καὶ οὕτως εἰσέρχεται ἐκεῖ· πρόσκειται «ἀπὸ ἁπλοῦ συστέλλοντος τὸ ᾰ», ἐπειδὴ ἐὰν ὦσιν ἀπὸ ἁπλοῦ ἐκτείνοντος τὸ ᾱ φυλάττουσιν αὐτὸ ἐκτεταμένον, οἷον Φαίαξ 306 g
φιλοφαίαξ, θώραξ λινοθώραξ. Πρόσκειται ἐν τῷ κανόνι «ἀρσενικά», ἐπειδὴ τὰ θηλυκὰ ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν συστέλλουσι τὸ ᾰ, οἷον αὖλαξ πῖδαξ κλῖμαξ· διὰ τοῦτο τὸ μεῖραξ ἀναλογώτερόν ἐστι θηλυκῶς λεγόμενον, συστέλλει γὰρ τὸ ᾰ φύσει μακρὰν ἔχον τὴν παραλήγουσαν· ὅταν δὲ λεχθῇ ἀρσενικῶς παρὰ τοῖς Ἀθηναίοις, ὡς ἐπὶ τὸ

[Discr. scr. ex NCV] **1** στάζω *om* NC | λάσταγος *om* NC | κατὰ — λάταξ *om* V | *ante* λάταξ *add* λατάζω NC ‖ **8** οὐκ ἀντιστρ. — μακρὸν (**10**) *hoc loco om* C, *sed excepta ultima voce* μακρὸν *inepte add p. 289, 3 inter* τὰ εἰς *et* διπλοῦν ‖ **10** τουτέστι — ἔχουσιν *om* V | αὐτὸ ἔχουσιν *om* N ‖ **13** κωμικὴν NC, μηδικὴν V ‖ **16** δὲ *om* NC ‖ **18** ὕλαξ NC, γύλαξ V | κῆαξ NC, κίλιξ V | σῦαξ NC, σαῦαξ V, σαῦσαξ *Kockius, fragm. com. inc. 1375* | φα-(φρα N)σιλοειδὲς NCV ‖ **19** καύαξ V, κάβαξ NC ‖ **24** δὴ V, δὲ NC ‖ **26** οὐκ — τὸ ᾱ *om* V | κατὰ g, *om* NC ‖ **28** *ante* δασὺ *add* τὸ ἀντίστοιχον NC

πλεῖcτον ἐπὶ διαβολῇ παραλαμβάνεται ἀντὶ τοῦ ὁ γυναικώδηc. Ταῦτα μὲν ἐν τούτοιc.

Τῷ θώρακι, τὸν θώρακα, ὦ θώραξ. Ἰcτέον ὅτι τὰ εἰc διπλοῦν λήγοντα cύμφωνον τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ κόραξ ὦ κόραξ, ὁ Φαίαξ ὦ Φαίαξ, ὁ θώραξ ὦ θώραξ, ὁ τέττιξ ὦ τέττιξ, ὁ πέρδιξ ὦ πέρδιξ; ὁ Κύκλωψ ὦ Κύκλωψ, ὁ Αἰθίοψ ὦ Αἰθίοψ, ὁ Πέλοψ ὦ Πέλοψ, ὁ Ἄραψ ὦ Ἄραψ, ὁ αἶθοψ ὦ αἶθοψ. Δεῖ προcθεῖναι «χωρὶc τοῦ ἄνα» διὰ τὸ Ζεῦ ἄνα, οἷον ⟨Π 233⟩ Ζεῦ ἄνα, Δωδωναῖε, Πελαcγικέ, τηλόθι ναίων· ἔcτι γὰρ ἄναξ ἡ εὐθεῖα, καὶ ὅμωc ἡ κλητικὴ οὐχ ὁμοφωνεῖ τῇ εὐθείᾳ, ἀλλὰ χωρὶc τοῦ ξ ἐcτίν· καὶ ἔcτιν εἰπεῖν, ὅτι ὁ ποιητὴc διὰ τὸ μέτρον ἀπέβαλε τὸ ξ· ἀμέλει ὅτε ὁ ποιητὴc ἐδεήθη μακρᾶc cυλλαβῆc, διὰ τοῦ ξ εἶπεν αὐτὸ κατὰ τὴν κλητικήν, οἷον ⟨Β 434⟩ Ἀτρείδη κύδιcτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον. Ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶc τοῦ ὦ γύναι», οἷον ⟨Γ 438⟩ μή με, γύναι, χαλεποῖcιν ὀνείδεcι θυμὸν ἔνιπτε· τοῦτο γὰρ ὡc ἀπὸ τῆc γύναιξ εὐθείαc ἐcτί, καὶ ὅμωc χωρὶc τοῦ ξ ἐcτί· περὶ οὗ ἔcτιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἀπέβαλε τὸ ξ κατὰ τὴν κλητικήν, ἐπειδὴ τὰ εἰc αιξ λήγοντα ἢ ἀρcενικοῦ μόνου γένουc εἰcίν, οἷον Θρᾷξ, ἢ ἐὰν ὦcι θηλυκοῦ γένουc πάντωc καὶ ἀρcενικοῦ εἰcιν, οἷον ὁ Γραίξ καὶ ἡ Γραίξ,
307 g ὁ αἴξ καὶ ἡ αἴξ. Ὅτι γὰρ λέγεται καὶ ὁ αἴξ ἀρcενικῶc, ἐδήλωcεν ὁ ποιητὴc εἰπών ⟨Δ 105⟩ αὐτίκ' ἐcύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸc Ἀγρίου, ὅν ῥά ποτ' αὐτὸc ὑπὸ cτέρνοιο τυχήcαc [βάλε] Πέτρηc ἐκβαίνοντα· ἰδοὺ γὰρ ὅλα πρὸc ἀρcενικὸν cυνέταξεν, οἷον καὶ τὸ ἀγρίου καὶ τὸ ὅν ὑποτακτικὸν ἄρθρον καὶ τὸ ἐκβαίνοντα. Ἐπειδὴ οὖν τὸ γύναιξ οὐκ ἠδύνατο ἀρcενικοῦ γένουc εἶναι, ἡ γὰρ cημαcία κωλύει, τούτου χάριν ἀπέβαλε τὸ ξ κατὰ τὴν κλητικὴν καὶ γέγονε γύναι, ἵνα μὴ εὑρεθῇ εἰc αιξ λῆγον καὶ θηλυκοῦ μόνου γένουc ὄν. Διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ ἡ γύναιξ εὐθεῖα ἐπιλέλοιπεν· ἐν δὲ τῇ cυνθέcει ἐπειδὴ γίνεται ἀρcενικοῦ γένουc ἀναδέχεται τὴν εἰc αιξ κατάληξιν, οἷον ὡc ὦν ἄπαιc τε κἀγύναιξ κἀνέcτιοc παρὰ Cοφοκλεῖ ἐν Ἀθάμαντι ⟨fragm. 4 N²⟩. Ὅτι δὲ γύναιξ ὤφειλεν εἶναι ἡ εὐθεῖα, δῆλον ἐκ τῆc γενικῆc τῶν ἑνικῶν καὶ ἐκ τῆc δοτικῆc τῶν πληθυντικῶν· καὶ ἐκ μὲν τῆc γενικῆc τῶν ἑνικῶν, ὅτι γυναικόc ἐcτί· πᾶcα γὰρ γενικὴ διὰ τοῦ κοc κλινομένη εἰc ξ ἔχει τὴν εὐθεῖαν καταλήγουcαν, οἷον θώρακοc θώραξ, κόρακοc κόραξ, Φοίνικοc Φοῖνιξ, πέρδικοc πέρδιξ· εἰ οὖν γυναικόc ἐcτὶν ἡ γενικὴ διὰ τοῦ κοc, δηλονότι καὶ ἡ εὐθεῖα γύναιξ ἐcτὶν εἰc ξ· ἐκ δὲ τῆc δοτικῆc τῶν πληθυντικῶν, ὅτι πᾶcα δοτικὴ πληθυντικῶν εἰc ι λήγουcα μετὰ διπλοῦ ἀποβολῇ τοῦ ι ποιεῖ τὴν εὐθεῖαν τῶν ἑνικῶν, οἷον Κύκλωψι Κύκλωψ, Πέλοψι Πέλοψ, θώραξι θώραξ,

[Discr. scr. ex NCV] **3** *de eis quae post* εἰc *add* C *cfr. p. 288,8* ‖ **7** ὁ αἶθοψ ὦ αἶθοψ V, ὁ αἴθωψ ὦ αἴθωψ NC ‖ **13** οἷον *om* N ‖ **15** ἔνιcπε NCV ‖ **18** οἷον Θρᾷξ — εἰcιν (**19**) *om* V ‖ **22** βάλε *hab.* NCV ‖ **30** ἄπαιc τε NC, ἀπέτε V | κἀγύναιξ V, καὶ ἀγύναιξ NC | κἀνέcτιοc b, καὶ ἀνέcτιοc NC, *om* V ‖ **35** κόρακοc κόραξ NC, cκώληκοc cκώληξ V | πέρδικοc πέρδιξ NC, γραικὸc γραῖξ V

κόραξι κόραξ, τέττιξι τέττιξ· εἰ οὖν γυναιξίν ἡ δοτικὴ τῶν πληθυντικῶν, δηλονότι καὶ γύναιξ ἐсτὶν ἡ εὐθεῖα τῶν ἑνικῶν, ἀλλ' ἐπιλέλοιπε διὰ τὴν προλεχθεῖсαν αἰτίαν.

Τὼ θώρακε, τοῖν θωράκοιν, ὦ θώρακε. Οἱ θώρακεс, τῶν θωράκων, τοῖс θώραξιν. Ἰсτέον ὅτι τὴν δοτικὴν τῶν πληθυντικῶν διχῶс κανονίζει, καὶ ἀπὸ τῆс δοτικῆс τῶν ἑνικῶν πρὸ τοῦ ι̅ λαμβανούсηс τὸ с̅ καὶ сυναιρούсηс τὸ κ̅с̅ εἰс ξ̅, ὡс καὶ τὸ π̅с̅ εἰс ψ̅, οἷον θώρακι θώρακсι θώραξι, Πέλοπι Πέλοπсι Πέλοψι, καὶ ἀπὸ τῆс εὐθείαс τῶν ἑνικῶν, ὅτι πᾶсα εὐθεῖα ἑνικῶν εἰс διπλοῦν λήγουсα προсθέсει 308 g τοῦ ι̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον κόραξ κόραξι, πέρδιξ πέρδιξί, θώραξ θώραξι, Πέλοψ Πέλοψι, θρίξ θριξίν, ὄνυξ ὄνυξι, Κύκλωψ Κύκλωψιν, Αἰθίοψ Αἰθίοψιν, Ἄραψ Ἄραψι. Ταῦτα μὲν ἐν τούτοιс.

Ἄξιον δέ ἐсτι ζητῆсαι, διατί ὥсπερ ἐπὶ τῆс δοτικῆс τῶν ἑνικῶν τῆс θώρακι καὶ Πέλοπι τοῦ с̅ προсελθόντοс κρᾶсιс παρηκολούθηсε τοῦ κ̅ καὶ с̅ εἰс ξ̅ καὶ τοῦ π̅ καὶ с̅ εἰс ψ̅, καὶ γέγονε θώραξι καὶ Πέλοψιν ἡ δοτικὴ τῶν πληθυντικῶν, μὴ καὶ ἐπὶ τῆс Πάριδι δοτικῆс τῶν ἑνικῶν τοῦ с̅ προсελθόντοс κρᾶсιс παρηκολούθηсε τοῦ δ̅ καὶ с̅ εἰс ζ̅, καὶ γέγονε Πάριζιν ἡ δοτικὴ τῶν πληθυντικῶν. Καί φαμεν ὅτι οὐκ ἠδύνατο κρᾶсιс γενέсθαι τοῦ δ̅ καὶ с̅ εἰс ζ̅, τὸ γὰρ ζ̅ οὐ сυνέсτηκεν ἐκ τοῦ δ̅ καὶ с̅, ἀλλ' ἐκ τοῦ с̅ καὶ δ̅. Ταῦτα μὲν ἐν τούτοιс.

Ἰсτέον δέ, ὡс εἰ θεῷ φίλον προϊόντεс μαθηсόμεθα, ὅτι οὐ сύγκεινται τὰ διπλᾶ ἐκ δύο сυμφώνων, ἀλλὰ δύο сυμφώνων ἔχουсι δύναμιν καὶ ἐκφώνηсιν.

Τοὺс θώρακαс, ὦ θώρακεс.

Κανὼν κη΄.

Ὁ μύρμηξ τοῦ μύρμηκοс, ὁ βουπλὴξ τοῦ βουπλῆγοс.

Περὶ τῶν εἰс η̅ξ̅ διαλαμβάνει τῶν διὰ τοῦ η̅· καὶ ἰсτέον ὅτι τὰ εἰс η̅ξ̅ ὑπὲρ μίαν сυλλαβὴν ἁπλᾶ διὰ τοῦ κ̅ κλίνονται, οἷον сκώληξ сκώληκοс, μύρμηξ μύρμηκοс, νάρθηξ νάρθηκοс· πρόсκειται «ὑπὲρ μίαν сυλλαβήν» διὰ τὸ ἡ βήξ τῆс βηχόс· τοῦτο γὰρ διὰ τοῦ χ̅ κλίνεται, ἀλλ' οὐκ ἔсτιν ὑπὲρ μίαν сυλλαβὴν ἀλλὰ μονοсύλλαβον· εἰ δὲ εἰсι сύνθετα, ἀπὸ ῥήματοс δηλονότι, διὰ τοῦ γ̅ κλίνονται καὶ φυλάττουсι μίαν сυλλαβὴν τοῦ ῥήματοс ἐξ οὗ γίνονται, οἷον πλήξω οἰсτροπλήξ οἰсτροπλῆγοс, παραπλήξ παραπλῆγοс, λαοπλήξ λαοπλῆγοс, ἀκανθοπλήξ ἀκανθοπλῆγοс, βουπλήξ βουπλῆγοс. Ταῦτα δὲ πάντα сύνθετα ἀπὸ ῥήματοс ὀξύτονά εἰсι καὶ ἐπίθετα καὶ κοινὰ τῷ γένει, τουτέсτιν ἀρсενικῶс καὶ θηλυκῶс λεγόμενα, οἷον ὁ κυματοπλήξ καὶ ἡ κυματοπλήξ, ὁ παραπλήξ καὶ ἡ

[Discr. scr. ex NCV] **11** Πέλοψ — θριξίν *om* NC || **13** διατί V, ὅτι NC | ἐπὶ V, ἀπὸ NC; *item v. 16* || **15** καὶ τοῦ π̅ — ψ̅ *om* N || **16** *ante* μὴ *add* διατί NC || **21** сύγκειται NCV || **25** Κανὼν κη΄ V, κανὼν κζ΄ N, *om* C || **26** Ὁ μύρμηξ — βουπλῆγοс *om* NC || **30** διὰ τὸ — μονοсύλλαβον (**31**) *om* V | **31** μονοсύλλαβον g, μονοсύλλαβα NC || **34** λαοπλῆξ N

309 g παραπλήξ, ὁ οἰστροπλήξ καὶ ἡ οἰστροπλήξ· τὸ μέντοι ὕσπληξ καὶ ἀντίπηξ βαρύνονται, ἐπειδὴ προσηγορικά εἰσι καὶ μόνου θηλυκοῦ γένους εἰσί· τὴν δὲ κλίσιν καὶ αὐτὰ διὰ τοῦ γ̄ ἔχουσιν, οἷον ὕσπληξ ὕσπληγος καὶ ἀντίπηξ ἀντίπηγος· ὕσπληξ δέ ἐστιν ἡ ἀφετηρία τοῦ δρόμου, ὕσπληξ δὲ λέγεται ἢ ἀπὸ τοῦ πλήττειν τῇ μάστιγι τῇ ἀπὸ τῶν τριχῶν ὑῶν, τουτέστιν ἀπὸ χοίρων, ἢ παρὰ τὴν ὑπό πρόθεσιν γέγονεν ὑπόπληξ, καὶ συγκοπῆς γενομένης τῆς π̄ο̄ συλλαβῆς καὶ πλεονασμῷ τοῦ σ̄ γέγονεν ὕσπληξ, ὡς ὑπότερος ὕστερος· τὸ δὲ ἀντίπηξ σημαίνει τὴν κιβωτὸν καὶ παρὰ τὴν ἀντί πρόθεσιν καὶ τὸ πήσσω γέγονεν· τὸ μολιβδοτήξ, ὥς φησιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου, τινὲς βαρύνουσι παραλόγως, κλίνεται δὲ διὰ τοῦ κ̄, οἷον μολιβδοτῆκος, ἐπειδὴ παρὰ τὸ τήκω ἔχει τὴν σύνθεσιν, καὶ τούτου χάριν τὸ σύμφωνον τοῦ τήκω ἐφύλαξε κατὰ τὴν κλίσιν, φημὶ δὴ τὸ κ̄. Πρόσκειται ἀνωτέρω, «εἰ δέ εἰσι σύνθετα, ἀπὸ ῥήματος δηλονότι» διὰ τὸ χηναλώπηξ, τοῦτο γὰρ ἀπὸ τοῦ ἀλώπηξ συντέθειται καὶ τὸν τόνον καὶ τὴν κλίσιν τοῦ ἁπλοῦ ἐφύλαξεν, οἷον ἀλώπηξ ἀλώπεκος καὶ χηναλώπηξ χηναλώπεκος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ βουπλήξ βουπλῆγος πανταχοῦ εἰς τὴν π̄λ̄η̄ συλλαβὴν ἔχει τὸν τόνον καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς δυϊκοῖς καὶ ἐν τοῖς πληθυντικοῖς, εἰ καὶ μὴ τὸν αὐτόν· τὸ μὲν γὰρ βουπλήξ ὀξύνεται τὸ δὲ βουπλῆγος προπερισπᾶται, καὶ πάλιν τὸ μὲν βουπλῆγε προπερισπᾶται τὸ δὲ βουπλήγοιν παροξύνεται.

Τῷ μύρμηκι, τῷ βουπλῆγι· τὸν μύρμηκα, τὸν βουπλῆγα· ὦ μύρμηξ, ὦ βουπλήξ. Εἴρηται ὅτι τὰ εἰς διπλοῦν σύμφωνον λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ ἄνα καὶ τοῦ ὦ γύναι.

Τὼ μύρμηκε, τὼ βουπλῆγε· τοῖν μυρμήκοιν, τοῖν βουπλήγοιν· ὦ μύρμηκε, ὦ βουπλῆγε.

Οἱ μύρμηκες, οἱ βουπλῆγες· τῶν μυρμήκων, τῶν βουπλήγων· τοῖς μύρμηξι, τοῖς βουπλῆξιν. Εἴρηται ὅτι διχῶς κα-
310 g νονίζεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, ⟨καὶ⟩ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν προσερχομένου τοῦ σ̄ πρὸ τοῦ ῑ καὶ τοῦ κ̄ καὶ σ̄ συναιρουμένων εἰς ξ̄, καὶ ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν προσθέσει τοῦ ῑ.

Τοὺς μύρμηκας τοὺς βουπλῆγας· ὦ μύρμηκες ὦ βουπλῆγες.

[Discr. scr. ex NCV] **1** ἀντίπληξ NCV; *item v. 4 et 8* ‖ **4** ἀντίπληγος NCV | ἡ ὕσπληξ δέ ἐστιν NC ‖ **8** κοιβωτὸν NC ‖ **9** *ante* παρὰ *add* ὅτι NC | πήσσω] πλήσσω NCV ‖ **12** καὶ *om* NC ‖ **13** δὴ V, δὲ N, *om* C ‖ **23** Εἴρηται] *cfr. p. 289, 3* ‖ **24** *ante* ἄνα *add* ζεθ NC ‖ **26** Τὼ μύρμηκε — ὦ βουπλῆγες (**34**) *om* V ‖ **29** Εἴρηται] *cfr. p. 290, 5* ‖ **30** καὶ *om* NC ‖ **31** συναιρουμένων] συναιρουμένου NC

Κανὼν κθ'.

Ὁ πέρδιξ τοῦ πέρδικος, ὁ τέττιξ τοῦ τέττιγος, ὁ ὁμῆλιξ τοῦ ὁμήλικος.

Ἰστέον ὅτι τὰ εἰς ιξ ἀρσενικὰ ἁπλᾶ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνονται, οἷον πέρδιξ πέρδικος, Φοῖνιξ Φοίνικος, Κίλιξ Κίλικος, ἧλιξ ἥλικος, πλὴν τοῦ τέττιξ τέττιγος· τοῦτο γὰρ διὰ τοῦ γ κλίνεται. Καὶ λέγει ὁ Ἡρωδιανός, ὅτι τὸ κεχρεωστημένον ἀνεπλήρωσαν οἱ Δωριεῖς καὶ οἱ Ἀθηναῖοι διὰ τοῦ κ κλίνοντες αὐτό, οἷον τέττικος· παράδειγμα δέ ἐστι τῆς δόξης, ὅτι παρὰ τῷ Θεοκρίτῳ καὶ παρὰ τῷ Ἀριστοφάνει διὰ τοῦ κ κλίνεται, ἡ δὲ παράδοσις τῶν ἀντιγράφων οὐκ ἔχει οὕτως, ἀλλὰ διὰ τοῦ γ. Τὸ ὄρνιξ ὄρνιχος διὰ τοῦ χ κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι κοινολεκτούμενον ἀλλὰ κατὰ διάλεκτον· τὸ γὰρ ὄρνις ὄρνιξ λέγουσιν οἱ Δωριεῖς. Τοῦτο δὲ καὶ ἐν τῇ εἰς ς καταλήξει παράλογόν ἐστι· τῷ γὰρ λόγῳ τῶν εἰς ις προσηγορικῶν διὰ καθαροῦ τοῦ ος ὤφειλε κλίνεσθαι, οἷον ὄρνις ὄρνιος, ὥσπερ μάντις μάντιος καὶ ὄφις ὄφιος· ἀλλ' ἔστιν εἰπεῖν, ὅτι εἰσί τινα εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολα ἅτινα διὰ τοῦ θος κλίνονται, οἷον δέλλις δέλλιθος (ἔστι δὲ ζῷον ὅμοιον μελίσσῃ), μέρμις μέρμιθος (σημαίνει δὲ τὸ λεπτὸν σχοινίον)· οὕτως οὖν καὶ ὄρνις ὄρνιθος. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἐν τῷ κανόνι «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ θρίξ τριχός, τοῦτο γὰρ διὰ τοῦ χ κλίνεται, ἀλλ' οὐκ ἔστιν ὑπὲρ μίαν συλλαβήν· πρόσκειται «ἀρσενικά» διὰ τὸ μάστιξ μάστιγος, τοῦτο γὰρ διὰ τοῦ γ κλίνεται, ἀλλ' οὐκ ἔστιν ἀρσενικόν· πρόσκειται «ἁπλᾶ» διὰ τὰ σύνθετα, ἐπειδὴ ταῦτα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον θρίξ τριχός καλλίθριξ καλλίτριχος, στίξ στιχός (σημαίνει δὲ τὴν τάξιν) ὁμόστιξ ὁμόστιχος, Φοῖνιξ Φοίνικος Λιβοφοῖνιξ Λιβοφοίνικος, ἧλιξ ἥλικος ὁμῆλιξ ὁμήλικος. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ Φοῖνιξ καὶ πέρδιξ καὶ τέττιξ ἐν μὲν ταῖς πλαγίοις 311 g
ἐκτείνουσι τὸ ι, τουτέστι φύσει μακρὸν αὐτὸ ποιοῦσιν, ἐν δὲ τῇ εὐθείᾳ συστέλλουσιν αὐτό, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχουσιν· ὤφειλον δὲ καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνειν αὐτό, ἐπειδὴ τὰ εἰς ιξ καὶ τὰ εἰς υξ ⟨ἀρσενικὰ⟩ μακρᾷ παραληγόμενα εἴτε φύσει εἴτε θέσει ἁπλᾶ ὄντα ἐκτείνειν θέλουσι τὸ δίχρονον, τουτέστι φύσει μακρὸν αὐτὸ ἔχουσιν, οἷον κῆρυξ Βέβρυξ

[Discr. scr. ex NCV] **1** Κανὼν κθ' V, κανὼν κη' N, *om* C ‖ **2** Ὁ πέρδιξ — ὁμήλικος (3) *om* NC ‖ **5** ἧλιξ ἥλικος *om* NC ‖ **7** λέγει NC, λέγουσιν ὅ τε Ὑπερέχιος καὶ V ‖ **8** παράδειγμα δέ ἐστι] παραδείγματα δὲ V, ταῦτα δέ ἐστι NC ‖ **9** τῷ *ante* Ἀριστ. *om* NC ‖ **18** δέλλις δέλλιθος V, βέλλις βέλλιθος NC ‖ **19** λεπτὸν V, λοιπὸν NC ‖ **29** πλαγίαις NCV ‖ **31** θέσει μακρὸν V, φύσει βραχὺ N, φύσει μακρὸν *et supra* φύσει *manu recentissima* οὐ C ¦ δὲ *om* NC ‖ **32** ιξ διὰ τοῦ ι καὶ τὰ εἰς υξ διὰ τοῦ υ N | ἀρσενικὰ *om* NCV; *cfr. p. 293, 32* ‖ **34** κῆρυξ N, κήρυξ CV

τέττιξ πέρδιξ. Cεcημείωνται τὰ εἰc λιξ καὶ τὸ χοῖνιξ· ὅτι γὰρ ἐκτείνειν ὤφειλον τὸ ῑ καὶ τὸ ῡ ἐν τῇ εὐθείᾳ, δῆλον ἀπὸ τοῦ καὶ ἐν τῇ γενικῇ ἐκτείνειν αὐτά. Κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι ἡ παραλήγουcα τῆc περιττοcυλλάβου γενικῆc οὐδέποτε εὑρίcκεται μείζων τῆc ληγούcηc τῆc ἰδίαc εὐθείαc, ἀλλ' ἢ ἴcη πρὸc αὐτήν, οἷον λέβηc λέβητοc, ἔρωc ἔρωτοc, Πάριc Πάριδοc, ἢ ἐλάττων, οἷον Ἕκτωρ Ἕκτοροc, Νέcτωρ Νέcτοροc· εἰ οὖν ἡ πέρδικοc καὶ ἡ κήρυκοc γενικὴ ἐκτείνει τὸ δίχρονον, ὤφειλε καὶ ἡ πέρδιξ καὶ ἡ κῆρυξ εὐθεῖα ἐκτείνειν αὐτό, τουτέcτι φύcει μακρὸν αὐτὸ ἔχειν· ἀλλ' ἐπειδὴ τὸ ῑ καὶ τὸ ῡ οὐδέποτέ εἰcι πρὸ τοῦ ξ φύcει μακρά, οἷον πνίξω ψύξω ἐρύξω, χωρὶc εἰ μὴ τῷ λόγῳ ἀρχούcηc παρῳχημένων, ὡc ἐπὶ τοῦ ἰξεύω ἴξευον — τὸ μὲν γὰρ ἰξεύω θέcει μακρὸν ἔχει τὸ ῑ, τὸ δὲ ἴξευον φύcει μακρὸν τῷ λόγῳ τῆc ἀρχούcηc τῶν παρῳχημένων· οἱ γὰρ παρῳχημένοι ἢ χρονικῶc ἢ cυλλαβικῶc θέλουcι μεγεθύνεcθαι, cυλλαβικῶc μέν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω ἔλεγον, χρονικῶc δέ, οἷον ἄγω ἦγον, ἐνέγκω ἤνεγκον, ἄρχομαι ἠρχόμην· ἐν οἷc οὖν τὸ ἰξεύω ἴξευον οὐκ ἠδύνατο cυλλαβικῶc μεγεθυνθῆναι, οὐδὲ γὰρ ἄρχεται ὁ ἐνεcτὼc ἀπὸ cυμφώνου, ἐξ ἀνάγκηc οὖν χρονικῶc ἐμεγεθύνθη, καὶ τούτου χάριν φύcει μακρὸν ἔχει τὸ ῑ —· ἀλλ' ἐπειδή, ὡc εἴρηται, τὸ ῑ καὶ τὸ ῡ πρὸ τοῦ ξ οὐδέποτέ εἰcι φύcει μακρά, χωρὶc εἰ μὴ λόγῳ ἀρχούcηc παρῳχημένων, ἐξ ἀνάγκηc ταῦτα τὰ εἰc ιξ καὶ τὰ εἰc υξ cυcτέλλουcι τὸ ῑ καὶ τὸ ῡ ἐν τῇ εὐθείᾳ διὰ τὴν ἐπιφορὰν τοῦ ξ, ἐν δὲ τῇ γενικῇ καὶ ἐν ταῖc ἄλλαιc πτώcεcι ταῖc μὴ ἐχούcαιc τὸ ξ τὴν κεχρεωcτημένην τῇ εὐθείᾳ φύcει μακρὰν ἀνεδέξαντο.

312 Πρόcκειται «μὴ ἐχούcαιc τὸ ξ» διὰ τὴν δοτικὴν τῶν πληθυντικῶν, ἐπειδὴ καὶ αὕτη cυνεcταλμένον ἔχει τὸ ῑ καὶ τὸ ῡ, τουτέcτι θέcει μακρὸν ἔχει αὐτό, οἷον Φοίνιξι κήρυξι, διὰ τὴν ἐπιφορὰν τοῦ ξ. Πρόcκειται ἀνωτέρω «χωρὶc τῶν εἰc λιξ» διὰ τὸ ἧλιξ ἥλικοc, ὁμῆλιξ ὁμήλικοc, ἕλιξ ἕλικοc, ταῦτα γὰρ πανταχοῦ cυcτέλλουcι τὸ ῑ· ὁμοίωc δὲ καὶ τὸ χοῖνιξ χοίνικοc πανταχοῦ cυcτέλλει τὸ ῑ, οἷον ⟨τ 27⟩ ὅ c τ ι c ἐ μ ῆ c γ ε Χ ο ί ν ι κ ο c ἅ π τ η τ α ι, καὶ πάλιν ⟨fragm. com. inc. 444 K⟩ π λ έ ο ν δ υ ε ῖ ν c ο ι χ ο ι ν ί κ ω ν ὁ δ ε c π ό τ η c Π α ρ έ χ ε ι· τοῦτο δὲ καὶ θηλυκόν ἐcτι. Πρόcκειται «ἀρcενικά» διὰ τὸ ἄμπυξ ἄμπυκοc· τοῦτο γὰρ πανταχοῦ cυcτέλλει τὸ ῡ, ἀλλ' οὐκ ἔcτιν ἀρcενικόν· πρόcκειται δέ «μακρᾷ παραληγόμενα» διὰ τὸ ὄνυξ ὄνυχοc, Ἔρυξ Ἔρυκοc, cτόνυξ cτόνυχοc (cτόνυξ δέ ἐcτιν ὁ κυνόδουc)· ταῦτα γὰρ πανταχοῦ cυcτέλλουcι τὸ ῡ, ἀλλ' οὐ παραλήγονται μακρᾷ· πρόcκειται δέ «ἁπλᾶ» διὰ τὸ ὁμόcτιξ

[Disck. scr. ex NCV] **8** γάρ ἐcτιν V, δέ ἐcτιν NC || **8** *post* αὐτὸ *add* καὶ NC || **10** μακρὰ φύcει *traic.* NC; *item v. 19* || **11** ὡc — παρῳχημένων (**13**) *om* V || **21** εἰc *ante* υξ *om* NC || **24** ἐχούcαιc V, ἐχούcηc NC || **28** πανταχοῦ — χοίνικοc (**29**) *om* N || **29** ὅcτιc ἐμῆc γε NCV || **30** ἅπτεται NCV || **31** δυεῖν coι N, δυοῖν coι C, δυῶν cε V || **32** ἀρcενικά NC, ἀνωτέρω ἐν τῷ κανόνι τῷ χρονικῷ V; *cfr. p. 292, 32* | ἄμπυξ ἄμπυκοc] ἄμπυξ ἄμπυγοc V, ἰάπυξ ἰάπυγοc NC

ὁμόcτιχοc, πρόcφυξ πρόcφυγοc, cύζυξ cύζυγοc· ταῦτα γὰρ πανταχοῦ cυcτέλλουcι τὸ δίχρονον, ἀλλ' οὐκ εἰcὶν ἁπλᾶ. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι τὸ Φοῖνιξ καὶ κῆρυξ ἔχοντα φύcει μακρὰν τὴν παραλήγουcαν προπεριcπῶνται, δηλονότι κατὰ τὴν εὐθεῖαν, διὰ τὸ τονικὸν παράγγελμα τὸ λεχθηcόμενον ἐν τῇ περὶ τῶν τόνων διδαcκαλίᾳ· φύcει γὰρ μακρά ἐcτι πρὸ μιᾶc βραχείαc· τὸ γὰρ ῑ καὶ ῡ, ὡc εἴρηται, cυνεcταλμένα εἰcίν, ἤγουν θέcει μακρά, διὰ τὴν ἐπιφορὰν τοῦ ξ̄.

Τῷ πέρδικι, τῷ τέττιγι, τῷ ὁμήλικι· τὸν πέρδικα, τὸν τέττιγα, τὸν ὁμήλικα· ὦ πέρδιξ, ὦ τέττιξ, ὦ ὁμῆλιξ.

Τὼ πέρδικε, τὼ τέττιγε, τὼ ὁμήλικε· τοῖν περδίκοιν, τοῖν τεττίγοιν, τοῖν ὁμηλίκοιν· ὦ πέρδικε, ὦ τέττιγε, ὦ ὁμήλικε.

Οἱ πέρδικεc, οἱ τέττιγεc, οἱ ὁμήλικεc· τῶν περδίκων, τῶν τεττίγων, τῶν ὁμηλίκων· τοῖc πέρδιξι, τοῖc τέττιξι, τοῖc ὁμήλιξι· τοὺc πέρδικαc, τοὺc τέττιγαc, τοὺc ὁμήλικαc· 313 g ὦ πέρδικεc, ὦ τέττιγεc, ὦ ὁμήλικεc.

Κανὼν λ'.

Ὁ δοῖδυξ τοῦ δοίδυκοc, ⟨ὁ Βέβρυξ τοῦ Βέβρυκοc⟩.

Ἰcτέον ὅτι τὰ εἰc ῡξ λήγοντα διcύλλαβα εἰ μὲν ἔχουcι φύcει μακρὰν τὴν παραλήγουcαν, διὰ τοῦ κ̄ κλίνονται, οἷον κῆρυξ κήρυκοc, δοῖδυξ δοίδυκοc, εἰ δὲ ἔχουcι θέcει μακρὰν τὴν παραλήγουcαν ἔχουcαν δύο cύμφωνα, ὧν τὸ ἕτερον τῆc πρώτηc cυζυγίαc τῶν βαρυτόνων ἐcτίν, ὁμοίωc διὰ τοῦ κ̄ κλίνονται, οἷον Βέβρυξ Βέβρυκοc (ἔχει γὰρ τὸ β̄ τῆc πρώτηc cυζυγίαc τῶν βαρυτόνων), ἄμπυξ ἄμπυκοc (ἔχει γὰρ καὶ αὐτὸ τὸ π̄· ἄμπυξ δέ ἐcτι τὸ κεφαλοδέcμιον)· καὶ τὰ εἰc ρυξ τῷ ε̄ παραληγόμενα ὁμοίωc διὰ τοῦ κ̄ κλίνονται, οἷον Ἔρυξ Ἔρυκοc, Βέβρυξ Βέβρυκοc· τοῦτο δὲ διὰ τοῦ κ̄ κλίνεται κατὰ δύο κανόναc, κατά τε τοῦτον τὸν κανόνα καὶ κατὰ τὸν προειρημένον, ἔχει γὰρ cύμφωνον τῆc πρώτηc cυζυγίαc τῶν βαρυτόνων τὸ β̄. Τὰ δὲ μὴ ὑποπίπτοντα τούτοιc τοῖc κανόcιν ὡc ἐπὶ τὸ πλεῖcτον διὰ τοῦ γ̄ κλίνονται, οἷον Ἰᾶπυξ Ἰάπυγοc (ἔcτι δὲ ἔθνοc), ὄρτυξ ὄρτυγοc· οὐχ ὑποπίπτουcι γὰρ ταῦτα τοῖc προλεχθεῖcι κανόcιν. Πρόcκειται «ὡc ἐπὶ τὸ πλεῖcτον» διὰ τὸ εἰνάνυξ εἰνάνυχοc, τοῦτο γὰρ διὰ τοῦ χ̄ ἔχει τὴν κλίcιν· ἔcτι δὲ cύνθετον, εἰνάνυξ γάρ ἐcτιν ὁ ἐννέα νυκτῶν, οἱονεὶ ὁ ἐννεάνυξ· τοῦτο δὲ τοῦ

[Discr. scr. ex NCV] **3** *in marg. add* V[1]: ὅμηροc ἐν τῇ ἦτα ἰλιάδοc ⟨H 278⟩. κῆρυξ ἰδαῖοc πεπνυμένον θ' ὃc μήδεα εἰδὼc (*l.* πεπνυμένα μ. εἰδὼc) ‖ **8** Τῷ πέρδικι — ὦ ὁμήλικεc (**16**) *om* V ‖ **14** τοῖc ὁμ. τοῖc τέττ. *traic.* N ‖ **17** Κανὼν λ' V, κανὼν κθ' N, *om* C ‖ **18** Ὁ δοῖδυξ τοῦ δοίδυκοc *om* NC | ὁ Βέβρ. τοῦ Βέβρ. *om* NCV ‖ **20** κῆρυξ κήρυκοc V, βέβρυξ βέβρυκοc NC ‖ **21** ἔχουcι V, ἔχει NC | τὴν παραλ. *om* V | ἔχουcαν V, καὶ ἔχει NC ‖ **22** ἕτερον V, μὲν ἓν NC ‖ **27** δὲ V, γὰρ NC ‖ **34** ἐννεάνυξ V, ἐννάνυξ NC; *addit autem* V: καὶ τροπῇ τοῦ ν̄ εἰc ῑ καὶ ἐκθλίψει τοῦ ε̄ εἰνάνυξ

νύξ τὴν κλίσιν ἐφύλαξεν· ἔστι γὰρ νύξ νυχός, καὶ κατὰ πλεονασμὸν τοῦ τ̄ καὶ κατὰ τροπὴν τοῦ δασέος, φημὶ δὴ τοῦ χ̄, εἰς τὸ ἀντίστοιχον τὸ ψιλόν, λέγω δὴ τὸ κ̄, γέγονε νυκτός· ἀπὸ οὖν τοῦ νύξ νυχός γέγονεν εἰνάνυξ εἰνάνυχος, καὶ ἐφυλάχθη ἡ αὐτὴ κλίσις· τὸ δὲ νύξ νυχός διὰ τοῦ χ̄ ἐκλίθη, ἐπειδὴ ἀπὸ τοῦ νύσσω νύξω νύξ γέγονεν, οἱονεὶ ἡ νύσσουσα ἡμᾶς πρὸς ὕπνον, καὶ λοιπὸν ἐφύλαξε κατὰ τὴν κλίσιν τὸ σύμφωνον τοῦ νένυχα παρακειμένου, λέγω δὴ τὸ χ̄. Καὶ τὸ ὄνυξ δὲ ὄνυχος ἔννοιαν ἔχει συνθέσεως· παρὰ γὰρ τὸ νύσσω νύξω γίνεται ἄνυξ, τοῦ ᾱ ἐπιτατικοῦ μορίου προσελθόντος, οἱονεὶ ᾧτινι πάνυ νύσσεταί τις, καὶ λοιπὸν τροπῇ τοῦ ᾱ εἰς τὸ ō ὄνυξ· τούτῳ δὲ ἠκολούθησε κατὰ τὴν
314 g κλίσιν καὶ τὸ στόνυξ στόνυχος· στόνυξ δέ ἐστι πᾶν τὸ εἰς ὀξὺ λῆγον. Ἀκριβέστερον δὲ περὶ τῆς κλίσεως τῶν εἰς υξ ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα.

Ἰστέον δὲ ὅτι τὸ κῆρυξ παρὰ τῷ ποιητῇ εὑρέθη συστέλλον τὸ ῡ κατὰ τὴν δοτικὴν τῶν ἑνικῶν, ὅπερ ἐστὶ σπάνιον, οἷον ⟨P 324⟩ κήρυκι Ἠπυτίδῃ· τὸ δὲ Βέβρυξ κατὰ τὰς πτώσεις τὰς μὴ ἐχούσας τὸ ξ̄ διφορεῖται κατὰ τὸν χρόνον· εὑρέθη γὰρ καὶ ἐκτεταμένον ἔχον τὸ ῡ, οἷον ⟨Apoll. Rhod. 2, 2⟩ Βεβρύκων βασιλῆος ἀγήνορος, καὶ συνεσταλμένον, οἷον ⟨Apoll. Rhod. 2, 98⟩ οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀκήδησαν βασιλῆος, καὶ παρ' Εὐφορίωνι ⟨Anall. Alex. ed. Mein. p. 130⟩ ἀπόπρο δὲ Βέβρυκα πύκτην, καὶ παρὰ Λυκόφρονι ⟨Alex. 516⟩ εἰς Βεβρύκων ῥίψειαν ἐκβατηρίαν.

Τῷ δοίδυκι, τῷ Βέβρυκι· τὸν δοίδυκα, τὸν Βέβρυκα· ὦ δοῖδυξ, ὦ Βέβρυξ.

Τὼ δοίδυκε, τὼ Βέβρυκε· τοῖν δοιδύκοιν, τοῖν Βεβρύκοιν· ὦ δοίδυκε, ὦ Βέβρυκε.

Οἱ δοίδυκες, οἱ Βέβρυκες· τῶν δοιδύκων, τῶν Βεβρύκων· τοῖς δοίδυξι, τοῖς Βέβρυξι· τοὺς δοίδυκας, τοὺς Βέβρυκας· ὦ δοίδυκες, ὦ Βέβρυκες.

Κανὼν λα΄.

Ὁ βῶξ τοῦ βωκός.

Ἰστέον ὅτι τὰ εἰς ωξ ἁπλᾶ διὰ τοῦ κ̄ κλίνονται, οἷον πτώξ πτωκός (ὁ λαγωός) καὶ βῶξ βωκός (ἔστι δὲ εἶδος ἰχθύος, ὅστις ἱστορεῖται ἔχων βοήν· γέγονε δὲ τοῦτο παρὰ τὸ βοή βόαξ καὶ κατὰ κρᾶσιν τοῦ ō καὶ ᾱ εἰς ω̄ βῶξ)· πρόσκειται ἐν τῷ κανόνι «ἁπλᾶ» διὰ τὰ σύνθετα, οἷον διὰ τὸ κυαμοτρώξ κυαμοτρῶγος· τοῦτο δὲ τοῦ τρώγω τὸ σύμφωνον ἐφύλαξε κατὰ τὴν κλίσιν, λέγω δὴ τὸ γ̄. Τὸ δὲ πολυπτώξ πολυ-

[Descr. scr. ex NCV] **3** τὸ *ante* ψιλόν *om* NC ‖ **8** ἔνοιαν NC | γὰρ *om* NC ‖ **9** ᾱ *om* N ‖ **10** τούτῳ δὲ] τοῦτο δὲ NC, τούτοις οὖν V ‖ **11** καὶ τὸ V, κατὰ τὸ NC ‖ **21** εἰς V, εἰ NC ‖ **22** ἐκβατηρίαν V, ἐκβακτηρίαν NC ‖ **23** Τῷ δοίδυκι — ὦ Βέβρυκες (**29**) *om* V ‖ **30** Κανὼν λα΄ V, κανὼν λ΄ N, *om* C ‖ **31** Ὁ βῶξ τοῦ βωκός *om* NC ‖ **33** βὼξ N; *item v. 35* ‖ **37** πολύπτωξ πολύ-

πτῶκος διὰ τοῦ κ̄ ἐκλίθη, ἐπειδὴ τοῦ ἁπλοῦ τοῦ πτώξ πτωκός τὴν κλίσιν ἐφύλαξε· τὸ δὲ θηροδίωξ καὶ αἰγοδίωξ ἀπὸ τοῦ διώκω συντεθέντα διὰ τοῦ κ̄ κλίνονται· τὸ γὰρ σύμφωνον τοῦ διώκω ῥήματος, λέγω δὴ 315 g τὸ κ̄, κατὰ τὴν κλίσιν ἐφύλαξαν. Προστίθησι δὲ ὁ τεχνικός «πλὴν τοῦ ῥώξ ῥωγός»· τοῦτο γὰρ διὰ τοῦ γ̄ ἐκλίθη· ῥώξ δέ ἐστιν εἶδος φαλαγγίου, τουτέστιν εἶδος σκορπίου· ἐπὶ γὰρ τῆς σταφυλῆς ῥάξ ῥαγός λέγεται θηλυκῶς καὶ τὸ ᾱ φύσει μακρὸν ἔχει· ῥάξ δέ ἐστιν ὁ κόκκος τῆς σταφυλῆς· εὑρίσκομεν δὲ καὶ ἐπὶ τῆς σταφυλῆς διὰ τοῦ ω̄ λεγόμενον, οἷον ῥώξ ῥωγός παρὰ Ἀρχιλόχῳ ⟨fragm. 191 B[4]⟩.

Τῷ βωκί, τὸν βῶκα, ὦ βῶξ. Τὼ βῶκε, τοῖν βωκοῖν, ὦ βῶκε. Οἱ βῶκες, τῶν βωκῶν, τοῖς βωξί, τοὺς βῶκας, ὦ βῶκες.

Κανὼν λβ'.

Ὁ λουτήρ τοῦ λουτῆρος, ὁ αἰθήρ τοῦ αἰθέρος.

Κανονίζει ὁ τεχνικὸς τὰ εἰς ρ̄ λήγοντα· καὶ ἰστέον ὅτι τὰ εἰς ᾱρ̄ λήγοντα εἰ μέν εἰσι μονοσύλλαβα μακρὸν ἔχουσι τὸ ᾱ καὶ προσθέσει τοῦ ο̄ς̄ ποιοῦσι τὴν γενικήν, οἷον ψάρ ψαρός (ἔστι δὲ εἶδος ὀρνέου)· τοῦτο δὲ παρὰ τῷ ποιητῇ καὶ διὰ τοῦ ᾱ εὑρίσκεται καὶ διὰ τοῦ η̄, οἷον ⟨Π 583⟩ κολοιούς τε ψῆράς τε, καὶ ⟨Ρ 755⟩ ψαρῶν νέφος ἔρχεται· Κάρ Καρός (ἔστι δὲ ἔθνος οἱ Κᾶρες), Μάρ Μαρός (καὶ τοῦτο δὲ ἔθνος ἐστίν)· εἰ δέ εἰσιν ὑπὲρ μίαν συλλαβήν, μακρὸν μὲν ἔχουσιν οὐκέτι τὸ ᾱ, προσθέσει δὲ τοῦ ο̄ς̄ καὶ αὐτὰ ποιοῦσι τὴν γενικήν, οἷον μάκαρ μάκαρος, τοῦτο δὲ ἀπὸ τοῦ μακάριος γέγονε κατὰ ἀποκοπήν. Καὶ ἰστέον ὅτι ἀποκοπὴ μέν ἐστι τὸ πάθος τὸ ἐν τῷ τέλει γινόμενον, οἷον Ἀπόλλωνα Ἀπόλλω, Ποσειδῶνα Ποσειδῶ, κυκεῶνα κυκεῶ, δῶμα δῶ· συγκοπὴ δέ ἐστι τὸ πάθος τὸ ἐν τῷ μέσῳ γινόμενον, οἷον ὀπίσωθεν ὄπισθεν, ὁμόπατρος ὄπατρος, ἁρμόσαντες ἄρσαντες, ἐξαίρετος ἔξαιτος· ἀφαίρεσις δέ ἐστιν τὸ πάθος τὸ ἐν τῇ ἀρχῇ γινόμενον, οἷον γαῖα αἶα, λείβω εἴβω, ἔβη βῆ, ἔστη στῆ, ἔφη φῆ. Ταῦτα μὲν ἐν τούτοις.

Σχηματίζεται δὲ τὸ μακάριος τοῦτον τὸν τρόπον· ἔστι κήρ ἡ μοῖρα 316 g τοῦ θανάτου, τοῦτο δὲ γίνεται κηρός κατὰ τὴν γενικὴν διὰ τοῦ η̄, οἷον ⟨Β 302⟩ μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι, καὶ καρός ἐν συστολῇ τοῦ η̄ εἰς τὸ ᾱ, οἷον ⟨Ι 378⟩ τίω δέ μιν ἐν καρὸς αἴσῃ, ἐξ οὗ γίνεται κάριος, τουτέστιν ὁ ὑποκείμενος τῇ μοίρᾳ τοῦ θανάτου, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀκάριος, οἱονεὶ ὁ μὴ ὑποκείμενος τῇ μοίρᾳ τοῦ θανάτου, καὶ κατὰ πλεονασμὸν τοῦ μ̄ μακάριος, ὡς ἐπὶ τοῦ ἴα μία, ἄλευρον μάλευρον, καὶ πάλιν ἀπὸ τοῦ ἔχω γέγονεν

[Discr. scr. ex NCV] πτωκος NC ‖ 2 θηροδιὼξ καὶ αἰγιδιὼξ V ‖ 10 Τῷ βωκί — ὦ βῶκες (12) *om* V | τοῖν βώκοιν N ‖ 13 Κανὼν λβ' V, κανὼν λα' N, *om* C ‖ 14 Ὁ λουτήρ — αἰθέρος *om* NC ‖ 19 κολιούς τε N ‖ 20 *ante* Κάρ *add* καὶ NC | οἱ κάρες NC ‖ 25 δῶμα δῶ *om* NC ‖ 27 ἄρσαντες NCV ‖ 28 ἀρχῇ V, ἀρχούσῃ NC ‖ 32 μάρτυροι V, μάκαρες NC; *item p. 297, 29* ‖ 36 ὡς ἐπὶ — μακάριος (297, 2)] καὶ V

ὀχόϲ (ὁ ϲυνέχων τὴν θύραν) καὶ ὀχλόϲ καὶ μοχλόϲ κατὰ πλεοναϲμὸν τοῦ μ̅· τοῦτο δὲ τὸ μακάριοϲ κατὰ ϲυγκοπὴν γίνεται μάκαρϲ καὶ κλίνεται μάκαρτοϲ, καὶ κατὰ ἀποκοπὴν γίνεται μάκαρ καὶ κλίνεται μάκαροϲ. Τὸ δὲ Καῖϲαρ βάρβαρόν ἐϲτι, καὶ αὐτὸ δὲ προϲθέϲει τοῦ ο̅ϲ̅ ποιεῖ τὴν γενικήν, οἷον Καίϲαροϲ· καὶ ἄλλα δὲ πολλά εἰϲιν εἰϲ α̅ρ̅, ἅτινα προϲθέϲει τοῦ ο̅ϲ̅ ποιοῦϲι τὴν γενικήν, οἷον Πάρ Παρόϲ (τόποϲ δέ ἐϲτιν ἐν τῷ περὶ Θυρέᾳ, ἔνθα ἐμαχέϲαντο Ἀργεῖοι καὶ Λακεδαιμόνιοι), Ἄραρ Ἄραροϲ (Γαλατίαϲ δὲ οὗτοϲ ποταμόϲ). Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὰ εἰϲ η̅ρ̅ λήγοντα διὰ τοῦ η̅ μονοϲύλλαβα μὲν ὄντα προϲθέϲει τοῦ ο̅ϲ̅ ποιοῦϲι τὴν γενικὴν καὶ φυλάττουϲι τὸ η̅, οἷον θήρ θηρόϲ, φήρ φηρόϲ (ὁ κένταυροϲ, ὡϲ καὶ ὁ ποιητήϲ φηϲι ⟨Α 268⟩ φηρϲὶν ὀρεϲκῴοιϲι), Ϲήρ Ϲηρόϲ (Ϲῆρεϲ δέ εἰϲιν ἔθνοϲ, ὅθεν τὰ Ϲηρικὰ ἱμάτια τὰ πολυτελῆ)· καὶ τὸ θηλυκὸν δὲ τὸ κήρ, ὅπερ ϲημαίνει τὴν θανατηφόρον μοῖραν, προϲθέϲει τοῦ ο̅ϲ̅ ποιεῖ τὴν γενικὴν ὁμοίωϲ τοῖϲ προλεχθεῖϲιν εἰϲ η̅ρ̅ μονοϲυλλάβοιϲ, οἷον κηρόϲ, ἐξ οὗ τὸ ⟨Β 302⟩ μάρτυροι, οὓϲ μὴ κῆρεϲ ἔβαν θανάτοιο φέρουϲαι· τοῦτο δὲ λέγεται καὶ καρόϲ ἐν ϲυϲτολῇ τοῦ η̅ εἰϲ τὸ α̅, οἷον ⟨Ι 378⟩ τίω δέ μιν ἐν καρὸϲ αἴϲῃ· ἐπειδὴ γὰρ μόνου θηλυκοῦ γένουϲ εὑρέθη ἐν τοῖϲ 317 g εἰϲ η̅ρ̅ μονοϲυλλάβοιϲ, τούτου χάριν ἔτρεψε τὸ φωνῆεν τῆϲ εὐθείαϲ ἐν τῇ γενικῇ· οὕτω γὰρ καὶ τὸ φρήν, ὡϲ μόνον μόνου θηλυκοῦ γένουϲ εὑρεθὲν ἐν τοῖϲ εἰϲ η̅ν̅ μονοϲυλλάβοιϲ, ἔτρεψε τὸ φωνῆεν τῆϲ εὐθείαϲ ἐν τῇ γενικῇ, οἷον φρενόϲ· ὡϲαύτωϲ δὲ καὶ τὸ χθών, ὡϲ μόνου θηλυκοῦ γένουϲ εὑρεθὲν ἐν τοῖϲ εἰϲ ω̅ν̅ μονοϲυλλάβοιϲ, ἔτρεψε τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ, οἷον χθονόϲ. Εἰ δέ τιϲ εἴποι, καὶ διατί τὸ κήρ οὐκ ἐξηνέχθη διὰ τοῦ ε̅ κατὰ τὴν γενικήν, ὥϲπερ τὸ φρήν φρενόϲ, ἀλλὰ διὰ τοῦ α̅, οἷον καρόϲ, λέγομεν ὅτι οὐκ ἐγένετο κατὰ ἀκόλουθον κλίϲιν ἀλλὰ κατὰ ποιητικὴν ϲυϲτολὴν διὰ τοῦ α̅, οἷον ⟨Ι 378⟩ τίω δέ μιν ἐν καρὸϲ αἴϲῃ, ὅπερ καὶ διὰ τοῦ η̅ εὑρίϲκεται κλινόμενον, οἷον ⟨Β 302⟩ μάρτυροι, οὓϲ μὴ κῆρεϲ ἔβαν θανάτοιο φέρουϲαι. Ταῦτα μὲν περὶ τῶν εἰϲ η̅ρ̅ μονοϲυλλάβων.

Τὰ δὲ ὑπὲρ μίαν ϲυλλαβὴν εἰϲ η̅ρ̅ λήγοντα ὀξύτονα εἰ μὲν ἔχουϲι τὸ τ̅, φυλάττουϲι τὸ η̅ ἐν τῇ γενικῇ, οἷον λουτήρ λουτῆροϲ, ϲωτήρ ϲωτῆροϲ, καμπτήρ καμπτῆροϲ, ὀλετήρ ὀλετῆροϲ, ξυϲτήρ ξυϲτῆροϲ, γενετήρ γενετῆροϲ, ἐλατήρ ἐλατῆροϲ (ἔϲτι δὲ εἶδοϲ πλακοῦντοϲ· ϲημαίνει δὲ καὶ τὸν ἡνίοχον παρὰ τὸ ἐλαύνειν)· δεῖ προϲθεῖναι «χωρὶϲ τοῦ πατήρ πατέροϲ καὶ ἀϲτήρ ἀϲτέροϲ»· ταῦτα γὰρ ἔχοντα τὸ τ̅ τρέπουϲι τὸ η̅ εἰϲ τὸ ε̅ ἐν τῇ γενικῇ· τὰ δὲ μὴ ἔχοντα τὸ τ̅ τρέπουϲι τὸ η̅ εἰϲ τὸ ε̅ ἐν τῇ γενικῇ, οἷον αἰθήρ αἰθέροϲ, ἀήρ ἀέροϲ, δαήρ δαέροϲ (ὁ ἀνδράδελ-

---

[Discr. scr. ex NCV] **4** τὸ δὲ — ἔνθα (7)] οἷον ἐϲτὶ καὶ τὸ πάπαρ πάπαροϲ. ἔϲτι δὲ τόποϲ ἐν ᾧ περὶ θυρεῶν V ‖ **7** περὶ Θυρέᾳ g, περιφυρέῳ NC | ἐμαχήϲαντο NCV | Ἄραρ Ἄραροϲ V, ἄναρ ἄναροϲ NC ‖ **8** Ταῦτα — τούτοιϲ NC, τὸ δὲ καίϲαρ (*sic*) καίϲαροϲ καὶ ἄλλα πολλὰ λήγονται εἰϲ α̅ρ̅ βάρβαρα, οἷον θοῦκαρ θούκαροϲ V ‖ **11** ὡϲ — φηϲι *om* NC ‖ **12** ὀρεϲκόοιϲιν NC, ὀρεϲκώεϲϲι V ‖ **16** μάρτυροι] μάκαρεϲ NC, *om* V ‖ **27** κατὰ *ante* ποιητ. *om* N ‖ **36** καὶ *om* NC

φος), ἀνήρ ἀνέρος, χωρὶς τοῦ cπινθήρ cπινθῆρος καὶ Ἐλευθήρ Ἐλευθῆρος (Ἐλευθήρ δέ ἐcτιν ὄνομα κύριον)· ταῦτα γὰρ μὴ ἔχοντα τὸ τ̄ ἐφύλαξαν τὸ η̄ ἐν τῇ γενικῇ. Ἀπολογοῦνται δὲ ὑπὲρ αὐτῶν, λέγω δὴ ὑπὲρ τοῦ πατήρ πατέρος καὶ ἀcτήρ ἀcτέρος καὶ cπινθήρ cπινθῆρος καὶ Ἐλευθήρ Ἐλευθῆρος οὕτωc· τὰ εἰc ηρ ὀξύτονα ἀπὸ ἐνεcτώτων γινόμενα τρέπουcι τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον παρὰ τὸ ἄνω τὸ cημαῖνον τὸ ἀνύω γίνεται ἀνήρ ἀνέρος, οὐδὲν γὰρ ἀνυcτικώτερον τοῦ ἀνδρός, καὶ πάλιν παρὰ τὸ δάω τὸ cημαῖνον τὸ γινώcκω γίνεται δαήρ δαέρος, καὶ πάλιν παρὰ τὸ αἴθω τὸ cημαῖνον τὸ καίω γίνεται αἰθήρ αἰθέρος, οἱονεὶ ὁ καυcτικός, καὶ πάλιν παρὰ τὸ ἄω τὸ cημαῖνον τὸ πνέω γίνεται ἀήρ ἀέρος· οὕτωc οὖν καὶ ἀπὸ τοῦ πατῶ γίνεται πατήρ 318 g πατέρος, ἀπὸ μεταφορᾶc τῶν ἀλόγων ζῴων, παρόcον οἱ ἄρρενες πατοῦcι τὰc θηλείαc ἐν τῷ cυγγίνεcθαι αὐταῖc, καὶ πάλιν ἀπὸ τοῦ αἴθω γίνεται ἀθήρ καὶ ἀτήρ καὶ ἐν πλεοναcμῷ τοῦ c̄ ἀcτήρ ἀcτέρος, οἱονεὶ ὁ καυcτικὸc καὶ διαφανὴc καὶ λαμπρός· διὰ τοῦτο οὖν τρέπουcι τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ γενικῇ, φημὶ δὴ τὸ πατήρ καὶ ἀcτήρ, ἐδείξαμεν γὰρ ὅτι ἀπὸ ἐνεcτῶτόc εἰcι. Τὸ μέντοι cπινθήρ καὶ Ἐλευθήρ ἐπειδὴ οὐκ εἰcὶν ἀπὸ ἐνεcτῶτοc, διὰ τοῦτο οὐκ ἔτρεψαν τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ γενικῇ· καὶ τὸ Ἐλευθήρ, ὡc εἴρηται, ὄνομα κύριόν ἐcτι καὶ ἔcτι παρὰ τὸν ἤλευθα μέcον παρακείμενον· τὸ δὲ cπινθήρ τινὲc ἐτυμολογοῦcι παρὰ τὸ μετὰ cπουδῆc ἵεcθαι καὶ θεῖν, τουτέcτι πέμπεcθαι καὶ τρέχειν, ὡc καὶ ὁ ποιητὴc δηλοῖ λέγων ⟨Δ 77⟩ cπινθῆρεc ἵενται· εἰ καὶ οὕτωc δὲ ἐτυμολογεῖται καὶ δοκεῖ ἀπὸ ἐνεcτῶτοc ἔχειν τὴν cύνθεcιν, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτιν ἁπλοῦν ὡc τὰ ἄλλα ἀλλὰ cύνθετον· τὸ καμπτήρ καμπτῆρος καὶ λουτήρ λουτῆρος καὶ ξυcτήρ ξυcτῆρος οὐκ εἰcὶν ἀπὸ τοῦ ἐνεcτῶτοc, φημὶ δὴ ἀπὸ τοῦ κάμπτω καὶ λούω καὶ ξύω, ἐπεὶ εἶχον τρέπειν τὸ η̄ εἰc τὸ ε̄ ἐν τῇ γενικῇ, ἀλλ' ἀπὸ τοῦ κέκαμπται καὶ λέλουται καὶ ἔξυcται παθητικοῦ παρακειμένου εἰcίν. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι τὸ πατήρ πατέρος γίνεται κατὰ cυγκοπὴν πατρόc ἐν τῇ γενικῇ καὶ ⟨τὸ⟩ μήτηρ μητέρος μητρόc καὶ τὸ θυγάτηρ θυγατέρος θυγατρόc· τὸ δὲ ἀνήρ ἀνέρος γενόμενον κατὰ cυγκοπὴν ἀνρόc ἐξ ἀνάγκηc ἐπλεόναcε τὸ δ καὶ ἐγένετο ἀνδρόc· οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρόc χωρὶc τοῦ δ̄, ἐπειδὴ τὸ ν̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν cυλλήψει δύναται εἶναι οὔτε ἐν διαcτάcει· ἐν cυλλήψει μὲν οὐ δύναται εἶναι, ἐπειδὴ ἀμετάβολον ἀμεταβόλου οὐ προηγεῖται κατὰ cύλληψιν, οἷον ἅρμα ἔρνοc ἅλμη Ἑρμῆc, εἰ μὴ τὸ μ̄ τοῦ ν̄, οἷον μνᾶ μνημεῖον· ἐν διαcτάcει δὲ

[Discr. scr. ex NCV] **2** Ἐλευθήρ δέ ἐcτιν — οὕτωc (**5**) *om* V ‖ **4** ὑπὲρ *post* δὴ *om* N ‖ **5** τὰ δὲ εἰc V ‖ **6** εἰc τὸ ε̄ *om* NC ‖ **9** τὸ cημαῖνον *post* αἴθω *om* NC, ὃ δηλοῖ V ‖ **10** ἄω V, αὔω NC ‖ **14** ἀθήρ — ἀcτέρος] αἰθὴρ καὶ ἀcθὴρ κατὰ πλεοναcμὸν τοῦ c̄ καὶ ἔκθλιψιν τοῦ ῑ, καὶ κατὰ τροπὴν τοῦ θ̄ εἰc τ̄ ἀcτήρ V ‖ **15** *ante* διαφανὴc *add* ἤγουν NC ‖ **28** παθητικοῦ *om* NC ‖ **29** δὲ *om* NC | τὸ *om* N ‖ **30** καὶ τὸ μήτηρ — μητρόc *om* V | τὸ *ante* μήτηρ *et ante* θυγάτηρ *om* NC ‖ **34** οὐ δύναται εἶναι *om* NC ‖ **36** Ἑρμῆc *om* N | μνᾶ μνημεῖον NC, μνεία μνήμη V

οὐκ ἠδύνατο εἶναι πρὸ τοῦ ρ̄, ἐπειδὴ τὸ ρ̄ οὐ θέλει ἔχειν πρὸ ἑαυτοῦ ἕτερον σύμφωνον κατὰ διάστασιν εἰ μὴ αὐτὸ τὸ ρ̄, οἷον ἔρριπτον ἐρ- 319 g ράγησαν ἐπίρρημα ἄρρωστος ἐρρήγνυσαν· πρόσκειται «κατὰ διάστασιν», ἐπειδὴ κατὰ σύλληψιν εὑρίσκονται ἕτερα σύμφωνα προηγούμενα τοῦ ρ̄, οἷον δρῶ κρέας Τρώς γραῦς τραῦμα. Δεῖ προσθεῖναι «χωρὶς τῶν ἀπὸ τῆς πρός καὶ εἴς καὶ ἔξ προθέσεως καὶ τοῦ δύς ἐπιρρήματος»· ἐπὶ τούτων γὰρ εὑρίσκονται ἕτερα σύμφωνα προηγούμενα τοῦ ρ̄ κατὰ διάστασιν, οἷον πρόσριψις εἰσροή ἔκρυσις δύσριγος. Ἐπειδὴ οὖν, ὡς δέδεικται, τὸ ν̄ οὐκ ἠδύνατο εἶναι πρὸ τοῦ ρ̄ οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν, ἐξ ἀνάγκης ἐπλεόνασε τὸ δ̄ καὶ γέγονεν ἀνδρός κατὰ τὴν γενικήν.

Τῷ λουτῆρι, τῷ αἰθέρι· τὸν λουτῆρα, τὸν αἰθέρα· ὦ λουτήρ, ὦ αἰθήρ.

Τὼ λουτῆρε, τὼ αἰθέρε· τοῖν λουτήροιν, τοῖν αἰθέροιν· ὦ λουτῆρε, ὦ αἰθέρε.

Οἱ λουτῆρες, οἱ αἰθέρες· τῶν λουτήρων, τῶν αἰθέρων· τοῖς λουτῆρσι, τοῖς αἰθέρσιν. Εἴρηται ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα, πρὸ τοῦ ῑ λαμβάνουσα τὸ c̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἀκουσθῆναι στοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφιϊ ὄφισιν, ὄφεϊ ὄφεσι, μάντεϊ μάντεσι, Δημοσθένεϊ Δημοσθένεσι, Πάριδι Πάρισι, Πλάτωνι Πλάτωσιν, Ἕκτορι Ἕκτορσιν· οὕτως οὖν καὶ λουτῆρι λουτῆρσι καὶ αἰθέρι αἰθέρσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν εὑρεθῇ ἕτερον σύμφωνον ἀποβάλλεται ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον Πάριδι Πάρισι, Πλάτωνι Πλάτωσι, λέοντι λέουσι, χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ρ̄, τοῦτο γὰρ φυλάττεται ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον Ἕκτορι Ἕκτορσι, Νέστορι Νέστορσιν, ἢ εἰς δύο σύμφωνα λήγῃ ἡ εὐθεῖα· τότε γὰρ φυλάττονται τὰ δύο σύμφωνα καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἐπειδὴ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν ἐκ τῆς εὐθείας κανονίζεται προσθέσει τοῦ ῑ, οἷον ἅλς ἁλσί, Τίρυνς Τίρυνσιν, ἕλμινς ἕλμινσι, μάκαρς μάκαρσι. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν εἰ μὲν εὑρεθῇ ἕτερον σύμφωνον ἀποβάλλει αὐτὸ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον Πάριδι Πάρισι, Πλάτωνι Πλάτωσιν, εἰ δὲ εὑρεθῇ τὸ ρ̄ φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον Ἕκτορι Ἕκτορσι, Νέστορι Νέστορσιν. Ἔστιν οὖν ταύτην 320 g εἰπεῖν τὴν ἀπολογίαν· εἰ θεῷ φίλον ἐν τῇ τοῦ παρατατικοῦ διδασκαλίᾳ μαθησόμεθα, ὅτι τὸ ρ̄ ἐνομίσθη φωνῆεν εἶναι· ἐπειδὴ οὖν ἡνίκα εὑρεθῇ φωνῆεν ἔχουσα ἡ δοτικὴ τῶν ἑνικῶν φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον ὄφιϊ ὄφισιν, ὄφεϊ ὄφεσι, πόλεϊ πόλεσι, μάντεϊ

[Discr. scr. ex NCV] **2** ἐρράγησα N ‖ **3** ἐρρύγνυσαν N ‖ **5** τραῦμα *om* NC ‖ **8** πρόσριψις V, πρόσριψον NC | εἰσροή V, εἴσροια NC | ἔκρυσις] ἔκρευσις V, ἔκρυσθαι NC | δύσρυγος N ‖ **16** Εἴρηται] *cfr. p. 276, 30* ‖ **19** ὄφιϊ ὄφισιν *om* NC; *item v. 38* ‖ **23** δὲ *om* NC ‖ **27** λήγει NCV ‖ **36** ὅτι *om* NC | ἡνίκα οὖν *traiciunt* NC ‖ **37** ἑνικῶν V, πληθυντικῶν NC

μάντεσι, τούτου χάριν ἡνίκα εὑρεθῇ ἔχουσα τὸ ρ̄ φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, οἷον Ἕκτορι Ἕκτορσι, Νέστορι Νέστορσι.

Τοὺς λουτῆρας, τοὺς αἰθέρας· ὦ λουτῆρες, ὦ αἰθέρες.

Κανὼν λγ΄.

Ὁ Πίηρ τοῦ Πίερος, ὁ Ἴβηρ τοῦ Ἴβηρος.

Ἰστέον ὅτι τῶν εἰς ηρ̄ βαρυτόνων τὰ μὲν μακρᾷ παραληγόμενα τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον Πίηρ Πίερος (ὅθεν τὸ Πιερίς καὶ Πιερίδες αἱ Μοῦσαι· ἔστι δὲ τὸ Πίηρ ὄνομα κύριον), φράτηρ φράτερος (φράτερες δέ εἰσιν οἱ συγγενεῖς)· τὰ δὲ βραχείᾳ παραληγόμενα φυλάττουσι τὸ η̄ ἐν τῇ γενικῇ, οἷον ἐρίηρ ἐρίηρος, ὅθεν τὸ ἐρίηρες ἑταῖροι ⟨e. g. ι 172⟩ ἀντὶ τοῦ εὐάρμοστοι, Ἴβηρ Ἴβηρος· τὸ δὲ πάνθηρ πάνθηρος τοῦ ἁπλοῦ τὴν κλίσιν ἐφύλαξε, λέγω δὴ τοῦ θήρ θηρός, ἐπεὶ τοῦτο ὡς μακρᾷ παραληγόμενον ὤφειλε τρέψαι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ.

Τῷ Πίερι, τῷ Ἴβηρι· τὸν Πίερα, τὸν Ἴβηρα· ὦ Πῖερ, ὦ Ἴβηρ. Εἴρηται ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ος̄ ἢ τὴν τος̄ ποιεῖ τὴν κλητικήν, χωρὶς τοῦ Ἄπολλον καὶ Ποσείδαον.

Τὼ Πίερε, τὼ Ἴβηρε· τοῖν Πιέροιν, τοῖν Ἰβήροιν· ὦ Πίερε, ὦ Ἴβηρε.

Οἱ Πίερες, οἱ Ἴβηρες· τῶν Πιέρων, τῶν Ἰβήρων· τοῖς Πίερσι, τοῖς Ἴβηρσι· τοὺς Πίερας, τοὺς Ἴβηρας· ὦ Πίερες, ὦ Ἴβηρες.

Κανὼν λδ΄.

Ὁ Νέστωρ τοῦ Νέστορος, ὁ κέλωρ τοῦ κέλωρος.

Ἰστέον ὅτι τὰ εἰς ωρ̄ λήγοντα εἰ μὲν ὀξύνονται τὸ ω̄ φυλάττουσι καὶ ἐν τῇ γενικῇ, οἷον φώρ φωρός (ὁ κλέπτης), ἰχώρ ἰχῶρος (σημαίνει δὲ τὸ αἷμα τὸ μεταβληθὲν εἰς ἔμπυον)· τὰ δὲ βαρύτονα εἰ μὲν ἔχουσι τὸ λ̄, φυλάττουσι τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον κέλωρ κέλωρος (σημαίνει δὲ 321 g τὸν υἱὸν παρὰ τὸ κελεύεσθαι), πέλωρ πέλωρος (ὁ μέγας, ἐξ οὗ καὶ τὸ πελώριος)· εἰ δὲ μὴ ἔχουσι τὸ λ̄, τρέπουσι τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον Νέστωρ Νέστορος, Μέντωρ Μέντορος, Ἕκτωρ Ἕκτορος, κτήτωρ κτήτορος, οἰκήτωρ οἰκήτορος. Δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ κατὰ ποιητικὴν ἄδειαν φυλάξωσι τὸ ω̄ ἐν τῇ γενικῇ», οἷον ὡς ἐπὶ τοῦ Μήστωρ· τοῦτο γὰρ παρὰ τῷ ποιητῇ ἐπὶ μὲν τοῦ κυρίου ὀνόματος τρέπει τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον ⟨Ω 257⟩ Μήστορά τ' ἀντίθεον, ἐπὶ δὲ τοῦ ἐπιθέτου ἀεὶ παρὰ τῷ ποιητῇ φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ, οἷον

[Discr. scr. ex NCV] 4 Κανὼν — Ἴβηρος (5) *om* NC ‖ 10 η̄ *om* N ‖ 15 Τῷ Πίερι — ὦ Ἴβηρες (23) *om* V | *post* Πίερι *add* τῷ ἐρίηρι NC ‖ 18 τοῦ] τὸ NC ‖ 24 Κανὼν — κέλωρος (25) *om* NC ‖ 35 τρέπει V, τρέπουσι NC

⟨Ν 93⟩ μήcτωραc ἀϋτῆc, ⟨Ε 272⟩ μήcτωρε φόβοιο· τοιαῦτα δὲ εὑρίcκομεν καὶ ἄλλα παρὰ τοῖc Ἀθηναίοιc φυλάττοντα τὸ ω̅ κατὰ τὴν γενικήν, οἷον ἠλέκτωρ ἠλέκτωροc (ὁ ἥλιοc), ταλάωρ ταλάωροc (τὸ τόξον), προπάτωρ προπάτωροc. Ταῦτα δὲ πάντα ποιητικά εἰcιν.

Τῷ Νέcτορι, τῷ κέλωρι· τὸν Νέcτορα, τὸν κέλωρα· ὦ Νέcτορ, ὦ κέλωρ.

Τὼ Νέcτορε, τὼ κέλωρε· τοῖν Νεcτόροιν, τοῖν κελώροιν· ὦ Νέcτορε, ὦ κέλωρε.

Οἱ Νέcτορεc, οἱ κέλωρεc· τῶν Νεcτόρων, τῶν κελώρων· τοῖc Νέcτορcι, τοῖc κέλωρcι· τοὺc Νέcτοραc, τοὺc κέλωραc· ὦ Νέcτορεc, ὦ κέλωρεc.

Κανὼν λε΄.

Ὁ Κύκλωψ τοῦ Κύκλωποc.

Λέγει ὅτι τὰ εἰc ψ̅ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν ὡc ἐπὶ τὸ πλεῖcτον διὰ τοῦ π̅ κλίνονται, καὶ ὃ ἔχουcι φωνῆεν ἐν τῇ εὐθείᾳ, τοῦτο ἔχουcι καὶ ἐν τῇ γενικῇ, οἷον Κύκλωψ Κύκλωποc, Αἰθίοψ Αἰθίοποc, Πέλοψ Πέλοποc· ἔχομεν γὰρ ἐν τοῖc προλαβοῦcιν, ὅτι τὰ εἰc διπλοῦν λήγοντα τὸ φωνῆεν τῆc εὐθείαc οὐ τρέπουcιν εἰc ἄλλο φωνῆεν ἐν τῇ κλίcει ἀλλὰ φυλάττουcιν αὐτό, οἷον νάρθηξ νάρθηκοc, cκώληξ cκώληκοc, Κύκλωψ Κύκλωποc, χωρὶc τοῦ ἀλώπηξ ἀλώπεκοc· τοῦτο γὰρ ἐν μὲν τῇ εὐθείᾳ τὸ η̅ ἔχει, ἐν δὲ τῇ γενικῇ τὸ ε̅. Καὶ ἀντιcτρέφει δὲ ὁ κανών· δύναται γάρ τιc εἰπεῖν, ὅτι καὶ τὸ φωνῆεν τὸ ἐν τῇ γενικῇ ταὐτόν ἐcτι καὶ ἐν τῇ εὐθείᾳ ἐπὶ τῶν εἰc διπλοῦν ληγόντων, οἷον ἡ Πέλοποc γενικὴ διὰ τοῦ ο̅ ἔχει τὴν γραφήν, ἀλλὰ καὶ ἡ Πέλοψ εὐθεῖα ὁμοίωc διὰ τοῦ ο̅ γράφεται· ἁμαρτάνουcι γὰρ οἱ γράφοντεc αὐτὸ διὰ τοῦ ω̅· καὶ πάλιν Κύκλωποc διὰ τοῦ ω̅ καὶ Κύκλωψ ὁμοίωc, νάρθηκοc διὰ τοῦ η̅ καὶ νάρθηξ ὡcαύτωc, χωρίc, ὡc εἴρηται, τοῦ ἀλώπηξ ἀλώπεκοc· ἡ μὲν γὰρ γενικὴ διὰ τοῦ ε̅ ἐκφέρεται, ἡ δὲ εὐθεῖα διὰ τοῦ η̅. Πρόcκειται ἀνωτέρω ἐν τῷ κανόνι «ὑπὲρ μίαν cυλλαβήν» διὰ τὸ λίψ λιβόc· τοῦτο γὰρ διὰ τοῦ β̅ κλίνεται καὶ οὐ διὰ τοῦ π̅, ἀλλ' οὐκ ἔcτιν ὑπὲρ μίαν cυλλαβὴν ἀλλὰ μονοcύλλαβον. Cημειοῦται δὲ ἐν τῷ κανόνι ὁ τεχνικὸc τὸ Ἄραψ Ἄραβοc, Χάλυψ Χάλυβοc, Κίνυψ Κίνυφοc μὴ κλιθέντα διὰ τοῦ π̅· καὶ χρὴ γινώcκειν, ὅτι τὸ μὲν Ἄραψ καὶ Χάλυψ ἔθνοc cημαίνουcιν, τὸ δὲ Κίνυψ ὄνομά ἐcτι ποταμοῦ. Ἰcτέον δὲ ὅτι ταῦτα τὴν ἀναλογίαν ἐπλήρωcαν· ὃν γὰρ τρόπον τὰ εἰc ξ̅ λήγοντα κλίνονται διὰ δαcέοc ἢ ψιλοῦ ἢ μέcου, τουτέcτι διὰ τοῦ γ̅ ἢ κ̅ ἢ χ̅,

---

[Discr. scr. ex NCV] **1** μήcτωρε NCV ‖ **2** *post* ω̅ *add* παρὰ τοῖc ἀρχαίοιc V ‖ **4** δὲ *om* NC ‖ **5** Τῷ Νέcτορι — ὦ κέλωρεc (**11**)] ἡ δὲ κλίcιc πρόδηλοc V ‖ **7** Τὼ Νέcτορε — ὦ κέλωρε (**8**) *om* N ‖ **12** Κανὼν — Κύκλωποc (**13**) *om* NC ‖ **15** καὶ ὃ — γενικῇ (**16**) *om* NC ‖ **17** ἐν τοῖc προλ.] *cfr. p. 285, 35* ‖ **23** ταὐτόν ἐcτι] τοῦτ' ἔcτι N, τουτέcτι C, τοῦτό ἐcτι V ‖ **31** δὲ *om* NC ‖ **35** ἀναλογίαν V, ἀπολογίαν NC

οἷον ὄρτυξ ὄρτυγος, θώραξ θώρακος, ὄνυξ ὄνυχος, τὸν αὐτὸν τρόπον καὶ τὰ εἰς ψ̄ λήγοντα διὰ δασέος ἢ ψιλοῦ ἢ μέσου κλίνεσθαι θέλουσι, τουτέστι διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄, οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ Κίνυφος· ταῦτα οὖν τὰ δοκοῦντα εἰς ψ̄ παράλογα τὰ τῆς ἀναλογίας ἐφύλαξαν, κλιθέντα διὰ τοῦ β̄ ἢ φ̄· λοιπὸν γὰρ εὑρίσκονται τῇ προφάσει ταύτῃ τὰ εἰς ψ̄ λήγοντα κλινόμενα διὰ δασέος καὶ ψιλοῦ καὶ μέσου, τουτέστι διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄. Ἰστέον δὲ ὅτι περὶ τῆς κλίσεως τῶν εἰς ψ̄ ἀκριβέστερον εἰ θεῷ φίλον ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ μαθησόμεθα.

Τῷ Κύκλωπι, τὸν Κύκλωπα, ὦ Κύκλωψ. Εἴρηται ὅτι τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ Ζεῦ ἄνα καὶ τοῦ ὦ γύναι.

Τὼ Κύκλωπε, τοῖν Κυκλώποιν, ὦ Κύκλωπε. Οἱ Κύκλωπες, τῶν Κυκλώπων, τοῖς Κύκλωψιν. Εἴρηται ὅτι διχῶς κανονίζεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, καὶ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, πρὸ τοῦ ῑ λαμβάνουσα τὸ σ̄ καὶ συναιροῦσα τὸ π̄ καὶ σ̄ εἰς ψ̄, ὡς καὶ τὸ κ̄ καὶ σ̄ εἰς ξ̄, οἷον Πέλοπι Πέλοπσι καὶ Πέλοψι, θώρακι θώρακσι καὶ θώραξι, καὶ ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν· πᾶσα γὰρ εὐθεῖα ἑνικῶν εἰς διπλοῦν λήγουσα προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν 323 g πληθυντικῶν, οἷον Κύκλωψ Κύκλωψι, θώραξ θώραξι, Πέλοψ Πέλοψι, σκώληξ σκώληξι. Ταῦτα μὲν ⟨ἐν⟩ τούτοις.

Τοὺς Κύκλωπας, ὦ Κύκλωπες.

Τέλος σὺν θεῷ τῶν ἀρσενικῶν ὀνομάτων.

Εὐτυχῶς χρῶ.

Περὶ τῶν θηλυκῶν ὀνομάτων.

Κανὼν πρῶτος.

Ἑνικά. Ἡ Μοῦσα τῆς Μούσης, ἡ μαῖα τῆς μαίας, ἡ σφαῖρα τῆς σφαίρας.

Πληρώσας ὁ τεχνικὸς τὴν τῶν ἀρσενικῶν ὀνομάτων διδασκαλίαν μετέρχεται νῦν καὶ ἐπὶ τὰ θηλυκά. Καὶ ἰστέον ὅτι τελικὰ τῶν θηλυκῶν ὀνομάτων στοιχεῖά εἰσιν ὀκτώ, φωνήεντα τρία, ᾱ η̄ ω̄, καὶ σύμφωνα πέντε, ν̄ ξ̄ ρ̄ σ̄ ψ̄, οἷον Μοῦσα Ἑλένη Σαπφώ χελιδών ἕλιξ μήτηρ Θέτις

[Discr. scr. ex NCV] **3** ἢ π̄ *om* N | οἷον — ἢ φ̄ (**7**) *om* V || **5** κλιθέντα *om* N | ἢ φ̄] καὶ φ̄ NC || **6** ταύτῃ *Lentzius,* αὐτῇ N, αὕτη C || **10** Τῷ Κύκλωπι — τῶν Κυκλώπων (**14**) *om* V | Εἴρηται] *cfr. p. 289, 3* || **14** Εἴρηται] *cfr. p. 290, 5* || **15** ἐπὶ τούτων *om* NC || **21** Ταῦτα — ὦ Κύκλωπες (**22**) *om* V | ἐν *om* NC || **23** ὀνομάτων NC, κανόνων V || **24** Εὐτ. χρῶ *om* V || **25** Περὶ — ὀνομάτων C, ἀρχὴ σὺν θεῷ τῶν θηλυκῶν κανόνων V, *om* N || **27** ἡ μαῖα ἡ μοῦσα ἡ σφαῖρα. τῆς μαίας τῆς μούσης τῆς σφαίρας V || **28** ἡ σφαίρα N || **32** Σαπφώ C, σαμφώ N, κλειώ V

λαῖλαψ. Ἰcτέον δὲ ὅτι τὰ εἰc ᾱ λήγοντα θηλυκὰ ἢ cυcτέλλουcι τὸ ᾱ ἢ ἐκτείνουcιν αὐτό· καὶ ὅcα μέν εἰcι προπαροξύτονα ὡμολόγηται ὅτι cυνεcταλμένον ἔχουcι τὸ ᾱ, οἷον πανδοκεύτρια Πολύμνια πότνια Ἐρέτρια κιθαρίcτρια εὐcέβεια εὐγένεια θάλαccα ἄελλα θύελλα· μακρᾶc γὰρ οὔcηc τῆc ἐπὶ τέλουc οὐδέποτε τρίτη ἀπὸ τέλουc πίπτει ἡ ὀξεῖα, ἤγουν οὐδέποτε προπαροξύνεται ἡ λέξιc, ὡc ἐν τῷ περὶ τόνων εἰ θεῷ φίλον μαθηcόμεθα· τὰ δὲ ἐν τῇ τελευταίᾳ cυλλαβῇ ἔχοντα τὸν τόνον πάντα μακρὸν ἔχουcι τὸ ᾱ, οἷον Ἀθηνᾶ ἀργυρᾶ cιδηρᾶ φοβερά ἀγορά τολμηρά πονηρά Ναυcικᾶ· τὰ δὲ πρὸ μιᾶc ἔχοντα τὸν τόνον ἔcτιν ὅτε cυcτέλλουcι τὸ ᾱ, οἷον ταχεῖα ὀξεῖα βραδεῖα, ἔcτι δ' ὅτε ἐκτείνουcιν αὐτό, οἷον Βυζαντία Λεcβία Ῥοδία μετρία. Ταῦτα μὲν οὕτωc.

Ὁ δὲ τῆc κλίcεωc λόγοc τοῦτον ἔχει τὸν τρόπον· τὰ εἰc ᾱ λήγοντα θηλυκὰ ἐὰν μὲν ἔχωcι τὸ ᾱ καθαρόν, τουτέcτι μὴ προηγουμένου cυμφώνου, ἢ πρὸ τοῦ ᾱ τὸ ρ̄, ἢ ⟨τὸ ᾱ⟩ μακρόν, φυλάττουcι τὸ ᾱ καὶ ἐν τῇ γενικῇ καὶ προcθέcει τοῦ c̄ ποιοῦcι τὴν γενικήν. Ἔcτωcαν δὲ παρα-
324 g δείγματα τοῦ κανόνοc ταῦτα· τὰ μὲν τὸ ᾱ καθαρὸν ἔχοντα, οἷον μαῖα μαίαc, γραῖα γραίαc, γαῖα γαίαc, Μήδεια Μηδείαc· τὸ γὰρ ⟨Apoll. Rh. 3,3⟩ Μηδείηc ὑπ' ἔρωτι Ἰωνικόν ἐcτι· Κράτεια Κρατείαc, Ἀλεξάνδρεια Ἀλεξανδρείαc, Μαρώνεια Μαρωνείαc, Καιcάρεια Καιcαρείαc, Ἀντιόχεια Ἀντιοχείαc· τὰ δὲ ⟨ἔχοντα⟩ πρὸ τοῦ ᾱ τὸ ρ̄, οἷον cφαῖρα cφαίραc, Δηϊάνειρα Δηϊανείραc, εὐπάτειρα εὐπατείραc, cώτειρα cωτείραc, γενέτειρα γενετείραc, ἄρουρα ἀρούραc· τὰ δὲ ἔχοντα τὸ ᾱ μακρόν, οἷον Ἀθηνᾶ Ἀθηνᾶc, μνᾶ μνᾶc, Ναυcικᾶ Ναυcικᾶc, Ἀνδρομέδα Ἀνδρομέδαc, Λήδα Λήδαc· τὸ γὰρ ⟨λ 298⟩ καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν, ἀπὸ τοῦ ἡ Λήδη ἐcτί· Φιλομήλα Φιλομήλαc, Διοτίμα Διοτίμαc, Ἥρα Ἥραc, φοβερά φοβερᾶc· ταῦτα δὲ ὡc ἔχοντα τὸ ᾱ καθαρὸν ἢ μετὰ τοῦ ρ̄ ἢ ἐκτεταμένον φυλάττουcι τὸ ᾱ ἐν τῇ γενικῇ. Ἐὰν δὲ μηδὲν ἐκ τούτων τῶν τριῶν ἔχωcι, τουτέcτι μήτε καθαρὸν τὸ ᾱ μήτε πρὸ τοῦ ᾱ τὸ ρ̄ μήτε ἐκτεταμένον τὸ ᾱ, τρέπουcι τὸ ᾱ εἰc τὸ η̄ ἐν τῇ γενικῇ μετὰ τοῦ προcλαμβάνειν δηλονότι τὸ c̄, οἷον Μοῦcα Μούcηc, δόξα δόξηc, ῥίζα ῥίζηc, δίψα δίψηc, ἄελλα ἀέλληc, θύελλα θυέλληc, Cκύλλα Cκύλληc, ἅμαξα ἁμάξηc, τράπεζα τραπέζηc, τύπτουcα τυπτούcηc, χαρίεccα χαριέccηc. Καὶ ταῦτα μὲν περὶ τούτων.

Ζητοῦcι δέ τινεc περὶ τοῦ Θέκλα, ὅτι ἄρα Θέκλαc ἐcτὶν ἡ γενικὴ ἢ Θέκληc, καὶ περὶ τοῦ Αὐγούcτα, ὅτι ἄρα Αὐγούcταc ἐcτὶν ἡ γενικὴ

[Discr. scr. ex NCV] **1** ἢ ἐκτείνουcιν — τὸ ᾱ (**3**) *om* V ‖ **3** εἰρέτρια NC ‖ **8** ἀγορά τολμηρά *om* NC ‖ **9** ναυcικὰ N ‖ **13** μὲν V, μὴ NC ‖ **14** ἢ τὸ ᾱ μ.] ἢ μακρὸν NC, μακρὸν V | τὸ ᾱ *om* NC ‖ **15** *post* γενικῇ *add* φημὶ δὴ τὸ ᾱ NC ‖ **16** τὰ μὲν — ἔχοντα V, τὸ ᾱ μὲν καθαρὸν NC ‖ **19** Μαρ. Μαρ. *om* NC ‖ **20** τὰ δὲ *om* NC | ἔχοντα *om* NCV ‖ **21** διηάνειρα διηανείραc N, διάνειρα διανείραc C ‖ **22** τὰ — τὸ ᾱ V, τὸ δὲ ᾱ NC ‖ **23** *post* Ἀθηνᾶc *add* μακρὸν γὰρ ἔχει τὸ ᾱ NC ‖ **24** καὶ *om* NC | τυνδάρεω V; *item p. 304, 6* ‖ **26** τὸ ᾱ — ἐκτεταμένον (**27**)] τὸ ρ̄ V | καθαρὸν] μακρὸν N, μακρὸν *in* καθαρὸν *corr.* C¹ | ἢ — ἢ (**27**)] καὶ — καὶ NC ‖ **28** τὸ καθαρὸν ᾱ NC ‖ **34** θέκλαc ἐcτὶν ἄρα NC

ἢ Αὐγούcτηc. Ἀλλ' ἵνα τοῦτο γνῶμεν, ὀλίγα τινὰ περὶ τῶν cυμφώνων εἴπωμεν. Ἰcτέον ὅτι τῶν cυμφώνων τὰ μὲν τῷ α χαίρουcι τὰ δὲ τῷ η, τὰ δὲ τῷ α καὶ τῷ η· οἷον τὸ β τῷ η χαίρει, οἷον Θήβη Ἀρίcβη· ὡcαύτωc δὲ καὶ τὸ γ, οἷον cτέγη κλαγγή αὐγή κραυγή cιγή· καὶ τὸ δ δὲ τῷ η χαίρει, οἷον Ἴδη κνίδη Cίδη, ὅθεν καὶ τὸ Λήδη, οἷον ⟨λ 298⟩ καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν, ἀναλογώτερόν 325 g ἐcτι τοῦ Λήδα καὶ τὸ Ἀνδρομέδη τοῦ Ἀνδρομέδα· ἀλλὰ λέγομεν, ὅτι Λήδη καὶ Ἀνδρομέδη ἦcαν, καὶ ἔτρεψαν δωρικῶc τὸ η εἰc α δηλονότι μακρόν, καὶ ἐγένετο Λήδα καὶ Ἀνδρομέδα. Τὸ ζ τῷ α χαίρει, οἷον ῥίζα μάζα χάλαζα· τὸ ξ ὁμοίωc τῷ α χαίρει, οἷον δόξα μύξα ἅμαξα· ὡcαύτωc δὲ καὶ τὸ ψ, οἷον δίψα· καὶ τὸ c δὲ τῷ α χαίρει, οἷον Μοῦcα φῦcα πίccα κνίccα θάλαccα· τὸ δὲ θ τῷ α χαίρει καὶ τῷ η, οἷον Μάρθα ἄκανθα μέθη λήθη κριθή μίνθη (τὸ ἡδύοcμον)· ὡcαύτωc δὲ καὶ τὸ λ τῷ α χαίρει καὶ τῷ η· ἀλλὰ μάθωμεν πότε τῷ α καὶ πότε τῷ η. Ἰcτέον δὲ ὅτι ἐὰν εὑρεθῶcι δύο λλ τῷ α χαίρουcιν, οἷον θύελλα ἄελλα ἅμιλλα Cκύλλα, πλὴν τοῦ Ἕλλη καὶ Πέλλη· ἰδοὺ γὰρ ταῦτα δύο λλ ἔχοντα εἰc η καταλήγουcιν· ἔcτι δὲ τὸ μὲν Ἕλλη ὄνομα κύριον γυναικόc, τὸ δὲ Πέλλη ὄνομα πόλεωc· ἐὰν δὲ εὑρεθῇ ἓν λ μὴ ἔχον προηγούμενον cύμφωνον τῷ η χαίρει, οἷον Ἐριφύλη Cεμέλη πύλη αὐλή φυλή χολή χηλή (ὁ ὄνυξ), πλὴν τοῦ παῦλα καὶ τοῦ ἀνάπαυλα, ταῦτα γὰρ ἓν λ ἔχοντα διὰ τοῦ α ἐγένοντο (cημαίνουcι δὲ τὴν ἀνάπαυcιν)· τὸ γὰρ Φιλομήλα δωρικῶc ἔτρεψε τὸ η εἰc τὸ α μακρόν, Φιλομήλη γὰρ ἦν. Ὁμοίωc δὲ καὶ τὰ ἔχοντα τὸ λ ἐν ἐπιπλοκῇ cυμφώνου τῷ η χαίρουcιν, οἷον ζεύγλη (cημαίνει δὲ τὸν λῶρον τὸν cυνέχοντα τὸν ζυγὸν πρὸc τὸ ζῷον) τρίγλη κίχλη ὀμίχλη· τὸ γὰρ ζεῦγλα καὶ τρίγλα καὶ κίχλα εὑρεθέντα παρὰ τοῖc ἀρχαίοιc κατὰ ποιητικὴν ἐξουcίαν cυνέcτειλαν τὸ η εἰc τὸ α· τὸ οὖν Θέκλα Θέκλη ὤφειλεν εἶναι ὡc ἔχον τὸ λ μετ' ἐπιπλοκῆc cυμφώνου, ἀλλ' ἔτρεψε τὸ η εἰc τὸ α. Καί τινεc μὲν λέγουcιν, ὅτι ἰταλικῶc ἔτρεψε τὸ η εἰc α· οἱ γὰρ Ἰταλοὶ ἄποικοί εἰcι τῶν Αἰολέων, οἱ δὲ Αἰολεῖc τὸ η εἰc α βραχὺ τρέπουcιν, οἷον Ἀφροδίτη Ἀφροδίτα, νύμφη νύμφα, ὡc παρὰ τῷ ποιητῇ ⟨Γ 130⟩ νύμφα φίλη· οὐκοῦν cυνεcταλμένον ἔχει τὸ α τὸ Θέκλα· καὶ δῆλον ὅτι ὡc ἔχον cυνεcταλμένον τὸ α ὀφείλει τρέψαι αὐτὸ εἰc τὸ η ἐν τῇ γενικῇ, ὥcπερ Μοῦcα Μούcηc, ἅμαξα ἁμάξηc, καὶ λοιπὸν κατὰ τοῦτον τὸν λόγον ἀξιοῦcι Θέκληc αὐτὸ κλίνεcθαι. Καὶ ταῦτα μὲν οὗτοι· οἱ δὲ ἀκριβέcτερον δοξάcαντεc λέγουcιν εἶναι 326 g τροπὴν Δωρικὴν τοῦ η εἰc α μακρόν· οἱ γὰρ Δωριεῖc τὸ η εἰc α μακρὸν τρέπουcιν, οἷον ἡδύ ἁδύ, ὡc παρὰ τῷ Θεοκρίτῳ ⟨1, 1⟩ ἁδύ τι

[Discr. scr. ex NCV] **3** θήβη NV, θίβη C, Θίcβη *Lentzius* | ἀριόβη N ‖ **4** κλαγγή *om* NC ‖ **5** κνίδη NV, νίδη C ‖ **11** δὲ *ante* καὶ *om* NC ‖ **12** φῦcα] φύccα N, φύcα C, *om* V | πίccα NCV, πῖcα *Lentzius* | κνίccα NC, *om* V, κνῖcα *Lentzius* | Μάρθα ἄκανθα *om* NC ‖ **13** μίνθη V, μίνθα NC ‖ **19** χολή *om* NC ‖ **25** καὶ τρίγλα — εὑρεθέντα V, εὑρεθὲν NC ‖ **26** cυνέcτειλε NC ‖ **27** λ] α N ‖ **29** γὰρ V, δὲ NC ‖ **30** Ἀφροδίτα NCV, Ἀφρόδιτα *RMeister 1, 159 adn. 2* ‖ **37** ὡc — Θεοκρίτῳ *om* NC

τὸ ψιθύριcμα καὶ ἁ πίτυc, αἰπόλε, τήνα· καὶ δῆλον ὡc ἔχον τὸ ᾱ μακρὸν φυλάττει αὐτὸ καὶ ἐν τῇ γενικῇ, οἷον Θέκλα Θέκλαc, ὥcπερ Ἀθηνᾶ Ἀθηνᾶc, Διοτίμα Διοτίμαc, Ἀνδρομέδα Ἀνδρομέδαc. Ταύτηc τῆc δόξηc ἐcτὶ Cτέφανοc ὁ τὰ ἐθνικὰ γράψαc, καὶ πάνυ περὶ γεγονότοc ἔπραξεν ἐν τῇ τούτου τοῦ ὀνόματοc τεχνολογίᾳ. Ταῦτα μὲν περὶ τοῦ Θέκλα.

Περὶ δὲ τοῦ Αὐγούcτα λέγουcιν ὅτι ὤφειλεν Αὐγούcτη εἶναι ἡ εὐθεῖα διὰ τοῦ η̄, τὸ γὰρ τ̄ τῷ η̄ χαίρει, οἷον χαίτη ἐλάτη Ἀφροδίτη μελέτη ἀρετή τελευτή· καὶ κατ' ἄλλον δὲ κανόνα ὤφειλεν Αὐγούcτη εἶναι, ἐπειδὴ τὰ εἰc οc̄ ἀρcενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά, τουτέcτι μὴ ὄντα κοινὰ τῷ γένει (διὰ τὸ ὁ φιλόcοφοc καὶ ἡ φιλόcοφοc), ἔχοντα πρὸ τοῦ οc̄ cύμφωνον μὴ τὸ ρ̄, εἰc η̄ ποιοῦcι τὸ θηλυκόν, οἷον cοφόc cοφή, καλόc καλή, κάλλιcτοc καλλίcτη, ἄριcτοc ἀρίcτη, μέγιcτοc μεγίcτη· οὕτωc οὖν καὶ ἀπὸ τοῦ Αὔγουcτοc Αὐγούcτη ὤφειλε γενέcθαι τὸ θηλυκόν, ἀλλ' ἔτρεψε τὸ η̄ εἰc τὸ ᾱ βραχύ δηλονότι ἰταλικῶc· τὸ γὰρ ὄνομα Ἰταλικόν ἐcτιν. Ὅθεν ἀξιοῦcι τὸ μὲν κύριον ὄνομα Αὐγούcτα λέγειν, ὅτι ἐκτείνει τὸ ᾱ καὶ προcθέcει τοῦ c̄ ποιεῖ τὴν γενικήν, οἷον Αὐγούcτα Αὐγούcταc, ὥcπερ Ἀθηνᾶ Ἀθηνᾶc, Διοτίμα Διοτίμαc, Φερετίμα Φερετίμαc, δωρικῶc δηλονότι τραπέντοc τοῦ η̄ εἰc ᾱ μακρόν· τὸ δὲ ἐπὶ τῆc βαcιλίδοc Ἰταλικόν ἐcτι, καὶ διὰ τοῦτο τρέπει τὸ ᾱ εἰc η̄ ἐν τῇ γενικῇ, οἷον Αὐγούcτηc, ὥcπερ Μοῦcα Μούcηc, ἅμαξα ἁμάξηc, ὡc τοῦ ᾱ cυνεcταλμένου ὄντοc. Πρόcκειται ἀνωτέρω, ⟨«μὴ τὸ ρ̄»⟩, οἷον «τὰ εἰc οc̄ ἀρcενικὰ ἔχοντα πρὸ τοῦ οc̄ cύμφωνον μὴ τὸ ρ̄», διὰ τὸ φοβερόc φοβερά, τολμηρόc τολμηρά, χλιαρόc χλιαρά· ταῦτα γὰρ ἔχοντα πρὸ τοῦ οc̄ τὸ ρ̄ εἰc ᾱ ποιοῦcι τὸ θηλυκόν· πρόcκειται δέ «πρὸ τοῦ οc̄ cύμφωνον» διὰ τὸ Βυζάντιοc Βυζαντία, μέτριοc μετρία, Ῥόδιοc Ῥοδία· ταῦτα γὰρ ὡc φωνῆεν ἔχοντα πρὸ τοῦ οc̄ εἰc ᾱ ἐποίηcαν τὸ θηλυκόν.

327 g Τῇ Μούcῃ, τῇ μαίᾳ, τῇ cφαίρᾳ. Εἴρηται ὅτι πᾶcα γενικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ῑ ἀνεκφώνητον λήγουcαν μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc ἢ μείζονοc ἀντιcτοίχου, οἷον ὁ κοχλίαc τοῦ κοχλίου τῷ κοχλίᾳ, ὁ Χρύcηc τοῦ Χρύcου τῷ Χρύcῃ, ὁ cοφόc τοῦ cοφοῦ τῷ cοφῷ διὰ μείζονοc ἀντιcτοίχου· οὕτωc οὖν καὶ ἡ Μοῦcα τῆc Μούcηc τῇ Μούcῃ καὶ ἡ μαῖα τῆc μαίαc τῇ μαίᾳ καὶ ἡ cφαῖρα τῆc cφαίραc τῇ cφαίρᾳ.

Τὴν Μοῦcαν, τὴν μαῖαν, τὴν cφαῖραν. Ἰcτέον ὅτι πᾶcα εὐθεῖα ἑνικῶν ἔχουcα τὴν αἰτιατικὴν ἰcοcύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων εἰc ν̄ αὐτὴν ἔχει λήγουcαν, οἷον ἰχθῦc ἰχθύν, καλόc καλόν, ἅμαξα ἅμαξαν, ἄελλα ἄελλαν, τράπεζα τράπεζαν, τιμή τιμήν, Ἀφροδίτη Ἀφροδίτην, καλή καλήν, cοφή cοφήν· οὕτωc οὖν καὶ Μοῦcα Μοῦcαν

[Discr. scr. ex NCV] **1** τήνα C, τῆνα N, *om* V ‖ **5** ἔπραξεν C, ἔγραψεν *in* ἔπραξεν *corr.* N¹V¹ ‖ **8** τὸ τ̄ γὰρ NC ‖ **14** ἀπὸ τοῦ *om* NC ‖ **16** ἐcτιν *om* NC | *post* ὄνομα *add* τὸ NC ‖ **22** μὴ τὸ ρ̄ *om* NCV ‖ **23** οἷον — cύμφωνον *om* V ‖ **25** τὸ ρ̄ — τοῦ οc̄ (**26**) *om* V ‖ **29** Εἴρηται] *cfr. p. 143, 24*

καὶ μαῖα μαῖαν καὶ cφαῖρα cφαῖραν. Δυνατὸν δὲ καὶ οὕτωc εἰπεῖν, ὅτι τὰ εἰc α̅ καὶ εἰc η̅ λήγοντα θηλυκὰ προcθέcει τοῦ ν̅ ποιοῦcι τὴν αἰτιατικήν, οἷον ἅμαξα ἅμαξαν, ἅμιλλα ἅμιλλαν, ἄελλα ἄελλαν, Μοῦcα Μοῦcαν, μαῖα μαῖαν, cφαῖρα cφαῖραν, Ἀφροδίτη Ἀφροδίτην, μελέτη μελέτην, τιμή τιμήν, cοφή cοφήν.

Ὦ Μοῦcα, ὦ μαῖα, ὦ cφαῖρα. Ἰcτέον ὅτι τὰ εἰc α̅ ἢ καὶ εἰc η̅ λήγοντα θηλυκὰ τὴν αὐτὴν ἔχουcιν ὀρθὴν καὶ κλητικήν, οἷον Μοῦcα ὦ Μοῦcα, μαῖα ὦ μαῖα, cφαῖρα ὦ cφαῖρα, ἅμαξα ὦ ἅμαξα, τράπεζα ὦ τράπεζα, τιμή ὦ τιμή, Ἀφροδίτη ὦ Ἀφροδίτη, καλή ὦ καλή.

Τὰ Μούcα, τὰ μαία, τὰ cφαίρα. Εἴρηται ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc η̅ λήγουcα, δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ι̅ γραφομένη, τροπῇ τοῦ η̅ εἰc α̅ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον τῷ Χρύcῃ τὼ Χρύcα, τῇ Ἑλένῃ τὰ Ἑλένα, τῇ Μούcῃ τὰ Μούcα· κἂν εἰc α̅ δὲ ἢ εἰc ω̅ λήγῃ ἡ δοτικὴ τῶν ἑνικῶν, δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ι̅ γραφομένη, ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῇ μαίᾳ τὰ μαία, τῇ cφαίρᾳ τὰ cφαίρα, τῷ cοφῷ τὼ cοφώ, τῷ καλῷ τὼ καλώ, τῷ φίλῳ τὼ φίλω, ἀλλ' ἐν τοῖc δυϊκοῖc δηλονότι οὐκ ἔcτι προcγεγραμμένον τὸ ι̅.

Ταῖν Μούcαιν, ταῖν μαίαιν, ταῖν cφαίραιν. Εἴρηται ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc α̅ λήγουcα προcθέcει τοῦ ι̅ν̅ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν δηλονότι, οἷον τὼ κοχλία τοῖν κοχλίαιν, τὼ Αἰνεία τοῖν Αἰνείαιν, τὰ Μούcα ταῖν Μούcαιν, τὰ Ἑλένα ταῖν Ἑλέναιν, 328 g
τὰ μαία ταῖν μαίαιν, τὰ cφαίρα ταῖν cφαίραιν. Ὦ Μούcα, ὦ μαία, ὦ cφαίρα.

Αἱ Μοῦcαι, αἱ μαῖαι, αἱ cφαῖραι· εἴρηται ὅτι πᾶcα εὐθεῖα δυϊκῶν εἰc α̅ λήγουcα προcθέcει τοῦ ι̅ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον τὼ κοχλία οἱ κοχλίαι, τὰ Ἑλένα αἱ Ἑλέναι, τὰ Μούcα αἱ Μοῦcαι, τὰ μαία αἱ μαῖαι, τὰ cφαίρα αἱ cφαῖραι.

Τῶν Μουcῶν, τῶν μαιῶν, τῶν cφαιρῶν· εἴρηται ὅτι πᾶcα γενικὴ πληθυντικῶν εἰc ω̅ν̅ λήγει ἐπὶ παντὸc γένουc.

Ταῖc Μούcαιc, ταῖc μαίαιc, ταῖc cφαίραιc· εἴρηται ὅτι πᾶcα εὐθεῖα πληθυντικῶν εἰc α̅ι̅ λήγουcα προcθέcει τοῦ c̅ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον κοχλίαι κοχλίαιc, Χρῦcαι Χρύcαιc, Μοῦcαι Μούcαιc, καλαί καλαῖc, μαῖαι μαίαιc.

Τὰc Μούcαc, τὰc μαίαc, τὰc cφαίραc· εἴρηται ὅτι πᾶcα εὐθεῖα πληθυντικῶν εἰc αι δίφθογγον λήγουcα τροπῇ τοῦ ι̅ εἰc c̅ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον κοχλίαι κοχλίαc, Χρῦcαι Χρύcαc, Μοῦcαι Μούcαc.

[Discr. scr. ex NCV] **6** Ὦ Μοῦcα — ὦ καλή (**9**) *om* V ‖ **10** Εἴρηται] *cfr. p. 165, 1 et 149, 15* ‖ **11** ἀνεκφ. ι̅ γραφομένη V, προcγραφομένου ι̅ N, προcγεγραμμένου ι̅ *et in marg.* γρ. γραφομένου C[1] ‖ **13** τῇ Μούcῃ — τὼ κοχλία (**16**) *om* NC ‖ **19** Εἴρηται] *cfr. p. 149, 29* ‖ **25** εἴρηται] *cfr. p. 150, 2* ‖ **29** εἴρηται — γένουc (**30**) *om* NC ‖ **31** εἴρηται — μαίαιc (**34**) *om* NC | εἴρηται] *cfr. p. 150, 29* ‖ **35** εἴρηται — Μούcαc (**38**) *om* NC | εἴρηται] *cfr. p. 151, 2*

Ὦ Μοῦςαι, ὦ μαῖαι, ὦ cφαῖραι· εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτως καὶ ἡ κλητική.

Κανὼν β΄.

Ἡ τιμή τῆς τιμῆς.

Ἰςτέον ὅτι τὰ εἰς η̄ λήγοντα θηλυκὰ προςθέςει τοῦ c̄ ποιοῦςι τὴν γενικήν, οἷον καλή καλῆς, Ἀφροδίτη Ἀφροδίτης, τιμή τιμῆς, μελέτη μελέτης· ὅθεν τὴν γυναικός γενικὴν ἀπὸ τῆς γύναιξ εὐθείας κεκλίςθαι φαμὲν καὶ οὐκ ἀπὸ τῆς γυνή, ἐπεὶ τῆς γυνῆς εἶχεν εἶναι· ὅτι δὲ τῆς γυναικός γενικῆς γύναιξ ἐςτὶν ἡ εὐθεῖα, ἐν τῇ διδαςκαλίᾳ τῆς κλητικῆς τοῦ θώραξ μεμαθήκαμεν. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐςτι ζητῆςαι, διατί τὸ γυνή ἄκλιτόν ἐςτιν, οὐδὲ γὰρ λέγομεν τῆς γυνῆς· καὶ ἔςτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ εἰς νη̄ λήγοντα διςύλλαβα τῷ ῡ παραληγόμενα ἐκτεταμένον ἔχουςι τὸ ῡ, οἷον μύνη (ἡ προτροπὴ καὶ ἡ πρόφαςις) Βύνη (οὕτως ἐκλήθη ὕςτερον ἡ Ἰνώ) Φρύνη (ὄνομα κύριον)· τὸ δὲ γυνή ςυςτέλλει τὸ ῡ· εἰκότως οὖν ὡς μονῆρες ἄκλιτον ἔμεινε. Ταῦτα μὲν ἐν τούτοις.

Ἰςτέον δὲ ὅτι εὑρίςκεται παρὰ Φερεκράτει ἡ αἰτιατικὴ τὴν γυνήν ⟨fragm. 91 K⟩ ὡς ἄτοπόν ἐςτι μητέρ' εἶναι καὶ γυνήν, καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τὰς γυνάς, ἀλλ' ὁρῶ τὰς γυνάς. Τούτων οὕτως ἐχόντων ἄξιόν ἐςτι ζητῆςαι, εἰ ἄρα ἐπὶ τῶν ἑτεροκλίτων ἡ αἰτιατικὴ καὶ κλητικὴ τῇ λεγομένῃ εὐθείᾳ ἀκολουθοῦςι καὶ οὐ τῇ ςεςιγημένῃ
329 g — ἰδοὺ γὰρ τὸν μέγαν λέγομεν τὴν αἰτιατικὴν καὶ ὦ μέγα τὴν κλητικήν, ὡς πρὸς τὴν μέγας εὐθεῖαν τὴν λεγομένην καὶ οὐχὶ πρὸς τὴν ςεςιγημένην τὴν μεγάλος, ἐξ ἧς ἡ γενικὴ καὶ ἡ δοτικὴ μεγάλου καὶ μεγάλῳ, ἐπεὶ μεγάλον καὶ μεγάλε εἶχον εἶναι ἡ αἰτιατικὴ καὶ ἡ κλητική — πῶς οὖν ἐνταῦθα ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ οὐ λέγονται πρὸς τὴν λεγομένην εὐθεῖαν, φημὶ δὴ πρὸς τὴν ἡ γυνή, ἐπεὶ τὴν γυνήν καὶ ὦ γυνή εἶχον εἶναι, ἀλλὰ πρὸς τὴν γύναιξ εὐθεῖαν ἐκλίθηςαν, ἐξ ἧς καὶ ἡ γυναικός γενικὴ καὶ ἡ γυναικί δοτική, γυναῖκα γάρ φαμεν καὶ ὦ γύναι. Ἔςτιν οὖν εἰπεῖν, ὅτι ἐπὶ τῶν ἄλλων ἑτεροκλίτων προφανῶς ἡ γενικὴ καὶ ἡ δοτικὴ τὴν ἀκολουθίαν ἔχουςι πρὸς τὴν ςεςιγημένην εὐθεῖαν, καὶ τούτου χάριν ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ οὐκ ἀκολουθοῦςιν αὐταῖς ἀλλὰ ταῖς λεγομέναις εὐθείαις· προφανῶς γὰρ ἡ μεγάλου γενικὴ καὶ ἡ μεγάλῳ δοτικὴ τὴν ἀκολουθίαν ἔχουςι πρὸς τὴν μεγάλος εὐθεῖαν· ἐνταῦθα δὲ ἐπειδὴ ἡ γενικὴ καὶ ἡ δοτικὴ οὐκ ἔςχον τὴν ἀκολουθίαν ἀπαραλλάκτως πρὸς τὴν ςεςιγημένην εὐθεῖαν, ὡς γὰρ πρὸς τὴν γύναιξ εὐθεῖαν ἡ γε-

---

[Discr. scr. ex NCV] **1** εἴρηται — κλητική (**2**) *om* NC || **3** Κανὼν — τιμῆς (**4**) *om* NC || **8** τῆς γυνή V, τοῦ γυνή NC || **10** μεμαθήκαμεν] *cfr. p. 289, 31* || **13** τῷ] τὸ N || **18** ὡς — γυνήν *om* V | ἐςτι *EM 243, 26, om* NC | μητέρα NC || **24** καὶ *post* μεγάλου *om* NC || **25** ἡ *ante* κλητ. *om* NC || **26** λέγονται V, λέγεται NC || **27** τὴν ἡ γυνή V, τὸ ἡ γυνή NC || **31** ἡ *ante* δοτ. *om* NC || **32** ἡ *ante* κλητ. *om* NC | οὐκ *om* N || **34** ἔχουςι V, ἔχει NC || **36** ςεςιγημένην CV, ςεςημειωμένην N

νικὴ καὶ ἡ δοτικὴ προπαροξυτόνως ὤφειλον εἶναι γύναικος καὶ γύναικι, τούτου χάριν ὡς μὴ φυλαξασῶν τὴν ἀκολουθίαν ἀπαραλλάκτως τῆς γενικῆς καὶ δοτικῆς πρὸς τὴν σεσιγημένην εὐθεῖαν οὐκ ἀπέφυγον αὐτὰς ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ καὶ ἠκολούθησαν τῇ λεγομένῃ εὐθείᾳ τῇ γυνή· ἡ γὰρ Δία αἰτιατικὴ διὰ τοῦτο οὐκ ἠκολούθησε τῇ λεγομένῃ εὐθείᾳ, φημὶ δὴ τῇ Ζεύς, ἐπειδή, ὡς ἐν τῇ περὶ τούτου διδασκαλίᾳ μεμαθήκαμεν, οὐ δύναται ὅλως τὸ Ζεύς τὸ κοινολεκτούμενον κλιθῆναι.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί τὸ ἄγη ἄκλιτόν ἐστι (σημαίνει δὲ τὴν ἔκπληξιν καὶ ἔστι θηλυκὸν ὄνομα, οἷον ⟨Φ 221⟩ ἄγη μ᾽ ἔχει, ὄρχαμε λαῶν, ἀντὶ τοῦ ἔκπληξίς με κατέχει). Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰς γη ἰαμβικὰ οὐδέποτε ἀπὸ φωνήεντος ἄρχονται, οἷον στέγη σφαγή ταγή φυγή· πρόσκειται «ἰαμβικά» διὰ τὸ ἀγή (σημαίνει δὲ τὴν ἀπόκλασιν τοῦ κύματος)· τοῦτο γὰρ ἀπὸ φωνήεντος ἄρχεται· ἀλλ᾽ οὐκ ἔστιν ἰαμβικὸν ἀλλὰ σπονδειακόν, τὸ γὰρ ᾱ μακρὸν ἔχει· ἐπειδὴ οὖν τὸ ἄγη εἰς γη ἐστὶν ἰαμβικὸν καὶ ἀπὸ φωνήεντος ἄρχεται, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἔμεινεν ἄκλιτον.

Τῇ τιμῇ, τὴν τιμήν, ὦ τιμή. Τὰ τιμά, ταῖν τιμαῖν, ὦ τιμά. Αἱ τιμαί, τῶν τιμῶν, ταῖς τιμαῖς, τὰς τιμάς, ὦ τιμαί.

Κανὼν γ΄.

Ἡ Σαπφώ τῆς Σαπφόος καὶ Σαπφοῦς.

Ἰστέον ὅτι τὰ εἰς ω̄ λήγοντα θηλυκὰ πάντα ὀξύνονται, οἷον Λητώ Κλειώ Καλυψώ Σαπφώ, ἔχουσι δὲ παραλλαγὴν περὶ τὴν κλίσιν· τὰ μὲν γὰρ ἑνικὰ αὐτῶν ὡς ἀπὸ περιττοσυλλάβου κλίσεως γίνονται, οἷον Λητόος Λητοῦς, Λητόϊ Λητοῖ, Λητόα Λητώ, τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ ὡς ἀπὸ ἰσοσυλλάβου κλίσεως, οἷον τὰ Λητώ, ταῖν Λητοῖν, ὦ Λητώ, αἱ Λητοί, τῶν Λητῶν, ταῖς Λητοῖς, τὰς Λητούς, ὦ Λητοί, ὥσπερ τὼ καλώ, τοῖν καλοῖν, ὦ καλώ, οἱ καλοί, τῶν καλῶν, τοῖς καλοῖς, τοὺς καλούς, ὦ καλοί. Ταῦτα δὲ τὰ εἰς ω λήγοντα θηλυκὰ εἰς ους ἔχουσι τὴν γενικήν, οἷον Σαπφώ Σαπφοῦς, Κλειώ Κλειοῦς, Καλυψώ Καλυψοῦς, Λητώ Λητοῦς, Ἐρατώ Ἐρατοῦς· ἐμάθομεν δὲ ὅτι πᾶσα γενικὴ εἰς ους λήγουσα συνῃρημένη ἐστί· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελὲς καὶ οὕτω ποιεῖν τὴν συναίρεσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί τὰ εἰς ω̄ λήγοντα θηλυκὰ εἰς ους ἔχουσι τὴν γενικήν. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι ἀντιπεπονθότως ἔχουσι τὰ εἰς ω̄ ῥήματα πρὸς τὰ εἰς ω̄ θηλυκά· τὰ μὲν γὰρ εἰς ω̄ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον τύπτω γράφω

[Discr. scr. ex NCV] **1** γυναικὸς καὶ γυναικὶ NC ‖ **2** φυλαξασῶν V, φυλάξασαι NC ‖ **6** μεμαθήκαμεν] *cfr. p. 213, 35* ‖ **9** οἷον *om* NC | μ᾽ V, με NC ‖ **10** κατέχει V, ἔχει NC ‖ **12** ταγή *om* V | φυγή *om* NC ‖ **14** σπονδιακὸν NC ‖ **17** τῇ τιμῇ — ὦ τιμαί (18)] πρόδηλος δὲ ἡ λοιπὴ κλίσις V ‖ **19** Κανὼν — Σαπφοῦς (**20**) *om* NC ‖ **23** γὰρ *om* N ‖ **30** ἐμάθομεν] *cfr. p. 170, 19* ‖ **34** ἔχουσι V, ἔχει NC ‖ **36** γὰρ *om* NC

ποιῶ νοῶ, τὰ δὲ εἰς ω̅ θηλυκὰ ὀξύνονται, οἷον Λητώ Καλυψώ Ἐρατώ Κλειώ Σαπφώ· ἐπειδὴ οὖν τὰ εἰς ω̅ ῥήματα ἔθος ἔχουσι πολλάκις διὰ τῆς ε̅ι̅ διφθόγγου ἐκφέρεσθαι κατὰ τὴν κλίσιν, οἷον τύπτω τύπτεις, γράφω γράφεις, λέγω λέγεις, τούτου οὖν χάριν ἐκ τοῦ ἐναντίου τὰ εἰς ω̅ θηλυκὰ διὰ τῆς ο̅υ̅ διφθόγγου ἐκφέρονται, οἷον Σαπφώ Σαπφοῦς, Κλειώ Κλειοῦς, Λητώ Λητοῦς, Ἐρατώ Ἐρατοῦς· πρόσκειται ἀνωτέρω «πολλάκις» διὰ τὴν δευτέραν καὶ τρίτην συζυγίαν τῶν περισπωμένων. Ταῦτα μὲν ἐν τούτοις.

331 g Ἔτι δὲ ἄξιόν ἐστι ζητῆσαι, τί δήποτε ἡ εἰς ο̅υ̅ς̅ συνῃρημένη γενικὴ ἡνίκα μὲν ἀπὸ τῶν εἰς η̅ς̅ εὑρεθῇ, διὰ τοῦ ε̅ο̅ς̅ ἔχει τὴν γενικὴν ἐν τῇ ἐντελείᾳ, οἷον εὐγενής εὐγενέος εὐγενοῦς, Δημοσθένης Δημοσθένεος Δημοσθένους, ἡνίκα δὲ ἀπὸ τῶν εἰς ω̅ εὑρεθῇ, διὰ τοῦ ο̅ο̅ς̅ ἔχει τὴν γενικὴν ἐν τῇ ἐντελείᾳ, οἷον Λητώ Λητόος Λητοῦς, Καλυψώ Καλυψόος Καλυψοῦς, Ἐρατώ Ἐρατόος Ἐρατοῦς. Ἔστι δὲ εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὸ η̅ συστελλόμενον εἰς τὸ ε̅ συστέλλεται, οἷον ξηρόν ξερόν, ὡς τὸ ⟨ε 402⟩ ποτὶ ξερὸν ἠπείροιο, φρήν φρενός, τέρην τέρενος, λιμήν λιμένος, ἄρσην ἄρσενος· ἐπειδὴ οὖν τὸ η̅ συστελλόμενον εἰς τὸ ε̅ συστέλλεται, εἰκότως καὶ ἡ εἰς ο̅υ̅ς̅ συνῃρημένη γενικὴ ἡνίκα εὑρεθῇ ἀπὸ τῶν εἰς η̅ς̅, διὰ τοῦ ε̅ο̅ς̅ ἔχει τὴν ἐντέλειαν. Διατί δὲ ὅτε ἐστὶν ἀπὸ τῶν εἰς ω̅, διὰ τοῦ ο̅ο̅ς̅ ἔχει τὴν ἐντέλειαν; Λέγομεν ταύτην τὴν ἀπολογίαν, ὅτι τὸ ω̅ συστελλόμενον εἰς τὸ ο̅ συστέλλεται, οἷον Ἕκτωρ Ἕκτορος, Μέντωρ Μέντορος, γείτων γείτονος, σώφρων σώφρονος· ἐπειδὴ οὖν τὸ ω̅ συστελλόμενον εἰς τὸ ο̅ συστέλλεται, εἰκότως καὶ ἡ εἰς ο̅υ̅ς̅ συνῃρημένη γενικὴ ἡνίκα εὑρεθῇ ἀπὸ τῶν εἰς ω̅, διὰ τοῦ ο̅ο̅ς̅ ἔχει τὴν ἐντέλειαν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ μὲν Θεοδόσιος ἀπὸ συναιρέσεως λέγει εἶναι τὴν τῶν εἰς ω̅ θηλυκῶν γενικήν, οἷον Σαπφώ Σαπφόος Σαπφοῦς, Λητώ Λητόος Λητοῦς· τινὲς δέ, ὧν ἔστι καὶ Ῥωμανὸς ὁ τοῦ Φιλοπόνου διδάσκαλος, λέγουσιν ὅτι ἰσοσυλλάβως ἐγένετο ἡ κλίσις ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν, τουτέστι προσθέσει τοῦ ς̅, οἷον ἡ Σαπφώ τῆς Σαπφῶς· τὰ γὰρ εἰς φωνῆεν λήγοντα, φασί, θηλυκὰ μακροκατάληκτα προσθέσει τοῦ ς̅ ποιοῦσι τὴν γενικήν, οἷον Ἀθηνᾶ Ἀθηνᾶς, μνᾶ μνᾶς, Διοτίμα Διοτίμας, Ἑλένη Ἑλένης, τιμή τιμῆς, καλή καλῆς, σοφή σοφῆς· οὕτως οὖν καὶ τὸ Λητώ Λητῶς καὶ Σαπφώ Σαπφῶς, καὶ λοιπὸν τροπῇ τοῦ ω̅ εἰς τὴν ο̅υ̅ δίφθογγον γίνεται Λητοῦς καὶ Σαπφοῦς, ὥσπερ καὶ παρὰ τὸ μῶ τὸ σημαῖνον τὸ ζητῶ (ἐξ οὗ καὶ τὸ μαῖα ἡ ζητητικὴ τοῦ βρέφους) γίνεται Μῶσα καὶ Μοῦσα κατὰ τροπὴν τοῦ ω̅ εἰς τὴν ο̅υ̅ δίφθογγον, οἱονεὶ ἡ ζητητικὴ τῶν λόγων. Ἢ οὖν οὕτως, φασί, γέγονεν ἡ γενικὴ

332 g τῶν εἰς ω̅ θηλυκῶν, ἢ ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ Λητῶς καὶ Σαπφῶς

[Discr. scr. ex NCV] **2** Κλειώ *om* NC ‖ **6** Ἐρατώ Ἐρατοῦς *om* NC ‖ **14** Ἐρατώ — Ἐρατοῦς *om* NC ‖ **16** ὡς τὸ *om* NC ‖ **18** καὶ V, οὖν NC ‖ **24** συνῃρημένη *om* NC | ἡνίκα εὑρεθῇ ἀπὸ V, εὑρεθεῖσα παρὰ NC ‖ **28** καὶ *om* NC ‖ **33** καλή — σοφῆς *om* NC ‖ **37** καὶ *om* NC ‖ **38** γέγονεν V, γέγονεναι NC ‖ **39** *post* Λητῶς *add* οὖν V

ϲυϲτολῇ τοῦ ω εἰϲ τὸ ο̄ [καὶ] ἐγένετο Λητόϲ καὶ Ϲαπφόϲ διὰ τοῦ ο̄, καὶ ἐπειδὴ πᾶϲα γενικὴ ἰϲοϲυλλάβωϲ κλινομένη μακροκαταληκτεῖν θέλει, οἷον Μοῦϲα Μούϲηϲ, Μήδεια Μηδείαϲ, Ἀντιόχεια Ἀντιοχείαϲ, Ὅμηροϲ Ὁμήρου, ἄνθρωποϲ ἀνθρώπου, Αἰνείαϲ Αἰνείου, ἐξ ἀνάγκηϲ ἐμεγεθύνθη τὸ ο̄ διὰ τῆϲ προϲθήκηϲ τοῦ ῡ καὶ ἐγένετο Ϲαπφοῦϲ καὶ Λητοῦϲ, ὥϲπερ Ὄλυμποϲ Οὔλυμποϲ, νόϲοϲ νοῦϲοϲ, ὄρεα οὔρεα· καὶ ἐπειδὴ πᾶϲα γενικὴ εἰϲ ο̄ῡϲ̄ λήγουϲα ἔχει καὶ ἄλλην γενικὴν ὥϲπερ ἐντελῆ, οἷον Δημοϲθένεοϲ Δημοϲθένουϲ, Διομήδεοϲ Διομήδουϲ, τούτου οὖν χάριν διάλυϲιϲ ἐγένετο τῆϲ ο̄ῡ διφθόγγου εἰϲ δύο ο̄ο̄ καὶ ἐγένετο Ϲαπφόοϲ καὶ Λητόοϲ. Ἰϲτέον δὲ ὅτι τῇ μὲν διὰ τοῦ οοϲ γενικῇ κέχρηνται οἱ Ἴωνεϲ, οἷον τῆϲ Ϲαπφόοϲ τῆϲ Λητόοϲ, τῇ δὲ εἰϲ ουϲ οἱ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτοϲ, οἷον τῆϲ Ϲαπφοῦϲ τῆϲ Λητοῦϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Τῇ Ϲαπφόϊ καὶ Ϲαπφοῖ. Ἰϲτέον ὅτι ἡ δοτική ἐϲτι τῇ Ϲαπφῷ, ὡϲ ἀπὸ τοῦ ἡ Ϲαπφώ τῆϲ Ϲαπφῶϲ τῇ Ϲαπφῷ, ὥϲπερ ἡ τιμή τῆϲ τιμῆϲ τῇ τιμῇ, καὶ λοιπὸν ϲυϲτολὴν ἀναδεξαμένη τοῦ ω̄ εἰϲ τὸ ο̄ ἐξεφώνηϲε τὸ ῑ καὶ ἐγένετο τῇ Ϲαπφοῖ. Τινὲϲ δέ, ὥϲπερ καὶ ὁ Θεοδόϲιοϲ, νομίζουϲιν ὅτι ἀπὸ τῆϲ Ϲαπφόοϲ γενικῆϲ γέγονεν ἡ δοτικὴ Ϲαπφόϊ τροπῇ τοῦ ο̄ϲ̄ εἰϲ ῑ, καὶ κατὰ ϲυναίρεϲιν τοῦ ο̄ καὶ ῑ εἰϲ τὴν ο̄ῑ δίφθογγον γίνεται Ϲαπφοῖ. Λέγει δὲ ὁ Ἡρωδιανόϲ, ὅτι οὐδέποτε εὑρίϲκομεν ἐν χρήϲει ταύτην τὴν δοτικὴν διάϲταϲιν ἔχουϲαν τοῦ ο̄ καὶ ῑ· οὐδὲ γὰρ εὑρίϲκεται ἐν χρήϲει ἡ τριϲύλλαβοϲ δοτικὴ ἐπὶ τούτων, φημὶ δὴ ἡ Λητόϊ καὶ Ϲαπφόϊ, ἀλλ' ἡ διϲύλλαβοϲ, οἷον ἡ Λητοῖ καὶ Ϲαπφοῖ. Ἔϲτι δὲ εἰπεῖν, ὅτι ἀναφέρουϲί τινεϲ τῶν τεχνικῶν μίαν χρῆϲιν διάϲταϲιν ἔχουϲαν τοῦ ο̄ καὶ ῑ παρὰ Πινδάρῳ· ἐκεῖνοϲ γὰρ εἶπε ⟨Isthm. VII (VI) 51 B[4]⟩ τῇ Πυθόϊ.

Τὴν Ϲαπφόα καὶ Ϲαπφώ. Ἰϲτέον ὅτι ἐϲτὶν ἡ αἰτιατικὴ τὴν Ϲαπφών, ὡϲ ἀπὸ τοῦ ἡ Ϲαπφώ τῆϲ Ϲαπφῶϲ τῇ Ϲαπφῷ τὴν Ϲαπφών, ὥϲπερ ἡ τιμή τῆϲ τιμῆϲ τῇ τιμῇ τὴν τιμήν, καὶ λοιπὸν κατὰ διάλυϲιν τοῦ ω̄ εἰϲ τὸ ο̄ καὶ ᾱ γέγονε Ϲαπφόα τοῦ ν̄ ἀποβληθέντοϲ, ἐπειδὴ τὸ 333 g ᾱ ἀποβλητικόν ἐϲτι τοῦ ν̄, οἷον Ξέρξην Ξέρξεα, Πολυδεύκην Πολυδεύκεα, ἣν ἕα, οἷον ⟨Ε 887⟩ ἤ κεν ζὼϲ ἀμενηνὸϲ ἔα χαλκοῖο τυπῇϲι· τὸ γὰρ Μοῦϲα Μοῦϲαν ἀπὸ κλίϲεωϲ ἔχει τὸ ν̄ καὶ οὐκ ἔϲτι κατὰ πάθοϲ, ὥϲπερ τὰ ἄλλα· ἔϲτιν οὖν Ϲαπφὼν Ϲαπφόα, διαλύϲεωϲ, ὡϲ εἴρηται, γενομένηϲ τοῦ ω̄ εἰϲ ο̄ καὶ ᾱ, καὶ λοιπὸν κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ᾱ εἰϲ ω̄ γέγονε Ϲαπφώ, ὥϲπερ κρείττονα κρείττοα κρείττω, βελτίονα βελτίοα βελτίω. Ὁ δὲ Θεοδόϲιοϲ δοξάζει, ὅτι ἀπὸ τῆϲ Ϲαπφόϊ δοτικῆϲ γέγονεν ἡ Ϲαπφόα αἰτιατικὴ τροπῇ τοῦ ῑ εἰϲ ᾱ, καὶ κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ᾱ εἰϲ ω̄ Ϲαπφώ· καὶ λέγει ὅτι ἡ αἰτιατικὴ ϲυναιρεθεῖϲα

[Discr. scr. ex NCV] **1** ϲυϲτολῇ NC, ϲυϲτολὴ ἐγένετο V | καὶ ἐγ. NCV ‖ **11** *post* Λητόοϲ *add* NC: ἡ ἐντελὴϲ γενική, ἡ δὲ Ϲαπφοῦϲ καὶ Λητοῦϲ κατὰ ϲυναίρεϲιν ‖ **13** τῇ Ϲαπφόϊ καὶ Λητόϊ, τῇ Ϲαπφοῖ καὶ Λητοῖ NC | *post* Ἰϲτέον *add* δὲ NC ‖ **22** δὴ *om* N ‖ **26** καὶ V, τὴν NC ‖ **31** οἷον *om* NC | ἤ κεν N ‖ **32** οὐκ ἔϲτι CV, οὐκέτι N ‖ **34** εἰϲ ο̄ καὶ CV, καὶ ο̄ N | *ante* ᾱ *add* εἰϲ NC ‖ **36** Ὁ Θεοδόϲιοϲ δὲ δοξ. NC ‖ **38** τοῦ ο̄ V, τοῦ ω̄ NC | *post* ὅτι *add* αὕτη V

οὐκ εἴασε τὰς ἄλλας πτώσεις τῷ λόγῳ τῆς συναιρέσεως κλιθῆναι, ἀλλὰ πρὸς ἑαυτὴν πάσας ἔκλινεν, ἤγουν πρὸς ἀναλογίαν ἑαυτῆς, πλὴν τῆς κλητικῆς τῶν ἑνικῶν· αὕτη γὰρ εἰς τὴν οι̅ δίφθογγον λήγει· «πρὸς ἀναλογίαν δὲ ἑαυτῆς» εἶπεν, ἐπειδὴ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίως αὐτῇ εἰς ω̅ λήγει, οἷον τὰ Σαπφώ, καὶ λοιπὸν ἀκολούθως αὐτῇ αἱ λοιπαὶ πτώσεις κλίνονται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι εὑρίσκεται καὶ ἄλλη αἰτιατικὴ εἰς ουν̅, οἷον τὴν Λητοῦν καὶ Σαπφοῦν, ἥτις Ἰωνική ἐστιν. Λέγει δὲ ὁ Ῥωμανός, ὅτι ἐστὶ τὴν Σαπφών καὶ τὴν Λητών ἡ αἰτιατική, καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ ω̅ εἰς τὴν ου̅ δίφθογγον γίνεται τὴν Σαπφοῦν καὶ τὴν Λητοῦν. Ἰστέον δὲ ὅτι οἱ Αἰολεῖς καὶ διὰ τοῦ ων̅ λέγουσι τὴν αἰτιατικὴν τῶν εἰς ω̅ θηλυκῶν καὶ βαρύνουσιν, οἷον τὴν Λήτων, τὴν Σάπφων· πᾶσα γὰρ λέξις ὑπὲρ μίαν συλλαβὴν παρ' ἡμῖν ὀξυνομένη παρὰ τοῖς Αἰολεῦσι βαρύνεται, οἷον Ἀτρεύς Ἄτρευς, σοφός σόφος, χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων· ἐπὶ γὰρ τούτων φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον ἀνά κατά διά μετά παρά ἀντί ἀμφί περί ἀπό ὑπό ὑπέρ ἠμέν ἠδέ αὐτάρ ἀτάρ ἀλλά· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὰ μονοσύλλαβα· ἐπὶ τούτων γὰρ φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον τίς νύξ Στύξ· πῶς γὰρ δύνανται τὰ μονοσύλλαβα βαρύνεσθαι; Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, τιμήεις τιμῆς, διατί ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν αἱ αἰτιατικαὶ ἀπὸ ὀξείας καὶ βαρείας συναιρεθεῖσαι οὐ περισπῶνται ἀλλ' ὀξύνονται, οἷον Λητόα Λητώ, Σαπφόα Σαπφώ, Καλυψόα Καλυψώ. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν πάντως καὶ τὸν αὐτὸν τόνον ἀναδέχεται, οἷον ἡ Μοῦσα ὦ Μοῦσα, ἐπ' ἀμφοτέρων μία φωνὴ καὶ εἷς τόνος, ἡ Μήδεια ὦ Μήδεια, τὸ ξύλον ὦ ξύλον· οὕτως οὖν τῇ Λητοῖ καὶ ὦ Λητοῖ, ὁμοίως τῇ Σαπφοῖ καὶ ὦ Σαπφοῖ· ἐπειδὴ οὖν ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν ἡ αἰτιατικὴ ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ, ἡ Λητώ γὰρ καὶ τὴν Λητώ καὶ ἡ Σαπφώ καὶ τὴν Σαπφώ, τούτου χάριν καὶ τὸν τόνον αὐτῆς ἀνεδέξατο καὶ ὀξύνεται ὁμοίως τῇ εὐθείᾳ. Ἡ δὲ εὐθεῖα ὀξύνεται διὰ τὸν χαρακτῆρα· πάντα γὰρ τὰ εἰς ω̅ λήγοντα θηλυκὰ ὀξύνονται, οἷον Κλειώ Ἐρατώ Καλυψώ Λητώ Σαπφώ. Ὅτι γὰρ αἰτία ἐστὶ τοῦ ταύτας τὰς αἰτιατικὰς μὴ περισπᾶσθαι ἡ ὁμοφωνία τῆς εὐθείας,

---

[Discr. scr. ex NCV] **1** οὐκ NC, οὐκέτι V ‖ **2** ἑαυτὴν V, αὐτὴν NC ‖ **4** ἑαυτῆς V, αὐτῆς NC ‖ **7** εἰς — Σαπφοῦν (8) V, εἰς οιν, οἷον τὴν (τοῖν N) Λητοῖν καὶ τὴν Σαπφοῖν NC; *cfr. Hort. Adon. fol. 267v — 268v (Ald. 1496)* ‖ **8** Ῥωμανὸς V, Ἡρωδιανὸς NC ‖ **10** ου̅ V, οι̅ NC | τοῖν Σαπφοῖν καὶ τοῖν Λητοῖν NC, *sed* N[1] *in marg. add*: οἶμαι τὰ ἄρθρα διὰ τοῦ η̅ δεῖ γράφεσθαι ‖ **11** ων V, ω̅ NC ‖ **12** τὴν Λήτω τὴν Σάπφω NC ‖ **14** σοφὸς σόφος NC, καλὸς κάλος V ‖ **16** παρά — ἠδέ *om* NC ‖ **17** ἀλλά *om* NC | πρόσκειται V, πρός NC ‖ **18** τίς *om* NC ‖ **24** ὁμοφωνήσασα V, ὁμοφωνοῦσα NC; *cfr. p. 312, 5 et 11* ‖ **25** τὸν αὐτὸν τόνον] τὸν τόνον αὐτὸν NC, τὸν τόνον αὐτῆς V; *cfr. p. 312, 12* ‖ **33** αἰτία — αἰτιατικὰς (34) V, ταύτας τὰς αἰτιατικὰς αἰτία ἐστὶ τοῦ NC

δηλοῖ ἡ αἰδῶ αἰτιατικὴ περισπασθεῖσα καὶ ἡ ἠῶ· αὗται γὰρ μὴ ὁμοφωνήσασαι τῇ ἰδίᾳ εὐθείᾳ, αἰδώς γάρ ἐστιν ἡ εὐθεῖα καὶ ἠώς, περισπῶνται τῷ λόγῳ τῆς συναιρέσεως τῆς γενομένης ἐξ ὀξείας καὶ βαρείας, οἷον ἠόα ἠῶ, αἰδόα αἰδῶ. Πρόσκειται ἀνωτέρω «κατὰ τὸν αὐτὸν ἀριθμόν», οἷον «πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμόν», διὰ τὸ τῆς ἀγορᾶς καὶ τὰς ἀγοράς· ἰδοὺ γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ὁμοφωνεῖ τῇ γενικῇ τῶν ἑνικῶν καὶ οὐχ ὁμοτονεῖ αὐτῇ· ἡ μὲν γὰρ γενικὴ τῶν ἑνικῶν περισπᾶται, ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ὀξύνεται, ἀλλ' οὐκ ἔστι κατὰ τὸν αὐτὸν ἀριθμόν· τούτου οὖν χάριν πρόσκειται ἀνωτέρω «κατὰ τὸν αὐτὸν ἀριθμόν». Δεῖ ⟨δὲ⟩ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν πάντως καὶ τὸν αὐτὸν ἀναδέχεται τόνον, «χωρὶς τῶν εἰς ευς γενικῶν τῶν γενομένων ἰωνικῶς ἢ δωρικῶς»· οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυσσέως καὶ Ἰδομενέως γενικὴν Ὀδυσσεῦς καὶ Ἰδομενεῦς λέγουσιν, οἷον ⟨ω 397⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ Ὀδυσσέως τὴν χεῖρα ἐφίλησε, καὶ πάλιν 335 g ⟨Ν 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα, ἀντὶ τοῦ Ἰδομενέως οὐκ ἔληγεν ἡ δύναμις· καὶ ἰδοὺ ὡμοφώνησεν ἡ γενικὴ τῇ εὐθείᾳ κατὰ τὸν αὐτὸν ἀριθμόν, Ὀδυσσεύς γὰρ καὶ Ἰδομενεύς ἐστιν ἡ εὐθεῖα, καὶ ὅμως οὐκ ἐπεδέξαντο τὸν αὐτὸν τόνον· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται τῷ λόγῳ τῆς συναιρέσεως τῆς ἀπὸ ὀξείας καὶ βαρείας.

Ὦ Σαπφοῖ. Λέγει ὁ τεχνικός, ὅτι ἡ κλητικὴ τῶν εἰς ω θηλυκῶν εἰς τὴν οι δίφθογγον λήγει, τῆς χρήσεως οὕτως ἐχούσης, ἡ Σαπφώ ὦ Σαπφοῖ, ἡ Λητώ ὦ Λητοῖ, ὡς τὸ ⟨Φ 498⟩ Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι. Καὶ ἔστιν εἰπεῖν, ὅτι εὑρίσκεται ἐπὶ τούτων ἡ κλητικὴ καὶ ὁμοφώνως τῇ εὐθείᾳ, ὡς παρὰ τῷ Ἀπολλωνίῳ ⟨3, 1⟩ εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρ' ἔμ' ἵστασο καί μοι ἔνισπε· ὁ μέντοι ποιητὴς καὶ ἄλλοι εἰς τὴν οι δίφθογγον ποιοῦσι τὴν κλητικήν, οἷον ⟨Φ 498⟩ Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι, καὶ Μένανδρος ⟨fragm. 981 K⟩ φίλη πειθοῖ. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἡ κλητικὴ οὐδέποτε πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας, οἷον Μοῦσα ὦ Μοῦσα, τιμή ὦ τιμή, βῆμα ὦ βῆμα, ἄστυ ὦ ἄστυ, βοῦς ὦ βοῦ, διὰ ποίαν αἰτίαν ἐπὶ τῶν εἰς ω θηλυκῶν ἡ κλητικὴ πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας, οἷον Καλυψώ ὦ Καλυψοῖ, Λητώ ὦ Λητοῖ, Σαπφώ ὦ Σαπφοῖ. Καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ ἀρχαῖα τῶν ἀντιγράφων ἐν ταῖς εἰς ω ληγούσαις εὐθείαις εἶχον τὸ ι προσγεγραμμένον, οἷον ἡ Λητῴ, ἡ Σαπφῴ σὺν τῷ ι· συσταλέντος οὖν τοῦ ω εἰς

[Discr. scr. ex N C V] **4** αὐτὸν *om* N ‖ **9** οὖν *om* N C ‖ **10** Δεῖ — πάντως (12) *om* V | δὲ *om* N C ‖ **15** ὀδυσσεῦς δὲ N C | κῦσε N C ‖ **18** ὁμοφώνησεν N ‖ **25** ὡς τὸ *om* N C ‖ **26** μαχέσομαι N C V; *item v. 30* ‖ **28** παρ' ἔμ' ἵστασο N V, πάρα θ' ἵστασο C | καί μοι ἔνισπε *om* V ‖ **30** Μένανδρος *om* N C ‖ **35** Σαπφώ ὦ Σαπφοῖ *om* N C ‖ **38** συσταλέντος οὖν τοῦ ω V, συσταλὲν οὖν τὸ ω N C

τὸ ο̄ ἐν τῇ κλητικῇ ἐξεφωνήθη τὸ ι̅, ⟨καὶ⟩ τούτου χάριν ἡ κλητικὴ ἔδοξε πλείονα φωνήεντα ἔχειν τῆς ἰδίας εὐθείας. Οὗτος δὲ ὁ λόγος οὐκ ἔστι καταναγκαστικός· ἐὰν γὰρ δῶμεν τὰ εἰς ω̅ λήγοντα θηλυκὰ ἔχειν τὸ ι̅ προσγεγραμμένον κατὰ τὴν εὐθεῖαν, εὑρεθήσεται τὸ ι̅ τελικὸν τῶν θηλυκῶν καὶ οὐ τὸ ω̅, ὅπερ ἐστὶν ἄτοπον· τὸ γὰρ ι̅ οὐκ ἔστι τελικὸν τῶν θηλυκῶν ἀλλὰ τῶν οὐδετέρων, οἷον τὸ μέλι, τὸ σίνηπι. Ὁ
336 g δὲ ἡμέτερος διδάσκαλος λέγει ταύτην τὴν ἀπολογίαν· τὰ εἰς ω̅ λήγοντα θηλυκὰ ἐπειδὴ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ ἔτρεψαν τὸ ω̅ εἰς τὸ ο̄, οἷον ἡ Σαπφώ τῆς Σαπφοῦς τῇ Σαπφοῖ, τούτου χάριν καὶ ἐν τῇ κλητικῇ ἔτρεψαν τὸ ω̅ εἰς τὸ ο̄· καὶ ἐπειδὴ αἱ κλητικαὶ αὗται ἤμελλον ὀξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, τὰ δὲ εἰς ο̄ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον ἐκεῖνο ἄλλο τοῦτο δεῦρο, χωρὶς τῆς αὐτό ἀντωνυμίας καὶ χωρὶς τῆς ἀπό καὶ ὑπό προθέσεως, τούτου χάριν ἵνα μὴ ὀξυνθῶσιν αὗται αἱ κλητικαὶ εἰς τὸ ο̄ καταλήγουσαι προσέλαβον τὸ ι̅, καὶ τούτου χάριν ἔχουσι πλείονα φωνήεντα τῶν ἰδίων εὐθειῶν αἱ εἰς τὴν οι̅ δίφθογγον λήγουσαι κλητικαί· περισπῶνται δὲ ὁμοίως ταῖς δοτικαῖς, οἷον τῇ Λητοῖ ὦ Λητοῖ, τῇ Σαπφοῖ ὦ Σαπφοῖ· ὁμοφωνήσασαι γὰρ ταῖς δοτικαῖς ἠναγκάσθησαν καὶ ὁμοτονεῖν αὐταῖς, καὶ τὴν αἰτίαν ἔχομεν ἐν τῇ διδασκαλίᾳ τῆς αἰτιατικῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί τὸ ι̅ προσῆλθε καὶ οὐκ ἄλλο φωνῆεν. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἑπτὰ ὄντων τῶν φωνηέντων, οἷον α̅ ε̅ η̅ ι̅ ο̄ υ̅ ω̅, οὐκ ἠδύνατο οὔτε τὸ α̅ οὔτε τὸ ε̅ οὔτε τὸ η̅ οὔτε τὸ ο̄ οὔτε τὸ ω̅ πλεονάσαι, ἐπειδὴ ταῦτα οὐκ εἰσὶν ὑποτακτικὰ ἀλλὰ προτακτικά· τὸ δὲ υ̅ πλεονάσαι οὐκ ἠδύνατο, ἵνα μὴ παράσχῃ ἔμφασιν, ὅτι εἰς ους̅ ἐστὶν ἡ εὐθεῖα· πᾶσα γὰρ κλητικὴ εἰς τὴν ου̅ δίφθογγον λήγουσα εἰς ους̅ ἔχει τὴν εὐθεῖαν, οἷον ὁ βοῦς ὦ βοῦ, ὁ πλοῦς ὦ πλοῦ, ὁ Σιμοῦς ὦ Σιμοῦ, ὁ πλακοῦς ὦ πλακοῦ· ἐξ ἀφαιρέσεως οὖν τῶν ἄλλων φωνηέντων τὸ ι̅ ἐπλεόνασεν.

Τὰ Σαπφώ. Λέγει ὁ τεχνικός, ὅτι αὕτη ἡ εὐθεῖα τῶν δυϊκῶν ὡμοφώνησε τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν ἑνικῶν, ἐξ ὧν καὶ συνέστηκεν, φημὶ δὴ ὀρθῆς καὶ αἰτιατικῆς· ἡ δὲ ὀρθὴ καὶ αἰτιατικὴ τῶν ἑνικῶν ἡ Σαπφώ καὶ τὴν Σαπφώ ἐστὶν ὁμοφώνως. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα πᾶσα δοτικὴ ἑνικῶν εἰς ι̅ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι̅ εἰς ε̅ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον Αἴαντι Αἴαντε, Θόαντι Θόαντε, λέβητι λέβητε, διατί ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν οὐ γίνεται ἡ εὐθεῖα τῶν
337 g δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν τροπῇ τοῦ ι̅ εἰς ε̅, οἷον Λητόϊ

[Discr. scr. ex NCV] **1** καί *om* NCV ‖ **2** ὁ λόγος *om* N ‖ **3** καταναστικός N ‖ **7** ὁ ἡμέτερος διδάσκαλος] *Romanus? cfr. Hort. Adon. 1496 Ald. fol. 267v—268v; qui enim ibi legitur tractatus e Romani libro sumptus videtur* ‖ **9** οἷον — εἰς τὸ ο̄ (**10**) *om* V ‖ **11** δὲ *om* N ‖ **16** περισπ. δὲ V, καὶ περισπ. NC ‖ **18** ταῖς δοτ. V, τῇ δοτικῇ NC ‖ **19** ἔχομεν] *cfr. p. 311, 24* ‖ **23** πλεονάσθαι N ‖ **24** ἐστὶν — εἰς ους̅ (**25**) *om* NC ‖ **27** ἀφαιρέσεως V, ἀναιρέσεως NC | οὖν *om* N ‖ **28** *post* ἐπλεόνασεν *add* V: ἐξ ἀνάγκης, ὥς φησιν ὁ τεχνικός ‖ **30** ὁμοφώνησε N ‖ **31** φημὶ δὴ *om* NC

Λητόε, Σαπφόϊ Σαπφόε, ἀλλὰ τὰ Λητώ καὶ τὰ Σαπφώ ὁμοφώνως τῇ αἰτιατικῇ τῶν ἑνικῶν· καὶ γὰρ ἡ αἰτιατικὴ τῶν ἑνικῶν τὴν Λητώ ἐστὶ καὶ τὴν Σαπφώ. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ὅταν ἡ γενικὴ τῶν ἑνικῶν συναιρῆται, τότε καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίως συναιρεῖται, οἷον Δημοσθένεος Δημοσθένους Δημοσθένεε Δημοσθένη, τείχεος τείχους τείχεε τείχη, εὐγενέος εὐγενοῦς εὐγενέε εὐγενῆ, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐδὲ γὰρ ἡνίκα μὴ συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, κωλύεται πάντως συναιρεθῆναι ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ' ἔστιν ὅτε καὶ τότε συναιρεῖται, οἷον βασιλεύς βασιλέως βασιλέε βασιλῆ, πόλις πόλεως πόλεε πόλη, ὡς παρ' Αἰσχίνῃ τῷ Σωκρατικῷ τούτω τὼ πόλη· λέγει δὲ περὶ Ἀθηναίων καὶ Λακεδαιμονίων. Εἰ ἄρα οὖν ἐν τοῖς εἰς ω̄ θηλυκοῖς συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν κατὰ τὸν Θεοδόσιον, οἷον Λητόος Λητοῦς καὶ Σαπφόος Σαπφοῦς καὶ Ἐρατόος Ἐρατοῦς, δηλονότι καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ἀναγκάζεται συναίρεσιν ἐπιδέξασθαι. Ἐὰν οὖν γένηται ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν τροπῇ τοῦ ῑ εἰς ε̄, οἷον Λητόϊ Λητόε καὶ Σαπφόϊ Σαπφόε, μέλλει ἐν τῇ συναιρέσει εἰς τὴν οῡ δίφθογγον καταλήγειν· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν οῡ δίφθογγον κιρνᾶται, οἷον τὸ ἐμόν τοὐμόν, τὸ ἔργον τοὔργον, προέστη προύστη, προέβη προύβη· εἰς τὴν οῡ δίφθογγον δὲ καταλήγειν αὐτὴν ἀδύνατόν ἐστιν, οὐδέποτε γὰρ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς τὴν οῡ δίφθογγον καταλήγει, τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν· τούτου οὖν χάριν οὐκ ἐγένετο ἐκ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ' ὡμοφώνησεν τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ ἐχούσῃ κατάληξιν ἁρμόζουσαν τῇ εὐθείᾳ τῶν δυϊκῶν, λήγει γὰρ εἰς ω̄ ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὅπερ ἐστὶ τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν, οἷον τὼ φίλω, τὼ ἀνθρώπω. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην, ὅτι ἐν τοῖς δυϊκοῖς συνεζευγμέναι εἰσὶν ἡ ὀρθὴ καὶ αἰτιατική· ἐπειδὴ οὖν ἐν τοῖς εἰς ω̄ θηλυκοῖς ἡ αἰτιατικὴ τῶν ἑνικῶν ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ, οἷον τὴν Λητώ καὶ ἡ Λητώ, τὴν Σαπφώ καὶ ἡ Σαπφώ, τούτου χάριν καὶ ἐν τοῖς δυϊκοῖς ὁμοῦ συνελθοῦσαι τὴν αὐτὴν 338 g φωνὴν ἐφύλαξαν· ὡς γὰρ ἐν τοῖς ἑνικοῖς μὴ παραλλάξασαι κατὰ τὴν φωνήν, οἷον ἡ Σαπφώ καὶ τὴν Σαπφώ, εἰκότως οὐδὲ ἐν τοῖς δυϊκοῖς παραλλάσσουσι κατὰ τὴν φωνήν, οἷον τὰ Σαπφώ, δηλονότι ὀρθῆς καὶ αἰτιατικῆς. Ἰστέον δὲ ὅτι κατὰ Ῥωμανὸν καὶ τοὺς δοξάζοντας ἰσοσύλλαβον κλίσιν ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν καλῶς ἐγένετο ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς ω̄· ἔστι γὰρ ἡ δοτικὴ τῶν ἑνικῶν κατ' αὐτοὺς τῇ Σαπφῷ, καὶ λοιπὸν ἀκολούθως γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν τὰ Σαπφώ.

Ταῖν Σαπφοῖν. Εἴρηται ὅτι πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε̄ ἢ εἰς ω̄

[Discr. scr. ex NCV] **4** ὅταν — συναιρῆται] ὅταν — συναιρεῖται NC, ὅτε — συναιρεῖται V ‖ **11** λέγει CV, λέγω N ‖ **13** τὸν *om* NC | οἷον *om* NC | *post* Λητόος *add* γὰρ N ‖ **17** οῡ V, ει̅ NC ‖ **19** προέστη προύστη *om* NC ‖ **20** ἡ *om* NC ‖ **27** συνεζευγμέναι εἰσὶν V, συνεζευγμένη ἐστὶν NC ‖ **36** ἔστι V, ὅτι NC ‖ **37** τῶν δυϊκῶν — εὐθεῖα (**38**) *om* V ‖ **38** Εἴρηται] *cfr. p. 133, 12* | ε̄ CV, η̄ N

λήγουσα εἰς οιν ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, οἷον Αἴαντε Αἰάντοιν, φίλω φίλοιν· οὕτως οὖν καὶ Σαπφώ Σαπφοῖν.

Ὦ Σαπφώ. Εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Αἱ Σαπφοί. Εἴρηται ὅτι πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς τὴν οι δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χωρὶς τῶν οὐδετέρων, οἷον τὼ καλώ οἱ καλοί, τὼ ἀνθρώπω οἱ ἄνθρωποι· οὕτως οὖν καὶ τὰ Σαπφώ αἱ Σαπφοί, τὰ Λητώ αἱ Λητοί· πρόσκειται «χωρὶς τῶν οὐδετέρων», ἐπειδὴ τὼ ξύλω καὶ τὼ δένδρω ἡ εὐθεῖα τῶν δυϊκῶν τῶν οὐδετέρων, καὶ γίνεται ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ ξύλα καὶ τὰ δένδρα, καὶ ἰδοὺ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς ω λήγει, ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν εἰς α λήγει καὶ οὐ λήγει εἰς τὴν οι δίφθογγον.

Τῶν Σαπφῶν. Εἴρηται ὅτι πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους.

Ταῖς Σαπφοῖς. Εἴρηται ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ι λήγουσα προσθέσει τοῦ ς ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον καλοί καλοῖς, Μοῦσαι Μούσαις· οὕτως οὖν καὶ Σαπφοί Σαπφοῖς.

339 g Τὰς Σαπφούς. Εἴρηται ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς τὴν οι δίφθογγον λήγουσα εἰς ους ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον καλοί καλούς, Ὅμηροι Ὁμήρους· οὕτως οὖν καὶ Σαπφοί Σαπφούς.

Ὦ Σαπφοί· εἴρηται.

Κανὼν δ′.

Ἡ τρήρων τῆς τρήρωνος, ἡ Πυθὼν τῆς Πυθῶνος, ἡ τρυγὼν τῆς τρυγόνος.

Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν εἰς ν ληγόντων· ἐπειδὴ δὲ ἐλέχθησαν οἱ κανόνες ἐν τοῖς ἀρσενικοῖς, τούτου χάριν παρέδραμε τὰς ἄλλας καταλήξεις. Ἔχομεν δὲ ἀναλαβεῖν τοὺς κανόνας οὕτως· εἰς αν θηλυκὰ οὐκ ἔχομεν, ἐὰν δὲ καὶ ὑποθώμεθα εἶναι, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικήν, ὥσπερ καὶ τὰ ἀρσενικά· τὸ εὐνάν εὐνᾶνος, ὃ παρατίθενταί τινες ὡς θηλυκὸν νομίζοντες τὴν γυναῖκα σημαίνειν, δείκνυσι Λούπερκος ἐν τῷ Περὶ γενῶν ὅτι ἀρσενικοῦ γένους ἐστίν. Εἰς εν οὐκ ἔστιν οὔτε ἀρσενικὸν οὔτε θηλυκόν· τὸ γὰρ ἄρσεν καὶ τέρεν οὐδέτερά εἰσιν. Μετὰ τὸ ε φωνῆέν ἐστι τὸ η· ταῦτα δὲ τὰ εἰς ην λήγοντα ἐκανονίσα-

---

[Discr. scr. ex NCV] **1** δυϊκῶν CV, ἑνικῶν N ‖ **5** Εἴρηται] *cfr. p. 245, 26* ‖ **8** τὰ Λητώ αἱ Λητοί *om* NC ‖ **15** Εἴρηται — Σαπφούς (**18**) *om* N | Εἴρηται — πᾶσα *om* C | Εἴρηται] *cfr. p. 150, 29* ‖ **17** καλοῖς V, καλοῖν C | μοῦσαι μούσαιν C, *om* V | Σαπφοῖς V, Σαπφοῖν C ‖ **18** Τὰς С. — εἴρηται (**21**) *om* V | Εἴρηται] *cfr. p. 246, 9* ‖ **22** Κανὼν — τρυγόνος (**24**) *om* NC ‖ **23—24** τρυγών *primo,* Πυθών *altero,* τρήρων *tertio loco ponit* V ‖ **26** οἱ κανόνες *om* NC ‖ **28** θηλυκὰ V, θηλυκὸν NC ‖ **29** εὐνάν εὐνᾶνος NC, εὔναν εὔνανος V ‖ **31** Λούπερκος V, Λουπέριος NC ‖ **32** γὰρ *om* NC ‖ **33** ἐκανονίσαμεν] *cfr. p. 264, 1*

μεν ἐν τοῖς ἀρσενικοῖς, λέγοντες ὅτι ἐστὶ μονοσύλλαβον τὸ φρήν θηλυκόν, καὶ ἐπειδὴ μόνον ἐστὶ τοῦτο ἐν τοῖς εἰς ην μονοσυλλάβοις μόνου θηλυκοῦ γένους, τούτου χάριν τρέπει τὸ η εἰς τὸ ε ἐν τῇ γενικῇ καὶ γίνεται φρενός· ἔστι δὲ καὶ ἄλλο τὸ γλήν, ὅπερ κατὰ ἀποκοπὴν ἐγένετο ἀπὸ τοῦ γλήνη, οὗπερ ἡ κλίσις οὐχ εὑρίσκεται· γλήνη δέ ἐστιν ἡ κόρη, οἷον ὡς παρὰ τῷ ποιητῇ, ⟨Θ 164⟩ ἔρρε, κακὴ γλήνη· δισύλλαβα δὲ ἔχομεν ταῦτα, ἡ Τροιζήν (ἔστι δὲ ὄνομα πόλεως) καὶ ἡ Σειρήν, ἅπερ προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ φυλάττουσι τὸ η, οἷον Τροιζῆνος Σειρῆνος. Μετὰ τὸ η φωνῆέν ἐστι τὸ ι· περὶ δὲ τῆς κλίσεως τῶν εἰς ιν, καὶ ὅτι δικατάληκτά εἰσιν, εἴτε ἀρσενικὰ εἴτε θηλυκά εἰσιν, καὶ ὅτι ἀναλογώτερά εἰσι τὰ εἰς ιν παρὰ τοῖς νεωτέροις εὑρισκόμενα τῶν εἰς ις, οἷστισι κέχρηνται οἱ ἀρχαῖοι, προειρήκαμεν ἐν τοῖς ἀρσενικοῖς. Μετὰ δὲ τὸ ι φωνῆέν ἐστι τὸ ο· καὶ ἰστέον ὅτι εἰς ον διὰ τοῦ ο οὐχ εὑρίσκονται θηλυκά· ἐὰν δὲ ἄρα καὶ εὕρωμεν, ἀπὸ οὐδετέρου 340 g γένους εἰσὶ μετενεχθέντα, ἅτινα καὶ τὸν τόνον καὶ τὴν κλίσιν τῶν οὐδετέρων φυλάττουσι, μόνον δὲ τὸ ἄρθρον ἐναλλάσσουσιν, οἷον ἡ Ἀβρότονον, ἡ Λεόντιον, ἡ Χρυσίον, ἡ Φάνιον· ἀπὸ γὰρ τοῦ τὸ ἀβρότονον καὶ τὸ λεόντιον καὶ τὸ χρυσίον καὶ τὸ φάνιον· ἔστι δὲ τὸ μὲν ἀβρότονον ὄνομα βοτάνης, τὸ δὲ ἡ Ἀβρότονον ὄνομα ἑταίρας· ταῦτα δὲ οὐκ ἔχουσι πληθυντικὰ διὰ τὸ ἀχαρακτήριστον· οὐδὲ γὰρ ἠδύναντο τὴν κλίσιν τῶν οὐδετέρων ἐπιδέξασθαι ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ οὐδέποτε οὔτε ἀρσενικὰ οὔτε θηλυκὰ εἰς α καταλήγουσιν ἐν τοῖς πληθυντικοῖς· αὕτη γὰρ ἡ κατάληξις μόνου οὐδετέρου γένους ἐστίν, οἷον βήματα κρέατα. Τὰ εἰς υν θηλυκὰ σπάνιά εἰσι, προσθέσει δὲ τοῦ ος ποιοῦσι τὴν γενικὴν ὁμοίως τοῖς εἰς υν ἀρσενικοῖς, οἷον Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης).

Ὑπολείπεται ἡμῖν ἡ εἰς ων κατάληξις· καὶ ἰστέον ὅτι ταῦτα τὰ εἰς ων λήγοντα θηλυκὰ ἢ ὀξύνονται ἢ βαρύνονται, οἷον τρυγών τρήρων, ἀποστρέφονται δὲ τὴν περισπωμένην τάσιν. Δεῖ δὲ ἡμᾶς προσθεῖναι «χωρὶς ἑνὸς ὀνόματος»· εὑρίσκομεν γὰρ καὶ ἐν τῇ συνηθείᾳ λεγόμενον καὶ παρὰ τοῖς ἀρχαίοις τὸ ὄνομα τῆς πόλεως τῆς ἐν Περσίδι, οἷον ἡ Κτησιφῶν· τοῦτο δὲ περισπᾶται καὶ διὰ τοῦ ντ κλίνεται μετὰ τοῦ φυλάττειν τὸ ω ἐν τῇ γενικῇ, οἷον Κτησιφῶντος· τοῦτο δὲ καὶ τὴν κλίσιν καὶ τὸν τόνον τοῦ ἀρσενικοῦ ἐφύλαξεν· ἔστι γὰρ ὁ Κτησιφῶν τοῦ Κτησιφῶντος ὄνομα κύριον ἀρσενικῶς λεγόμενον, ᾧτινι ὁμωνυμεῖ ἡ πόλις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ων λήγοντα θηλυκὰ βαρύτονα φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ, οἷον μήκων μήκωνος (ἔστι δὲ εἶδος βοτάνης), τρήρων τρήρωνος (σημαίνει δὲ τὴν δειλὴν περιστεράν, οἷον ⟨Χ 140⟩ τρήρωνα

[Discr. scr. ex NCV] 2 ἐν V, ἐπὶ NC ‖ 5 οὗπερ ἡ κλίσις NC, οὗτινος ἡ χρῆσις V ‖ 7 τροίζην NC ‖ 9 τροίζηνος NC ‖ 12 προειρήκαμεν] *cfr. p. 267, 22* ‖ 15 τῶν οὐδ. V, τοῦ οὐδετέρου NC; *item v. 21* ‖ 17 ἡ λεόντειον N ‖ 18 τὸ λεόντειον NC | καὶ τὸ φάν. καὶ τὸ χρ. NC ‖ 30 εὑρ. γὰρ V, εὑρισκομένου NC | λεγομένου NC ‖ 33 καὶ *post* δὲ *om* N ‖ 39 τρήρωνα πελεῖαν NC, τρήρωνά γε

πέλειαν). Καὶ τὰ ἐπὶ πόλεων δὲ ὁμοίωϲ φυλάττουϲι τὸ ω̅ ἐν τῇ γενικῇ, εἴτε βαρύτονα ὦϲιν εἴτε ὀξύτονα, οἷον Κρότων Κρότωνοϲ, Ἀϲκάλων Ἀϲκάλωνοϲ, Ἴτων Ἴτωνοϲ, οἷον ⟨Β 696⟩ Ἴτωνά τε, μητέρα
341 g μήλων, Πυθών Πυθῶνοϲ, Ϲιδών Ϲιδῶνοϲ, Βαβυλών Βαβυλῶνοϲ, Πλευρών Πλευρῶνοϲ, Καλυδών Καλυδῶνοϲ, Ἀμυδών Ἀμυδῶνοϲ· τὸ γὰρ Λακεδαίμων Λακεδαίμονοϲ τοῦ ἁπλοῦ τὴν κλίϲιν ἐφύλαξε, λέγω δὴ τοῦ δαίμων δαίμονοϲ, καὶ τούτου χάριν διὰ τοῦ ο̅ ἐκλίθη. Τὰ δὲ εἰϲ ω̅ν̅ ὀξύτονα θηλυκὰ μὴ ὄντα ἐπὶ πόλεων τρέπουϲι τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ, οἷον πλαγγών πλαγγόνοϲ, χελιδών χελιδόνοϲ, ἀηδών ἀηδόνοϲ, τρυγών τρυγόνοϲ, εἰκών εἰκόνοϲ, ϲινδών ϲινδόνοϲ, λαγών λαγόνοϲ, χιών χιόνοϲ, ϲταγών ϲταγόνοϲ, ἀλκυών ἀλκυόνοϲ, Ἀμαζών Ἀμαζόνοϲ. Τούτῳ τῷ λόγῳ καὶ τὸ χθών χθονόϲ τρέπει τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ, καὶ αὐτὸ γὰρ ὀξύτονόν ἐϲτι καὶ θηλυκόν. Ϲημειούμεθα δὲ ἐν τοῖϲ ἐπὶ πόλεων τὸ Ὀλοοϲϲών Ὀλοοϲϲόνοϲ, ὡϲ τὸ ⟨Β 739⟩ πόλιν τ' Ὀλοοϲϲόνα λευκήν, καὶ τὸ Ἀνθηδών Ἀνθηδόνοϲ· ταῦτα γὰρ ἔτρεψαν τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ. Δεῖ δὲ προϲθεῖναι καὶ εἰπεῖν, ὅτι καὶ ὅϲα εἰϲὶν ἐπὶ πόλεων εἰϲ δ̅ω̅ν̅ τῷ η̅ παραληγόμενα τρέπουϲι τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ, οἷον Ἰϲϲηδών Ἰϲϲηδόνοϲ, Ἀϲπληδών Ἀϲπληδόνοϲ, Ϲτερηδών Ϲτερηδόνοϲ, Καρχηδών Καρχηδόνοϲ (ἡ ἐν τῇ Λιβύῃ), Καλχηδών Καλχηδόνοϲ (ἡ κατὰ τὸ Βυζάντιον, ἥτιϲ καὶ Χαλκηδών καλεῖται· εὑρίϲκομεν γὰρ διφορουμένην τὴν χρῆϲιν). Ἔτι δεῖ προϲθεῖναι «καὶ χωρὶϲ τοῦ Ἑρμιών Ἑρμιόνοϲ καὶ τοῦ Ἠϊών Ἠϊόνοϲ»· καὶ ταῦτα γὰρ ὀνόματά εἰϲι πόλεων καὶ τρέπουϲι τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ. Ἔτι δεῖ προϲθεῖναι «καὶ χωρὶϲ τοῦ Βιών Βιόνοϲ»· καὶ αὐτὸ γὰρ ὄνομά ἐϲτι πόλεωϲ καὶ τρέπει τὸ ω̅ εἰϲ τὸ ο̅ ἐν τῇ γενικῇ. Ἐν δὲ τοῖϲ ὀξυτόνοιϲ τοῖϲ μὴ ϲημαίνουϲι πόλειϲ δεῖ ϲημειώϲαϲθαι τὸ μελεδών μελεδῶνοϲ καὶ τὸ τυφεδών τυφεδῶνοϲ· ταῦτα γὰρ ὀξύτονα ὄντα καὶ μὴ ὄντα ἐπὶ πόλεων ἐφύλαξαν τὸ ω̅ ἐν τῇ γενικῇ· περὶ ὧν ἔϲτιν εἰπεῖν, ὅτι ταῦτα ποιητικά εἰϲι καὶ διὰ τὸ μέτρον ποιητικῶϲ διὰ τοῦ ω̅ ἐγένοντο, ἐπειδὴ διὰ τοῦ ο̅ ἔδει γράφειν αὐτά· ἔϲτι δὲ τυφεδών μὲν ἡ καῦϲιϲ, μελεδών δὲ ἡ φροντίϲ.

Τῇ τρήρωνι, τῇ Πυθῶνι, τῇ τρυγόνι· τὴν τρήρωνα, τὴν Πυθῶνα, τὴν τρυγόνα· ὦ τρήρων, ὦ Πυθών, ὦ τρυγών.
342 g Εἴρηται ὅτι τὰ εἰϲ ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆϲ γενικῆϲ τὴν ἐϲχάτην τὸ ο̅ϲ̅ ἢ καὶ τὴν τ̅ο̅ϲ̅ ϲυλλαβὴν ποιοῦϲι τὴν κλητικήν,

---

[Discr. scr. ex NCV] δειλίαν V ‖ **2** κρώτων κρώτωνοϲ NC ‖ **3** οἷον *om* NC ‖ **4** Βαβ. Βαβ. *om* NC ‖ **6** Λακεδαίμων *om* NC ‖ **9** πλαγγών πλαγγόνοϲ NC, πανών πανόνοϲ V ‖ **10** ϲιδών ϲιδόνοϲ N | *post* ϲινδόνοϲ *add* ἰνδικτιών ἰνδικτιόνοϲ V ‖ **14** ὀλοϲϲών ὀλοϲϲόνοϲ NCV | ὡϲ τὸ *om* NC | πόλιν τε (τε *om* NC) ὀλοϲϲόνα NCV ‖ **15** τὸ *ante* Ἀνθ. *om* NC ‖ **16** δὲ *om* NC ‖ **18** ἰϲηδών ἰϲηδόνοϲ NC ‖ **22** ἑρμηών ἑρμηόνοϲ NC | Ἠϊών Ἠϊόνοϲ CV, ἰών ἰόνοϲ N ‖ **24** Ἔτι — γενικῇ (**25**) *om* V ‖ **26** μὴ *om* NC | πόλειϲ V, πόλιν NC ‖ **29** διὰ τὸ ω̅ N ‖ **32** Τῇ τρήρωνι — τρυγόνα (**33**) *om* V ‖ **33** ὦ τρυγών *ante* ὦ τρήρων *transp.* V ‖ **34** Εἴρηται] *cfr. p. 266, 3*

πλὴν τοῦ Ἄπολλον καὶ Ποσείδαον· εἴρηται δὲ καὶ ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, πλὴν τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ.

Τὰ τρήρωνε, τὰ Πυθῶνε, τὰ τρυγόνε· ταῖν τρηρώνοιν, ταῖν Πυθώνοιν, ταῖν τρυγόνοιν· ὦ τρήρωνε, ὦ Πυθῶνε, ὦ τρυγόνε.

Αἱ τρήρωνες, αἱ Πυθῶνες, αἱ τρυγόνες· τῶν τρηρώνων, τῶν Πυθώνων, τῶν τρυγόνων· ταῖς τρήρωσι, ταῖς Πυθῶσι, ταῖς τρυγόσιν. Ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ ν̄ εἰς τὸ σ̄· εἴρηται γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ν̄ῑ λήγουσα μὴ οὖσα κατὰ μεταπλασμὸν τροπῇ τοῦ ν̄ εἰς σ̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν.

Τὰς τρήρωνας, τὰς Πυθῶνας, τὰς τρυγόνας· ὦ τρήρωνες, ὦ Πυθῶνες, ὦ τρυγόνες.

Κανὼν ε΄.

Ἡ αὖλαξ ⟨τῆς⟩ αὔλακος.

Περὶ τῶν εἰς ξ̄ ληγόντων θηλυκῶν διαλαμβάνει ὁ τεχνικός· καὶ ἰστέον ὅτι καθόλου τὰ εἰς ξ̄ λήγοντα ἁπλᾶ θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν ὑπεσταλμένων τῶν εἰς ῡξ̄ διὰ τοῦ κ̄ κλίνονται, οἷον δίπλαξ δίπλακος, κλῖμαξ κλίμακος, θρῖδαξ θρίδακος, αὖλαξ αὔλακος, σχίδαξ σχίδακος (τὸ ἐσχισμένον ξύλον), χάλιξ χάλικος, πῖδαξ πίδακος (ἡ πηγή), πήληξ πήληκος (σημαίνει δὲ τὴν περικεφαλαίαν), ἀλώπηξ ἀλώπεκος· τοῦτο δὲ παράλογόν ἐστιν, ὅτι ἔτρεψε τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ· τὰ γὰρ εἰς διπλοῦν λήγοντα οὐδέποτε τρέπουσι τὸ φωνῆεν τῆς εὐθείας ἐν τῇ κλίσει, οἷον νάρθηξ νάρθηκος, σκώληξ σκώληκος, Κύκλωψ Κύκλωπος, μώλωψ μώλωπος. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὸ ἀλώπηξ ἀλώπεκος τρέπει τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰς η̄ξ̄ θηλυκὰ οὐ φαίνονται παραληγόμενα τῷ ω̄, οἷον πήληξ (ἡ περικεφαλαία) ἀντίπηξ (ἡ κιβωτός) ὕσπληξ (ἡ ἀφετηρία 343 g τοῦ δρόμου)· τὸ γὰρ σκώληξ παραληγόμενον τῷ ω̄ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι θηλυκὸν ἀλλ' ἀρσενικόν· ἐπειδὴ οὖν τὸ ἀλώπηξ θηλυκὸν ὂν παραλήγεται τῷ ω̄, εἰκότως παραλλάξαν ἐν τῇ εὐθείᾳ κατὰ τὴν παραλήγουσαν παρήλλαξε καὶ ἐν τῇ γενικῇ κατὰ τὴν παραλήγουσαν καὶ ἔτρεψε τὸ η̄ εἰς τὸ ε̄. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. ex NCV] **1** Πόσειδον V | εἴρηται] *cfr. p. 262,3* | *poster.* καὶ *om* NC ‖ **4** Τὰ τρήρωνε — τρυγόνων (8) *om* V ‖ **9** ταῖς τρυγόσι *ante* ταῖς τρήρωσι *transp.* V ‖ **10** γὰρ *om* NC ‖ **11** ἐν τοῖς προλ.] *cfr. p. 139, 15* ‖ **14** Τὰς τρήρωνας — τρυγόνες (15) *om* V ‖ **16** Κανὼν — αὔλακος (17) *om* NC ‖ **17** αὖλαξ V | τῆς *om* V ‖ **18** ληγόντων *om* NC ‖ **19** ἁπλᾶ *post* συλλαβὴν *transp.* NC ‖ **20** δίπλαξ δίπλακος *om* NC ‖ **22** χάληξ χάληκος NC ‖ **23** περικεφαλαῖαν N ‖ **30** περικεφαλαῖα N | ἀντίπηξ V, ἀντίπληξ NC

Πρόσκειται ἐν τῷ κανόνι «ἁπλᾶ» διὰ τὰ σύνθετα, οἷον διὰ τὸ ἡ καλλίθριξ τῆς καλλίτριχος, ἡ ὁμόστιξ τῆς ὁμόστιχος (ἡ ἅμα τινὶ πορευομένη· ταῦτα δὲ κοινά εἰσι τῷ γένει, οἷον ὁ καλλίθριξ καὶ ἡ καλλίθριξ, ὁ ὁμόστιξ καὶ ἡ ὁμόστιξ), ἡ ἀντίπηξ τῆς ἀντίπηγος (σημαίνει δὲ τὴν κιβωτόν, καὶ ἔστι παρὰ τὴν ἀντί πρόθεσιν καὶ τὸ πήσσω), ἡ ὕσπληξ τῆς ὕσπληγος· ὕσπληξ δέ ἐστι καταχρηστικῶς μὲν ἡ ἀφετηρία τοῦ δρόμου, κυρίως δὲ ἡ ἀπὸ χοιρείων τριχῶν μάστιξ, καὶ γίνεται ἀπὸ τοῦ πλήττειν τῇ μάστιγι τῇ ἀπὸ τριχῶν ὑῶν τουτέστι χοίρων, ἢ παρὰ τὴν ὑπό πρόθεσιν γέγονεν ὑπόπληξ καὶ συγκοπῆς γενομένης τῆς π̄ο̄ συλλαβῆς καὶ πλεονάσαντος τοῦ c̄ ἐγένετο ὕσπληξ, ὡς ἐπὶ τοῦ ὑπότερος ὕστερος. Πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ θρίξ τριχός, στίξ στιχός (σημαίνει δὲ τὴν τάξιν)· πρόσκειται «θηλυκά» διὰ τὸ τέττιξ τέττιγος· τοῦτο γὰρ διὰ τοῦ γ̄ κλίνεται, ἀλλ' οὐκ ἔστι θηλυκόν· πρόσκειται «χωρὶς τῶν εἰς ῡξ̄» διὰ τὸ ἄντυξ ἄντυγος (σημαίνει δὲ τὴν περιφέρειαν τοῦ ἅρματος). Λέγει δὲ ὁ τεχνικός, ὅτι σεσημείω⟨ν⟩ται τὸ λάταξ λάταγος καὶ μάστιξ μάστιγος διὰ τοῦ γ̄ κλιθέντα. Καὶ ἰστέον ὅτι τὸ λάταξ οὐ καλῶς ἐσημειώσατο ἐνταῦθα ὁ τεχνικός· σύνθετον γάρ ἐστιν ἀπὸ τοῦ λ̄ᾱ ἐπιτατικοῦ μορίου καὶ τοῦ στάξω, οἱονεὶ λάσταξ, καὶ κατὰ ἀποβολὴν τοῦ c̄ λάταξ (σημαίνει δὲ τὴν μεγάλην σταγόνα)· σύνθετον δὲ ὂν οὐκ ἀντίκειται τῷ κανόνι, πρόσκειται γὰρ ἐν τῷ κανόνι «ἁπλᾶ»· τὸ δὲ μάστιξ μάστιγος διὰ τοῦ γ̄ κλιθὲν ἔχει ἀπολογίαν ἁρμόζουσαν καὶ τῷ λάταξ λάταγος, ὅτι ταῦτα ἔχουσι παρακείμενον ῥῆμα εἰς ζ̄ω̄, φημὶ δὴ τὸ μαστίζω καὶ στάζω· τὰ δὲ εἰς ξ̄ λήγοντα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον εἰς ζ̄ω̄ διὰ τοῦ γ̄ κλίνονται, οἷον ἁρπάζω ἅρπαξ ἅρπαγος, κράζω
344 g κέκραξ κέκραγος, βαστάζω νεκροβάσταξ νεκροβάσταγος, σφάζω ἀπόσφαξ ἀπόσφαγος· οὕτως οὖν καὶ μαστίζω μάστιξ μάστιγος καὶ στάζω λάσταξ λάσταγος καὶ κατὰ ἀποβολὴν τοῦ c̄ λάταξ λάταγος.

Τῇ αὔλακι, τὴν αὔλακα, ὦ αὖλαξ. Τὰ αὔλακε, ταῖν αὐλάκοιν, ὦ αὔλακε. Αἱ αὔλακες, τῶν αὐλάκων, ταῖς αὔλαξιν. Εἴρηται ὅτι ἐπὶ τούτων διχῶς κανονίζεται ἡ δοτικὴ τῶν πληθυντικῶν, καὶ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν πρὸ τοῦ ῑ λαμβανούσης τὸ c̄ καὶ συναιρούσης τὸ κ̄c̄ εἰς ξ̄, καὶ ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν προσθέσει τοῦ ῑ.

Τὰς αὔλακας, ὦ αὔλακες.

[Discr. scr. ex NCV] 3 *prius* καλλίθριξ *om* N ‖ 4 *prius* ὁμόστιξ *om* N | ἡ ἀντίπληξ τῆς ἀντίπληγος NC ‖ 5 πλήσσω NC ‖ 6 καταχρ. μὲν *om* NC ‖ 7 κυρίως — μάστιξ *om* NC ‖ 8 *post* πλήττειν *add* ἐκεῖ NC ‖ 10 *post* ὕστερος *add* V: δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ᾱξ̄ θηλυκὰ ὁπότε ὑπὲρ μίαν συλλαβήν εἰσι βαρύνονται, χωρὶς τοῦ πλάξ· τοῦτο γὰρ διὰ τὴν μονοσυλλαβίαν ὀξύνεται ‖ 15 τοῦ ἅρματος *om* NC | δὲ *om* NC | λάταγος — λάταξ (16) *om* N ‖ 18 στάξω V *et EM 557, 55,* στάζω NC | κατὰ ἀποβολήν NC, κατ' ἔλλειψιν V ‖ 21 καὶ τὸ λάταξ NC ‖ 22 δὴ V, δὲ NC ‖ 23 καὶ στάζω *om* N ‖ 24 κλίνεται NCV | *post* ἁρπάζω *add* ἁρπάξω N ‖ 27 κατὰ ἀποβολὴν NC, ἐλλείψει V ‖ 28 Τῇ αὔλακι — ὦ αὔλακες (34) *om* V ‖ 30 Εἴρηται] *cfr. p. 290, 5* ‖ 31 λαμβάνουσα τὸ c̄ καὶ συναιροῦσα NC

Κανὼν ϛ΄.

Ἡ Cφίγξ τῆς Cφιγγός.

Ἰστέον ὅτι τὰ εἰς ξ̅ λήγοντα εἰ μὲν ἔχουςι πρὸ τοῦ ξ̅ τὸ γ̅ διὰ τοῦ γ̅ κλίνονται, οἷον Cφίγξ Cφιγγός, cάλπιγξ cάλπιγγος, φάρυγξ φάρυγγος, λάρυγξ λάρυγγος, εἰ δὲ ἕτερον cύμφωνον ἔχουςι πρὸ τοῦ ξ̅ διὰ τοῦ κ̅ κλίνονται, οἷον ζόρξ ζορκός (ἔςτι δὲ εἶδος θηρίου), cάρξ cαρκός, ὦλξ ὠλκός (ὦλξ δέ ἐςτιν ἡ αὖλαξ, ὡς τὸ ⟨Callim. h. in Dian. 180⟩ τέμνειν ὦλκα βαθεῖαν). Λέγει δὲ ὁ τεχνικός «χωρὶς τοῦ λύγξ, ὅπερ πρὸς διάφορον cημαινόμενον διαφόρως κλίνεται»· ἐπὶ μὲν γὰρ τοῦ πάθους διὰ τοῦ γ̅ κλίνεται, οἷον λύγξ λυγγός (ἐξ οὗ καὶ τὸ ἐλυγγίαςεν), ἐπὶ δὲ τοῦ θηρίου διὰ τοῦ κ̅, οἷον λυγκός, ὡς παρὰ Καλλιμάχῳ ⟨h. in Dian. 88⟩ ὁ δὲ κρέα λυγκὸς ἔταμνε. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ⟨E 299⟩ ἀλκὶ πεποιθώς τινὲς μὲν ὡς ἀπὸ τοῦ ἄλξ ἀλκός λέγουςι γεγονέναι, ἕτεροι δὲ ἀπὸ τοῦ εἰς η̅ θηλυκοῦ· ἔςτι γὰρ ἡ ἀλκή τῆς ἀλκῆς τῇ ἀλκῇ, καὶ γίνεται κατὰ μεταπλαςμὸν «ἀλκὶ πεποιθώς» διὰ τοῦ ι̅.

Τῇ Cφιγγί, τὴν Cφίγγα, ὦ Cφίγξ. Τὰ Cφίγγε, ταῖν Cφιγγοῖν, ὦ Cφίγγε. Αἱ Cφίγγες, τῶν Cφιγγῶν, ταῖς Cφιγξί, τὰς Cφίγγας, ὦ Cφίγγες. 345 g

Κανὼν ζ΄.

Ἡ μήτηρ τῆς μητέρος καὶ κατὰ cυγκοπὴν μητρός.

Ἰστέον ὅτι τὰ εἰς ρ̅ λήγοντα θηλυκὰ κανονίζει ὁ τεχνικός· κατὰ ἀκολουθίαν δὲ ζητητέον ταῦτα. Εἰς αρ οὐκ ἔχομεν θηλυκὰ εἰ μὴ τὸ δάμαρ, ὅπερ καὶ μετὰ τοῦ c̅ εὑρίςκεται δάμαρς, ἐξ οὗ γίνεται ἡ δάμαρτος γενική. Βούλονται δέ τινες καὶ τὸ ⟨I 327⟩ ὀάρων ἕνεκα cφετεράων (ἀντὶ τοῦ τῶν γυναικῶν) ἀπὸ εὐθείας τῆς εἰς α̅ρ̅ παραλαμβάνειν, ἵνα εὑρεθῇ ἡ εὐθεῖα τῶν ἑνικῶν ὄαρ καὶ ἐκ τούτου ὄαρες ὀάρων· ἕτεροι δὲ λέγουςιν, ὅτι ἀπὸ τοῦ ὄαρος ἐγένετο ὄαροι ἡ εὐθεῖα τῶν πληθυντικῶν, καὶ ἐκ τούτου ἡ γενικὴ τῶν πληθυντικῶν ὀάρων· εἰ δέ που, φαςίν, εὑρεθῇ ὄαρες ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀπὸ τοῦ ὄαροι γέγονε κατὰ μεταπλαςμόν.

Εἰς η̅ρ̅ δὲ διὰ τοῦ η̅ θηλυκὸν μονοςύλλαβον ἔχομεν τὸ κήρ, ὅπερ κλίνεται προςθέςει τοῦ ο̅c̅, οἷον κηρός, ἐξ οὗ τὸ ⟨B 302⟩ μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουςαι· τοῦτο δὲ εὑρίςκεται καὶ

[Discr. scr. ex NCV] **1** Κανὼν — Cφιγγός (**2**) *om* NC ‖ **5** λάρυγξ λάρυγγος *om* NC ‖ **7** ὦλξ — ἐςτιν] ὄλξ ὀλκός. ὄλξ δέ ἐςτιν NC, ὦλξ ὠλκός. ἔςτι δὲ V | ὡς τὸ *om* NC ‖ **8** ὄλκα NC | δὲ *om* NC ‖ **12** λυγγὸς ἔτεμνε V ‖ **15** *post* δὲ *add* κατὰ μεταπλαςμὸν V | τοῦ — θηλυκοῦ] τῶν — θηλυκῶν NCV ‖ **18** Τῇ Cφιγγί — ὦ Cφίγγες (**20**) *om* V ‖ **21** Κανὼν — μητρός (**22**) *om* NC ‖ **26** εἵνεκα NC ‖ **27** τοῦ *om* N ‖ **29** ἕτεροι — μεταπλαςμόν (**32**) *om* V ‖ **35** καὶ *om* NC

κατὰ συστολὴν τοῦ η̄ εἰς ᾱ, οἷον ⟨Ι 378⟩ τίω δέ μιν ἐν καρὸς αἴσῃ. Καὶ ἀποροῦσί τινες λέγοντες, διὰ ποίαν αἰτίαν εἰς ᾱ ἐτράπη ἐνταῦθα τὸ η̄ καὶ μὴ εἰς ε̄, ὡς ἐπὶ τοῦ φρήν φρενός. Ἔστιν οὖν εἰπεῖν, ὅτι οὐκ ἔστι τὸ καρός κατὰ ἀνάλογον κλίσιν ἀλλὰ κατὰ συστολὴν ποιητικήν, καὶ τούτου χάριν οὐκ ἐφύλαξεν ἀκολουθίαν πρὸς τὸ φρήν φρενός.

Εἰς ειρ διὰ τῆς ει̅ διφθόγγου ἔχομεν μονοσύλλαβα ἐν μὲν τοῖς θηλυκοῖς τὸ χείρ, ἐν δὲ τοῖς ἀρσενικοῖς τὸ φθείρ καὶ τὸ Εἴρ (Εἴρ δέ ἐστιν ὄνομα ποταμοῦ)· ὑπὲρ μίαν δὲ συλλαβὴν εὑρίσκομεν τὸ ἀντίχειρ καὶ τὸ Βέχειρ (ἔστι δὲ ἔθνος) καὶ τὸ Σάπειρ (ὁμοίως ἔθνος)· ταῦτα δὲ πάντα 316 g προσθέσει τοῦ ος̅ ποιοῦσι τὴν γενικήν, οἷον ἀντίχειρος, Βέχειρος, ὡς τὸ ⟨Apoll. Rh. 2, 396⟩ μετὰ δ' αὖ ⟨περιώσια⟩ φῦλα Βεχείρων, Σάπειρος, ⟨Apoll. Rh. 2, 397⟩ ἑξείης δὲ Σάπειρες (εἰσὶ δὲ οἱ νῦν λεγόμενοι Σάβειρες διὰ τοῦ β̄), Εἴρ Εἰρός, φθείρ φθειρός· τοῦτο δὲ ἀρσενικῶς λέγεται, οὐδὲ γάρ, ὡς λέγουσί τινες, τὰς φθεῖρας θηλυκῶς ἐν τῇ συνηθείᾳ· τὸ δὲ κύριον ὄνομα τὸ Φθίρ τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος διὰ τοῦ ῑ γράφεται. Τὸ χείρ διχῶς εὑρέθη κλινόμενον, οἷον χειρός διὰ τῆς ει̅ διφθόγγου καὶ χερός χωρὶς τοῦ ῑ· καὶ πολλή ἐστιν ἡ χρῆσις τῆς χερός γενικῆς τῆς χωρὶς τοῦ ῑ οὐ μόνον παρὰ ποιηταῖς ἀλλὰ καὶ παρὰ τραγικοῖς καὶ παρὰ ἰαμβογράφοις μὴ οὖσι μήτε κωμικοῖς μήτε τραγικοῖς· ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν χερσί μόνως χωρὶς τοῦ ῑ λέγεται καὶ οὐδέποτε διὰ τῆς ει̅ διφθόγγου· ἡ δὲ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν χεροῖν λέγεται ὡς ἐπὶ τὸ πλεῖστον χωρὶς τοῦ ῑ, σπανίως δὲ διὰ τῆς ει̅ διφθόγγου χειροῖν. Ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς διαλαμβάνει περὶ τῶν εἰς ηρ̅ θηλυκῶν τῶν διὰ τοῦ η̄ τῶν ὑπὲρ μίαν συλλαβήν, λέγων ὅτι τὰ εἰς ηρ̅ λήγοντα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν δηλονότι τρέπουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ, οἷον εἰνάτηρ εἰνάτερος, ὡς τὸ ⟨Ζ 378⟩ καὶ εἰνατέρων εὐπέπλων (σημαίνει δὲ τὴν σύννυμφον), Δημήτηρ Δημήτερος ὅπερ κατὰ συγκοπὴν γίνεται Δήμητρος, θυγάτηρ θυγατέρος καὶ μήτηρ μητέρος καὶ κατὰ συγκοπὴν θυγατρός καὶ μητρός. Ἰστέον δὲ ὅτι τὸ μητέρος καὶ θυγατέρος οὐκ ἐφύλαξαν τὸν τόνον ἐν τῇ αὐτῇ συλλαβῇ ἐν ᾗ καὶ ἡ εὐθεῖα ἔχει αὐτόν, ἀλλὰ κατεβίβασαν αὐτὸν μίαν συλλαβὴν καὶ πρὸ μιᾶς ἔχουσι τὸν τόνον· καὶ λέγομεν ὅτι ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς, φημὶ δὴ τῷ πατέρος ἀνέρος δαέρος (δαήρ δέ ἐστιν ὁ ἀνδράδελφος), ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρσενικὰ ἠκολούθησαν τοῖς ἰδίοις θηλυκοῖς κατὰ τὴν κλητικὴν καὶ γεγόνασιν ἄνερ πάτερ δᾶερ, ὥσπερ μῆτερ καὶ θύγατερ.

[Discr. scr. ex NCV] 8 δὲ *om* NC | τὸ *ante* Βέχειρ *om* NC ‖ 9 Βέχειρ *EM 107, 36 et 195, 43,* Βέκχειρ NCV | Σάπφειρ V ‖ 10 Βέκχειρος NV, *om* C | ὡς τὸ *om* NC ‖ 11 περιώσια *om* NCV | Βεκχείρων NCV ‖ 12 δὲ *post* ἑξείης *om* NC ‖ 14 τὰς φθείρας NC ‖ 19 καὶ παρὰ ἰαμβ. — τραγικοῖς (20) *om* V ‖ 20 δὲ *om* NC ‖ 22 *ante* χεροῖν *add* τοῖν NC ‖ 23 χειροῖν V, χειρί NC ‖ 27 εἰν. εἰν. ὡς τὸ] εἰνάτειρ εἰνάτηρ εἰνάτερος N, εἰνάτηρ εἰνάτερος C, εἰνάτειρ ὡς τὸ V | καὶ NCV ‖ 31 αὐτῇ *om* N ‖ 34 δὴ V, δὲ NC | τῷ] τὸ N ‖ 35 τοῖς — κλητικὴν (36) V, τούτοις κατὰ τὴν ἰδίαν κλητικὴν NC ‖ 36 *post* πάτερ *add* σῶτερ NC

Καὶ τὸ γαστήρ δὲ γαστέρος γίνεται κατὰ συγκοπὴν γαστρός· τοῦτο δὲ 347 g μόνον, φημὶ δὴ τὸ γαστήρ, ὀξύνεται ἐν τῇ εὐθείᾳ, τῶν ἄλλων τῶν εἰς η̅ρ̅ θηλυκῶν ὑπὲρ μίαν συλλαβὴν βαρυνομένων, οἷον Δημήτηρ θυγάτηρ εἰνάτηρ μήτηρ· πρόσκειται «θηλυκῶν» διὰ τὸ ἀστήρ ἀρσενικὸν ὀξυνόμενον· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ κήρ θηλυκὸν μονοσύλλαβον ὀξυνόμενον. Τὸ ῥαιστήρ σωτήρ ἀήρ καὶ ὅσα τοιαῦτα ἀρσενικὰ ὄντα πολλάκις οἱ ποιηταὶ μεταφέρουσιν εἰς θηλυκὸν γένος, οἷον τὸν ῥαιστῆρα τὴν ῥαιστῆρα, οἷον ⟨Σ 477⟩ ῥαιστῆρα κραταιήν (ἀντὶ τοῦ σφύραν, καὶ ἔστι παρὰ τὸ ῥαίω τὸ φθείρω), τὸν ἀέρα τὴν ἀέρα, τὸν σωτῆρα τὴν σωτῆρα· ταῦτα δὲ οὐκ ἀντίκεινται ἡμῖν οὔτε κατὰ τὸν τόνον οὔτε κατὰ τὴν κλίσιν, ἐπειδὴ κατὰ ποιητικὴν ἐξουσίαν ἀπὸ τοῦ ἀρσενικοῦ γένους μετηνέχθησαν εἰς θηλυκὸν γένος, καὶ λοιπὸν τὴν κλίσιν καὶ τὸν τόνον τοῦ ἀρσενικοῦ γένους ἐφύλαξαν. Ταῦτα περὶ τῶν εἰς ηρ̅.

Εἰς ωρ δὲ διὰ τοῦ ω̅ οὐκ ἔχομεν θηλυκόν. Βούλονται δέ τινες ἀναπλάττειν ἀπὸ τοῦ ⟨Ε 486⟩ ἀμυνέμεναι ὤρεσσιν (ἀντὶ τοῦ ταῖς γυναιξίν) εὐθεῖαν τῶν ἑνικῶν ὦρ ἀπὸ τοῦ ὄαρ γενομένην κατὰ κρᾶσιν τοῦ ο̅ καὶ α̅ εἰς ω̅, ὥσπερ κρείττονα κρείττοα κρείττω, ὧν ἔστι καὶ Ἡρωδιανὸς ἑαυτῷ ἐναντιούμενος· αὐτὸς γὰρ λέγει ἐν ἄλλῳ τόπῳ, ὅτι ὥσπερ τὰ εἰς ηρ μονοσύλλαβα μόνου μὲν ἀρσενικοῦ γένους ὄντα φυλάττουσι τὸ η̅ ἐν τῇ γενικῇ, οἷον θήρ θηρός, φήρ φηρός, ὡς τὸ ⟨Α 268⟩ φηρσὶν ὀρεσκῴοισιν (ἀντὶ τοῦ κενταύροις), θηλυκοῦ δὲ γένους ὄντα καὶ φυλάττουσι τὸ η̅ καὶ συστέλλουσιν, οἷον κήρ κηρός καὶ καρός, ὡς τὸ ⟨Σ 115⟩ κῆρα δ' ἐγὼ τότε δέξομαι καὶ ⟨Ι 378⟩ τίω δέ μιν ἐν καρὸς αἴσῃ, οὕτω καὶ τὰ εἰς ω̅ρ̅ ἀρσενικὰ μονοσύλλαβα φυλάττουσι τὸ ω̅ ἐν τῇ γενικῇ, οἷον φώρ φωρός (σημαίνει δὲ τὸν κλέπτην)· εἰ οὖν τὸ ὦρ οὐ συστέλλει τὸ ω̅ κατὰ τὴν γενικήν, ὡς δηλοῖ 348 g τὸ ⟨Ε 486⟩ ἀμυνέμεναι ὤρεσσι διὰ τοῦ ω̅ ὄν, δηλονότι οὐκ ἔστι θηλυκόν. Τί οὖν ἔχομεν εἰπεῖν περὶ τοῦ «ἀμυνέμεναι ὤρεσσιν», ὅτι πόθεν γέγονεν; Ἔστι δὲ εἰπεῖν ὅτι ἐστὶν ὄαρος ὀάρου καὶ ὄαροι ἡ εὐθεῖα τῶν πληθυντικῶν (ὄαροι δέ εἰσιν αἱ γυναῖκες), καὶ λοιπὸν κατὰ μεταπλασμὸν γίνεται ὄαρες καὶ ἐκεῖθεν ἡ δοτικὴ τῶν πληθυντικῶν ὀάρεσσι κατ' ἐπέκτασιν τῆς σ̅ι̅ συλλαβῆς, ὥσπερ κύνες κύνεσσι καὶ αἶγες

[Discr. scr. ex NCV] **3** θηλυκῶν — συλλαβὴν V, ὑπὲρ μίαν συλλαβὴν θηλυκῶν δηλονότι NC ‖ **4** θηλυκῶν] θηλυκὰ NV, θηλυκὸν C | διὰ τὸ — πρόσκειται (**5**) *om* NC ‖ **6** σωτὴρ NC, ἐλατὴρ V ‖ **8** κραταιήν NCV ‖ **9** τὸν ἀνέρα τὴν ἀνέρα NC ‖ **10** τὴν ἐλατῆρα *add* V | ἀντίκειται NCV ‖ **11** τὸν *et* τὴν *om* NC ‖ **13** περὶ — η̅ρ̅ (**14**) V, ἐν τούτοις NC ‖ **15** διὰ τοῦ ω̅ C, διὰ τὴν ω̅ N, *om* V ‖ **17** εὐθεῖαν g, εὐθεῖα NC, ὧν ἡ εὐθεῖα V | ὦρ] ὦρ NCV | ἀπὸ τοῦ ἄορ γενομένην g, ἀπὸ τοῦ ἄορ γενόμενον NC, ὃ γίνεται ἀπὸ τοῦ ἄορ V ‖ **18** ο̅ καὶ α̅ V, αο N, α̅ καὶ ω̅ C ‖ **21** *post* η̅ *add* καὶ NC | ὡς τὸ *om* NC ‖ **24** ὡς τὸ *om* NC ‖ **25** οὕτω V, οὕτως οὖν NC | *post* οὕτω καὶ *add* V: ἐνταῦθα εἰ ἦν τὸ ὦρ θηλυκοῦ γένους, ὤφειλε τὸ ω̅ συστέλλειν ἐν τῇ γενικῇ, ἐπειδὴ ‖ **28** ὤρεσι NC; *item p. 323, 1* ‖ **29** ὤρεσιν NC ‖ **30** ὀάρου *om* NC ‖ **32** ὀάρεσι NC ‖ **33** κύνες — αἴγεσσιν (**323, 1**) V, κύνεσιν

αἴγεσσι, καὶ κατὰ κρᾶσιν τοῦ ο̅ καὶ α̅ εἰς ω̅ ὤρεσσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐὰν εὕρωμεν σύνθετά τινα εἰς ω̅ρ̅ θηλυκά, ἀπὸ ἀρσενικῶν εἰσι γεγενημένα καὶ τὴν αὐτὴν κλίσιν ἐπιδέχονται τοῖς ἀρσενικοῖς, οἷον ὁ πανδαμάτωρ καὶ ἡ πανδαμάτωρ τοῦ πανδαμάτορος καὶ τῆς πανδαμάτορος. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί, ὥσπερ τὸ γαστήρ γαστέρος γίνεται κατὰ συγκοπὴν γαστρός, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸ ἀστήρ ἀστέρος γίνεται κατὰ συγκοπὴν ἀστρός. Καὶ ἐπιλύονταί τινες λέγοντες, ὅτι ἐπειδὴ τὸ ἀστήρ ἀρσενικόν ἐστι, τούτου χάριν οὐ πάσχει συγκοπὴν κατὰ τὴν γενικήν. Οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσι· καὶ γὰρ καὶ ἐπὶ ἀρσενικῶν ὁρᾶται πολλάκις ἡ τοιαύτη συγκοπὴ κατὰ τὴν γενικήν, ὡς ἐπὶ τοῦ πατήρ πατέρος πατρός καὶ ἀνήρ ἀνέρος ἀνδρός, τοῦ δ̅ μετὰ τὴν συγκοπὴν πλεονάσαντος. Κρεῖττον οὖν ἐστιν ἐπιλύσασθαι οὕτως· αἱ συγκοπτόμεναι γενικαὶ μιμεῖσθαι θέλουσι τὰς ὀξυτόνους εὐθείας, οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν, καὶ πάλιν ἡ μητρός καὶ πατρός καὶ θυγατρός γενικὴ μιμεῖται τὴν ἰατρός εὐθεῖαν· ἐπειδὴ οὖν ἡ ἀστέρος γενικὴ εἰ συνεκόπτετο καὶ ἐγίνετο ἀστρός, οὐκ εἶχε μιμεῖσθαι εὐθεῖαν διὰ τοῦ σ̅τ̅ρ̅ο̅ς̅ ἐκφερομένην ὀξύτονον, τὸ γὰρ Ἴστρος (ἔστι δὲ ὄνομα ποταμοῦ) βαρύνεται, τούτου χάριν ὡς μὴ ἔχουσα εὐθεῖαν ἣν ὤφειλε μιμήσασθαι οὐ συγκόπτεται. Εἰ δέ τις εἴποι, ὅτι τούτῳ τῷ λόγῳ οὔτε ἡ γαστέρος γενικὴ ὤφειλε συγκοπὴν ἀναδέξασθαι καὶ γενέσθαι γα-
349 g στρός, οὔτε γὰρ αὕτη ἔχει εὐθεῖαν ἣν ὤφειλε μιμήσασθαι, οὐδὲ γὰρ ἔχομεν, ὡς εἴρηται, εὐθεῖαν διὰ τοῦ σ̅τ̅ρ̅ο̅ς̅ ἐκφερομένην ὀξύτονον, λέγομεν ὅτι ἐπειδὴ τὸ γαστήρ, ὡς εἴρηται, κατὰ τὴν εὐθεῖαν παραλόγως ὠξύνθη, τούτου χάριν καὶ κατὰ τὴν γενικὴν παραλόγως ἀνεδέξατο συγκοπήν.

Τῇ μητέρι καὶ ἐν συγκοπῇ μητρί, τὴν μητέρα. Ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν, ὥσπερ τὸ ἀνέρα γίνεται κατὰ συγκοπὴν ἄνδρα καὶ τὸ θυγατέρα θύγατρα, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸ μητέρα γίνεται κατὰ συγκοπὴν μῆτρα. Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο οὐ γίνεται τὸ μητέρα κατὰ συγκοπὴν μῆτρα, ἵνα μὴ συνεμπέσῃ τῇ μήτρα εὐθείᾳ· διὰ τοῦτο δὲ οὐδὲ τὸ πατέρα γίνεται κατὰ συγκοπὴν πάτρα, ἵνα μὴ συνεμπέσῃ τῇ πάτρα εὐθείᾳ τῇ σημαινούσῃ τὴν πατρίδα.

Ὦ μῆτερ. Εἴρηται ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην τὸ ο̅ς̅ ἢ τὴν τ̅ο̅ς̅ ποιοῦσι τὴν κλητικήν, πλὴν τοῦ Ἄπολλον καὶ Πoσείδαον· ἔστιν οὖν μήτηρ μητέρος καὶ θυγάτηρ θυγατέρος, καὶ λοιπὸν ἀποβάλλουσαι τῆς γενικῆς τὴν ἐσχάτην τὸ ο̅ς̅ ποιοῦσι τὴν κλητικὴν μῆτερ καὶ θύγατερ.

[Discr. scr. ex NCV] αἴγεσιν NC ‖ 1 εἰς *om* N ‖ 10 κατὰ τὴν γενικήν *om* NC ‖ 11 δὲ *om* NC ‖ 18 συγκοπὴν NC, ἔκθλιψιν τοῦ ε̅ V ‖ 28 ἄξιον δέ ἐστι NC ‖ 29 τὸ ἀνέρα V, τὸν ἀνέρα NC ‖ 32 τῇ μήτρα N ‖ 35 Εἴρηται] *cfr. p. 266, 3* ‖ 37 Ποσείδαον NC, Πόσειδον V

Τὰ μητέρε, ταῖν μητέροιν, ὦ μητέρε. Αἱ μητέρες, τῶν μητέρων, ταῖς μητράσιν. Εἴρηται ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ι̅ ἐκφωνούμενον λήγουσα, πρὸ τοῦ ι̅ λαμβάνουσα τὸ ς̅ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφιϊ ὄφισιν, ὄφεϊ ὄφεσι, ταχέϊ ταχέσι, στάχυϊ στάχυσι, Πάριδι Πάρισι, Πλάτωνι Πλάτωσιν, Ἕκτορι Ἕκτορσι, Νέστορι Νέστορσιν· οὕτως οὖν καὶ μητέρι μητέρσι, καὶ διὰ τὴν εὐφωνίαν ὑπερβιβασμὸς γίνεται τοῦ ρ̅ καὶ τροπὴ παρακολουθεῖ τοῦ ε̅ εἰς α̅ καὶ γίνεται μητράσιν, ὥσπερ πατέρι πατέρσι καὶ πατράσι καὶ θυγατέρι θυγατέρσι καὶ θυγατράσι καὶ ἀνέρι ἀνέρσι καὶ ἀνδράσι, τοῦ δ̅ πλεονάσαντος. Δύναται δὲ καὶ ἀπὸ τῆς κατὰ συγκοπὴν δοτικῆς τῶν ἑνικῶν κανονισθῆναι καὶ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν· ἔστι γὰρ ἡ κατὰ συγκοπὴν 350 g δοτικὴ τῶν ἑνικῶν μητρί καὶ πατρί καὶ θυγατρί καὶ ἀνδρί, καὶ ἐπειδὴ τοῦ ς̅ προσερχομένου ἀσυνταξία γίνεται, τούτου χάριν πλεονασμὸς παρακολουθεῖ τοῦ α̅ καὶ γίνεται μητράσι καὶ πατράσι καὶ θυγατράσι καὶ ἀνδράσιν ἡ δοτικὴ τῶν πληθυντικῶν.

Τὰς μητέρας, ὦ μητέρες.

Κανὼν η΄.

Ἡ λαμπάς τῆς λαμπάδος.

Ἰστέον ὅτι τὰ εἰς α̅ς̅ λήγοντα θηλυκὰ καὶ ὀξύνονται καὶ συνεσταλμένον ἔχουσι τὸ α̅ καὶ διὰ τοῦ δος κλίνονται καὶ τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον Παλλάς Παλλάδος ὦ Παλλάς, λαμπάς λαμπάδος ὦ λαμπάς, τριάς τριάδος ὦ τριάς, τετράς τετράδος ὦ τετράς, πολυδειράς πολυδειράδος ὦ πολυδειράς, μονάς μονάδος ὦ μονάς, δυάς δυάδος ὦ δυάς, ἰσχάς ἰσχάδος ὦ ἰσχάς, δορκάς δορκάδος ὦ δορκάς, φυγάς φυγάδος ὦ φυγάς, Ἀρκάς Ἀρκάδος ὦ Ἀρκάς· ταῦτα δέ, φημὶ δὴ τὸ Ἀρκάς καὶ φυγάς, κοινά εἰσι τῷ γένει, οἷον ὁ Ἀρκάς καὶ ἡ Ἀρκάς, ὁ φυγάς καὶ ἡ φυγάς. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς τῶν ἀπὸ παθητικοῦ παρακειμένου συντεθέντων»· ἐκεῖνα γὰρ καὶ μακρὸν ἔχουσι τὸ α̅ καὶ διὰ καθαροῦ τοῦ τ̅ο̅ς̅ κλίνονται, οἷον κέκραμαι χαλκοκράς χαλκοκρᾶτος (ὁ χαλκῷ κεκραμένος), γαλακτοκράς γαλακτοκρᾶτος (ὁ γάλακτι κεκραμένος), νεοκράς νεοκρᾶτος (ὁ νεωστὶ κεκραμένος)· καὶ ταῦτα δὲ τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον ὦ χαλκοκράς, ὦ γαλακτοκράς, ὦ νεοκράς. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι τὸ ἀναδενδράς ὁ μὲν

[Discr. scr. ex NCV] **1** Τὰ μητέρε — τῶν μητέρων *om* V, τὰ μητέρε τὰ θυγατέρε, ταῖν μητέροιν ταῖν θυγατέροιν, ὦ μητέρε ὦ θυγατέρε. αἱ μητέρες αἱ θυγατέρες, τῶν μητέρων τῶν θυγατέρων N ‖ **2** Εἴρηται] *cfr. p. 140, 13* ‖ **5** ὄφιϊ ὄφισιν *om* NC ‖ στάχυϊ στάχυσι *om* NC ‖ **7** οὖν *om* N ‖ **18** Κανὼν — λαμπάδος (**19**) *om* NC ‖ **20** καὶ *ante* ὀξύν. *om* NC ‖ **25** δορκάς — ὦ δορκάς *post* ὦ φυγάς (**26**) *transp.* NC ‖ **26** δὴ *om* NC ‖ **27** Ἀρκάς *post* ὁ *om* N ‖ **28** *prius* φυγάς *om* N ‖ **30** χαλκοκράτος NC ‖ **31** γαλακτοκράτος NC ‖ **32** νεοκράτος NC

Ἡρωδιανὸς ὑπολαμβάνει μόνον συστέλλειν τὸ ᾱ καὶ ὀξύνεσθαι, ὁ δὲ Λούπερκος ἐν τῷ Περὶ γενῶν πολλοῖς ἀποδείκνυσιν ὅτι ἐκτείνει τὸ ᾱ καὶ περισπᾶται, καὶ ὅμως διὰ τοῦ δ̄ο̄ς̄ ἔχει τὴν κλίσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι καλῶς πρόσκειται ἐν τῷ κανόνι «θηλυκά», οἷον «τὰ εἰς ᾱς̄ λήγοντα θηλυκὰ καὶ ὀξύνονται καὶ συνεσταλμένον ἔχουσι τὸ ᾱ καὶ διὰ τοῦ δ̄ο̄ς̄ κλίνονται», διὰ τὸ ἀνδριάς ἀνδριάντος καὶ ἱμάς ἱμάντος· ταῦτα γὰρ καὶ μακρὸν ἔχουσι τὸ ᾱ καὶ διὰ τοῦ ν̄τ̄ κλίνονται ὀξύτονα ὄντα, ἀλλ' οὐκ εἰσὶ θηλυκὰ ἀλλ' ἀρσενικά, ὁ ἱμάς γὰρ καὶ ὁ ἀνδριάς· ταῦτα δὲ καὶ παραλόγως ὀξύνονται, ὡς δείκνυσιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου.

Τῇ λαμπάδι, τὴν λαμπάδα, ὦ λαμπάς. Ἰστέον ὅτι τὰ εἰς ᾱς̄ ὀξύτονα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικήν, οἷον λαμπάς ὦ λαμπάς, φυγάς ὦ φυγάς, Παλλάς ὦ Παλλάς, Ἀρκάς ὦ Ἀρκάς, τριάς ὦ τριάς, χαλκοκράς ὦ χαλκοκράς.

Τὰ λαμπάδε, ταῖν λαμπάδοιν, ὦ λαμπάδε. Αἱ λαμπάδες, τῶν λαμπάδων, ταῖς λαμπάσιν. Εἴρηται ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς δ̄ῑ λήγουσα μὴ οὖσα κατὰ μεταπλασμὸν τροπῇ τοῦ δ̄ εἰς σ̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον Πάριδι Πάρισιν, ἔριδι ἔρισι, Θέτιδι Θέτισι, ποδί ποσίν· οὕτως οὖν καὶ λαμπάδι λαμπάσι· πρόσκειται «μὴ οὖσα κατὰ μεταπλασμόν», ἐπειδή ἐστιν ὁ κλάδος τοῦ κλάδου τῷ κλάδῳ καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ κλαδί, καὶ ἰδοὺ εἰς δ̄ῑ λήγει ἡ δοτικὴ τῶν ἑνικῶν, καὶ οὐ τρέπει τὸ δ̄ εἰς σ̄ καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τοῖς κλασίν ἀλλὰ τοῖς κλάδοις· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ μεταπλασμὸν πέπονθεν ἡ δοτικὴ τῶν ἑνικῶν καὶ τούτου χάριν εἰς δ̄ λήγει.

Τὰς λαμπάδας, ὦ λαμπάδες.

Κανὼν θʹ.

Ἡ φιλότης τῆς φιλότητος.

Περὶ τῶν εἰς τ̄η̄ς̄ θηλυκῶν διαλαμβάνει ὁ τεχνικός. Καὶ ἰστέον ὅτι τὰ εἰς της λήγοντα θηλυκὰ μονογενῆ διὰ τοῦ τος κλίνονται, οἷον ποτής ποτῆτος, ⟨Λ 780⟩ ἐδητύος ἠδὲ ποτῆτος (σημαίνει δὲ τὴν πόσιν), ἐσθής ἐσθῆτος (τὸ γὰρ θ̄ δυνάμει τ̄ ἐστὶν τουτέστιν ἀντιστοιχεῖ τῷ τ̄), κοσμιότης κοσμιότητος, φιλότης φιλότητος, κακότης κακότητος, λογιότης λογιότητος, ποιότης ποιότητος, ποσότης ποσότητος, ταχυτής ταχυτῆτος, βραδυτής βραδυτῆτος. Πρόσκειται «θηλυκά» διὰ τὸ ⟨δότης δότου, πλύ-

[Discr. scr. ex NCV] **1** μόνον V, μόνως NC ‖ **2** Λούπερκος CV, Λουπέριος *et in marg.* γρ. Λούπερκος N¹ | τῷ V, τῇ NC | πολλοῖς ἀποδείκνυσιν] πολλοῖσιν ἀποδείκνυσιν NC, πολύς ἐστιν ἀποδεικνύων V ‖ **10** ὁ *om* NC ‖ **18** ἔχουσιν V, ἔχει NC ‖ **17** λαμπᾶσιν C | Εἴρηται] *cfr. p. 138, 20* ‖ **28** Κανὼν — φιλότητος (**29**) *om* NC ‖ **30** εἰς τ̄η̄ς̄ NC, εἰς ης V; *item v. 31* ‖ **33** ἐσθής — τῷ τ̄ *om* NC ‖ **36** δότης — πλύτου (**326, 1**) *om* NCV

της πλύτου⟩, θύτης θύτου· ταῦτα γὰρ οὐ κλίνονται διὰ τοῦ τος, ἀλλ' οὐκ εἰσὶ θηλυκὰ ἀλλ' ἀρσενικά· πρόσκειται «μονογενῆ» διὰ τὰ ἀρσενικῶς καὶ θηλυκῶς λεγόμενα, οἷον ὁ ἀκρατής τοῦ ἀκρατοῦς καὶ ἡ ἀκρατής 352 g τῆς ἀκρατοῦς, ὁ προπετής τοῦ προπετοῦς καὶ ἡ προπετής τῆς προπετοῦς, ὁ πενταετής τοῦ πενταετοῦς καὶ ἡ πενταετής τῆς πενταετοῦς· ταῦτα γὰρ εἰς ους ἔχουσι τὴν γενικὴν ὡς ἔχοντα οὐδέτερον εἰς ες, οἷον τὸ ἀκρατές, τὸ προπετές, τὸ πενταετές. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς της λήγοντα ὑπὲρ δύο συλλαβὰς μόνως θηλυκὰ βαρύνεσθαι θέλουσιν, οἷον λογιότης ποσότης λευκότης φιλότης κακότης κοσμιότης δασύτης δριμύτης γλυκύτης, σεσημειωμένων τεσσάρων τινῶν ὀξυνομένων· εἰσὶ δὲ ταῦτα, ταχυτής βραδυτής ἀνδροτής δηϊοτής· καὶ τὸ τραχύτης καὶ κουφότης οἱ Ἀθηναῖοι ὀξύνουσι τραχυτής καὶ κουφοτής λέγοντες. Πρόσκειται «ὑπὲρ δύο συλλαβάς» διὰ τὸ ποτής ὀξυνόμενον, οἷον ⟨Λ 780⟩ ἐδητύος ἠδὲ ποτῆτος (σημαίνει δὲ τὴν πόσιν)· πρόσκειται «μόνως θηλυκά» διὰ τὸ ἀκρατής ὀξυνόμενον· τοῦτο γὰρ μόνως θηλυκὸν οὐκ ἔστιν, ἀλλὰ λέγεται καὶ ἀρσενικῶς, οἷον ὁ ἀκρατής καὶ ἡ ἀκρατής· τὸ Νημερτής ὀξυνόμενον, ὡς παρὰ τῷ ποιητῇ ⟨Σ 46⟩ Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐπίθετόν ἐστιν, οἷον ὁ νημερτὴς ἄνθρωπος καὶ ἡ νημερτὴς γυνή, καὶ οὐκ ἔστι θηλυκοῦ μόνου γένους ἀλλὰ καὶ ἀρσενικοῦ καὶ θηλυκοῦ· καὶ λοιπὸν γενόμενον κύριον τὴν αὐτὴν τάσιν ἐφύλαξεν.

Τῇ φιλότητι, τὴν φιλότητα, ὦ φιλότης. Εἴρηται ὅτι τὰ εἰς ης ἢ εἰς ως ὀνόματα διὰ καθαροῦ τοῦ τος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, οἷον λέβης λέβητος ὦ λέβης, Λάχης Λάχητος ὦ Λάχης, Κράτης Κράτητος ὦ Κράτης, ἔρως ἔρωτος ὦ ἔρως, γέλως γέλωτος ὦ γέλως, ἀγνώς ἀγνῶτος ὦ ἀγνώς· οὕτως οὖν καὶ φιλότης φιλότητος ὦ φιλότης.

Τὼ φιλότητε, ταῖν φιλοτήτοιν, ὦ φιλότητε. Αἱ φιλότητες, τῶν φιλοτήτων, ταῖς φιλότησιν. Εἴρηται ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς ς λήγουσα μετὰ μακρᾶς, περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικήν, προσθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον λέβης λέβητος λέβησιν, ἔρως ἔρωτος ἔρωσι, Πηλεύς 353 g Πηλέως Πηλεῦσιν· οὕτως οὖν καὶ φιλότης φιλότητος φιλότησι.

Τὰς φιλότητας, ὦ φιλότητες.

[Discr. scr. ex NCV] **2** διὰ τὰ V, ἵνα μὴ NC ‖ **3** λεγόμενα V, λέγωνται NC | οἷον ὁ V, διὰ τοῦ N, διὰ τὸ C | καὶ ἡ ἀκρ. τῆς ἀκρ. *om* N ‖ **7** τὸ πεντ. τὸ προπ. NC ‖ **17** *prius* ἀκρατής *om* N ‖ **20** ἔστι] εἰσὶ NC, ἦν V ‖ **21** γενόμενον V, γινόμενον NC | τάσιν NC, κλίσιν V ‖ **22** Εἴρηται] *cfr. p. 158, 20* ‖ **29** Εἴρηται] *cfr. p. 137, 31*

Κανὼν ι'.

Ἡ μῆνις τῆς μήνιδος, ἡ ἔρις τῆς ἔριδος, ἡ τοξότις τῆς τοξότιδος.

Ἐνταῦθα περὶ τῶν εἰς ῑϲ̄ θηλυκῶν διαλαμβάνει ὁ τεχνικός· καὶ ἰστέον ὅτι τὰ εἰς ῑϲ̄ λήγοντα ὀξύτονα δηλονότι ὑπὲρ μίαν συλλαβὴν πάντα διὰ τοῦ δοϲ κλίνονται, εἴτε ἐκτείνουσι τὸ ῑ, ὡς τὸ κνημίς κνημῖδος, κρηπίς κρηπῖδος, σφραγίς σφραγῖδος, ἀψίς ἀψῖδος, εἴτε συστέλλουσι τὸ ῐ, ὡς τὸ ἀσπίς ἀσπίδος, ῥανίς ῥανίδος, βολίς βολίδος, σανίς σανίδος, σεσημειωμένου τοῦ ἀγλίς ἀγλῖθος· τοῦτο γὰρ οὐ κλίνεται διὰ τοῦ δοϲ ἀλλὰ διὰ τοῦ θοϲ, ἔχει δὲ μακρὸν τὸ ῑ κατὰ τὴν γενικὴν καὶ σημαίνει τὴν κεφαλὴν τοῦ σκορόδου. Πρόσκειται «δηλονότι ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ κίς κιός (σημαίνει δὲ τὸν σκώληκα) καὶ λίς λιός (σημαίνει δὲ τὸν λέοντα), ἔχουσι δὲ μακρὸν τὸ ῑ κατὰ τὴν γενικήν· ταῦτα γὰρ διὰ καθαροῦ τοῦ οϲ κλίνονται καὶ οὐ διὰ τοῦ δοϲ, ἀλλ' οὐκ εἰσὶν ὑπὲρ μίαν συλλαβήν. Τὸ ἀκτίς ἀκτῖνος διὰ τοῦ νοϲ κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ δικατάληκτόν ἐστιν, ἀκτίν γὰρ καὶ ἀκτίς, καὶ οὐκ ἔστι φύσει εἰς ϲ̄ ἀλλ' εἰς ν̄, καὶ τροπὴ παρηκολούθησε τοῦ ν̄ εἰς τὸ ϲ̄, ὡς ἐν τῇ περὶ αὐτοῦ διδασκαλίᾳ μεμαθήκαμεν. Ταῦτα δὲ τὰ εἰς ῑϲ̄ ὀξύτονα εἰς ᾱ μόνως ἔχουσι τὴν αἰτιατικήν, οἷον κρηπῖδα ἀσπίδα ἀψῖδα ψηφῖδα βολίδα ῥανίδα· παρὰ δὲ τοῖς Αἰολεῦσι γίνονται εἰς ν̄ κατὰ τὴν αἰτιατικὴν μετὰ βαρείας τάσεως, κνῆμιν γὰρ λέγουσι καὶ σφρᾶγιν καὶ ἄψιν, ὡς παρ' Ἡσιόδῳ ⟨Opp. 426⟩ τρισπίθαμον δ' ἄψιν τάμνειν, ἀντὶ τοῦ ἀψῖδα.

Ἰστέον δὲ ὅτι τὰ εἰς ῑϲ̄ ὀξύτονα οὐ γίνονται παρὰ τοῖς Ἴωσι κατὰ ἀποβολὴν τοῦ δ̄ ἐν τῇ γενικῇ, οὐδὲ γὰρ λέγουσι κνημῖδος κνημῖος, ἀσπίδος ἀσπίος, ὡς Πάριδος Πάριος καὶ Θέτιδος Θέτιος. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐπὶ μὲν τῶν εἰς ῑϲ̄ βαρυτόνων εἰώθασιν 354 8 οἱ Ἴωνες ἀποβάλλειν τὸ δ̄ ἐν τῇ γενικῇ, οἷον Πάριδος Πάριος, Θέτιδος Θέτιος, ἐπὶ δὲ τῶν εἰς ῑϲ̄ ὀξυτόνων οὐδέποτε ἀποβάλλουσι τὸ δ̄ οἱ Ἴωνες κατὰ τὴν γενικήν, οὐδὲ γὰρ λέγουσι κνημῖος καὶ ἀσπίος ἀλλὰ κνημῖδος καὶ ἀσπίδος. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰς ῑϲ̄ βαρύτονα πεφύκασι καὶ διὰ καθαροῦ τοῦ οϲ κλίνεσθαι, οἷον πόλις πόλιος, μάντις μάντιος, ὄφις ὄφιος, καὶ τούτου χάριν ἐπὶ τούτων, φημὶ δὴ ἐπὶ τῶν εἰς ις βαρυτόνων, ἀποβάλλουσι τὸ δ̄ κατὰ τὴν γενικὴν οἱ Ἴωνες, ἐπειδὴ ἀποβαλλομένου τοῦ δ̄ ἔχουσί τι μιμήσασθαι, φημὶ δὴ τὰς διὰ καθαροῦ τοῦ οϲ ἐκφερομένας γενικάς· ἐπὶ δὲ τῶν εἰς ιϲ ὀξυ-

[Discr. scr. ex NCV] **1** Κανὼν — τοξότιδος (**3**) *om* NC || **7** σφραγίδος N | ἀψίς ἀψῖδος *om* NC || **8** σανὶς σανίδος V, ἀψὶς ἀψῖδος NC || **18** μεμαθήκαμεν] *cfr. p. 267, 29* || **19** κρηπίδα NC || **20** ἀψίδα NC | ψηφῖδα *om* NC || **21** κνῆμιν V, κνήμιν NC, κνᾶμιν *RMeister p. 60* || **22** σφράγιν NC | καὶ ἄψιν V | δ' ἄψιν V || **23** ἀψίδα NC || **30** ἀσπῖος NC || **31** ἀσπῖδος NC; *item p. 328, 4* || **32** καὶ *ante* διὰ *om* NC || **35** φημὶ — μιμήσασθαι (**328, 2**) *om* V

τόνων οὐδέποτε ἀποβάλλουςι τὸ δ ἐν τῇ γενικῇ οἱ Ἴωνες, ἐπειδὴ ταῦτα ἀποβαλλομένου τοῦ δ οὐκ ἔχουςί τι μιμήςαςθαι, οὐδέποτε γάρ, ὡς εἴρηται, τὰ εἰς ις ὀξύτονα ὑπὲρ μίαν ςυλλαβὴν δηλονότι κλίνονται διὰ καθαροῦ τοῦ ος, οἷον ἀςπίς ἀςπίδος, ῥανίς ῥανίδος, βολίς βολίδος· τούτου οὖν χάριν ἐπὶ τῶν εἰς ις ὀξυτόνων οὐδέποτε ἀποβάλλουςι τὸ δ οἱ Ἴωνες κατὰ τὴν γενικήν, ἐπειδὴ ἀποβαλλομένου τοῦ δ οὐκ ἔχουςί τι μιμήςαςθαι· οὔτε γὰρ κλίνονται διὰ καθαροῦ τοῦ ος, ἵνα ἀποβαλλομένου τοῦ δ μιμήςωνται τὴν διὰ καθαροῦ τοῦ ος κλίςιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰςτέον δὲ ὅτι τὰ εἰς ις περιςπώμενα θηλυκὰ διὰ τοῦ δος κλίνονται καὶ εἰς ν μόνως ἔχουςι τὴν αἰτιατικήν, οἷον Βενδῖς Βενδῖδος Βενδῖν, Ἀταργατῖς Ἀταργατῖδος Ἀταργατῖν, Μολῖς Μολῖδος Μολῖν, Τιτῖς Τιτῖδος Τιτῖν· εἰςὶ δὲ ταῦτα ὀνόματα δαιμόνων τιμωμένων παρὰ τοῖς Θρᾳξίν. Ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς κανονίζει τὰ εἰς ις βαρύτονα θηλυκὰ λέγων τοιοῦτον κανόνα· τῶν εἰς ις βαρυτόνων θηλυκῶν τὰ εἰς νις μακρὰν ἔχοντα τὴν παραλήγουςαν διὰ τοῦ δος κλίνονται, οἷον μῆνις μήνιδος, νεᾶνις νεάνιδος (τοῦτο δὲ μακρὸν ἔχει τὸ α καὶ προπεριςπᾶται), ὀνῶνις ὀνώνιδος (ὄνομα δὲ τοῦτο ἀκάνθης)· πρόςκειται «μακρὰν ἔχοντα τὴν παραλήγουςαν» διὰ τὸ κόνις κόνεως καὶ ὕνις ὕνεως καὶ ςπάνις ςπάνεως· ταῦτα γὰρ βραχείᾳ παραληγόμενα διὰ καθαροῦ τοῦ ως ἔχουςι τὴν γενικήν· ὕνις δέ ἐςτι μέρος ἀρότρου. Cεςημείωται τὸ ὄρνις ὄρνιθος· εἴτε 355 g γὰρ μακροπαράληκτον αὐτὸ θῶμεν, διὰ τοῦ δος ὀφείλει κλίνεςθαι, ὡς τὸ νεᾶνις νεάνιδος, εἴτε βραχυπαράληκτον, ὅπερ οὐκ ἔςτιν, διὰ καθαροῦ τοῦ ως ὀφείλει κλίνεςθαι, ὡς τὸ κόνις κόνεως. Ἀλλ' ἔςτιν εἰπεῖν, ὅτι πρῶτον μὲν τοῦτο οὐκ ἔςτι μόνως θηλυκόν, εὑρέθη γὰρ καὶ ἀρςενικῶς ὁ ὄρνις παρὰ Ἀριςτοφάνει, ὡς τὸ ⟨Plut. 63⟩ δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ· δεύτερον δέ ἐςτιν εἰπεῖν, ὅτι εἰςί τινα εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολα, ἅτινα διὰ τοῦ θος κλίνονται, οἷον δέλλις δέλλιθος (ἔςτι δὲ ζῷον ὅμοιον μελίςςῃ), μέρμις μέρμιθος (ςημαίνει δὲ τὸ λεπτὸν ςχοινίον)· οὕτως οὖν καὶ ὄρνις ὄρνιθος, καὶ ὄρνιθες ἡ εὐθεῖα τῶν πληθυντικῶν καὶ κατὰ ἀποβολὴν τοῦ θ καὶ κράςει τοῦ ι καὶ ε εἰς ι μακρὸν ὄρνις, ὥςπερ μάντιες μάντις· τὸ γὰρ μάντεις διὰ τῆς ει διφθόγγου ἀπὸ τοῦ μάντεες ἐςτίν. Cεςημείωται τὸ Τράλλις Τράλλεως (ἔςτι δὲ ὄνομα πόλεως), ὅτι διὰ δύο ἀμεταβόλων ἐκφερόμενον οὐ κλίνεται διὰ τοῦ θος ἀλλὰ διὰ καθαροῦ τοῦ ως. Καὶ

[Discr. scr. ex NCV] **5** οὖν *om* NC ‖ **10** κλίνονται *om* N ‖ **11** Βενδῖν *om* NC ‖ **12** Ἀταγαρτῖς (-τις C) Ἀταγαρτῖδος Ἀταγαρτῖν NC | Τιτῖνος N, Τιτῖδος *et* ν *supra* δ C[1] ‖ **13** τοῖς *om* NC ‖ **14** *in marg. add* N[1]: ςη.μωρίαν θρακῶν ‖ **18** ὀνῶνις NCV ‖ **20** ὕνις ὕνιος NC | ςπάνις ςπάνεως V, πάνις πάνεως (πάνεος C) NC ‖ **21** ως V, ος NC ‖ **25** ως] ος NCV | κόνεως] κόνεος NC, κόνιος V ‖ **26** θηλυκὸν μόνως NC | ηὑρέθη NC ‖ **27** ὡς τὸ *om* NC ‖ **29** ἔχοντα *om* N ‖ **32** ἀποβολὴν NC, ἔλλειψιν V ‖ **35** Τράλλεος NC ‖ **36** ἀλλὰ -- τοῦ ως *om* V | ως] ος NC

τὰ εἰς ρις λήγοντα διὰ τοῦ δος κλίνονται, οἷον ἔρις ἔριδος, κίθαρις κιθάριδος, Κύπρις Κύπριδος, θοῦρις θούριδος, Ἶρις Ἴριδος (σημαίνει δὲ τὴν ἄγγελον τῶν θεῶν καὶ τὸ τόξον τὸ γινόμενον εἰς τὸν οὐρανόν), χάρις χάριδος καὶ χάριτος δωρικῶς τροπῇ τοῦ δ εἰς τὸ τ, ὅπερ καὶ παρ' ἡμῖν ἐπεκράτησε λέγεσθαι. Σημειοῦται δὲ ὁ τεχνικὸς τὰ διὰ καθαροῦ τοῦ ως κλιθέντα, οἷον ὕβρις ὕβρεως καὶ γῦρις γύρεως καὶ ἄγυρις ἀγύρεως καὶ ὅσα παρὰ τὸ ἄγυρις, δηλονότι πανήγυρις πανηγύρεως καὶ ὁμήγυρις ὁμηγύρεως· τὸ κίσηρις δὲ διχῶς εὑρέθη κλινόμενον· ποτὲ μὲν γὰρ παρατίθενται διὰ τοῦ δος κλινόμενον ποτὲ δὲ διὰ καθαροῦ τοῦ ος, οἷον κισήριδος κισήρεος· ὡσαύτως δὲ καὶ τὸ κάππαρις φασὶ διφορεῖσθαι, οἷον καππάριδος καὶ καππάρεος. Σεσημείωται τὸ ἄκρις (σημαίνει δὲ τὴν ἐξοχὴν τοῦ ὄρους) μὴ κλινόμενον διὰ τοῦ δος ἀλλὰ διὰ καθαροῦ τοῦ ος, οἷον ἄκριος, ὡς τὸ ⟨ι 400⟩ δι' ἄκριας ἠνεμοέσσας. Καὶ ταῦτα μὲν περὶ τῶν εἰς ρις. Καὶ τὰ εἰς ις θηλυκὰ γινόμενα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν, τουτέστι κατὰ τροπὴν τοῦ η εἰς τὸ ι, διὰ τοῦ δος κλίνονται, οἷον ὁ τοξότης τοῦ τοξότου καὶ ἡ τοξότις τῆς τοξότιδος, ὁ πολίτης τοῦ πολίτου καὶ ἡ πολῖτις τῆς πολίτιδος, ὁ δραπέτης τοῦ δραπέτου καὶ ἡ δραπέτις τῆς δραπέτιδος, ὁ κυνηγέτης τοῦ κυνηγέτου καὶ ἡ κυνηγέτις τῆς κυνηγέτιδος, ὁ παρακοίτης τοῦ παρακοίτου καὶ ἡ παράκοιτις τῆς παρακοίτιδος, ὁ ἀρτοπώλης τοῦ ἀρτοπώλου καὶ ἡ ἀρτόπωλις τῆς ἀρτοπώλιδος, ὁ δεσπότης τοῦ δεσπότου καὶ ἡ δεσπότις τῆς δεσπότιδος· καὶ τὰ νομιζόμενα ὡς ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γεγενῆσθαι, φημὶ δὴ ὡς ἀπὸ τοῦ ὁ πλευρίτης καὶ ὁ νεφρίτης, ὁμοίως διὰ τοῦ δος κλίνονται, οἷον ἡ πλευρῖτις τῆς πλευρίτιδος καὶ ἡ νεφρῖτις τῆς νεφρίτιδος· ταῦτα γὰρ δοκοῦσιν ὡς ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γεγενῆσθαι, φημὶ δὴ ὡς ἀπὸ τοῦ ὁ πλευρίτης καὶ ὁ νεφρίτης· εἰσὶ δὲ ταῦτα ὀνόματα νοσημάτων. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι πάντα ταῦτα τὰ εἰς ις θηλυκὰ τὰ γινόμενα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν ὑπὲρ δύο συλλαβὰς ὄντα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον ὁ κυνηγέτης καὶ ἡ κυνηγέτις, ὁ δεσπότης καὶ ἡ δεσπότις, ὁ τοξότης καὶ ἡ τοξότις, ὁ πολίτης καὶ ἡ πολῖτις, ὁ δραπέτης καὶ ἡ δραπέτις· σεσημείωνται ἐν τῷ κανόνι τὰ παρὰ τὸ κοίτη καὶ τὰ παρὰ τὸ πωλῶ· ταῦτα γὰρ προπαροξύνονται ἐν τοῖς θηλυκοῖς, οἷον ἄκοιτις παράκοιτις πορφυρόπωλις ἀρτόπωλις λαχανόπωλις. Πρόσκειται «ὑπὲρ δύο συλλα-

[Discr. scr. ex NCV] **2** *post* θούριδος *add* μανία (*sic*) θούριδος ἀλκῆς (*cfr. N 197*) V ‖ **3** τὴν V, τὸν NC | καὶ τὸ NC, ἀλληγορικῶς δὲ τὸ V ‖ **5** λέγεσθαι *om* NC | δὲ *om* NC ‖ **6** ως V, ος NC | ὕβρεος N | καὶ γῦρις γύρεως *om* V | γύρις γύρεος NC | ἄγυρις *om* NC ‖ **7** ἀγύρεος N | πανηγύρεος NC ‖ **8** καὶ *ante* ὁμ. *om* N | ὁμηγύρεος NC ‖ **9** γὰρ *om* NC | παρατίθεται V ‖ **10** κισήρεως V | κάπαρις NC ‖ **11** καπάριδος NC | καπάρεος NC, καππάρεως V ‖ **13** ὡς τὸ *om* NC ‖ **14** ταῦτα μὲν καὶ NC ‖ **17** ἡ πολίτις NC; *item v. 31* ‖ **20** ὁ ἀριστοπώλης τοῦ ἀριστοπώλου καὶ ἡ ἀριστόπωλις τῆς ἀριστοπώλιδος NC ‖ **23** ὁ *ante* πλ. *om* N ‖ **24** πλευρίτις NC ‖ **25** νεφρίτις NC ‖ **31** ὁ δραπ. καὶ ἡ δραπ. *om* NC ‖ **32** σεσημείωται NC

βὰς ὄντα» διὰ τὸ ὁ Cκύθης καὶ ἡ Cκυθίς, ὁ Πέρσης καὶ ἡ Περσὶς γυνή· ταῦτα γὰρ οὐκ ἔχουσιν ἐν τοῖς θηλυκοῖς πρὸ μιᾶς τὸν τόνον, ἀλλ' οὐκ εἰσὶν ὑπὲρ δύο συλλαβάς.

Τῇ μήνιδι, τῇ ἔριδι, τῇ τοξότιδι· τὴν μήνιδα, τὴν ἔριδα, τὴν τοξότιδα καὶ μῆνιν καὶ ἔριν καὶ τοξότιν. Περὶ τῆς αἰτιατικῆς τοῦτο θέλουσι λέγειν τινές, ὅτι ἐπὶ τῶν εἰς ι̅ς̅ βαρυτόνων τῶν διὰ τοῦ δος κλινομένων εἰς ν̅ θέλομεν ποιεῖν τὴν αἰτιατικήν, οἷον μῆνις μήνιδος μῆνιν, ἔρις ἔριδος ἔριν, τοξότις τοξότιδος τοξότιν, κοσκινόμαντις κοσκινομάντιδος κοσκινόμαντιν, Χρυσόθεμις Χρυσοθέμιδος Χρυσόθεμιν· ἐὰν δέ, φασίν, εὑρεθῇ ἐπὶ τούτων εἰς α̅ ἡ αἰτιατική, λέγομεν ὅτι κατὰ ποιητικὴν ἐξουσίαν ἐγένετο ἢ κατὰ διάλεκτον, οἷον ⟨Λ 3⟩ Ζεὺς δ' Ἔριδα προΐαλλε, καὶ πάλιν ⟨Β 615⟩ Ἤλιδα δῖαν. Λέγει δὲ ὁ Ἡρωδιανὸς μὴ εἶναι τὴν χρῆσιν τοῦ μήνιδα (ὁ δὲ Θεοδόσιος παρέθετο μήνιδα καὶ μῆνιν)· ἀεὶ γὰρ ἡ εἰς ν̅ αἰτιατικὴ εὕρηται παρὰ τοῖς 357 ἀρχαίοις καὶ οὐδέποτε ἡ εἰς α̅, οἷον ⟨Α 1⟩ μῆνιν ἄειδε, θεά, καὶ πάλιν ⟨Α 75⟩ μῆνιν Ἀπόλλωνος.

Ὦ μῆνι, ὦ ἔρι, ὦ τοξότι. Εἴρηται ὅτι τὰ εἰς ι̅ς̅ ἀποβολῇ τοῦ ς̅ ποιοῦσι τὴν κλητικήν.

Τὰ μήνιδε, τὰ ἔριδε, τὰ τοξότιδε· ταῖν μηνίδοιν, ταῖν ἐρίδοιν, ταῖν τοξοτίδοιν· ὦ μήνιδε, ὦ ἔριδε, ὦ τοξότιδε.

Αἱ μήνιδες, αἱ ἔριδες, αἱ τοξότιδες· τῶν μηνίδων, τῶν ἐρίδων, τῶν τοξοτίδων· ταῖς μήνισι, ταῖς ἔρισι, ταῖς τοξότισιν. Εἴρηται ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν τροπῇ τοῦ δ̅ εἰς τὸ ς̅, τῷ κανόνι τῷ λεχθέντι ἐν τῇ περὶ τοῦ ταῖς λαμπάσι διδασκαλίᾳ.

Τὰς μήνιδας, τὰς ἔριδας, τὰς τοξότιδας· ὦ μήνιδες, ὦ ἔριδες, ὦ τοξότιδες.

Κανὼν ια΄.

Ἡ πίτυς τῆς πίτυος, ἡ πληθύς τῆς πληθύος, ἡ χλαμύς τῆς χλαμύδος.

Ἰστέον ὅτι τὰ εἰς υ̅ς̅ λήγοντα θηλυκὰ εἰ μέν εἰσι βαρύτονα διὰ καθαροῦ τοῦ ο̅ς̅ κλίνονται, οἷον πίτυς πίτυος, χέλυς χέλυος (σημαίνει δὲ τὴν κιθάραν, ὡς τὸ πάμφωνε οὐρεία χέλυς· οὕτω Μένανδρος ἐν Λευκαδίᾳ ⟨fragm. 314 K⟩· χέλυς δὲ λέγεται ἡ κιθάρα, ἐπειδὴ ἀπὸ χε-

[Discr. scr. ex NCV] 1 ὄντα — συλλαβάς (3) *om* NC, N¹ *autem in marg. add* οἶμαι λείπει ἐντεῦθεν ‖ 4 τὴν ἔρ. τὴν τοξ. *om* V ‖ 5 καὶ ἔρ. καὶ τοξ. *om* V | *post* Περὶ *add* δὲ NC ‖ 8 κοσκυνόμαντις κοσκυνομάντιδος κοσκυνομάντιν N ‖ 9 Χρυσοθέμις N | Χρυσοθέμιν N ‖ 14 εὕρηται CV, εὑρίσκεται N ‖ 17 ὦ ἔρι ὦ τοξ. *om* V | Εἴρηται] *cfr. p. 198, 21* ‖ 19 Τὰ μήνιδε — ὦ τοξότιδες (27)] ἡ δὲ κλίσις τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν πρόδηλος V ‖ 25 τοῦ ταῖς] τοῦ N, τῆς C ‖ 28 Κανὼν — χλαμύδος (30) *om* NC ‖ 30 ἡ χλ. τῆς χλ. ἡ πλ. τῆς πλ. V ‖ 33 ὡς τὸ *om* NC | οὕτω *om* NC ‖ 34 Λευκαδίᾳ NC, ἐλκαδίᾳ V

λώνης κατεσκευάσθη ὑπὸ τοῦ Ἑρμοῦ, «οὐρεία» δὲ εἶπεν, ἐπειδὴ ἀπὸ χελώνης χερσαίας ἐποίησεν αὐτὴν ὁ Ἑρμῆς, οἷον εἰπεῖν ἐν τοῖς ὄρεσιν εὑρισκομένη)· [δέον δὲ εἰπεῖν τὸν κανόνα οὕτως· τὰ εἰς ῡς λήγοντα θηλυκὰ βαρύτονα διὰ καθαροῦ τοῦ ος κλίνονται] γένυς γένυος, ἀμάμαξυς ἀμαμάξυος (σημαίνει δὲ ἄμπελον ἀναδενδράδα), τὸ γὰρ παρὰ Σαπφοῖ ⟨fr. 150 B⁴⟩ ἀμαμάξυδος παράλογόν ἐστιν, γῆρυς γήρυος (σημαίνει δὲ τὴν φωνήν, οἷον ⟨Δ 437⟩ οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς), ἔγχελυς ἐγχέλυος, ὡς παρὰ τῷ ποιητῇ ⟨Φ 353⟩ τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες· τὸ γὰρ παρὰ Ἀριστοφάνει ⟨Nub. 559⟩ τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι ὡς ἀπὸ τοῦ ἡ
358 g ἔγχελις τῆς ἐγχέλεως ἐστίν, ὥσπερ ἡ πόλις τῆς πόλεως καὶ πόλεων. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «πλὴν τοῦ κόρυς κόρυθος καὶ κῶμυς κώμυθος»· ταῦτα γὰρ διὰ τοῦ θ ἔχουσι τὴν γενικήν (κῶμυς δέ ἐστιν ὁ δεσμὸς τοῦ χόρτου)· καὶ δεῖ γινώσκειν, ὅτι τὸ κόρυς κόρυθος ἀεὶ συστέλλει τὸ ῠ ἐν τῇ γενικῇ, ὡς τὸ ⟨Ε 4⟩ δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ, καὶ ἔχει τὴν αἰτιατικὴν διφορουμένην, οἷον κόρυθα καὶ κόρυν, ὡς τὸ ⟨Λ 375⟩ καὶ κόρυθα βριαρήν, καὶ πάλιν ⟨Ν 131. Π 215⟩ ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε [καὶ] κόρυς κόρυν· τὸ δὲ κῶμυς κώμυθος τῷ χαρακτῆρι τῶν διὰ τοῦ θος κλινομένων ἠκολούθησε κατὰ τὴν γενικὴν καὶ ἐκτείνει τὴν παραλήγουσαν τῆς γενικῆς, τουτέστι τὸ ῡ, ὡς παρὰ Θεοκρίτῳ ⟨4, 18⟩ καὶ μαλακοῦ χόρτοιο καλὰν κώμυθα δίδωμι· περὶ δὲ τοῦ χρόνου τῶν διὰ τοῦ θος κλινομένων ἐν τῇ περὶ τοῦ ἡδύς διδασκαλίᾳ μεμαθήκαμεν· τοῦτο δέ, φημὶ ⟨δὴ⟩ τὸ κῶμυς, εἰς ᾱ μόνως ἔχει τὴν αἰτιατικήν, οἷον κώμυθα, οὐκέτι δὲ εἰς ν. Τούτων οὕτως ἐχόντων τὸ ἡ νέηλυς τῆς νεήλυδος διὰ τοῦ δος κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι μόνως θηλυκὸν ἀλλὰ καὶ ἀρσενικόν, ὁ νέηλυς γὰρ καὶ ἡ νέηλυς, περὶ δὲ θηλυκῶν ἐνταῦθα ὁ λόγος ἐστίν. Ταῦτα μὲν ἔχομεν εἰπεῖν περὶ τῶν εἰς ῠς βαρυτόνων θηλυκῶν.

Τὰ δὲ εἰς ῠς ὀξύτονα θηλυκὰ ἐὰν μὲν συστέλλωσι τὸ ῠ, διὰ τοῦ δος κλίνονται καὶ εἰς ᾰ μόνως ἔχουσι τὴν αἰτιατικήν, οἷον χλαμύς χλαμύδος χλαμύδα, κροκύς κροκύδος κροκύδα, πηλαμύς πηλαμύδος πηλαμύδα· ἐὰν δὲ μακρὸν ἔχωσι τὸ ῡ, διὰ καθαροῦ τοῦ ος κλίνονται, εἴτε ὀξύτονα ὦσιν εἴτε περισπώμενα, οἷον ὀϊζύς ὀϊζύος, Ἐριννύς Ἐριννύος, πληθύς πληθύος, ἰξύς ἰξύος (σημαίνει δὲ τὴν ῥάχιν), ἰλύς ἰλύος, ἐδητύς ἐδητύος (σημαίνει δὲ τὴν βρῶσιν, οἷον ⟨e. g. Λ 780⟩ ἐδητύος ἠδὲ ποτῆτος), δρῦς δρυός (τοῦτο δὲ περισπᾶται), ὀφρῦς ὀφρύος, ὀσφῦς

[Discr. scr. ex NCV] **3** Δέον — κλίνονται (**4**) *om* NC ‖ **7** οἷον *om* NC | ὁμῶς NC ‖ **8** ἐγχέλυς N | τείρονται NC, τείροντες V ‖ **11** ἐγχέλυς V ‖ **15** ὡς τὸ *om* NC ‖ **16** ἀσπίδος V, ἀσπῖδος NC, *et* N¹ *in marg.* ση. τὴν ἀσπῖδος γενικὴν περισπωμένως | διαφορουμένην N ‖ **17** ὡς τὸ — κόρυν (**18**) *om* NC ‖ **19** τῷ χαρακτῆρι *om* NC ‖ **21** ὡς — δίδωμι (**22**) *om* V | μαλακοῦ NC ‖ **22** καλὸν NC ‖ **23** μεμαθήκαμεν] *cfr. p. 224, 7* ‖ **24** δὴ *om* NCV ‖ **27** γὰρ *om* NC ‖ **36** οἷον *om* NC

ὀϲφύόϲ (ϲημαίνει δὲ καὶ αὐτὸ τὴν ῥάχιν· καὶ ταῦτα δὲ περιϲπῶνται). Ἰϲτέον δὲ ὅτι τὰ διὰ καθαροῦ τοῦ ο̅ϲ̅ κλινόμενα εἰϲ ν̅ μόνωϲ ἔχουϲι τὴν αἰτιατικήν, οἷον πίτυοϲ πίτυν, γένυοϲ γένυν, δρυόϲ δρῦν, ὀϲφύοϲ ὀϲφῦν, ὀφρύοϲ ὀφρῦν· εὑρίϲκομεν δέ τινα ἐν αὐτοῖϲ ϲπανίωϲ διφορούμενα, οἷον νηδύα νηδύν, ὀφρύα ὀφρῦν, δρύα δρῦν. Ἰϲτέον δὲ ὅτι τὸ 359 g νηδύϲ κατὰ ποιητικὴν ἐξουϲίαν ϲυϲτέλλει τὸ ῠ, ὡϲ παρὰ Καλλιμάχῳ ⟨h. in Dian. 160⟩ ἔτι οἱ πάρα νηδὺϲ ἐκείνη, καὶ παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ ⟨356⟩ καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡϲ αὐτὴ λέγει. Ὑπονοοῦϲι δέ τινεϲ ὅτι αὗται μόναι εἰϲὶν αἱ δύο χρήϲειϲ εὐθείαϲ καὶ αἰτιατικῆϲ αἱ ἔχουϲαι τὸ ῠ ϲυνεϲταλμένον· εὑρίϲκομεν δὲ τὴν χρῆϲιν πλατεῖαν πάνυ καὶ ἐν τῇ εὐθείᾳ καὶ ἐν τῇ αἰτιατικῇ διφορουμένου τοῦ διχρόνου, τουτέϲτι καὶ ἐκτεταμένου τοῦ ῡ καὶ ϲυνεϲταλμένου· ἡ δὲ κλίϲιϲ τοῦ νηδύϲ ὡϲ ἀπὸ τῆϲ εὐθείαϲ τῆϲ ἐχούϲηϲ τὸ ῡ ἐκτεταμένον ἐγένετο διὰ καθαροῦ τοῦ ο̅ϲ̅, οἷον νηδύοϲ. Τινὲϲ δὲ θέλουϲι λέγειν ἀπολογίαν τοιαύτην, ὅτι διὰ τοῦτο τὸ νηδύϲ οὐκ ἐκλίθη διὰ τοῦ δ̅ο̅ϲ̅, ὡϲ ἀπὸ τῆϲ εὐθείαϲ τῆϲ ἐχούϲηϲ τὸ ῠ ϲυνεϲταλμένον, διὰ τὴν ἐπαλληλίαν τοῦ δ̅· καὶ γὰρ εἰ ἐγένετο νηδύδοϲ ἀλλεπαλληλία ἤμελλεν εἶναι τοῦ δ̅, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο. Δεῖ δὲ ϲημειώϲαϲθαι ἐν τῷ κανόνι τὸ ἀγνύϲ ἀγνῦθοϲ· τοῦτο γὰρ ὀξύτονον ὂν καὶ μακρὸν ἔχον τὸ ῡ διὰ τοῦ θ̅ο̅ϲ̅ ἐκλίθη καὶ οὐ διὰ καθαροῦ τοῦ ο̅ϲ̅· ἀγνῦθεϲ δὲ λέγονται οἱ λίθοι οἱ περιφερεῖϲ καὶ τετρημένοι οἱ κρεμάμενοι ἐν τοῖϲ ἱϲταρίοιϲ.

Τῇ πίτυϊ, τῇ πληθύϊ, τῇ χλαμύδι· τὴν πίτυν, τὴν πληθύν, τὴν χλαμύδα. Ἰϲτέον ὅτι τὸ μὲν πίτυν καὶ πληθύν τῷ λόγῳ τῆϲ εὐθείαϲ κανονίζονται, τὸ δὲ χλαμύδα τῷ λόγῳ τῆϲ δοτικῆϲ.

Ὦ πίτυ, ὦ πληθύ, ὦ χλαμύ. Εἴρηται ὅτι τὰ εἰϲ υ̅ϲ̅ ἀποβολῇ τοῦ ϲ̅ ποιοῦϲι τὴν κλητικήν.

Τὰ πίτυε, τὰ πληθύε, τὰ χλαμύδε· ταῖν πιτύοιν, ταῖν πληθύοιν, ταῖν χλαμύδοιν· ὦ πίτυε, ὦ πληθύε, ὦ χλαμύδε.

Αἱ πίτυεϲ, αἱ πληθύεϲ, αἱ χλαμύδεϲ· τῶν πιτύων, τῶν πληθύων, τῶν χλαμύδων· ταῖϲ πίτυϲι, ταῖϲ πληθύϲι, ταῖϲ χλαμύϲιν. Ἰϲτέον ὅτι ἀπὸ τῆϲ δοτικῆϲ τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν· καὶ ἐπὶ μὲν τοῦ πίτυϲι καὶ πληθύϲι 360 g πρὸ τοῦ ι̅ λαμβάνουϲα τὸ ϲ̅ τὴν δοτικὴν ποιεῖ τῶν πληθυντικῶν, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ ⟨τοῖϲ⟩ Δημοϲθένεϲι διδαϲκαλίᾳ· ἐπὶ δὲ τοῦ χλαμύϲι τρέπουϲα τὸ δ̅ εἰϲ τὸ ϲ̅ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, τῷ κανόνι τῷ λεχθέντι ἐν τῇ περὶ τοῦ ταῖϲ λαμπάϲι διδαϲκαλίᾳ.

[Discr. scr. ex NCV] **2** *post* εἰϲ ν̅ *add* αὐτὴν NC || **4** δέ *om* NC || **5** δρῦα N | δὲ *om* NC || **7** ἐκείνη V, ἐκείνου NC || **8** ἐξαμβλ. — λέγει V, ἐξαμβλούμενοϲ αὐτὴν λέγειϲ NC || **10** δὲ καὶ τὴν NC || **22** τῇ χλ. τῇ πλ. V | τὴν χλ. τὴν πλ. V || **25** ὦ πληθύ *om* V | Εἴρηται] *cfr. p. 229, 31* || **27** Τὰ πίτυε — τῶν χλαμύδων (**30**) *om* V || **30** ταῖϲ χλ. ταῖϲ πλ. V || **32** μὲν V, μέντοι NC || **34** τῷ εἰρημένῳ] *cfr. p. 180,5* | τοῖϲ *om* NCV || **36** τῷ λεχθέντι] *cfr. p. 325,17* | ταῖϲ λαμπάϲι] λαμπάϲι NC, τοῖϲ Πάριϲι V; *cfr. p. 198, 32*

Τὰϲ πίτυαϲ, τὰϲ πληθύαϲ, τὰϲ χλαμύδαϲ· ὦ πίτυεϲ, ὦ πληθύεϲ, ὦ χλαμύδεϲ.

Κανὼν ιβʹ.

Ἡ αἰδώϲ τῆϲ αἰδοῦϲ, ἡ ἕωϲ τῆϲ ἕω, ἡ Κῶϲ τῆϲ Κῶ.

Ἰϲτέον ὅτι τὰ εἰϲ ωϲ ὀξύτονα θηλυκὰ δύο ταῦτά εἰϲι, τὸ αἰδώϲ καὶ ἠώϲ, καὶ εἰϲ ουϲ ἔχουϲι τὴν γενικήν, οἷον αἰδοῦϲ καὶ ἠοῦϲ, καὶ δι' ὅλου κλίνονται ὥϲπερ τὰ εἰϲ ω θηλυκὰ ἐν ἁπάϲαιϲ ταῖϲ πτώϲεϲι· τὸ δὲ δώϲ, ὃ ϲημαίνει τὴν δόϲιν, ὡϲ παρ' Ἡϲιόδῳ ⟨Opp. 356⟩ δὼϲ ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα, ὀξύνεται καὶ θηλυκόν ἐϲτιν, ἔϲτι δὲ ἄκλιτον, ὡϲ μαθηϲόμεθα· ἰϲτέον δὲ ὅτι τὸ αἰδώϲ Φιλητᾶϲ ὁ διδάϲκαλοϲ Θεοκρίτου χωρὶϲ τοῦ ϲ προηνέγκατο, εἰπών ἀγαθὴ δ' ἐπὶ ἤθεϲιν αἰδώ. Τὰ δὲ βαρύτονα ἀποβολῇ τοῦ ϲ ποιοῦϲι τὴν γενικήν, ὁμοίωϲ δὲ καὶ τὰ περιϲπώμενα, καὶ ἐπιδέχονται κλίϲιν ὁμοίαν τοῖϲ εἰϲ ωϲ Ἀττικοῖϲ ἐν ἁπάϲαιϲ ταῖϲ πτώϲεϲιν, οἷον ἡ Κῶϲ τῆϲ Κῶ, ἡ Τλῶϲ τῆϲ Τλῶ, ἡ Κρῶϲ τῆϲ Κρῶ (εἰϲὶ δὲ ταῦτα ὀνόματα πόλεων), ἡ ἅλωϲ τῆϲ ἅλω· τὸ γὰρ ἄλωοϲ πταῖϲμα νεωτερικόν ἐϲτι (ϲημαίνει δὲ τὸ ἁλώνιον), ὡϲ τὸ δινομένην πέρι βουϲὶν ἐμὴν ἐφύλαϲϲον ἅλωα παρὰ τῷ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ ⟨fragm. 51 Sch⟩· ϲημαίνει δὲ καὶ τὸ νεφελοειδὲϲ τὸ περὶ τὸν ἥλιον καὶ τὴν ϲελήνην· ἡ ἕωϲ τῆϲ ἕω (τοῦτο δὲ ϲημαίνει τὴν ἀνατολήν). Καὶ ἰϲτέον ὅτι ταύτηϲ τῆϲ λέξεωϲ τὴν αἰτιατικὴν τὴν ἕω φαϲὶ χωρὶϲ τοῦ ν καὶ οὐ τὴν ἕων ϲὺν τῷ ν, καίτοι τῶν εἰϲ ωϲ Ἀττικῶν εἰϲ ν ἐχόντων τὴν κατάληξιν τῆϲ αἰτιατικῆϲ, οἷον τὸν Μενέλεων, τὸν Νικόλεων. Τὸ δὲ ἕωϲ καὶ ἠώϲ διαφέρουϲιν ἀλλή-
361 g λων κατὰ τέϲϲαραϲ τρόπουϲ, κατὰ τόνον, κατὰ χρόνον, κατὰ κλίϲιν καὶ κατὰ πνεῦμα· κατὰ τόνον μέν, ὅτι τὸ μὲν ἠώϲ ὀξύνεται τὸ δὲ ἕωϲ βαρύνεται, κατὰ χρόνον δέ, ὅτι τὸ μὲν ἠώϲ μακρᾷ παραλήγεται τὸ δὲ ἕωϲ βραχείᾳ παραλήγεται, κατὰ κλίϲιν δέ, ὅτι τὸ μὲν ἠώϲ εἰϲ ουϲ ἔχει τὴν γενικὴν τὸ δὲ ἕωϲ ἀποβολῇ τοῦ ϲ ποιεῖ τὴν γενικήν, κατὰ πνεῦμα δέ, ὅτι τὸ μὲν ἠώϲ ψιλοῦται τὸ δὲ ἕωϲ δαϲύνεται. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὸ δώϲ (ἔϲτιν ὄνομα θηλυκὸν καὶ ϲημαίνει τὴν δόϲιν, οἷον ⟨Hes. Opp. 356⟩ δὼϲ ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα) ἄκλιτόν ἐϲτι· καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διατί τὸ δώϲ ἄκλιτόν ἐϲτι· καὶ ἔϲτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰϲ ωϲ μονοϲύλλαβα

[Discr. scr. ex NCV] **1** Τὰϲ πίτυαϲ — ὦ χλαμύδεϲ (2) *om* V ‖ **3** Κανὼν — τῆϲ Κῶ (4) *om* NC ‖ **6** ουϲ *om* N ‖ **10** Φιλητᾶϲ] *cfr. Bernhardy, Gr. Litt. II 2, 566,* Φιλίππαϲ NC, Φιλητὸϲ V ‖ **11** δὲ ἐπὶ NCV ‖ **14** ωϲ V, ω NC ‖ **15** *post* πόλεων *add* C: ἡ Κέωϲ τῆϲ Κέω, ἡ Κῶϲ τῆϲ Κῶ (ἡ Κόωϲ τῆϲ Κόω *Lentzius*), ἡ Τέωϲ τῆϲ Τέω. εἰϲὶ δὲ καὶ ταῦτα ὀνόματα πόλεων ‖ **17** ὡϲ τὸ *om* NC | δινωμένην NC, δινόμενοϲ V | ἐμὴν ἐφύλαττον NC, ἔμεινε φυλάϲϲων V ‖ **18** Ἑκάλῃ NC, ἑλκάδι V ‖ **19** ἡ ἕωϲ τῆϲ ἕω N ‖ **22** Ἀττικῶν] αἰτιατικῶν N ‖ **23** τὸν Νικόλ. *om* NC ‖ **25** τὸ μὲν ἠώϲ] τὸ ἠώϲ NC, ἡ ἠώϲ V | δὲ *ante* ἕωϲ *om* N ‖ **27** δέ *post* κλίϲιν *om* NC

θηλυκὰ καὶ περισπῶνται καὶ κύριά εἰcιν, οἷον ἡ Κῶc, ἡ Τλῶc, ἡ Κρῶc (εἰcὶ δὲ ταῦτα ὀνόματα πόλεων)· ἐπειδὴ οὖν τὸ δώc θηλυκὸν καὶ μονοcύλλαβον ὂν οὐκ ἔcτι κύριον ἀλλ' οὔτε δὲ περιcπᾶται, τούτου χάριν ἄκλιτόν ἐcτιν.

Τῇ αἰδοῖ, τῇ ἕῳ, τῇ Κῷ· τὴν αἰδῶ, τὴν ἕω, τὴν Κῶν κατὰ ἀναλογίαν· ὦ αἰδώc, ὦ ἕωc, ὦ Κῶc ὁμοφώνωc τῇ εὐθείᾳ ὁμοίωc τοῖc Ἀττικοῖc· τὸ δὲ ὦ αἰδοῖ ὁμοίωc τοῖc εἰc $\bar{\omega}$ θηλυκοῖc.

Τὰ αἰδώ, τὰ ἕω, τὰ Κῶ· ταῖν αἰδοῖν, ταῖν ἕῳν, ταῖν Κῷν· ὦ αἰδώ, ὦ ἕω, ὦ Κῶ.

Αἱ αἰδοί, αἱ ἕῳ, αἱ Κῷ· τῶν αἰδῶν, τῶν ἕων, τῶν Κῶν· ταῖc αἰδοῖc, ταῖc ἕῳc, ταῖc Κῷc· τὰc αἰδούc, τὰc ἕωc, τὰc Κῶc· ὦ αἰδοί, ὦ ἕῳ, ὦ Κῷ.

Τέλος cὺν θεῷ τῶν θηλυκῶν ὀνομάτων.

Ἀρχὴ cὺν θεῷ τῶν οὐδετέρων ὀνομάτων.

Δεῖ γινώcκειν ὅτι οὐκ ἔcτιν ἄτοπον εἰ ἀπὸ τῆc οὔ ἀποφάcεωc ἄρχεται τὸ ὄνομα τοῦτο, φημὶ δὴ τὸ οὐδέτερον. Εἰ γὰρ εὑρίcκομεν καὶ ἀπὸ τῆc $\bar{\alpha}$ cτερήcεωc ἀρχόμενα ὀνόματα, ὡc τὸ ἄφιλοc ἄcεμνοc ἄτεχνοc, τί τὸ ἄτοπον καὶ ἀπὸ τῆc οὔ ἀποφάcεωc ἄρχεcθαι τοῦτο; οὐδὲ γὰρ διαφέρουcιν ἀλλήλων ἥ τε ἀπόφαcιc καὶ ἡ cτέρηcιc ὅcον κατὰ τὸ εἶναι ἄμφω ἀναιρετικά, ἀλλὰ καθ' ὅτι ἡ μὲν οὔ ἀπόφαcιc, ἡ δὲ $\bar{\alpha}$ 762 R cτέρηcιc· ἢ κατὰ ἄλλον τρόπον διαφέρουcιν ἀλλήλων, καθ' ὅτι ἡ μὲν cτέρηcιc ἐπιβάλλοντοc ἤγουν ἁρμόζοντόc ἐcτιν ἀτευξία τουτέcτιν ἀποτυχία, ὡc ὅταν εἴπωμεν «ἄτεχνοc ὁ ῥήτωρ»· ἐπιβάλλει μὲν γὰρ ἤτοι ἁρμόζει αὐτὸν εἶναι ἔντεχνον, οὐκ ἔτυχε δὲ τούτου· ἡ δὲ ἀπόφαcιc ὡc ἔτυχε λαμβάνεται· δυνατὸν γὰρ λέγειν «οὐ τεχνικὸc ὁ ὄνοc», «ἄτεχνοc» δὲ «ὁ ὄνοc» οὐ δυνατὸν λέγειν, ἐπειδή, ὡc εἴρηται, ἡ cτέρηcιc ἐπιβάλλοντοc ἤγουν ἁρμόζοντόc ἐcτιν ἀτευξία τουτέcτιν ἀποτυχία, οὐχ ἁρμόζει δὲ τῷ ὄνῳ τοῦτο, φημὶ δὴ τὸ εἶναι αὐτὸν τεχνικόν. Ἀμέλει ἡνίκα ἡ $\bar{\alpha}$ cτέρηcιc μὴ cημαίνει ἐπιβάλλοντοc ἤγουν ἁρμόζοντοc ἀτευξίαν τουτέcτιν ἀποτυχίαν, τότε ἀντὶ τῆc οὔ ἀποφάcεωc λέγομεν αὐτὴν

[Discr. scr. ex NCV] 5 Τῇ αἰδοῖ — ἀναλογίαν (6) *om* V ‖ 6 ὦ αἰδώc V, ὦ αἰδοῖ NC ‖ 8 Τὰ αἰδώ — ὦ Κῷ (12)] πρόδηλοc δὲ ἡ κλίcιc τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν V ‖ 10 αἱ Κῷ N, αἱ Κῶ C ‖ 12 ὦ αἰδοῖ N | ὦ Κῶ N, ὦ Κῶ C ‖ 13 ὀνομάτων] *hic desinit* N *in med. fol. 135v*

[Discr. scr. ex CV] 14 *post* ὀνομάτων *add* κανὼν α'. τὸ βῆμα τοῦ βήματοc C ‖ 18 τὸ *ante* ἄτοπον *om* C ‖ 19 ἀλλήλων — ἀλλήλων (21) *om* V ‖ 20 καθὰ ὅτι C; *item v. 21* ‖ 22 ἀτευξία V, ἀταξία C; *item v. 27 et p. 335, 3* ‖ 25 ἄτεχνοc — λέγειν (26) V *et EM 640, 1,* ἄτεχνοc δὲ ὁ ὄνοc . ἐπὶ δὲ τῆc cτερήcεωc οὐ δυνατὸν οὕτωc λέγειν C ‖ 29 *ad* ἀτευξίαν *in marg.* ἐπιβάλλουcαν ἤγουν ἁρμόζουcαν C[1]

παραλαμβάνεϲθαι, ὡϲ ἐν τῷ ἀθάνατον (ἀντὶ γὰρ τοῦ οὐ θανατούμενον) καὶ ἄλογον (ἀντὶ τοῦ οὐ λογικόν)· οὐδὲ γάρ ἐϲτιν ἐνταῦθα ἐπιβάλλοντοϲ ἀτευξία, οὐ δύναται γὰρ ὁ ἀθάνατοϲ εἶναι θνητὸϲ οὐδὲ τὸ ἄλογον λογικόν. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὰ οὐδέτερα ἓξ ἔχουϲι τελικά, τρία φωνήεντα, ᾱ ῑ ῡ, καὶ τρία ϲύμφωνα, ν̄ ρ̄ ϲ̄, οἷον ἅρμα μέλι δόρυ δένδρον ἔλωρ δέπαϲ. Τινὲϲ δὲ προϲτιθέαϲι καὶ τὸ ο̄ διὰ τὸ ἄλλο καὶ τηλικοῦτο καὶ τοϲοῦτο καὶ τοιοῦτο· περὶ ὧν ἔϲτιν ἀπολογήϲαϲθαι καὶ εἰπεῖν, ὅτι ἐπειδὴ τὸ ἄλλοϲ καὶ τηλικοῦτοϲ καὶ τοϲοῦτοϲ καὶ τοιοῦτοϲ ἐνομίϲθηϲαν ἀντωνυμίαι εἶναι, ἔχομεν δὲ ἐν ταῖϲ ἀντωνυμίαιϲ τελικὸν τῶν οὐδετέρων τὸ ο̄, ὡϲ ἐν τῷ ἐκεῖνο καὶ τοῦτο καὶ αὐτό, τούτου χάριν καὶ τὰ οὐδέτερα τούτων ἐγένοντο εἰϲ τὸ ο̄, οἷον ἄλλο τοϲοῦτο τηλικοῦτο καὶ τοιοῦτο· ἄλλωϲ τε δὲ τὸ τηλικοῦτο καὶ τοϲοῦτο καὶ τοιοῦτο οὐ μόνον εἰϲ ο̄ λήγουϲιν ἀλλὰ καὶ εἰϲ ν̄, λέγομεν γὰρ καὶ τηλικοῦτον καὶ τοϲοῦτον καὶ τοιοῦτον· τὸ δὲ ἄλλο ἐν τῇ ϲυνθέϲει μετὰ τοῦ ν̄ γίνεται, οἷον ἔξαλλον ἀλλοπρόϲαλλον ἄνταλλον πάραλλον, καὶ τὸ κεχρεωϲτημένον αὐτῷ ν̄ ἐν τῇ ἁπλότητι ἐν τῇ ϲυνθέϲει ἀναδέχεται· ἔτι δὲ ταῦτα τὰ εἰϲ ο̄ λήγοντα οὐδέτερα ὀλίγα εἰϲὶ καὶ οὐκ εἰϲὶν ἱκανὰ ἀποτελέϲαι κατάληξιν. Ταῦτα μὲν ἐν τούτοιϲ.

363 g Ἰϲτέον δὲ ὅτι τρίπτωτά εἰϲι τὰ οὐδέτερα, ὀρθὴν γὰρ καὶ γενικὴν καὶ δοτικὴν ἔχουϲιν· ἡ γὰρ αἰτιατικὴ καὶ κλητικὴ ὁμοφωνοῦϲι τῇ εὐθείᾳ, οἷον τὸ βῆμα τοῦ βήματοϲ τῷ βήματι τὸ βῆμα ὦ βῆμα, τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. Καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διατί τρίπτωτά εἰϲι τὰ οὐδέτερα· καὶ ἔϲτιν εἰπεῖν ἀπολογίαν τοιαύτην· τὰ ἀρϲενικὰ καὶ τὰ θηλυκὰ πεντάπτωτά εἰϲι πρὸϲ τὴν ποϲότητα τῶν τελικῶν ϲυμφώνων· ἐπειδὴ γὰρ πέντε ϲύμφωνα ἔχουϲι τελικά, ν̄ ξ̄ ρ̄ ϲ̄ ψ̄, τούτου χάριν εἰϲὶ καὶ πεντάπτωτα· τὰ δὲ οὐδέτερα, ἐπειδὴ τρία ἔχουϲι ϲύμφωνα τελικά, ν̄ ρ̄ ϲ̄, τούτου χάριν καὶ τρίπτωτά εἰϲιν. Ἔϲτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· τὰ οὐδέτερα δύο τινῶν προϋποκειμένων ποιοῦνται ἀναίρεϲιν· οὐδέτερον γάρ ἐϲτι τὸ μὴ ὂν ἓν ἐκ τῶν δύο τῶν προϋποκειμένων γενῶν, λέγω δὴ τοῦ ἀρϲενικοῦ καὶ τοῦ θηλυκοῦ· ἐπειδὴ οὖν τὰ οὐδέτερα δύο τινῶν προϋποκειμένων ποιοῦνται ἀναίρεϲιν, τουτέϲτιν ἀρϲενικοῦ καὶ θηλυκοῦ γένουϲ, τούτου χάριν καὶ δύο πτώϲεων ποιοῦνται ἀναίρεϲιν, καὶ λοιπὸν εὑρίϲκονται τρεῖϲ μόναι πτώϲειϲ ἐν τοῖϲ οὐδετέροιϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Δεῖ δὲ γινώϲκειν ὅτι λέγει ὁ τεχνικόϲ, ὡϲ καθόλου πᾶν οὐδέτερον ἀπὸ ἀρϲενικοῦ γεγενημένον, δηλονότι κατὰ παραϲχηματιϲμόν, τὴν τοῦ ἀρϲενικοῦ κλίϲιν ἐπιδέχεται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ, οἷον ὁ καλόϲ τοῦ καλοῦ τῷ καλῷ τὸ καλόν τοῦ καλοῦ τῷ καλῷ, ὁ ϲοφόϲ τοῦ

[Discr. scr. ex CV] **2** γάρ *om* C ‖ **6** ἔλωρ C, ὕδωρ V ‖ **8** καὶ τοιοῦτο *om* C ‖ **10** δὲ *om* C ‖ **13** τε *om* V | δὲ *om* C | *ante* οὐ μόνον *add* καὶ C ‖ **16** χρεωϲτημένον C ‖ **18** κατάληγξιν C ‖ **30** γάρ ἐϲτι V, δέ ἐϲτιν C ‖ **31** τοῦ ἀρϲενικοῦ καὶ τοῦ θηλυκοῦ V, τῶν ἀρϲενικῶν καὶ θηλυκῶν C ‖ **35** δὲ *om* C

σοφοῦ τῷ σοφῷ τὸ σοφόν τοῦ σοφοῦ τῷ σοφῷ, ὁ μέτριος τοῦ μετρίου τῷ μετρίῳ τὸ μέτριον τοῦ μετρίου τῷ μετρίῳ, ὁ ἀλλότριος τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ τὸ ἀλλότριον τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ, ὁ εὔγηρως τοῦ εὔγηρω τῷ εὔγηρῳ τὸ εὔγηρων τοῦ εὔγηρω τῷ εὔγηρῳ, ὁ μέλας τοῦ μέλανος τῷ μέλανι τὸ μέλαν τοῦ μέλανος τῷ μέλανι, ὁ σώφρων τοῦ σώφρονος τῷ σώφρονι τὸ σῶφρον τοῦ σώφρονος τῷ σώφρονι, ὁ τάλας τοῦ τάλανος τῷ τάλανι τὸ τάλαν τοῦ τάλανος τῷ τάλανι, ὁ πᾶς τοῦ παντός τῷ παντί τὸ πᾶν τοῦ παντός τῷ παντί, ὁ λιπόπατρις τοῦ λιποπάτριδος τῷ λιποπάτριδι τὸ λιπόπατρι τοῦ λιποπάτριδος τῷ λιποπάτριδι, ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι τὸ χαρίεν τοῦ χαρίεντος τῷ χαρίεντι, ὁ ἄρσην τοῦ ἄρσενος τῷ ἄρσενι τὸ ἄρσεν 364 g τοῦ ἄρσενος τῷ ἄρσενι, ὁ ταχύς τοῦ ταχέος τῷ ταχέϊ καὶ ταχεῖ τὸ ταχύ τοῦ ταχέος τῷ ταχέϊ καὶ ταχεῖ. Ἐὰν οὖν τις ἐρωτήσῃ σε τὸ ἄρειον καὶ τὸ πλεῖον πῶς κλίνεται, οὐκ ὀφείλεις ὡς ἔτυχεν ἀποκριθῆναι αὐτῷ, ἀλλὰ δέον ἐστὶ μαθεῖν σε ἀπὸ ποίου ἀρσενικοῦ ἐγένετο· εἰ μὲν γὰρ ἀπὸ τοῦ ὁ Ἄρειος τοῦ Ἀρείου καὶ ὁ πλεῖος τοῦ πλείου, δηλονότι τὸ Ἄρειον τοῦ Ἀρείου καὶ τὸ πλεῖον τοῦ πλείου, εἰ δὲ ἀπὸ τοῦ ὁ ἀρείων τοῦ ἀρείονος καὶ ὁ πλείων τοῦ πλείονος, δηλονότι τὸ ἄρειον τοῦ ἀρείονος καὶ τὸ πλεῖον τοῦ πλείονος. Ἐπαγγέλλεται δὲ ὁ τεχνικὸς τοὺς κανόνας λέγειν περὶ τῶν μονογενῶν, οὐ περὶ τῶν παρεσχηματισμένων· ἔχομεν γὰρ ὅτι τὰ παρασχηματιζόμενα ἀρσενικοῖς τὴν τοῦ ἀρσενικοῦ κλίσιν ἐπιδέχονται, ὁποίας ἂν ὦσι καταλήξεως. Πρόσκειται ἀνωτέρω «δηλονότι κατὰ παρασχηματισμόν», οἷον «πᾶν οὐδέτερον ἀπὸ ἀρσενικοῦ γεγενημένον, δηλονότι κατὰ παρασχηματισμόν, τὴν τοῦ ἀρσενικοῦ κλίσιν ἐπιδέχεται», διὰ τὸ ὁ σκότος τοῦ σκότου καὶ τὸ σκότος τοῦ σκότους, ὁ ἔλεγχος τοῦ ἐλέγχου καὶ τὸ ἔλεγχος τοῦ ἐλέγχους, ὁ ἔλεος τοῦ ἐλέου καὶ τὸ ἔλεος τοῦ ἐλέους, ὁ τάριχος τοῦ ταρίχου καὶ τὸ τάριχος τοῦ ταρίχους· ταῦτα γὰρ οὐκ ἐπιδέχονται τὴν τοῦ ἀρσενικοῦ κλίσιν, ἀλλ' οὐκ εἰσὶ κατὰ παρασχηματισμὸν ἀλλὰ κατὰ μεταβολὴν ἤγουν ἐναλλαγὴν γένους. Ὅτι γὰρ οὐκ εἰσὶ κατὰ παρασχηματισμὸν ταῦτα δῆλον ἐντεῦθεν· οὐδέποτε γὰρ οὐδέτερον παρασχηματιζόμενον ἀρσενικῷ ἐπ' ὀνομάτων ὁμοφωνεῖ τῇ εὐθείᾳ τοῦ ἀρσενικοῦ, ἀλλ' ἢ τῇ αἰτιατικῇ, οἷον τὸν σοφόν καὶ τὸ σοφόν, τὸν καλόν καὶ τὸ καλόν, ἢ τῇ κλητικῇ, οἷον ὦ λιπόπατρι καὶ τὸ λιπόπατρι, ὦ ταχύ καὶ τὸ ταχύ, ὦ ἄρσεν καὶ τὸ ἄρσεν· πῶς οὖν δύναται εἶναι παρασχηματισμὸς ἐνταῦθα, ὅπου τὸ οὐδέτερον ὁμοφωνεῖ τῇ εὐθείᾳ τοῦ ἀρσενικοῦ, οἷον ὁ σκότος καὶ τὸ σκότος, ὁ ἔλεγχος καὶ τὸ ἔλεγχος, ὁ τάριχος καὶ τὸ τάριχος; Πρόσκειται «ἐπ' ὀνομάτων» διὰ τὸ ὁ βοῶν καὶ τὸ βοῶν, ὁ περῶν καὶ τὸ πε-

---

[Discr. scr. ex CV] **8** ὁ λειπόπατρις *diphthongo* ει *in reliquis casibus servata* V ‖ **10** τὸ χαρίεν V, τῶ χάριεν C ‖ **13** ἐρωτήσῃ σε g, ἐρωτήσει σε C, προτείνῃ ὅτι V ‖ **14** ὀφείλεις V, ὠφίλεις C ‖ **16** ὁ *ante* Ἄρειος *om* C ‖ **19** ἐπαγγέλεται C ‖ **22** ἂν *om* C ‖ **26** ὁ ἔλεος — τοῦ ἐλέους (**27**) *om* C ‖ **34** ὦ λειπόπατρι καὶ τὸ λειπ. V ‖ **35** οὖν *om* C ‖ **38** *ante* ὁ περῶν *add* καὶ C

ρῶν· ἐπὶ τούτων γὰρ τὰ οὐδέτερα ὁμοφωνοῦϲι τῇ εὐθείᾳ τῶν ἀρϲενικῶν, ἀλλ' οὐκ εἰϲὶν ὀνόματα ἀλλὰ μετοχαί. Ἰϲτέον δὲ ὅτι καὶ ἄλλα 365 g εἰϲὶ κατὰ μεταβολὴν γένουϲ, ὥϲπερ ὁ λύχνοϲ καὶ τὸ λύχνον, ὁ θεμέλιοϲ καὶ τὸ θεμέλιον· ταῦτα γὰρ οὐκ εἰϲὶ κατὰ παραϲχηματιϲμόν, ἐπειδὴ κατὰ τοῦ αὐτοῦ εἰϲι καὶ οὐ κατὰ ἄλλου, ὥϲπερ τὰ ἐν παραϲχηματιϲμῷ· κατὰ ἄλλου γάρ ἐϲτιν ὁ ϲοφὸϲ ἄνθρωποϲ καὶ κατὰ ἄλλου τὸ ϲοφὸν παιδίον· ὁ θεμέλιοϲ δὲ καὶ τὸ θεμέλιον κατὰ τοῦ αὐτοῦ ἐϲτι καὶ ὁ λύχνοϲ καὶ τὸ λύχνον κατὰ τοῦ αὐτοῦ ἐϲτιν, ἄλλωϲ τε δὲ καὶ ϲπανίωϲ λέγονται ταῦτα οὐδετέρωϲ· ἔτι δὲ καὶ προϲηγορικά εἰϲιν, οὐδέποτε δὲ οὔτε ἀπὸ κυρίων οὔτε ἀπὸ προϲηγορικῶν γίνεται οὐδετέρου παραϲχηματιϲμόϲ, οἷον Αἴαϲ Θόαϲ κοχλίαϲ, ἀλλ' ἀπὸ ἐπιθέτων, οἷον ϲοφόϲ ϲοφόν, χαρίειϲ χαρίεν, τάλαϲ τάλαν. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ καὶ τοῦτο, ὅτι πᾶν οὐδέτερον ὄνομα παραϲχηματιζόμενον ἀρϲενικῷ, ἐὰν μὲν ἰϲοϲυλλάβωϲ κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρϲενικοῦ ὁμοφωνεῖ, οἷον ὁ ϲοφόϲ τοῦ ϲοφοῦ τῷ ϲοφῷ τὸν ϲοφόν καὶ τὸ ϲοφόν, ὁ μέτριοϲ τοῦ μετρίου τῷ μετρίῳ τὸν μέτριον καὶ τὸ μέτριον, ὁ εὔγηρωϲ τοῦ εὔγηρω τῷ εὔγηρῳ τὸν εὔγηρων καὶ τὸ εὔγηρων, ἐὰν δὲ περιττοϲυλλάβωϲ κλίνοιτο, τῇ κλητικῇ τοῦ ἀρϲενικοῦ ὁμοφωνεῖ, οἷον ὁ ϲώφρων τοῦ ϲώφρονοϲ ὦ ϲῶφρον καὶ τὸ ϲῶφρον, ὁ ἄρϲην τοῦ ἄρϲενοϲ ὦ ἄρϲεν καὶ τὸ ἄρϲεν, ὁ ταχύϲ τοῦ ταχέοϲ ὦ ταχύ καὶ τὸ ταχύ, ὁ χαρίειϲ τοῦ χαρίεντοϲ ὦ χαρίεν καὶ τὸ χαρίεν, ὁ λιπόπατριϲ τοῦ λιποπάτριδοϲ ὦ λιπόπατρι καὶ τὸ λιπόπατρι. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὰ οὐδέτερα ἢ καὶ τῇ φωνῇ καὶ τῷ ϲημαινομένῳ εἰϲὶν οὐδέτερα, ὥϲπερ τὸ ξύλον, τὸ δένδρον, τὸ τεῖχοϲ, ἢ τῇ μὲν φωνῇ εἰϲιν οὐδέτερα τῷ δὲ ϲημαινομένῳ οὐκ εἰϲὶν οὐδέτερα, ὥϲπερ τὸ παιδίον, τὸ θηλυκόν, τὸ ϲῶφρον, τὸ γύναιον· ταῦτα γὰρ τῇ μὲν φωνῇ εἰϲιν οὐδέτερα τῷ δὲ ϲημαινομένῳ οὐκ εἰϲὶν οὐδέτερα· τὸ μὲν γὰρ παιδίον καὶ τὸ ϲῶφρον ἢ ἄρϲεν ἢ θῆλυ δηλοῖ, καὶ τὸ θηλυκὸν δὲ καὶ τὸ γύναιον ὁμολογουμένωϲ θῆλυ δηλοῖ. Ἰϲτέον δὲ ὅτι εἰϲὶ καταλήξειϲ ἐν τοῖϲ οὐδετέροιϲ αἵτινέϲ εἰϲι μονογενεῖϲ, ὡϲ τὰ εἰϲ $\overline{\text{αϲ}}$ οὐδέτερα πάντα μονογενῆ εἰϲιν, οἷον κρέαϲ γῆραϲ κέραϲ, καὶ τὰ εἰϲ $\overline{\text{οϲ}}$ οὐδέτερα ὀνόματα, καὶ ταῦτα γὰρ μονογενῆ εἰϲιν, οἷον τὸ τεῖχοϲ, τὸ βέλοϲ· τὸ 366 g γὰρ τάριχοϲ καὶ τὸ ϲκότοϲ οὐ κατὰ παραϲχηματιϲμὸν γεγόναϲιν, ὡϲ ἐμάθομεν, ἀπὸ τοῦ ὁ τάριχοϲ καὶ ὁ ϲκότοϲ, ἀλλὰ κατὰ μεταβολὴν γένουϲ ἤγουν ἐναλλαγήν· πρόϲκειται «ὀνόματα», ἤγουν «τὰ εἰϲ $\overline{\text{οϲ}}$ οὐδέτερα ὀνόματα», διὰ τὰϲ μετοχάϲ, οἷον διὰ τὸ τετυφόϲ καὶ πεποιηκόϲ· ταῦτα γὰρ οὐκ εἰϲὶ μονογενῆ, ὁ τετυφώϲ γὰρ καὶ ἡ τετυφυῖα καὶ τὸ τετυφόϲ, ὁ πεποιηκώϲ καὶ ἡ πεποιηκυῖα καὶ τὸ πεποιηκόϲ. Καὶ πάλιν

[Discr. scr. ex C V] **1** τῶν ἀρϲ. V, τοῦ ἀρϲενικοῦ C ‖ **7** κατὰ τοῦ αὐτοῦ V, κατ' αὐτοῦ C; *item v. 8* ‖ **9** λέγονται V, λέγεται C ‖ **10** κυρίου C | προϲηγορικοῦ C ‖ **21** ὁ λειπόπατριϲ *diphthongo etiam in ceteris casibus servato* V ‖ **26** μὲν *om* C ‖ **31** οἷον κρέαϲ — μονογενῆ εἰϲιν (**32**) *om* V ‖ **34** ἐμάθομεν] *cfr. p. 336, 29* | *inter* τοῦ *et* ὁ *add* ὁ τα C ‖ **38** πεποιηκώϲ καὶ ἡ *om* C | καὶ *ante* τὸ πεπ. *om* C

εἰcὶ καταλήξεις αἵτινες ἀπὸ παραcχηματιcμοῦ εἰcιν, ὡc τὰ εἰc $\overline{\text{αν}}$ οὐδέτερα· πάντα γὰρ ἀπὸ παραcχηματιcμοῦ εἰcιν, οἷον ὁ μέλαc τὸ μέλαν, ὁ τάλαc τὸ τάλαν, ὁ πᾶc τὸ πᾶν. Εἰcὶ πάλιν καταλήξεις κοιναί, τουτέcτι καὶ μονογενείᾳ ἁρμόζουcαι καὶ τριγενείᾳ, ὥcπερ τὰ εἰc $\overline{\text{ον}}$ οὐδέτερα· ταῦτα γὰρ καὶ μονογενῆ εἰcιν, ὥcπερ τὸ ξύλον, τὸ δένδρον, τὸ μέτρον, καὶ τριγενῆ, ὥcπερ ὁ καλόc ἡ καλή τὸ καλόν, ὁ cοφόc ἡ cοφή τὸ cοφόν.

Κανὼν α΄.

Τὸ βῆμα τοῦ βήματοc.

Ἰcτέον ὅτι τὰ εἰc $\bar{α}$ λήγοντα οὐδέτερα cυνεcταλμένον ἔχουcι τὸ $\bar{α}$, οἷον κῦμα ἅρμα βῆμα νόημα ὄνομα, χωρὶc τοῦ κάρα, τοῦτο γὰρ ἐκ τοῦ κάρηνον ἐγένετο τούτῳ τῷ τρόπῳ· ἔcτι κάρηνον, καὶ κατὰ τροπὴν τοῦ $\bar{η}$ εἰc $\bar{α}$ μακρὸν κάρανον γίνεται καὶ κατὰ ἀποκοπὴν τῆc $\overline{\text{νον}}$ cυλλαβῆc κάρα, καὶ ἔμεινε τὸ $\bar{α}$ μακρόν. Θέλουcι δὲ τὰ εἰc $\bar{α}$ λήγοντα οὐδέτερα πρὸ τοῦ $\bar{α}$ ἔχειν τὸ $\bar{μ}$, οἷον ποίημα ῥῆμα νόημα βῆμα ἅρμα κῦμα, δηλονότι μονογενῆ ὄντα· τοῦτο δὲ εἴρηται διὰ τὸ μέγα, τοῦτο γὰρ οὐκ ἔχει πρὸ τοῦ $\bar{α}$ τὸ $\bar{μ}$, ἀλλ' οὐκ ἔcτι μονογενέc, ἀπὸ γὰρ τοῦ ὁ μέγαc γέγονε. Τὰ δὲ μὴ ἔχοντα πρὸ τοῦ $\bar{α}$ τὸ $\bar{μ}$ λέγει εἶναι πεπονθότα, οἷον τὸ κάρα ἀπὸ τοῦ κάρανον κατὰ ἀποκοπὴν καὶ τὸ λίπα ἀπὸ τοῦ λιπαρόν ὁμοίωc κατὰ ἀποκοπήν, οἷον ⟨Ξ 171⟩ ἀλείψατο δὲ λίπ' ἐλαίῳ, καὶ τὸ ἄλειφα (cημαίνει δὲ τὸ ἄλειμμα) ἀπὸ τοῦ ἄλειφαρ ἢ ἄλειφαc κατὰ ἀποβολὴν τοῦ τελευταίου cυμφώνου ἐγένετο. Κρεῖττον οὖν ἐνταῦθα ἀποβολὴν καὶ μὴ ἀποκοπὴν λέγειν, ἐπειδὴ τὸ τελευταῖον cύμφωνον ἀπεβλήθη· ἐν δὲ τῇ ἀποκοπῇ τελείωc ἀποκόπτεται ἡ τελευταία cυλλαβή, οἷον δῶμα δῶ, Ἀπόλλωνα Ἀπόλλω, Ποcειδῶνα Ποcειδῶ, κυκεῶνα κυκεῶ. Καὶ τὸ ὕφα δὲ ἀπὸ τοῦ ὕφαcμα ἐcτὶ κατὰ ἀποκοπήν· ἰcτέον δὲ ὅτι τοῦτο ἐκ περιττοῦ cημειοῦνται, οὐ γάρ ἐcτιν ἐν χρήcει τὸ 367 g ὕφα ἀλλὰ τὸ ὕφαcμα, ὡc παρὰ τῷ ποιητῇ ὑφάcματά τε ἐcθῆτάc τε. Καὶ τὸ γάλα ἀπὸ τοῦ γάλαξ κατ' ἔνδειαν τοῦ $\bar{ξ}$· ἡ γὰρ κλίcιc αὐτοῦ ἀπὸ εὐθείαc τῆc εἰc $\bar{ξ}$ καταληγούcηc ἐγένετο, γάλακοc γὰρ ἡ γενικὴ καὶ κατὰ πλεοναcμὸν τοῦ $\bar{τ}$ γάλακτοc, ὥcπερ ἄναξ ἄνακοc καὶ ἄνακτοc· πᾶcα γὰρ γενικὴ διὰ τοῦ $\overline{\text{κοc}}$ κλινομένη ἢ διὰ τοῦ $\overline{\text{κτοc}}$ τὴν εὐθεῖαν ἔχει εἰc $\bar{ξ}$ καταλήγουcαν, οἷον Φοίνικοc Φοῖνιξ, θώρακοc θώραξ, νυκτόc νύξ, ἄνακτοc ἄναξ· εἰ οὖν γάλακτοc, δηλονότι εἰc $\bar{ξ}$ γάλαξ. Ἄλλωc τε δὲ πᾶcα δοτικὴ πληθυντικῶν εἰc $\bar{ι}$ λήγουcα μετὰ διπλοῦ ἀποβολῇ τοῦ $\bar{ι}$

[Discr. scr. ex CV] **4** *post* τριγενείᾳ *add* τουτέcτι καὶ ὁμογενεῖc ⟨*leg.* μονογενεῖc⟩ καὶ τριγενεῖc V ‖ **8** Κανὼν — βήματοc (**9**) *om* C; *cfr. p. 334, 14* ‖ **11** νόημα ὄνομα *om* C ‖ **13** κάρανον V, κάραν C ‖ **15** νόημα βῆμα *om* C ‖ **16** δὲ *om* C ‖ **18** δὲ *om* C | τὸ $\bar{μ}$ V, τὸ $\bar{α}$ C ‖ **19** κάρηνον C ‖ **20** οἷον *om* C | ἠλείψατο V | δὲ λίπ'] δὲ λίπα C, λίπα V | ἔλαιον V ‖ **27** cημειοῦται C ‖ **28** *prius* τε *om* V; *haec verba apud Homerum non leguntur.* ὑφάcματά τε χρυcόν τε *est* γ *274; nisi poetae nomen fefellit grammaticum, verba orta videntur ex confusis versibus* γ *274 et* ν *136* (= π *231*)

τὴν εὐθεῖαν τῶν ἑνικῶν ἀποτελεῖ, οἷον Φοίνιξι Φοῖνιξ, κήρυξι κῆρυξ, Πέλοψι Πέλοψ, Κύκλωψι Κύκλωψ· εἰ οὖν ἐστιν ἡ δοτικὴ τῶν πληθυντικῶν γάλαξι, δηλονότι ἀποβολῇ τοῦ ῑ γίνεται ἡ εὐθεῖα τῶν ἑνικῶν γάλαξ· ἀλλ' ἐπειδὴ τὸ ξ̄ οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων, τούτου χάριν ἀπεβλήθη καὶ ἐγένετο γάλα. Ἀμέλει συντιθέμενον τὸ γάλα καὶ γινόμενον εἰς ἀρσενικὸν γένος ἀναδέχεται τὸ κεχρεωστημένον ξ̄, οἷον ὁ ἀρτιγάλαξ ὁ νεογάλαξ. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ κρᾶτα, οἷον νῦν δ' εἰς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη παρὰ Σοφοκλεῖ ⟨Oed. Tyr. 263⟩, μήποτε ἔστιν εἰπεῖν, ὅτι τοῦτο ἀπὸ ἀρσενικοῦ ἢ θηλυκοῦ γέγονεν· ἀπὸ ἀρσενικοῦ μὲν ἀπὸ τοῦ ὁ κράς τοῦ κρατός τῷ κρατί τὸν κρᾶτα καὶ τὸ κρᾶτα, ἀπὸ θηλυκοῦ δὲ ἀπὸ τοῦ ἡ κράς τῆς κρατός τῇ κρατί τὴν κρᾶτα καὶ τὸ κρᾶτα· τὸ γὰρ κράς ἀρσενικῶς καὶ θηλυκῶς λέγεται, οἷον ὁ κράς καὶ ἡ κράς, ὡς ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα. Οὐκ ἔστι δὲ ἄτοπον, εἰ ἀρσενικὸν ὂν ἢ θηλυκὸν οὐδετέρῳ ἄρθρῳ συνετάγη· ἰδοὺ γὰρ καὶ ἐπὶ τοῦ φοίνικι λίνῳ τὸ φοίνικι θηλυκὸν ὂν τῷ λίνῳ τῷ οὐδετέρῳ συνετάγη, καὶ ἐπὶ τοῦ ⟨Soph. Achill. Er. fr. 160 N²⟩ ἀρρῶξιν ὅπλοις τὸ ἀρρῶξιν ἀρσενικὸν ὂν τῷ ὅπλοις τῷ οὐδετέρῳ συνετάγη, τὸ ὅπλον γάρ· καὶ πάλιν ἐπὶ τοῦ ⟨Eurip. Or. 270⟩ μανιάσιν λυσσήμασιν (368 g) θηλυκὸν ὂν τὸ μανιάσι συνετάγη πρὸς τὸ λυσσήμασιν οὐδέτερον, τὸ λύσσημα γάρ. Τούτων οὕτως ἐχόντων ἰστέον ὅτι τὰ εἰς ᾱ λήγοντα οὐδέτερα καὶ βαρύνονται καὶ συστέλλουσι τὸ ᾰ καὶ τῷ μ̄ παραλήγονται καὶ διὰ τοῦ τος θέλουσι κλίνεσθαι, οἷον ποίημα ποιήματος, νόημα νοήματος, αἷμα αἵματος, βῆμα βήματος, ἅρμα ἅρματος, ὄνομα ὀνόματος. Κατὰ τί δὲ διαφέρουσι τὰ εἰς ᾱ λήγοντα θηλυκὰ τῶν εἰς ᾰ ληγόντων οὐδετέρων, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθησόμεθα.

Δεῖ δὲ γινώσκειν ὅτι τὸ ὄνομα δοκεῖ μονῆρες εἶναι· οὐδὲν γὰρ τῶν εἰς ᾱ οὐδετέρων ἁπλῶν παραλήγεται τῷ ο̄ καὶ προπαραλήγεται ἑτέρῳ ο̄, καὶ διὰ τοῦτο δοκεῖ παράλογον εἶναι· ὅθεν ταύτην τὴν παραλογίαν φεύγοντες οἱ Αἰολεῖς τρέπουσι τὸ ἐν τῇ παραληγούσῃ ο̄ εἰς τὸ ῡ καὶ λέγουσιν ὄνυμα. Πρόσκειται «ἁπλῶν», οἷον «οὐδὲν τῶν εἰς ᾱ οὐδετέρων ἁπλῶν», διὰ τὰ σύνθετα τὰ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὴ τὸ πρόδομα καὶ τὸ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται ἀττικῶς διὰ τοῦ ω̄· ταῦτα γὰρ παραλήγονται τῷ ο̄ καὶ προπαραλήγονται ἑτέρῳ ο̄, ἀλλ' οὐκ εἰσὶν ἁπλᾶ. Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, διατί ἐν τῷ ὄνομα οἱ Αἰολεῖς τὸ ἐν τῇ παραληγούσῃ ο̄

[Discr. scr. ex CV] **5** γινόμενον V, γενόμενον C ‖ **6** οἷον ἀρτιγ. νεογάλαξ V ‖ **8** κρᾶτα V, κράτα C; *item v. 11 et 12* | νῦν δ' — ἡ τύχη (**9**)] εἰς ἐκείνου κράτα ἐνήλλατο ἡ τύχη C, νῦν δὲ εἰς τὸ ἐκείνου κρᾶτα ἐνήλατο V ‖ **11** καὶ τὸ κρᾶτα *om* V ‖ **12** καὶ τὸ κρᾶτα *om* V ‖ **17** ἀρῶξιν V, ἄρωξιν C; *item v. 18* ‖ **18** *post* ὂν *add* ὁ ἀρώξ γὰρ V ‖ **19** ἐπὶ τοῦ V, τὸ C | μανιάσι V, μανίες C ‖ **22** βαρύνεται CV | συστέλλει CV | παραλήγεται CV ‖ **23** θέλει CV | νόημα νοήμ. *om* C ‖ **24** βῆμα βήματος *om* C | ὄνομα ὀνόμ. *om* C ‖ **26** μαθησ. εἰ θεῷ φίλον C ‖ **33** δή V, δὲ C ‖ **34** τοῦ ω̄ μεγάλου CV

ἔτρεψαν εἰς τὸ ῡ, οἷον ὄνυμα, καὶ μὴ τὸ ἐν τῇ προπαραληγούσῃ, οἷον ὔνομα. Ἔστιν οὖν εἰπεῖν τὰς αἰτίας ταύτας· πρῶτον μὲν ὅτι τὸ ἐν τῇ παραληγούσῃ ō γνήσιόν ἐστιν, ἀπὸ γὰρ τοῦ νέμω γέγονεν νόμα καὶ κατὰ πλεονασμὸν τοῦ ō ὄνομα, τὸ δὲ ἐν τῇ ἀρχούσῃ ἀπὸ πλεονασμοῦ ἐστιν· ἄτοπον δέ ἐστι τὸ ἀπὸ πλεονασμοῦ τραπῆναι, ἵνα εὑρεθῶσι δύο πάθη, πλεονασμὸς καὶ τροπή· δεύτερον δὲ ὅτι καὶ ὁ χαρακτὴρ ἀπαιτεῖ τὸ ἐν τῇ παραληγούσῃ ō τραπῆναι· πολλὰ γάρ εἰσιν εἰς ᾱ οὐδέτερα διὰ τοῦ υμα ἐκφερόμενα, οἷον κώλυμα μήνυμα ἔρυμα κῦμα θῦμα· οὕτως οὖν καὶ ὄνυμα· καὶ τούτου χάριν τὸ ἐν τῇ παραληγούσῃ ō ἐτράπη καὶ οὐ τὸ ἐν τῇ ἀρχούσῃ. Ταῦτα μὲν ἐν τούτοις.

Λέγει δὲ ὁ τεχνικός, ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν, οἷον τὸ ἄλφα τοῦ ἄλφα τῷ ἄλφα, τὸ βῆτα τοῦ βῆτα τῷ βῆτα, τὸ γάμμα τοῦ γάμμα τῷ γάμμα. Καὶ λέγουσι περὶ τούτων διαφόρους αἰτίας, ὅτι ἐπειδὴ οὐκ ἔχουσι πρὸ τοῦ ᾱ τὸ μ̄ διὰ τοῦτο οὐ κλίνονται· τὰ γὰρ εἰς ᾱ λήγοντα οὐδέτερα, ὡς ἐμάθομεν, πρὸ τοῦ ᾱ θέλουσιν 369 g
ἔχειν τὸ μ̄, οἷον ποίημα ῥῆμα ἅρμα αἷμα βῆμα νόημα· ὅθεν τὸ γάμμα καὶ σίγμα ὡς ἔχοντα πρὸ τοῦ ᾱ τὸ μ̄ ἐκινδύνευσαν κλίνεσθαι, οἷον γάμμα γάμματος καὶ σίγμα σίγματος, καὶ οὕτω τινὲς ἀναγινώσκουσι τὸ ἐν τῇ κωμῳδίᾳ ⟨Plato fragm. 30 K⟩ ἔσωσά σ' ἐκ τῶν σιγμάτων Εὐριπίδου· τὸ δὲ ἀληθέστερον κατὰ διάστασιν ἀναγινώσκεται, οἷον ἔσωσά σ' ἐκ τῶν σίγμα, καὶ ἐπιφέρεται τῶν Εὐριπίδου, ἵνα εὑρεθῇ τὸ ἄρθρον ἐπιφερόμενον, λέγω δὴ τὸ τῶν, καὶ ταῦτα γὰρ ἄκλιτα ἔμειναν κατὰ συνεκδρομὴν τῶν ἑτέρων στοιχείων. Ἕτεροι δὲ λέγουσιν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων οὐ κλίνονται, ἐπειδὴ τὰ στοιχεῖα βαρβάρων εἰσὶν εὑρήματα· φασὶ γὰρ ὅτι ὁ Κάδμος ὁ Ἀγήνορος ἀπὸ Φοινίκης εἰς τὴν Ἑλλάδα μετεκόμισεν αὐτά· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· ἄτοπον γὰρ τὸν θεμέλιον τῆς Ἑλληνικῆς διαλέκτου βαρβάρων εὑρήματα λέγειν, ἄλλως τε δὲ ἰδοὺ τὸ Ξέρξης βάρβαρον ὄνομα κλίνεται. Ἄλλοι δὲ λέγουσιν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων οὐ κλίνονται, ἐπειδὴ ἐπεκτάσεις εἰσὶν ἑαυτῶν, ὡς ὅταν ἐπὶ τοῦ ἄλφα βῆτα γάμμα τὸ μὲν πρῶτον γράμμα λάβῃς τὸ στοιχεῖον, τὴν δὲ λοιπὴν φωνὴν ἐπέκτασιν αὐτοῦ· αἱ δ' ἐπεκτάσεις οὐ κλίνονται, οἷον τοιόσδε τοιοῦδε τοιῷδε τοιόνδε· ἰδοὺ γὰρ τοῦτο κατὰ τὸ τέλος ὅπου ἡ ἐπέκτασίς ἐστιν οὐ κλίνεται, κατὰ δὲ τὴν παραλήγουσαν κλίνεται, ἐπειδὴ κατὰ πτῶσιν γίνεται ἡ ἐπέκτασις. Καὶ ἀποροῦσί τινες λέγοντες, εἰ ἄρα κατ' ἐπέκτασίν εἰσι τὰ στοιχεῖα, τὰ δὲ κατ' ἐπέκτασιν ὀνόματα ἔσωθεν κλί-

---

[Discr. scr. ex CV] **1** οἷον ὄνομα *om* V ‖ **2** ὔνομα C ‖ **8** μήνυμα *om* C ‖ **13** *post* τούτων *add* τινὲς C ‖ **14** ὅτι *om* C ‖ **15** γὰρ *om* C ‖ **16** ἅρμα αἷμα *om* C | γάμμα V, γράμμα *et in marg* ∴ C ‖ **18** γράμμα γράμματος C παραναγινώσκουσιν C | τὸ *ante* ἐν *om* C ‖ **19** ἔσωσά σ'] ἔσωσὰν C, ἔσωσάς μ' V ‖ **21** ἔσωσά σ'] ἔσωσας C, ἔσωσάς με V ‖ **25** ὁ Ἀγήνωρ C ‖ **26** μετεκόμισεν V, μετῴκισεν C ‖ **28** ὄνομα V, ὃν C ‖ **29** τὰ ὀνόματα τῶν στοιχείων V, τὰ στοιχεῖα C ‖ **30** τοῦ ἄλφα V, τῆς ἄλφα C ‖ **31** λάβῃς V, λάβε C ‖ **32** αὐτοῦ V, τούτων C | τοιόσδε V, τοιάσδε C ‖ **33** τοιῷδε *om* C

νονται, οἷον τοιόcδε καὶ τοιοῦδε καὶ τοιῷδε καὶ τοιόνδε, ὤφειλον καὶ τὰ ὀνόματα τῶν cτοιχείων ὡc ὄντα κατ' ἐπέκταcιν ἔcωθεν κλίνεcθαι. Ἔcτιν οὖν εἰπεῖν, ὅτι τὰ κατ' ἐπέκταcιν ἔcωθεν κλινόμενα καὶ πρὸ τῶν
370 g ἐπεκτάcεων ἐκλίνοντο, οἷον τοῖοc τοίου τοίῳ τοῖον, καὶ μετὰ ταῦτα λοιπὸν προcῆλθεν ἡ ἐπέκταcιc· τὰ μέντοι ὀνόματα τῶν cτοιχείων οὐ κλίνονται πρὸ τῆc ἰδίαc ἐπεκτάcεωc, ἵνα καὶ μετὰ τὴν ἐπέκταcιν εὑρεθῶcιν ἔcωθεν κλινόμενα· οὐδὲ γὰρ ἐν τῷ ἄλφα τὸ πρῶτον γράμμα ἐκλίνετο, ἵνα καὶ μετὰ τὸ ἐπεκταθῆναι διὰ τῶν λοιπῶν γραμμάτων φυλάξῃ ἔcωθεν τὴν κλίcιν. Κρεῖττον οὖν ἐcτι λέγειν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν cτοιχείων εἰcὶν ἄκλιτα, ἐπειδὴ ἀρχαί εἰcιν, αἱ δὲ ἀρχαὶ καὶ ῥίζαι τῶν πραγμάτων ἁπλαῖ θέλουcιν εἶναι καὶ ἀποίκιλοι, οἷον ἡ λευκότηc αὐτὴ καθ' ἑαυτὴν νοουμένη ἁπλῆ ἐcτιν καὶ ἀποίκιλοc· οὕτωc οὖν καὶ τὰ ὀνόματα τῶν cτοιχείων, ἐπειδὴ ἀρχαί εἰcιν, διὰ τοῦτο ἁπλᾶ εἰcι καὶ ἀποίκιλα καὶ μίαν ἔχουcι τὴν φωνὴν ἐν πάcαιc ταῖc πτώcεcι, καὶ ἐν τῇ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ, οἷον τὸ ἄλφα τοῦ ἄλφα τῷ ἄλφα τὸ ἄλφα ὦ ἄλφα, τὸ βῆτα τοῦ βῆτα τῷ βῆτα τὸ βῆτα ὦ βῆτα. Ἔcτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην, ὅτι διὰ τὰ ἀρτιμαθῆ τῶν παιδίων εἰcὶ τὰ ὀνόματα τῶν cτοιχείων ἄκλιτα, ἵνα μὴ εὐθέωc εἰc δυcχέρειαν αὐτὰ περιβάλλωμεν καὶ cυγχέωμεν αὐτὰ εἰc ποικιλίαν περιβάλλοντεc. Καὶ πάλιν ἄλλην λύcιν ἔcτιν εἰπεῖν τοιαύτην, ὅτι διὰ τοῦτο ἄκλιτά εἰcι τὰ ὀνόματα τῶν cτοιχείων, ἐπειδὴ θεμέλιοί εἰcι τῆc Ἑλληνικῆc διαλέκτου, οἱ δὲ θεμέλιοι ἀμεταθέτωc θέλουcιν ἔχειν. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι κακῶc εἶπεν ὁ τεχνικόc «τὰ δὲ ὀνόματα τῶν cτοιχείων ἄκλιτα»· ὤφειλε γὰρ εἰπεῖν μᾶλλον ὅτι μονόπτωτά εἰcιν, ἄλλο γάρ ἐcτιν ἄκλιτον καὶ ἄλλο μονόπτωτον· τὰ γὰρ μονόπτωτα θεωροῦνται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ καὶ ἐν τῇ αἰτιατικῇ μετὰ διαφόρου ἄρθρου, οἷον οἱ πέντε τῶν πέντε τοῖc πέντε τοὺc πέντε, τὰ δ' ἄκλιτα ἐν τῇ εὐθείᾳ μόνῃ θεωροῦνται καὶ οὐδέποτε οὔτε ἐν τῇ γενικῇ οὔτε ἐν τῇ δοτικῇ οὔτε ἐν τῇ αἰτιατικῇ, οἷον ὡc ἐπὶ τοῦ ὄφελοc· τοῦτο γὰρ ἐν τῇ εὐθείᾳ μόνῃ θεωρεῖται, ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ οὐδέποτε θεωρεῖται· καὶ ὡc ἐπὶ τοῦ δώc, οἷον ⟨Hes. Opp.
371 g 356⟩ δὼc ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα (cημαίνει δὲ τὴν δόcιν)· καὶ τοῦτο γὰρ ἐν τῇ εὐθείᾳ μόνῃ θεωρεῖται· εἰ ἄρα οὖν τὰ ὀνόματα τῶν cτοιχείων θεωροῦνται καὶ ἐν ταῖc ἑξῆc πτώcεcι μετὰ διαφόρου ἄρθρου, οἷον τὸ ἄλφα τοῦ ἄλφα τῷ ἄλφα, τὸ βῆτα τοῦ βῆτα τῷ βῆτα, δηλονότι μονόπτωτά εἰcι καὶ οὐκ ἄκλιτα.

[Discr. scr. ex CV] **1** καὶ τὰ V, κατὰ τὰ C ‖ **4** τοῖοc *om* C ‖ **7** οὐδὲ V, οὐ C ‖ **8** ἐπεκτανθῆναι C | διὰ V, ἐκ C ‖ **13** καὶ *post* οὖν *om* C ‖ **15** καὶ κλητικῇ *om* C ‖ **18** τὰ ἀρτιμαθῆ τῶν παιδίων V, τὸ ἀρτιμαθῆ τῶν παίδων C ‖ **19** αὐτὰ *ante* περιβ. *om* C ‖ **20** ποικιλλίαν C ‖ **24** δὲ *ante* ὀνόματα *om* C ‖ **27** *post* αἰτιατικῇ *add* καὶ C, καὶ ἐν κλητικῇ V ‖ **28** *post* τοὺc πέντε *add* ὦ πέντε. οἱ ἑπτά. τῶν ἑπτά. τοῖc ἑπτά. τοὺc ἑπτά. ὦ ἑπτά V ‖ **30** ὤφελοc C ‖ **36** τοῦ ἄλφα *in marg. add* C¹ | τῷ ἄλφα *om* C | τὸ βῆτα — τῷ βῆτα (**37**) C,

Τῷ ῥήματι, τὸ ῥῆμα, ὦ ῥῆμα. Ἰςτέον ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουςιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ ῥῆμα τοῦ ῥήματος τῷ ῥήματι τὸ ῥῆμα ὦ ῥῆμα, τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον, τὸ τεῖχος τοῦ τείχους τῷ τείχει τὸ τεῖχος ὦ τεῖχος· διατί δὲ τρίπτωτά εἰςι τὰ οὐδέτερα, ἐν τοῖς προλαβοῦςιν ἐμάθομεν.

Ἄξιον δέ ἐςτι ζητῆςαι, εἰ ἄρα τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουςιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, διατί μὴ λέγομεν ὁμοῦ ὀρθῆς καὶ αἰτιατικῆς καὶ κλητικῆς τὰς πτώςεις καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς. Καὶ ἔςτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ οὐδέτερα πρὸς ἀναλογίαν τῶν ἀρςενικῶν καὶ θηλυκῶν οὐκ ἔςχον ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς ςυνεζευγμένας τὰς πτώςεις· ἐπειδὴ γὰρ τὰ ἀρςενικὰ καὶ τὰ θηλυκὰ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς διακεχωριςμένας ἔχουςι τὰς πτώςεις καὶ οὐ ςυνεζευγμένας, τούτου χάριν καὶ τὰ οὐδέτερα πρὸς ἀναλογίαν τούτων καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς διακεχωριςμένας ἔχουςι τὰς πτώςεις καὶ οὐ ςυνεζευγμένας. Ἔςτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην, ὅτι οὐκ ἠδύναντο τὰ οὐδέτερα ἐν τοῖς ἑνικοῖς ἔχειν τὴν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικὴν ὁμοῦ, ἐπειδὴ ἓν πρόςωπον ςημαίνουςιν· τὰ δὲ ἑνικὰ ἓν πρόςωπον ςημαίνοντα εἰκότως καὶ μίαν πτῶςιν ἐν ἑκάςτῃ φωνῇ θέλουςιν ἔχειν· ἀλλ' οὔτε δὲ καὶ ἐν τοῖς πληθυντικοῖς ἠδύναντο τὰ οὐδέτερα ἔχειν τὴν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικὴν ὁμοῦ, ἐπειδὴ τὰ πληθυντικὰ οὐ μόνον τρία πρόςωπα ςημαίνουςιν, ἀλλὰ καὶ τέςςαρα καὶ πέντε καὶ πλείονα· τὰ γὰρ πληθυντικὰ πλήθους εἰςὶ ςημαντικά. Ταῦτα μὲν ἐν τούτοις.

Ἰςτέον δὲ ὅτι κυρίως οὐκ ἔχουςι κλητικὰς τὰ οὐδέτερα ἀλλὰ κατα- 372
χρηςτικῶς· τὰ γὰρ πολλὰ αὐτῶν ἄψυχά εἰςιν, οἷον τὸ ξύλον τὸ βέλος τὸ τεῖχος· οὐ δεῖ δὲ τὰ ἄψυχα καλεῖν, ὁ γὰρ καλῶν διὰ τοῦτο καλεῖ τινα, ἵνα ἐπιςτρέψῃ πρὸς αὐτόν· τὰ δὲ ἄψυχα πῶς ἔχουςιν ἐπιςτρέφειν πρὸς τὸν καλοῦντα αὐτά; Πρόςκειται «τὰ πολλὰ αὐτῶν» διὰ τὸ γύναιον καὶ παιδίον, ταῦτα γὰρ ἔμψυχά εἰςιν· ἰςτέον δὲ ὅτι ταῦτα, εἰ καὶ τῇ φωνῇ εἰςιν οὐδέτερα, ἀλλ' οὖν τῷ ςημαινομένῳ οὐκ εἰςὶν οὐδέτερα· τὸ μὲν γὰρ παιδίον ἢ ἄρςεν ἢ θῆλυ, τὸ δὲ γύναιον θηλυκὸν δηλοῖ.

Τὼ ῥήματε, τοῖν ῥημάτοιν, ὦ ῥήματε. Τὰ ῥήματα. Ἰςτέον ὅτι πᾶςα εὐθεῖα πληθυντικῶν τῶν οὐδετέρων εἰς ᾱ λήγει, οἷον τὰ ῥήματα, τὰ ξύλα, τὰ οὐδέτερα, τὰ δένδρα, τὰ φρέατα, τὰ μέτρα· εἰ δέ που εἰς η̄ εὑρεθῇ καταλήγουςα, γνῶθι ὅτι κατὰ κρᾶςίν ἐςτιν, οἷον τὰ τείχεα τὰ τείχη, τὰ βέλεα τὰ βέλη. Τὸ χρέα καὶ τὸ κλέα ἀπὸ τοῦ χρέεα καὶ κλέεα γεγόναςι κατὰ ςυγκοπὴν τοῦ ε̄· οὔτε γὰρ δυνάμεθα λέγειν ὅτι κατὰ κρᾶςιν γεγόναςιν, ἐπειδὴ τὸ ᾱ ςυνεςταλμένον ἔχουςιν,

[Discr. scr. ex CV] τὸ ἄλφα . ὦ ἄλφα V ‖ 1 Τῷ ῥήματι — ὦ ῥῆμα *om* C ‖ 3 *accusativum* τὸ ξύλον *om* C ‖ 5 ἐν τοῖς προλ.] *cfr. p. 335, 20* ‖ 8 ἐν τοῖς πληθ. C, δυϊκοῖς καὶ πληθ. V ‖ 17 καὶ κλητικὴν *om* C ‖ 18 ςημαίνουςιν — πρόςωπον *om* V ‖ 32 ἰςτέον δὲ ὅτι C ‖ 34 τὰ οὐδέτερα *om* C τὰ φρέατα C, τὰ γόνατα V ‖ 35 κράςιν ἐςτίν C, ςυναίρεςίν ἐςτιν V ‖ 36 τὰ χρέα C | τὸ *ante* κλέα *om* C

οἷον ⟨Apoll. Rh. 1, 1⟩ παλαιγενέων κλέα φωτῶν· τὸ δὲ χαλκᾶ καὶ χρυϲᾶ καὶ ὀϲτᾶ καὶ κανᾶ μηδεὶϲ οἰέϲθω ὡϲ ἀπὸ τοῦ χάλκεα καὶ χρύϲεα καὶ ὀϲτέα καὶ κάνεα γεγενῆϲθαι κατὰ κρᾶϲιν, ἐπειδὴ εἰϲ η̄ ὤφειλον καταλήγειν, ὥϲπερ βέλεα βέλη, τείχεα τείχη, μέλεα μέλη· ἀλλ' ἔϲτιν εἰπεῖν, ὅτι ἐν τῇ εὐθείᾳ τῶν ἑνικῶν ἐγένετο ἡ κρᾶϲιϲ, οἷον χάλκεον χαλκοῦν, χρύϲεον χρυϲοῦν, κάνεον κανοῦν, ὀϲτέον ὀϲτοῦν, καὶ λοιπὸν ἀπὸ τῆϲ κεκραμένηϲ ἑνικῆϲ εὐθείαϲ ἐγένετο ἡ κλίϲιϲ, οἷον χαλκοῦν χαλκᾶ, χρυϲοῦν χρυϲᾶ, κανοῦν κανᾶ, ὀϲτοῦν ὀϲτᾶ.

Τῶν βημάτων· εἴρηται. Τοῖϲ βήμαϲιν. Εἴρηται ὅτι πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα, πρὸ τοῦ ῑ λαμβάνουϲα τὸ ϲ̄ καὶ ἀποβάλλουϲα τὰ μὴ δυνάμενα ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον ὄφεϊ ὄφεϲι, πόλεϊ πόλεϲιν, Ἕκτορι Ἕκτορϲι, Πάριδι Πάριϲι, Πλάτωνι Πλάτωϲι, κρέατι κρέαϲιν· 373 g οὕτωϲ οὖν καὶ βήματι βήμαϲι, τοῦ ϲ̄ προϲελθόντοϲ καὶ ἀποβληθέντοϲ τοῦ μὴ δυναμένου ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχείου, λέγω δὴ τοῦ τ̄.

Τὰ βήματα, ὦ βήματα. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Κανὼν β΄.

Τὸ μέλι τοῦ μέλιτοϲ.

Ἰϲτέον ὅτι τὰ εἰϲ ῑ λήγοντα οὐδέτερα διὰ τοῦ τοϲ κλίνονται, οἷον μέλι μέλιτοϲ· τὸ πέπερι καὶ τὸ ϲίνηπι καὶ τὸ κίκι (εἶδοϲ δέ ἐϲτι παρ' Αἰγυπτίοιϲ ἐλαίου) καὶ τὸ κόμμι (κόμμι δέ ἐϲτι τὸ κομμίδιον) καὶ τὸ κιννάβαρι (ἔϲτι δὲ εἶδοϲ βάμματοϲ πυρροῦ, ἐξ οὗ γράφει ὁ βαϲιλεύϲ) καὶ τὸ ϲτάχι (ὅπερ ϲημαίνει εἶδοϲ πυρροῦ καὶ αὐτό) καὶ τὸ ϲτίμμι (ὅπερ αἱ γυναῖκεϲ κατὰ τοὺϲ ὀφθαλμοὺϲ χρίονται, ὅπερ ἐν τῇ ϲυνηθείᾳ λαχᾶϲ καλεῖται) οὐκ εἰϲὶν Ἑλληνικὰ ἀλλὰ βάρβαρα, κλίνονται δὲ διὰ καθαροῦ τοῦ οϲ, οἷον πεπέριοϲ ϲινήπιοϲ κίκιοϲ κόμμιοϲ κινναβάριοϲ ϲτάχιοϲ ϲτίμμιοϲ, ἰωνικῶϲ ⟨δὲ⟩ διὰ τοῦ ε̄ καὶ ο̄, καὶ ἀττικῶϲ διὰ τοῦ ε̄ καὶ ω̄, ὥϲπερ ὄφιϲ ὄφιοϲ καὶ ὄφεοϲ καὶ ὄφεωϲ. Δεῖ δὲ γινώϲκειν, ὅτι τοῦ κόμμι εὑρέθη παρὰ Κρωβύλῳ ἡ δοτικὴ κόμμιδι, ὡϲ παρὰ τῆϲ κόμμιδοϲ γενικῆϲ· ἔχει δὲ οὕτωϲ ⟨fragm. 10 K⟩ τὸν πλακοῦντα κόμμιδι Οὐ μέλιτι διεκόϲμει· καὶ τοῦ πέπερι δὲ ἡ γενικὴ εὑρέθη διὰ τοῦ δοϲ πεπέριδοϲ παρὰ Θεοφράϲτῳ, οἷον ὄξουϲ ἔκχυϲιϲ καὶ πεπέριδοϲ·

[Discr. scr. ex CV] **4** μέλεα μέλη *om* C ‖ **9** Εἴρηται ὅτι] *cfr. p. 180, 5* ‖ **10** τὸ ϲ̄ καὶ ἀποβάλλουϲα *om* C ‖ **12** πόλεϊ πόλεϲιν C, Πηλέϊ Πηλεῦϲι V ‖ **16** Εἴρηται] *cfr. p. 342, 1* ‖ **18** Κανὼν — μέλιτοϲ (**19**) *om* C ‖ **21** πέπερι καὶ τὸ *om* C ‖ **22** κομίδιον C ‖ **23** κινάβαρι C | πυρροῦ g, πυροῦ C, ἐρυθροῦ V ‖ **24** πυροῦ C ‖ **27** πεπέρεοϲ καὶ ϲινήπεοϲ καὶ κόμμεοϲ καὶ κίκεοϲ καὶ κινναβάρεοϲ καὶ ϲτάχεοϲ καὶ ϲτίμμεοϲ V ‖ **28** ἰωνικῶϲ — καὶ ο̄ *om* V | δὲ *post* ἰωνικῶϲ *om* C | *post* ἀττικῶϲ *add* δὲ C ‖ **29** τοῦ κόμμι V, τὸ κόμμι C ‖ **30** Κρωβύλῳ g, Κρυβόλῳ C, τῷ Κρωβύλῳ *sed supra* Κρω *scripta littera* ο V[1] ‖ **32** μέλιτι C, μέντοι V ‖ **33** παρὰ Θεοφρ. — πεπέριδοϲ *om* C; *AO 4, 338, 10*: τὸ δὲ πεπέριδοϲ Εὔβουλοϲ εἶπε ⟨*fragm. 128 K*⟩ | παρὰ Θεοφράϲτῳ] *ubi? nam*

τὸ δὲ κιννάβαρι καὶ ἀρcενικῶc εὑρέθη ὁ κιννάβαριc, εὕρηται γὰρ παρὰ Ἀναξανδρίδῃ ⟨fragm. 14 K⟩ ἡ αἰτιατικὴ τὸν κιννάβαριν· εὑρέθη δὲ καὶ τὸ cτίμμι θηλυκῶc λεγόμενον, οἷον ἡ cτίμμιc τῆc cτίμμιοc καὶ cτίμμεοc ἰωνικῶc καὶ cτίμμεωc ἀττικῶc, ⟨καὶ⟩ ἡ αἰτιατικὴ τὴν cτίμμιν, ὡc Ἴων Ὀμφάλῃ ⟨fragm. 25 N²⟩ καὶ τὴν μέλαιναν cτίμμιν ὀμματογράφον.

Καὶ ἀποροῦcί τινεc λέγοντεc, διατί ταῦτα μὲν βάρβαρα ὄντα καὶ μὴ ὄντα Ἑλληνικὰ κλίνονται, τὰ δὲ ὀνόματα τῶν cτοιχείων εἰρήκαμεν μὴ κλίνεcθαι ὡc βάρβαρα ἤγουν ὡc βαρβάρων εὑρήματα. Ἔcτιν οὖν 374 g εἰπεῖν, ὅτι οὐ διὰ τοῦτο μόνον εἰρήκαμεν τὰ ὀνόματα τῶν cτοιχείων μὴ κλίνεcθαι, ἀλλὰ καὶ δι' ἄλλαc διαφόρουc αἰτίαc. Πάλιν ἀποροῦcί τινεc λέγοντεc, ὅτι διατί, ὥcπερ τὸ Ξέρξηc βάρβαρον ὄνομα ὅμοιον γενόμενον τῷ Χρύcηc καὶ Πέρcηc ὁμοίωc αὐτοῖc ἐκλίθη, Ξέρξου γὰρ ὡc Χρύcου καὶ Πέρcου, μὴ τὸν αὐτὸν τρόπον καὶ ταῦτα, φημὶ δὴ τὸ πέπερι καὶ τὰ ὅμοια, βάρβαρα ὄντα ὅμοια τῷ μέλι ἐκλίθηcαν διὰ τοῦ τοc ὁμοίωc αὐτῷ. Ἔcτιν οὖν εἰπεῖν, ὅτι τῶν βαρβάρων καὶ ἐχόντων χαρακτῆρα Ἑλληνικὸν τὰ μὲν ἀναλόγωc κλίνονται, τὰ δὲ οὔ· ἰδοὺ γάρ ἐcτι Μέμφιc καὶ Ταμίαθιc (εἰcὶ δὲ ταῦτα ὀνόματα πόλεων Αἰγύπτου), καὶ τὸ μὲν Μέμφιc ἀναλόγωc κλίνεται, Μέμφιδοc γὰρ ὥcπερ Θέτιδοc, τὸ δὲ Ταμίαθιc οὔ, Ταμιάθεωc γάρ. Ἰcτέον δὲ ὅτι μονῆρέc ἐcτι τὸ μέλι διὰ τοῦ τοc κλινόμενον, οὐκ ἔcτι γὰρ εἰc ι λῆγον οὐδέτερον διὰ τοῦ τοc κλινόμενον, εἰ μὴ τοῦτο μόνον καὶ τὰ παρ' αὐτὸ δηλονότι cύνθετα, οἷον ἀπόμελι ἀπομέλιτοc, ὀξόμελι ὀξομέλιτοc, εὐκρατόμελι εὐκρατομέλιτοc, οἰνόμελι οἰνομέλιτοc. Τὸ λιπόπατρι τοῦ λιποπάτριδοc καὶ τὸ φυγόπολι τοῦ φυγοπόλιδοc καὶ τὸ τί τοῦ τινόc τῶν ἀρcενικῶν τὴν κλίcιν ἐφύλαξαν, φημὶ δὴ τοῦ ὁ λιπόπατριc τοῦ λιποπάτριδοc καὶ τοῦ ὁ φυγόπολιc τοῦ φυγοπόλιδοc καὶ τοῦ ὁ τίc τοῦ τινόc· ἔχομεν γὰρ ἀνωτέρω, ὅτι πᾶν οὐδέτερον ἀπὸ ἀρcενικοῦ γεγενημένον δηλονότι κατὰ παραcχηματιcμὸν τὴν τοῦ ἀρcενικοῦ κλίcιν ἐπιδέχεται, οἷον ὁ cοφόc τοῦ cοφοῦ τῷ cοφῷ τὸ cοφόν τοῦ cοφοῦ τῷ cοφῷ, ὁ καλόc τοῦ καλοῦ τῷ καλῷ τὸ καλόν τοῦ καλοῦ τῷ καλῷ, ὁ χαρίειc τοῦ χαρίεντοc τῷ χαρίεντι τὸ χαρίεν τοῦ χαρίεντοc τῷ χαρίεντι, ὁ ταχύc τοῦ ταχέοc τῷ ταχεῖ τὸ ταχύ τοῦ ταχέοc τῷ ταχεῖ. Πάντα δὲ τὰ εἰc ι λήγοντα οὐδέτερα ἀρcενικοῖc παρεcχηματιcμένα ἀπὸ cυνθέτων ἀρcενικῶν εἰcι

[Discr. scr. ex CV] *Hist. plant. IX 20, 2* πεπέριοc ‖ **2** Ἀναξανδρίδῃ *Meinekius,* Ἀλεξανδρίδι C, Ἀναξάνδρῳ V ‖ **3** cτίμμιοc καὶ] cτίμμιδοc C, *om* V ‖ **4** cτίμμεοc — cτίμμιν *om* C | καὶ *ante* ἡ αἰτ. *om* V ‖ **5** ὡc] ὡc τὸ V, *om* C | Ἴων Ὀμφάλῃ b (*cfr. AO 2, 413, 2*) ἐωνομφαλὴ C, *om* V ‖ **7** μὲν ταῦτα C ‖ **13** Χρύcηc καὶ Πέρcηc V, Χρύcη καὶ Πέρcη C | αὐτοῖc V, αὐτῆc C ‖ **15** μέλι V, μέλιτι C | *ante* ἐκλίθηcαν *add* οὐκ C ‖ **18** ἐcτι] ἔτι C, *om* V ‖ **20** Ταμιάθεωc C, Ταμιάθεοc V ‖ **22** παρ' αὐτὸ] παρ' αὐτῶ C, παρ' αὐτοῦ V ‖ **23** εὐκρατόμελι — οἰνομέλιτοc (**24**) *om* V ‖ **24** τὸ λειπόπατρι τοῦ λειποπ. V ‖ **25** τῶ φυγόπολι C | τοῦ φυγοπόλιδοc V, τοῦ φυγοπόλιοc C; *cfr. p. 196, 30* | τοῦ *ante* τινόc *om* C | τῶν ἀρcενικῶν — τινόc (**27**) *om* V ‖ **26** δὴ] δὲ C ‖ **27** τοῦ φυγοπόλιοc C ‖ **28** ἀνωτέρω] *cfr. p. 335, 30*

γεγενημένα, οἷον πόλις ὁ φυγόπολις τὸ φυγόπολι, πατρίς ὁ φιλόπατρις τὸ φιλόπατρι, χάρις ὁ εὔχαρις τὸ εὔχαρι, ⟨ἴδρις⟩ ὁ πολύϊδρις τὸ πολύϊδρι, χωρὶς τοῦ τί, τοῦτο γὰρ ἀπὸ ἀρσενικοῦ ἁπλοῦ τοῦ τίς γέγονε, 375 g περὶ οὗ ἐν τοῖς ἀρσενικοῖς ἐν τῇ τοῦ Πάριδος διδασκαλίᾳ μεμαθήκαμεν, διατί τὸ τίς ἁπλοῦν ὂν ποιεῖ οὐδετέρου παρασχηματισμόν. Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ὅτι εἰσί τινα εἰς ῑ λήγοντα οὐδέτερα μονογενῆ πεπονθότα, ἅπερ ἄκλιτά εἰσιν, οἷον τὸ ἄλφι, ὅπερ ἀπὸ τοῦ ἄλφιτον γέγονε κατὰ ἀποκοπήν, καὶ τὸ ἔρι, ὅπερ ἀπὸ τοῦ ἔριον γέγονεν ὁμοίως κατὰ ἀποκοπήν, καὶ τὸ κρῖ, ὡς τὸ ⟨Ε 196. Θ 564⟩ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας, ὅπερ ἀπὸ τοῦ κρῖμνον γέγονεν ὁμοίως κατὰ ἀποκοπήν, καὶ τὸ τρόφι, ὃ σημαίνει τὸ εὐτραφές, ὡς τὸ ⟨Λ 307⟩ πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὅπερ ἀπὸ τοῦ τρόφιμον γέγονε κατὰ ἀποκοπήν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι «οὐδέτερα» πρόσκειται ἐν τῷ κανόνι, οἷον «τὰ εἰς ῑ λήγοντα οὐδέτερα διὰ τοῦ τος κλίνονται», αὐτὸ τὸ ὄν, οὐ πρὸς ἀντιδιαστολὴν τῶν ἀρσενικῶν ἢ θηλυκῶν, τὸ γὰρ ῑ οὐκ ἔστι τελικὸν οὔτε ἀρσενικῶν οὔτε θηλυκῶν.

Τῷ μέλιτι, τὸ μέλι, ὦ μέλι. Τὼ μέλιτε, τοῖν μελίτοιν, ὦ μέλιτε. Τὰ μέλιτα, τῶν μελίτων, τοῖς μέλισι, τὰ μέλιτα, ὦ μέλιτα.

Κανὼν γ΄.

Τὸ πῶϋ τὸ γόνυ τὸ δόρυ, τοῦ πώεος τοῦ γόνυος καὶ γουνός τοῦ δόρυος καὶ δουρός.

Ἰστέον ὅτι ὅσον κατὰ τὴν τάξιν τῶν στοιχείων τελευταῖον ὤφειλεν ὁ τεχνικὸς διαλαβεῖν περὶ τῶν εἰς ῡ ληγόντων οὐδετέρων, ἐπειδὴ τελευταῖόν ἐστι τὸ ῡ καὶ τοῦ ν̄ καὶ τοῦ ρ̄ καὶ τοῦ ς̄, ἀλλ' ἐπειδὴ φωνῆέν ἐστιν, τὰ δὲ φωνήεντα τιμιώτερά εἰσι τῶν συμφώνων, διὰ τοῦτο πρὸ τῶν εἰς σύμφωνον ληγόντων οὐδετέρων διαλαμβάνει περὶ τῶν εἰς ῡ. Κανονίζει δὲ αὐτὰ οὕτως· τὰ εἰς ῡ λήγοντα οὐδέτερα δηλονότι μονογενῆ εἰ μὲν μακρᾷ παραλήγονται, διὰ τοῦ εος κλίνονται, οἷον ἄστυ ἄστεος, πῶϋ πώεος (σημαίνει δὲ τὸ ποίμνιον)· σεσημείωται τὸ νᾶπυ νάπυος, ὅτι μακρᾷ παραληγόμενον, οἷον ὡς παρὰ Ἀριστοφάνει ⟨Eq. 631⟩ κἄβλεψε νᾶπυ καὶ τὰ μέτωπ' ἀνέσπασεν, οὐκ ἐκλίθη διὰ

[Discr. scr. ex CV] **1** ὁ φιλόπ. τὸ φιλόπ. C, ὁ λειπόπατρις· τὸ λειπόπατρι V ‖ **2** ἴδρις *om* CV | ὁ πολύϊδρις τὸ πολύϊδρι *om* C ‖ **4** μεμαθήκαμεν] *cfr. p. 194, 17* ‖ **8** καὶ τὸ ἔρι — ἀποκοπήν (**9**) *om* V ‖ **9** ὡς τὸ *om* C ‖ **10** ἐρεπτόμενον C ‖ **11** εὐτραφές V, ἀτραφές C | ὡς τὸ *om* C ‖ **12** πολλῶν C | ὅπερ *om* C ‖ **16** τῶν *om* C ‖ **17** *post* οὔτε θηλυκῶν *add* ὥσπερ οὐδὲ τὸ ῡ V ‖ **18** Τῷ μέλιτι — ὦ μέλιτα (**20**) C, πρόδηλος δὲ ἐνταῦθα ἡ κλίσις τῶν ἑνικῶν τε καὶ δυϊκῶν καὶ πληθυντικῶν V ‖ **21** Κανὼν — δουρός (**23**) *om* C ‖ **24** ἰστέον δὲ ὅτι C ‖ **25** ὁ τεχνικὸς *om* C ‖ **26** καὶ τοῦ ν̄ *om* C ‖ **30** μὲν V, μὴ *in* μὲν *corr. m. recentiss.* C | παραλήγονται C, παραλήγοιντο V; *item p. 346, 1* ‖ **31** νάπυ CV ‖ **33** νᾶπυ] νάπϋϊ C, νάπυϊ V | μέτωπα CV

τοῦ εοϲ, ἀλλὰ διὰ τοῦ ῡ· ϲημαίνει δὲ τὸ ϲίνηπι· εἰ δὲ βραχείᾳ παρα- 376 g λήγονται, διὰ τοῦ ῡ κλίνονται, τουτέϲτι προϲθέϲει τοῦ οϲ ποιοῦϲι τὴν γενικὴν καὶ φυλάττουϲι τὸ ῡ, οἷον γόνυ γόνυοϲ, καὶ ἐν ὑπερθέϲει τοῦ ῡ γίνεται γουνόϲ, δόρυ δόρυοϲ, καὶ ἐν ὑπερθέϲει τοῦ ῡ γίνεται δουρόϲ. Δύναται δὲ τὸ γουνόϲ καὶ δουρόϲ μὴ μόνον καθ' ὑπέρθεϲιν τοῦ ῡ γενέϲθαι ἀπὸ τοῦ γόνυοϲ καὶ δόρυοϲ, ἀλλὰ καὶ ἀπὸ τοῦ γοῦναϲ γούνατοϲ καὶ δοῦραϲ δούρατοϲ κατὰ ϲυγκοπὴν γουνόϲ καὶ δουρόϲ. Καὶ ἰϲτέον ὅτι κρεῖττόν ἐϲτι κατὰ ϲυγκοπὴν αὐτὰ λέγειν ἤπερ, ὥϲπερ λέγει ὁ τεχνικόϲ, καθ' ὑπέρθεϲιν τοῦ ῡ· ἐὰν γὰρ δῶμεν αὐτὰ καθ' ὑπέρθεϲιν τοῦ ῡ γεγενῆϲθαι, δηλονότι καὶ ϲυναίρεϲιϲ παρακολουθεῖ τοῦ ō καὶ ῡ εἰϲ τὴν ου δίφθογγον, καὶ δηλονότι βαρύνεϲθαι ὤφειλον, ὥϲπερ τὸ λάαοϲ λᾶοϲ καὶ κέαροϲ κῆροϲ καὶ ἔαροϲ ἦροϲ· εἰ δὲ κατὰ ϲυγκοπὴν αὐτὰ δῶμεν γενέϲθαι, ὀξύνονται ὁμοίωϲ τῷ πατέροϲ πατρόϲ, μητέροϲ μητρόϲ, ἀνέροϲ ἀνδρόϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὸ ϲὺν δόρει ϲὺν ἀϲπίδι, ὅπερ Ἀριϲτοφάνηϲ παραφέρει ἐν Εἰρήνῃ ⟨357⟩ ἐν Μώμῳ Σοφοκλέουϲ προκείμενον, ὡϲ ἀπὸ τοῦ δόροϲ ἐϲτίν· ὥϲπερ γὰρ ἀπὸ τοῦ γῆραϲ γήρατοϲ γίνεται γῆροϲ καὶ ⟨ἀπὸ⟩ τοῦ δέραϲ δέρατοϲ δέροϲ, οὕτω καὶ ἀπὸ τοῦ τὸ δόραϲ δόρατοϲ γίνεται δόροϲ καὶ ἐκεῖθεν ἡ δοτικὴ τῷ δόρει, ὥϲπερ τὸ τεῖχοϲ τῷ τείχει. Ταῦτα μὲν ἐν τούτοιϲ. Περὶ δὲ τοῦ δάκρυ πῶϲ κλίνεται, ἐν τῷ Ὀνοματικῷ Ἡρωδιανοῦ εἰ θεῷ φίλον μαθηϲόμεθα. Τὸ ταχύ ταχέοϲ καὶ βραδύ βραδέοϲ καὶ θῆλυ θήλεοϲ τοῦ ἀρϲενικοῦ τὴν κλίϲιν ἐφύλαξαν, φημὶ δὴ τοῦ ὁ ταχύϲ τοῦ ταχέοϲ καὶ ὁ βραδύϲ τοῦ βραδέοϲ καὶ ὁ θῆλυϲ τοῦ θήλεοϲ· διὸ καὶ πρόϲκειται ἐν τῷ κανόνι «δηλονότι μονογενῆ».

Τῷ πώεϊ καὶ κατὰ ϲυναίρεϲιν πώει, τῷ γόνυϊ, τῷ δόρυϊ. Ἰϲτέον ὅτι ταῦτα οὐ γίνονται κατὰ ϲυναίρεϲιν τοῦ ῡ καὶ ῑ εἰϲ τὴν ῡι δίφθογγον, ἐπειδὴ οὐδέποτε ἡ υι δίφθογγοϲ ἐν τέλει λέξεωϲ εὑρίϲκεται, 377 g οἷον μυῖα ἅρπυια υἱόϲ. Ἡ δουρί δοτική, οἷον ὡϲ παρ' Ἀλκμᾶνι ⟨fragm. 68 B[4]⟩ δουρὶ δὲ ξυϲτῷ μέμηνεν Αἶαϲ, ἀπὸ τῆϲ δουρόϲ γενικῆϲ γέγονε τροπὴ τοῦ οϲ εἰϲ ῑ.

Τὸ πῶϋ, τὸ γόνυ, τὸ δόρυ· ὦ πῶϋ, ὦ γόνυ, ὦ δόρυ. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Τὼ πώεε, τὼ γόνυε, τὼ δόρυε· τοῖν πωέοιν, τοῖν γονύοιν, τοῖν δορύοιν· ὦ πώεε, ὦ γόνυε, ὦ δόρυε.

Τὰ πώεα, τὰ γόνυα, τὰ δόρυα. Ἰϲτέον ὅτι τὸ γόνυα καὶ δόρυα γίνεται καθ' ὑπερβιβαϲμὸν τοῦ ῡ γοῦνα καὶ δοῦρα· δύναται δὲ

[Discr. scr. ex CV] **5** μὴ μόνον] καὶ μόνον C, μὴ ὂν V || **15** *post* δόρει *add* καὶ C || **16** παραφέρει V, παρεμφαίνει C, παρενυφαίνει *Nauckius* | Σοφοκλέουϲ] *de Sophoclis vel potius Achaei fragmento cfr. Nauckius² fragm. trag. graec. p. 222. 753* || **17** ἀπὸ τοῦ V, τὸ C || **18** ⟨ἀπὸ⟩ τοῦ] τοῦ V, *om* C | καὶ ἀπὸ τοῦ V, τὸ C || **19** τῷ *ante* δόρει *om* C || **25** καὶ κατὰ ϲυν. πώει *om* V | τῷ δόρυϊ V, καὶ δόρυϊ C || **29** δὲ *om* C | Αἴαϲ CV; *cfr. p. 123, 5 et 217, 19* || **32** Εἴρηται] *cfr. p. 342, 1* || **36** τὸ γόνυα] τὰ γόνυα CV *et EM 284, 40*

καὶ ἀπὸ τοῦ γούνατα καὶ δούρατα γενέcθαι κατὰ ἀποκοπὴν τῆc τ̅α̅ cυλλαβῆc γοῦνα καὶ δοῦρα.

Τῶν πωέων, τῶν γονύων, τῶν δορύων· τοῖc πώεcι, τοῖc γόνυcι, τοῖc δόρυcιν. Ἰcτέον ὅτι ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν κανονίζεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, πρὸ τοῦ ῑ προcερχομένου τοῦ c̅, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖc βήμαcι διδαcκαλίᾳ.

Τὰ πώεα, τὰ γόνυα, τὰ δόρυα· ὦ πώεα, ὦ γόνυα, ὦ δόρυα.

Κανὼν δʹ.

Τὸ ξύλον τοῦ ξύλου.

Ἰcτέον ὅτι τὰ εἰc ο̅ν̅ οὐδέτερα εἰc ο̅υ̅ ἔχουcι τὴν γενικήν, οἷον μέτρον μέτρου, ξύλον ξύλου, ἄροτρον ἀρότρου, δένδρον δένδρου, πλέθρον πλέθρου· τὸ γὰρ βέλτιον βελτίονοc καὶ κρεῖττον κρείττονοc ἀπὸ τοῦ ὁ βελτίων τοῦ βελτίονοc καὶ ὁ κρείττων τοῦ κρείττονοc ἀρcενικοῦ γεγόναcι καὶ δηλονότι τὴν τῶν ἀρcενικῶν κλίcιν ἐφύλαξαν· ὡc γὰρ ἐν τοῖc προλαβοῦcιν εἴρηκεν ὁ τεχνικόc, ὅcουc κανόναc ἐροῦμεν περὶ μονογενῶν ἐροῦμεν· τὰ γὰρ οὐδέτερα τὰ παραcχηματιζόμενα ἀρcενικοῖc τὴν τῶν ἀρcενικῶν κλίcιν φυλάττουcιν. Ἀμέλει τὸ πλεῖον καὶ τὸ ἄρειον
378 g διχῶc κλίνονται· εἰ μὲν γὰρ ἀπὸ τοῦ ὁ πλεῖοc τοῦ πλείου καὶ ὁ Ἄρειοc τοῦ Ἀρείου εἰcί, δηλονότι τὸ πλεῖον τοῦ πλείου καὶ τὸ Ἄρειον τοῦ Ἀρείου λέγομεν, εἰ δὲ ἀπὸ τοῦ ὁ πλείων τοῦ πλείονοc καὶ ὁ ἀρείων τοῦ ἀρείονοc, δηλονότι τὸ πλεῖον τοῦ πλείονοc καὶ τὸ ἄρειον τοῦ ἀρείονοc λέγομεν. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι πᾶν οὐδέτερον εἰc ν̅ λῆγον ἀπαθὲc βραχυκαταληκτεῖν θέλει, οἷον ξύλον μέτρον δένδρον πλέθρον, χωρὶc τοῦ πᾶν, τοῦτο γὰρ μακροκατάληκτόν ἐcτι, καὶ τῶν παρὰ τὸ πούc cυγκειμένων, καὶ ταῦτα γὰρ μακροκαταληκτοῦcιν εἰc ν̅ λήγοντα, οἷον τὸ δίπουν, τὸ τρίπουν, τὸ τετράπουν καὶ τὸ ἄπουν. Πρόcκειται «ἀπαθέc» διὰ τὸ βοῶν, τὸ ποιοῦν, τὸ χρυcοῦν, τὸ χαλκοῦν, τὸ ὀcτοῦν· ταῦτα γὰρ ἀπὸ κράcεωc ἔχουcι τὴν μακράν, ἀπὸ γὰρ τοῦ τὸ βοάον καὶ τὸ ποιέον καὶ τὸ χρύcεον καὶ τὸ χάλκεον καὶ τὸ ὀcτέον γεγόναcι κατὰ κρᾶcιν, καὶ τὸ διπλοῦν ἀπὸ τοῦ διπλόον καὶ τὸ εὐγήρων ἀπὸ τοῦ εὐγήραον· τὸ καρχαρόδουν καὶ τὸ τιμήειν ἀπὸ τοῦ καρχαρόδον καὶ τιμῆεν γεγόναcι κατὰ πλεοναcμὸν τὸ μὲν τοῦ ῡ τὸ δὲ τοῦ ῑ· τὸ ἀξιόχρεων καὶ ἀνάπλεων

[Discr. scr. ex CV] **1** γούνατα καὶ δούρατα V *et EM 284, 42*, γούνατοc καὶ δούρατοc (*ubi tamen* τοc *ex* τα *fecit m. recentiss.*) C | τῆc τ̅α̅ V, τῆc τ̅ο̅c̅ C ‖ **6** τῷ εἰρημένῳ] *cfr. p. 343, 9* ‖ **10** Κανὼν — τοῦ ξύλου (**11**) *om* C ‖ **13** ἄροτρον ἀρότρου *om* C ‖ **16** γὰρ *om* C ‖ **17** ἐν τοῖc προλαβοῦcιν] *cfr. p. 32, 18* ‖ **19** ἀρεῖον C; *item v. 23* ‖ **21** εἰcί *om* C ‖ **26** δένδρον *om* C ‖ **27** καὶ ταῦτα — λήγοντα (**28**)] καὶ τοῦτο γὰρ μακροκαταληκτεῖ εἰc ν̅ λῆγον C, ταῦτα γὰρ ὄντα μακροκατάληκτα εἰc ν̅ λήγουcιν V ‖ **30** τὸ ὀcτοῦν *om* C ‖ **32** καὶ τὸ ὀcτέον *om* C

Ἀττικὴν ἔκταcιν ἔπαθον τοῦ ο̄ εἰc τὸ ω̄ ἀπὸ τοῦ ἀξιόχρεον καὶ ἀνάπλεον διὰ τοῦ ο̄.

Τούτων οὕτωc ἐχόντων ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ πᾶν μακροκαταληκτεῖ. Καὶ ἔcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· κανὼν ἐcτιν ὁ λέγων, ὅτι πᾶν οὐδέτερον παρεcχηματιcμένον ἀρcενικῷ θέλει φυλάττειν ἐν τῇ τελευταίᾳ cυλλαβῇ τὸν τόνον τῆc τελευταίαc cυλλαβῆc τοῦ ἀρcενικοῦ, οἷον καλόc καλόν, cοφόc cοφόν, ὀξύc ὀξύ, ταχύc ταχύ, αὐτάρκηc ἐν τῇ τελευταίᾳ cυλλαβῇ βαρεῖαν, ἀλλὰ καὶ αὔταρκεc ἐν τῇ τελευταίᾳ cυλλαβῇ βαρεῖαν, κακοήθηc ἐν τῇ τελευταίᾳ cυλλαβῇ βαρεῖαν, ἀλλὰ καὶ ἐν τῷ κακόηθεc ἐν τῇ τελευταίᾳ cυλλαβῇ βαρεῖαν· ἔχομεν γὰρ ἐν τοῖc προλαβοῦcιν, ὅτι πᾶcα cυλλαβὴ χωρὶc τῆc cυλλαβῆc τῆc ἐχούcηc τὸν κύριον τόνον τῆc λέξεωc, φημὶ δὴ τὴν ὀξεῖαν ἢ τὴν περιcπωμένην, βαρεῖαν δέχεται· cεcημείωται τὸ εἷc ἕν· ἐνταῦθα γὰρ οὐκ ἐφυλάχθη ὁ τόνοc τοῦ ἀρcενικοῦ ἐν τῷ οὐδετέρῳ· τὸ μὲν γὰρ εἷc περι- 379 g
cπᾶται, τὸ δὲ ἕν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτεῖ· περιcπωμένη δὲ ἐπάνω βραχείαc οὐ τίθεται, ἀλλ᾽ ἐπάνω φύcει μακρᾶc, οἷον Ἑρμῆc Ἡρακλῆc παῖc. Ἐπειδὴ οὖν τὸ πᾶc περιcπᾶται, ἀναγκάζεται καὶ τὸ οὐδέτερον, φημὶ δὴ τὸ πᾶν, περιcπαcθῆναι, ἵνα φυλάξῃ τὸν τόνον τοῦ ἀρcενικοῦ, περιcπώμενον δὲ εὐλόγωc ἐκτείνει τὸ ᾱ, ἐπειδὴ οὐδέποτε περιcπωμένη οὔτε ἐπάνω βραχείαc τίθεται οὔτε ἐπάνω θέcει μακρᾶc, ἀλλ᾽ ἐπάνω φύcει μακρᾶc, οἷον Ἑρμῆc Ἡρακλῆc παῖc. Εἰ δέ τιc εἴποι ὀξύνεcθαι τὸ ἀρcενικόν, φημὶ δὴ τὸ πᾶc, ἵνα μὴ ἀναγκαcθῇ τὸ οὐδέτερον, φημὶ δὴ τὸ πᾶν, ἐκτεῖναι τὸ ᾱ, λέγομεν ὅτι οὐ δύναται τὸ πᾶc ὀξύνεcθαι, ἐπειδὴ ποιεῖ οὐδετέρου παραcχηματιcμόν, οἷον τὸ πᾶν· τὰ γὰρ εἰc α̅c̅ ὀξύτονα ἐπ᾽ ὀνομάτων οὐ ποιοῦcιν οὐδετέρου παραcχηματιcμόν, οἷον Ἀρκάc φυγάc χαλκοκράc γαλακτοκράc· «ἐπ᾽ ὀνομάτων» πρόcκειται διὰ τὰc μετοχάc, οἷον ὁ ἱcτάc ἡ ἱcτᾶcα τὸ ἱcτάν, ὁ κιχράc ἡ κιχρᾶcα τὸ κιχράν, ὁ φθάc ἡ φθᾶcα τὸ φθάν, ὁ βάc ἡ βᾶcα τὸ βάν. Καὶ ἀποροῦcι δέ τινεc λέγοντεc, ποία γὰρ ἀνάγκη ἐcτὶ ποιεῖν τὸ πᾶc τριγένειαν, οἷον ὁ πᾶc καὶ ἡ πᾶcα καὶ τὸ πᾶν, ὅπου τὰ εἰc α̅c̅ μονοcύλλαβα ἐπ᾽ ὀνομάτων οὐ ποιοῦcι τριγένειαν, οἷον Πράc Ζάc κράc Χνᾶc Γρᾶc· πρόcκειται «ἐπ᾽ ὀνομάτων» διὰ τὰc μετοχάc, ὁ cτάc γὰρ ἡ cτᾶcα καὶ τὸ cτάν, ὁ βάc ἡ βᾶcα καὶ τὸ βάν. Ἔcτιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰc α̅c̅ μονοcύλλαβα ἐπ᾽ ὀνομάτων διὰ τοῦτο οὐ ποιοῦcι τριγένειαν, ἐπειδὴ πᾶν ὄνομα μονοcύλλαβον εἰc α̅c̅ λῆγον ἢ κύριόν ἐcτιν ἢ προcηγορικόν, κύριον μέν, οἷον Πράc Πραντόc (ἔcτι δὲ ὄνομα πόλεωc), Ζάc Ζαντόc (ἔcτι δὲ ὄνομα κύριον ὁ Ζάc), ὁ Γρᾶc τοῦ Γρᾶ (ἔcτι δὲ καὶ αὐτὸ ὄνομα κύριον), ὁ Χνᾶc τοῦ Χνᾶ (οὕτω δὲ

[Discr. scr. ex CV] **5** ἀρcενικῷ V, ἀρcενικὸν C ‖ **8** βαρεῖαν V, βαρεῖα C; *item v. 9* (*prius* βαρ.) ‖ **10** ἀλλὰ καὶ — βαρεῖαν *in marg. add* C' | κακόηθεc V, κακοήθῆc C ‖ **11** ἐν τοῖc προλ.] *cfr. p. 117,5* ‖ **21** εἴποι — ἀρcενικόν (**22**) V, εἴπη ὀξυνέcθω τὰ ἀρcενικὰ C ‖ **24** οὐδετέρου παραcχηματιcμόν V, οὐδέτερον παραcχηματιcμένον C ‖ **31** ἐπ᾽ ὀνομάτων V, ὑπ᾽ ὀνομάτων C ‖ **33** ἡ cτᾶcα V, ἱcτᾶcα C ‖ **36** κύριον μέν *om* C ‖ **37** ἔcτι ὁ Ζάc C, ὁ Ζεύc V ‖ **38** καὶ

ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται), προcηγορικὸν δέ, οἷον κράc κρατόc (cημαίνει δὲ τὴν κεφαλήν), οὐδέποτε δὲ οὔτε ἀπὸ κυρίων οὔτε ἀπὸ προcηγορικῶν γίνεται [οὐδετέρου παραcχηματιcμὸc ἤγουν] τριγένεια, οἷον Αἴαc Θόαc κοχλίαc λᾶαc· τὸ δὲ πᾶc ἐπίθετόν
380 g ἐcτι καὶ οὐ κωλύεται ποιεῖν τριγένειαν, ἀπὸ γὰρ ἐπιθέτων γίνεται τριγένεια, οἷον ὁ μέγαc ἡ μεγάλη τὸ μέγα, ὁ τάλαc ἡ τάλαινα τὸ τάλαν, ὁ cοφόc ἡ cοφή τὸ cοφόν, ὁ καλόc ἡ καλή τὸ καλόν.

Τῷ ξύλῳ. Εἴρηται ὅτι πᾶcα γενικὴ ἰcοcυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ῑ ἀνεκφώνητον λήγουcαν μετὰ τοῦ φωνήεντοc τῆc εὐθείαc ἢ μείζονοc ἀντιcτοίχου.

Τὸ ξύλον, ὦ ξύλον. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουcιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Τὼ ξύλω, τοῖν ξύλοιν, ὦ ξύλω. Τὰ ξύλα, τῶν ξύλων, τοῖc ξύλοιc. Ἰcτέον ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν κανονίζεται ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν τοῦτον τὸν τρόπον· πᾶcα δοτικὴ ἑνικῶν εἰc ῳ λήγουcα, δηλονότι μετὰ τοῦ ἀνεκφωνήτου ῑ, εἰc οιc ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οἷον cοφῷ cοφοῖc, καλῷ καλοῖc, δένδρῳ δένδροιc, μέτρῳ μέτροιc· δεῖ προcθεῖναι «χωρὶc τῶν Ἀττικῶν», τῷ Μενέλεῳ γὰρ καὶ τοῖc Μενέλεῳc, τῷ λεῴ καὶ τοῖc λεῴc. Τὰ ξύλα, ὦ ξύλα.

Κανὼν ε΄.

Τὸ ἧπαρ τοῦ ἥπατοc, τὸ κέαρ τοῦ κέαροc, τὸ δέλεαρ τοῦ δελέατοc.

Ἰcτέον ὅτι τῶν εἰc ᾱρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο cυλλαβὰc διὰ τοῦ τοc κλίνονται, οἷον τὸ δέλεαρ τοῦ δελέατοc, τὸ ὄνειαρ τοῦ ὀνείατοc (cημαίνει δὲ τὸ ὄνειαρ τὸ ὠφελοῦν καὶ τὸ βρῶμα), ἄλειφαρ ἀλείφατοc (cημαίνει δὲ τὸ ἄλειμμα, ⟨οἷον⟩ ⟨C 351⟩ ἀλείφατοc ἐννεώροιο), κάρηαρ καρήατοc καὶ κατὰ cυγκοπὴν κάρητοc, ὡc παρὰ τῷ ποιητῇ ⟨ψ 157⟩ κὰδ δὲ κάρητοc Οὖλαc ἧκε κόμαc· τῶν δὲ διcυλλάβων τὰ μὲν φύcει μακρᾷ παραληγόμενα διὰ τοῦ τοc κλίνονται,
381 g οἷον ἦμαρ ἤματοc, εἶδαρ εἴδατοc (cημαίνει δὲ τὸ βρῶμα), ἧπαρ ἥπατοc, οὖθαρ οὔθατοc (cημαίνει δὲ τὸν μαζόν), τὰ δὲ βραχείᾳ ἢ θέcει μακρᾷ παραληγόμενα διὰ τοῦ ροc κλίνονται, οἷον θέναρ θέναροc (cημαίνει δὲ τὸ κοῖλον τῆc χειρὸc παρὰ τὸ θένειν ἤγουν τύπτειν), ὕπαρ ὕπαροc (cημαίνει δὲ τὸ ἀληθινὸν ἐνύπνιον ἤγουν τὴν λεγομένην ὀπταcίαν), ἔαρ ἔαροc, κέαρ κέαροc (cημαίνει δὲ τὴν ψυχήν) καὶ κατὰ κρᾶcιν

[Discr. scr. ex CV] αὐτὸ *om* C ‖ 2 οἷον κράc V, τὸ κράc C ‖ 3 οὐδετέρου παραcχ. ἤγουν *om* V ‖ 6 ὁ μέγαc — τὸ μέγα C, ὁ μέλαc ἡ μέλαινα καὶ τὸ μέλαν V ‖ 8 Εἴρηται] *cfr. p. 143, 24* | τῇ εὐθείᾳ V, τὴν εὐθεῖαν *et in marg.* ∴ C ‖ 11 Εἴρηται] *cfr. p. 342, 1* ‖ 19 τῷ λεῷ καὶ τοῖc λεῷc C, *om* V ‖ 20 Κανὼν — δελέατοc (22) *om* C ‖ 25 τὸ ὠφελοῦν V, τὸ ὀφελοῦν C ‖ 26 οἷον *om* CV | ἀλείφ. ἐνν. *om* V | ἐννεόροιο C ‖ 28 ἧκε] ἢ καὶ C, ἵκε V ‖ 30 ἦμαρ ἤματοc V, ἧμαρ ἥματοc C | ἧπαρ ἥπατοc V, ἧπαρ ἥπατοc C

τοῦ ε̄ καὶ ᾱ εἰς η̄ ἧρος καὶ κῆρος, νέκταρ νέκταρος (τὸ τῶν θεῶν πόμα), ἄλκαρ ἄλκαρος (σημαίνει δὲ τὴν βοήθειαν). Σεσημείωται τὸ φρέαρ φρέατος καὶ στέαρ στέατος, ὅτι βραχείᾳ παραληγόμενα διὰ τοῦ τος ἐκλίθησαν (στέαρ δέ ἐστι τὸ λίπος)· περὶ ὧν ἔστιν εἰπεῖν, μήποτε φρεῖαρ καὶ στεῖαρ ἦσαν, καὶ ὡς ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν διὰ τοῦ τος ἐκλίθησαν, οἷον στείατος καὶ φρείατος, ἐξ οὗ τὸ ⟨Φ 197⟩ φρείατα μακρὰ νάουσιν, καὶ λοιπὸν ἀποβληθέντος τοῦ ῑ ἔμεινεν ἡ αὐτὴ κλίσις. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι λέγει ὁ Ἡρωδιανὸς ἐν ⟨τῷ⟩ μονοβίβλῳ αὐτοῦ, ὅτι τὰ εἰς αρ οὐδέτερα παραληγόμενα τῷ ω̄ ἄκλιτά εἰσιν, οἷον μῶμαρ (σημαίνει δὲ τὸν μῶμον), βῶμαρ (σημαίνει δὲ τὸν μέγαν), νῶκαρ (σημαίνει δὲ τὴν στέρησιν τῆς ψυχῆς). Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι τοῦτο περὶ τῶν εἰς αρ οὐδετέρων τῶν κλινομένων διὰ τοῦ τ̄, διατί οὐκ ἐφύλαξαν τὸ ρ̄ ἐν τῇ γενικῇ, ὥστε κλίνεσθαι αὐτὰ διὰ τοῦ ρτ· ὤφειλον γὰρ ταῦτα φυλάξαι τὸ ἀμετάβολον ἐν τῇ γενικῇ· ἀμετάβολα γὰρ λέγονται παρὰ τὸ μὴ μεταβάλλεσθαι ἐν τοῖς μέλλουσι τῶν ῥημάτων μηδὲ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, οἷον κείρω κερῶ, φθείρω φθερῶ, Πλάτων Πλάτωνος, Ἕκτωρ Ἕκτορος. Ἀπολογοῦνται οὖν οἱ τεχνικοὶ λέγοντες, ὅτι ἀπὸ τῆς εἰς σ̄ καταλήξεώς ἐστιν ἡ κλίσις τούτων, οἷον ὡς ἀπὸ τοῦ ὄνειας καὶ δέλεας καὶ φρέας καὶ στέας, ὥσπερ κρέας κρέατος καὶ γῆρας γήρατος, ὥστε ἑτερόκλιτα αὐτὰ εἶναι. Καὶ λέγουσί 382 τινες, ὅτι οὐκ εἰσὶ ταῦτα ἑτερόκλιτα· τὰ γὰρ ἑτερόκλιτα οὐ σώζουσιν ἀκολουθίαν πρὸς τὰ ὅμοια, οἷον τὸ γυνή γυναικός ἑτερόκλιτον λέγεται, ἐπειδὴ οὐ σώζει ἀκολουθίαν πρὸς τὰ εἰς η̄ λήγοντα θηλυκά· τὰ γὰρ εἰς η̄ λήγοντα θηλυκὰ οὐ κλίνονται διὰ τοῦ κος, οἷον Ἑλένη Ἑλένης, Ἀφροδίτη Ἀφροδίτης· ταῦτα δέ, φημὶ δὴ τὰ εἰς αρ, ἀκολουθίαν σώζουσι πρὸς τὰ ὅμοια· εἰρήκαμεν γάρ, ὅτι εἰ μὲν ὑπὲρ δύο συλλαβάς εἰσιν διὰ τοῦ τος κλίνονται, εἰ δὲ δισύλλαβα, εἰ μὲν φύσει μακρᾷ παραλήγονται, διὰ τοῦ τος κλίνονται, εἰ δὲ βραχείᾳ ἢ θέσει μακρᾷ, διὰ τοῦ ρος. Ἔστι δὲ εἰπεῖν περὶ τούτων, ὅτι εἰ καὶ ἀλλήλοις ταῦτα ἀκολουθοῦσι καὶ κατὰ τοῦτο μὴ δοκοῦσιν εἶναι ἑτερόκλιτα κυρίως, ἀλλ' οὖν περὶ τὴν γενικὴν ἑτερόκλιτα λέγονται, καθὸ ἡ μὲν εὐθεῖα ἄλλην γενικὴν ἀπαιτεῖ, ἡ δὲ

[Discr. scr. ex CV] **3** *ante* φρέατος *add* τοῦ C ‖ **4** λίπος C, λῖπος V ‖ **9** τῷ *Lentzius, om* CV | *hoc* μονόβιβλον *libellum* περὶ τοῦ ὕδωρ *fuisse putat Lehrsius Herod. 423, assentiente Lentzio* ‖ **10** παραληγόμενα τῷ ω̄ V, παραληγομένου τοῦ ω̄ C ‖ **11** βῶμαρ V, βῶβαρ C | μέγαν CV, βωμόν *Lentzius II 777, 28* ‖ **12** τὴν στέρησιν τῆς ψυχῆς C, τὸν ἐστερημένον ψυχῆς V ‖ **13** τοῦ τ̄ V, τοῦ το C ‖ **14** διατί οὐκ ἐφύλαξαν τὸ ρ̄ ἐν τῇ γενικῇ] ὅτι οὐδεμία μετουσία ἐστὶν τῶν ἀμεταβόλων (ἀμεταβλήτων V) μετὰ τοῦ τ̄ CV, *quae verba in codicum* C *et* V *communi archetypo scripta fuisse videntur supra* διατί οὐκ ἐφύλαξαν τὸ ρ̄ ἐν τῇ γενικῇ *per lectorem suam ipsius sententiam demonstraturum, cur ea nomina litteram* ρ̄ *in genetivo non retineant* | διὰ τοῦ ρτ] διὰ τοῦ τ̄ CV ‖ **15** γὰρ καὶ ταῦτα C ‖ **24** τὰ γὰρ — θηλυκὰ (**25**) *in contextu habet* V, *in marg. add* C² ‖ **28** παραλήγονται — θέσει μακρᾷ (**29**) *in contextu habet* V, *in marg. add* C² | παραλήγεται C ‖ **29** κλήνονται C

γενικὴ ἄλλην εὐθεῖαν· ἡ μὲν γὰρ εὐθεῖα δι' ἀμεταβόλου ἀπαιτεῖ ἐκφέρεσθαι τὴν γενικήν, ἡ δὲ διὰ τοῦ τ̄ κλινομένη γενικὴ εἰς ας ἀπαιτεῖ τὴν εὐθεῖαν.

Τῷ ἥπατι, τῷ κέαρι, τῷ δελέατι· τὸ ἧπαρ, τὸ κέαρ, τὸ δέλεαρ· ὦ ἧπαρ, ὦ κέαρ, ὦ δέλεαρ.

Τὼ ἥπατε, τὼ κέαρε, τὼ δελέατε· τοῖν ἡπάτοιν, τοῖν κεάροιν, τοῖν δελεάτοιν· ὦ ἥπατε, ὦ κέαρε, ὦ δελέατε.

Τὰ ἥπατα, τὰ κέαρα, τὰ δελέατα· τῶν ἡπάτων, τῶν κεάρων, τῶν δελεάτων· τοῖς ἥπασι, τοῖς κέαρσι, τοῖς δελέασι· τὰ ἥπατα, τὰ κέαρα, τὰ δελέατα· ὦ ἥπατα, ὦ κέαρα, ὦ δελέατα.

Κανὼν ϛ΄.

Τὸ ὕδωρ τοῦ ὕδατος, τὸ ἔλωρ τοῦ ἔλωρος.

Ἰστέον ὅτι τὰ εἰς ωρ οὐδέτερα διὰ τοῦ ρος κλίνονται καὶ φυλάττουσι τὸ ω̄ κατὰ τὴν γενικήν, οἷον τέκμωρ τέκμωρος (τὸ σημεῖον), ἔλδωρ ἔλδωρος (τὸ ἐπιθύμημα), ὅπερ κατὰ πλεονασμὸν τοῦ ε̄ γίνεται ἐέλδωρ τρισυλλάβως, ὡς παρὰ τῷ ποιητῇ ⟨Α 41⟩ τόδε μοι κρήηνον
383 g ἐέλδωρ, ἔλωρ ἔλωρος (τὸ ἕλκυσμα καὶ σπάραγμα, ἐξ οὗ τὸ ⟨Α 4⟩ ἑλώρια τεῦχε κύνεσσιν), πλὴν τοῦ ὕδωρ ὕδατος· τοῦτο γὰρ διὰ τοῦ τος ἐκλίθη καὶ ἔστιν ἑτερόκλιτον, ἡ γὰρ κλίσις αὐτοῦ ὡς ἀπὸ τῆς εἰς ας καταλήξεώς ἐστιν, οἷον ὡς ἀπὸ τῆς ὕδας ὕδατος, ὥσπερ κρέας κρέατος, γῆρας γήρατος. Τοιοῦτόν ἐστι καὶ τὸ σκώρ, ὃ σημαίνει τὸ ἀφόδευμα· τούτου γὰρ ἡ γενικὴ σκατός ἐστὶν ἑτεροκλίτως, ὡς ἀπὸ τῆς σκάς εὐθείας τῆς μὴ εἰρημένης. Λέγουσι δὲ ἑτερόκλιτον γενέσθαι τὸ ὕδωρ ὕδατος διὰ τοιαύτην αἰτίαν· κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἀπαθὲς βραχυκαταληκτεῖν θέλει, χωρὶς τῶν παρὰ τὸ πούς καὶ τῆς εἰς ωρ καταλήξεως· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, τὸ κρέας, τὸ τεῖχος, τὸ ποίημα, τὸ νόημα, τὸ δένδρον, τὸ ξύλον, τὸ δέλεαρ, τὸ ἧπαρ, τὸ μέλι. Πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ πᾶν καὶ πῦρ, ταῦτα γὰρ μακροκαταληκτοῦσιν, ἀλλ' οὐκ εἰσὶν ὑπὲρ μίαν συλλαβήν· πρόσκειται «ἀπαθές» διὰ τὸ βοῶν, τὸ ποιοῦν, τὸ ὀστοῦν, ταῦτα γὰρ ἀπὸ κράσεως ἔχουσι τὴν μακράν, ἀπὸ γὰρ τοῦ βοάον καὶ τοῦ ποιέον καὶ τοῦ ὀστέον εἰσίν· ἔτι πρόσκειται «ἀπαθές» διὰ τὸ κάρη, καὶ τοῦτο γὰρ ἀπὸ πάθους ἔχει τὴν μακροκατάληξιν, ἀπὸ γὰρ τοῦ κάρηνον γέγονε κατὰ ἀποκοπὴν καὶ οὐ καταλήγει

[Discr. scr. ex CV] **4** Τῷ ἥπατι — ὦ δελέατα (**11**) C, ἡ δὲ κλίσις τῶν ἑνικῶν καὶ δυϊκῶν καὶ πληθυντικῶν πρόδηλος. μόνην δὲ τὴν δοτικὴν τῶν πληθυντικῶν κανονίσωμεν. τοῖς ἥπασι. τοῖς κέαρσι. τοῖς δελέασιν. ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖς ῥήμασι διδασκαλίᾳ V ‖ **5** ὦ κέαρ *in marg. add* C' ‖ **12** Κανὼν — ἔλωρος (**13**) *om* C ‖ **15** ἔλδωρ ἔλδωρος C ‖ **19** κύνεσσιν] κύνεσιν C, κύνεσσι V ‖ **23** ἀφόδευμα V, ἀμφόδευμα C ‖ **24** σκάς V, σκᾶς C ‖ **28** τὸ νόημα C, τὸ ὄνομα V ‖ **33** βόαον C | ποίεον C

φύσει εἰς η· πρόσκειται «χωρὶς τῶν παρὰ τὸ πούς» διὰ τὸ δίπουν καὶ τρίπουν, ταῦτα γὰρ μακροκαταληκτοῦσι· πρόσκειται «χωρὶς τῆς εἰς ωρ καταλήξεως» διὰ τὸ τέκμωρ καὶ ἕλδωρ καὶ ὕδωρ, ταῦτα γὰρ μακροκαταληκτοῦσιν. Ἐπειδὴ οὖν παράλογός ἐστιν αὕτη ἡ κατάληξις, φημὶ δὴ ἡ εἰς ωρ, διὰ τὴν μακροκαταληξίαν, τούτου χάριν τὸ ὕδωρ οὐκ ἐκλίθη ὕδωρος, ἀλλ᾽ ἐγένετο ἡ κλίσις αὐτοῦ ὡς ἀπὸ τῆς εἰς ας καταλήξεως· ὥσπερ γὰρ κρέας κρέατος, γῆρας γήρατος, οὕτω καὶ ὕδας ὕδατος, καὶ ἔστι λοιπὸν ἑτερόκλιτον. Εὑρίσκεται δὲ καὶ εἰς ος ἡ εὐθεῖα· ὥσπερ γὰρ ἀπὸ τοῦ γῆρας γίνεται τὸ γῆρος καὶ ἀπὸ τοῦ δέρας τὸ δέρος, οὕτω καὶ ἀπὸ τῆς ὕδας εὐθείας, ἐξ ἧς ἡ γενικὴ ὕδατος, γίνεται 384 g ὕδος, ὡς παρὰ Καλλιμάχῳ ⟨fragm. 475 Sch⟩ ἔστιν ὕδος καὶ γαῖα καὶ ὀπτήτειρα κάμινος· ἔχομεν δὲ καὶ τὴν δοτικὴν διὰ τῆς ει διφθόγγου, ὡς παρ᾽ Ἡσιόδῳ ⟨Opp. 61⟩ γαῖαν ὕδει φύρειν, ὡς ἀπὸ τῆς ὕδος εὐθείας, ὥσπερ τὸ τεῖχος τῷ τείχει. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, τί διαφέρουσι τὰ εἰς ωρ οὐδέτερα τῶν εἰς ωρ ἀρσενικῶν· καὶ ἔστιν εἰπεῖν, ὅτι κατὰ τοῦτο διαφέρουσιν, καθὸ τὰ μὲν εἰς ωρ ἀρσενικὰ βαρύτονα ὄντα μὴ ἔχοντα τὸ λ, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον Ἕκτωρ Ἕκτορος, Μέντωρ Μέντορος, Νέστωρ Νέστορος· τὰ δὲ εἰς ωρ οὐδέτερα φυλάττουσι τὸ ω κατὰ τὴν γενικήν, οἷον τέκμωρ τέκμωρος, ἕλωρ ἕλωρος, ἕλδωρ ἕλδωρος. Καὶ ἀποροῦσί τινες λέγοντες, διατί τὰ εἰς ωρ οὐδέτερα οὐ τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, ὥσπερ καὶ τὰ εἰς ωρ ἀρσενικά· καὶ ἔστιν εἰπεῖν, ὅτι οὐδέποτε οὐδέτερον μονογενὲς ἔχει τὴν παραλήγουσαν τῆς περιττοσυλλάβου γενικῆς ἥττονα χρόνον ἔχουσαν τῆς ληγούσης τῆς ἰδίας εὐθείας, οἷον βῆμα βήματος, μέλι μέλιτος, γόνυ γόνυος, ἄστυ ἄστεος, κρέας κρέατος, τεῖχος τείχεος, φῶς φωτός, ὦς ὠτός, χωρὶς τοῦ πῦρ πυρός, τοῦτο γὰρ ἐν μὲν τῇ εὐθείᾳ ἐκτείνει τὸ υ, ἐν δὲ τῇ γενικῇ συστέλλει αὐτό, καὶ χωρὶς τοῦ ὕδωρ ὕδατος, καὶ τοῦτο γὰρ βραχεῖαν ἔχει τὴν παραλήγουσαν τῆς γενικῆς, τῆς εὐθείας μακροκαταληκτούσης· τοῦτο δὲ ἑτερόκλιτον εἰρήκαμεν ὡς ἀπὸ τῆς ὕδας εὐθείας· πρόσκειται «μονογενές» διὰ τὸ πᾶν παντός· τοῦτο γὰρ ἐν μὲν τῇ εὐθείᾳ φύσει μακρὸν ἔχει τὸ α, ἐν δὲ τῇ γενικῇ θέσει μακρόν, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ· τούτου οὖν χάριν τὰ εἰς ωρ οὐδέτερα οὐ τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, ἵνα μὴ εὑρεθῇ ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς τῶν μονογενῶν οὐδετέρων ἥττονα χρόνον ἔχουσα τῆς ληγούσης τῆς ἰδίας εὐθείας.

[Discr. scr. ex CV] **5** οὐκ ἐκλίθη τὸ ὕδωρ ὕδωρος V ‖ **6** ὕδωρος *om* C | ὡς *om* C ‖ **8** ἡ *ante* εὐθεῖα *om* C ‖ **9** γίνεται τὸ γῆρος *om* C | τὸ *ante* δέρος *om* C ‖ **12** ὀπτήτειρα V, ὀπτῆρα C | τὴν *ante* δοτικὴν *om* C ‖ **13** φύρειν] φ..νειν C, φύρει ζείδωρος ἄρουρα V ‖ **15** εἰς ωρ V, εἰς ων C ‖ **17** εἰς ωρ *om* C | ἐν τοῖς προλαβοῦσιν] *cfr. p. 300, 31* ‖ **22** καὶ *post* ὥσπερ *om* C ‖ **26** ἄστεος C, ἄστυος V ‖ **31** μονογενές V, μονογενῆ C ‖ **34** οὖν *om* C

385 g Τῷ ὕδατι, τὸ ὕδωρ, ὦ ὕδωρ. Τὼ ὕδατε, τοῖν ὑδάτοιν, ὦ ὕδατε. Τὰ ὕδατα, τῶν ὑδάτων, τοῖς ὕδασιν. Ἰστέον ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γέγονεν ἐνταῦθα ἡ δοτικὴ τῶν πληθυντικῶν, τῷ κανόνι τῷ εἰρημένῳ ἐν τῇ περὶ τοῦ τοῖς ῥήμασι διδασκαλίᾳ.

Τὰ ὕδατα, ὦ ὕδατα. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Κανὼν ζ΄.

Τὸ κρέας τοῦ κρέατος κοινῶς καὶ κρέαος ἰωνικῶς καὶ κρέως ἀττικῶς.

Διαλαμβάνει περὶ τῶν εἰς ας οὐδετέρων· καὶ ἔστιν εἰπεῖν, ὅτι πάντα τὰ εἰς ας λήγοντα οὐδέτερα διὰ τοῦ τος κλίνονται, οἷον πέρας πέρατος, τέρας τέρατος, κρέας κρέατος, γέρας γέρατος, γῆρας γήρατος, οὖας οὔατος, καὶ κατὰ συγκοπὴν οὖς. Ἰστέον δὲ ὅτι τὸ οὖς ἄκλιτόν ἐστιν· τὸ γὰρ ⟨Λ 109⟩ Ἄντιφον αὖ παρὰ οὖς ἔλασε ξίφει, ἀντὶ τῆς παρὰ τὸ οὖς ὑπάρχον αἰτιατικῆς, οὐκ ἀντίκειταί ἡμῖν, οὐδὲ γὰρ ἐκλίθη ἀλλ' ὡμοφώνησε τῇ ἰδίᾳ εὐθείᾳ· τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα, τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὸ οὖς ἄκλιτόν ἐστιν· καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδὲν οὐδέτερον εἰς ους λήγει εἰ μὴ μόνον τὸ οὖς· ἐπειδὴ οὖν τοῦτο, φημὶ δὴ τὸ οὖς, οὐκ ἔσχεν ἄλλο ὅμοιον, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἄκλιτον ἔμεινεν. Ἰστέον δὲ ὅτι καὶ τὸ δέμας ἄκλιτόν ἐστιν· καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐστὶν ἄκλιτον· καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδὲν εἰς ας οὐδέτερον ἔχει πρὸ τοῦ α τὸ μ, οἷον γῆρας κῶας κρέας τέρας πέρας· ἐπειδὴ οὖν τὸ δέμας εἰς ας ἐστὶν οὐδέτερον καὶ ἔχει πρὸ τοῦ α τὸ μ, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἄκλιτον ἔμεινεν. Ταῦτα μὲν ἐν τούτοις.

386 g Ἰστέον δὲ ὅτι, ὡς εἴρηται, πάντα τὰ εἰς ας λήγοντα οὐδέτερα διὰ τοῦ τος κλίνονται, οἷον γέρας γέρατος, δέρας δέρατος, κέρας κέρατος, κρέας κρέατος, πέρας πέρατος, γῆρας γήρατος. Καὶ ἐπειδὴ τὰ εἰς ας λήγοντα οὐδέτερα πεφύκασι πολλάκις γίνεσθαι καὶ εἰς ος, οἷον δέρας δέρος, κῶας κῶος, γῆρας γῆρος, τὰ δὲ εἰς ος οὐδέτερα διὰ καθαροῦ τοῦ ος κλίνονται, οἷον βέλος βέλεος, τεῖχος τείχεος, εἰκότως καὶ ταῦτα τὰ εἰς ας οὐδέτερα ἔσχον ἀφορμήν, ὡς γινόμενα καὶ εἰς ος, τοῦ ἔχειν διὰ καθαροῦ τοῦ ος τὴν γενικήν, καὶ τούτου χάριν ἀποβάλλουσι τὸ τ οἱ Ἴωνες, οἷον κρέατος κρέαος, γήρατος γήραος, κέρατος κέραος, καὶ

[Discr. scr. ex CV] 4 τῷ εἰρημένῳ] *cfr. p. 343, 9* ‖ 7 Κανὼν — ἀττικῶς (9) *om* C ‖ 10 καὶ ἔστιν εἰπεῖν C, ὁ τεχνικὸς λέγων V ‖ 12 τέρας τέρατος *om* C | γέρας γέρατος *om* V | γῆρας γήρατος *om* C ‖ 21 δὴ] δὲ C, *om* V ‖ 23 καὶ *ante* τὸ δέμας *om* C ‖ 25 πέρας *om* C ‖ 30 γέρας — δέρατος *om* V ‖ 31 πέρας — γήρατος *om* C

λοιπὸν οἱ Ἀττικοὶ cυναιροῦcι τὸ α̅ καὶ ο̅ εἰc ω καὶ λέγουcι τοῦ κρέωc, τοῦ γήρωc, τοῦ κέρωc, βαρυτόνωc δέ, ἐπειδὴ ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰc ὀξεῖαν καὶ βαρεῖαν cυνέρχονται, οἷον Δημοcθένεοc Δημοcθένουc, Διομήδεοc Διομήδουc, τείχεα τείχη, βέλεα βέλη· τὸ γὰρ ἔαροc ἦροc καὶ κέαροc κῆροc διὰ τὸ εἶναι φύcει μακρὰν πρὸ μιᾶc βραχείαc προπεριεcπάcθηcαν· οὕτωc οὖν καὶ κρέαοc κρέωc καὶ γήραοc γήρωc καὶ κέραοc κέρωc καὶ τὰ ὅμοια. Δι' ὅλου δὲ τοῦτο τὸ cχῆμα, φημὶ δὴ τὸ ἀποβάλλεcθαι τὸ τ̅ ἰωνικῶc καὶ κρᾶcιν παρακολουθεῖν τῶν φωνηέντων παρὰ τοῖc Ἀττικοῖc, φυλάττεται καὶ ἐν ταῖc γενικαῖc καὶ ἐν ταῖc δοτικαῖc· ἡ γὰρ αἰτιατικὴ καὶ ἡ κλητικὴ ὡμοφώνηcαν τῇ ἰδίᾳ εὐθείᾳ· μόνη δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν οὐδὲν τοιοῦτον πάcχει, οὐκ ἀποβάλλει γὰρ τὸ ἴδιον cύμφωνον καὶ ποιεῖ cυναίρεcιν τῶν φωνηέντων. Ἰcτέον δὲ ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ ἀπὸ τῶν εἰc α̅ς̅ οὐδετέρων μίαν ἔχει φωνὴν παρὰ πάcαιc ταῖc διαλέκτοιc (οἷον κρέαcι γέραcι κέραcι κώαcι), τουτέcτι καὶ παρ' ἡμῖν καὶ παρὰ τοῖc Ἴωcι καὶ παρὰ τοῖc Ἀττικοῖc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἀποροῦcι δέ τινεc λέγοντεc, διατί ἐπὶ τῶν εἰc α̅ ληγόντων οὐδετέρων οὐ ποιοῦcιν οἱ Ἴωνεc ἀποβολὴν τοῦ τ̅ κατὰ τὴν γενικὴν καὶ κρᾶcιν τῶν φωνηέντων οἱ Ἀττικοί, οἷον βῆμα βήματοc βήμαοc καὶ βήμωc, ὥcπερ κρέαc κρέατοc κρέαοc καὶ κρέωc. Καὶ ἔcτιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην, ὅτι τὰ εἰc α̅ς̅ λήγοντα οὐδέτερα, ὡc εἴρηται, πεφύ- 387 g καcι πολλάκιc γίνεcθαι καὶ εἰc ο̅ς̅, οἷον γῆραc γῆροc, δέραc δέροc, κῶαc κῶοc· καὶ ἐπειδὴ τὰ εἰc ο̅ς̅ οὐδέτερα διὰ καθαροῦ τοῦ ο̅ς̅ κλίνονται, οἷον βέλοc βέλεοc, τεῖχοc τείχεοc, εἰκότωc καὶ ταῦτα ἔcχον ἀφορμήν, ὡc γινόμενα καὶ εἰc ο̅ς̅, τοῦ ἔχειν καθαρὰν τὴν γενικήν· τὰ δὲ εἰc α̅ λήγοντα οὐδέτερα ἐπειδὴ οὐ γίνονται καὶ εἰc ο̅ς̅, τούτου χάριν ὡc μὴ ἔχοντα τι μιμήcαcθαι οὐκ ἀποβάλλουcι τὸ τ̅ ἰωνικῶc κατὰ τὴν γενικὴν καὶ κρᾶcιν ποιοῦcι τῶν φωνηέντων ἀττικῶc. Ἰcτέον δὲ ὅτι τινὲc θέλουcιν ὀξύνειν τὴν Ἀττικὴν γενικὴν τῶν ἑνικῶν, οἷον τοῦ κρεώc, τοῦ γηρώc, τοῦ κερώc ὀξυτόνωc, λέγοντεc ὅτι ἀπὸ τοῦ κρέατοc καὶ γήρατοc καὶ κέρατοc ἐγένοντο κατὰ cυγκοπὴν τοῦ α̅ καὶ τ̅ κρεόc καὶ γηρόc καὶ κερόc διὰ τοῦ ο̅ ὀξυτόνωc, τῷ λόγῳ τῶν εἰc ο̅ς̅ διcυλλάβων γενικῶν, οἷον ὥcπερ πατρόc μητρόc φωτόc μηνόc χηνόc παιδόc cπληνόc cυόc φρενόc γραόc, περὶ ὧν εἰ θεῷ φίλον ἐν τοῖc τόνοιc μαθηcόμεθα· καὶ λοιπὸν οἱ Ἀθηναῖοι ἐκτείνοντεc τὸ ο̅ εἰc ω̅ ἐφύλαξαν τὴν ὀξεῖαν τάcιν, οἷον κρεώc γηρώc κερώc. Τῷ δὲ Ἡρωδιανῷ οὐ δοκεῖ

[Discr. scr. ex CV] **2** τοῦ κέρωc] καὶ δέρωc C, καὶ κέρωc V | αἱ δύο βαρεῖαι V, ἡ βαρεῖα C ‖ **3** cυνέρχονται C, cυναιροῦνται V ‖ **7** δὴ V, δὲ C ‖ **8** τὸ τ̅ V, τὸ ι̅ C ‖ **13** τῶν εἰc α̅ς̅ οὐδετέρων V, τοῦ εἰc α̅ς̅ οὐδετέραc C ‖ **14** γέραcι *om* V ‖ **15** κώαcι *om* C ‖ **18** οὐ *om* C ‖ **19** βήμαοc *om* C ‖ **20** κρέαc *om* C | κρέαοc *om* C ‖ **22** εἰc ο̅ς̅] εἰc ω̅ς̅ C, διὰ τοῦ ος̅ V ‖ **25** τὴν *om* C ‖ **28** δὲ *om* C ‖ **31** cυγκοπὴν C, ἔκθλιψιν V | κρεώc καὶ γηρώc καὶ κερώc διὰ τοῦ ω̅ ὀξυτόνωc C ‖ **32** εἰc ο̅ς̅] εἰc ω̅ς̅ C, εἰc α̅ς̅ V ‖ **35** οἱ *om* C

τοῦτο, ἀλλὰ ταῦτα βαρυτόνως δοξάζει λέγεσθαι, οἷον τοῦ κρέως, τοῦ γήρως, τοῦ κέρως, τῷ λόγῳ τῆς συναιρέσεως τῆς γενομένης ἀπὸ ὀξείας καὶ δύο βαρειῶν εἰς ὀξεῖαν καὶ βαρεῖαν, ὡς προείρηται ἀνωτέρω, οἷον κρέαος κρέως, γήραος γήρως, ὥσπερ Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους. Κέχρηται δὲ λόγῳ τοιούτῳ· εἰ λέγεται συγκοπὴν γεγενῆσθαι ἐν τῇ γενικῇ τῇ κρεώς, ὤφειλε συγκοπὴ γενέσθαι καὶ ἐν τῇ δοτικῇ· καθόλου γὰρ πᾶσα γενικὴ συγκοπτομένη ἔχει καὶ τὴν δοτικὴν συγκοπτομένην, οἷον πατέρος πατρός πατέρι πατρί, μητέρος μητρός μητέρι μητρί, Δημήτερος Δήμητρος Δημήτερι Δήμητρι, ἀνέρος ἀνδρός ἀνέρι ἀνδρί, θυγατέρος θυγατρός θυγατέρι θυγατρί· εἰ οὖν τῷ κρέατι ἡ δοτικὴ [ὑπάρχον] οὐ δέχεται συγκοπὴν τοῦ ᾱ καὶ τοῦ τ̄, ἐπεὶ κρεῖ ἤμελλεν εἶναι, νυνὶ δὲ κρέαϊ ἐστίν, οὐκ ἄρα οὐδὲ ἡ κρέατος γενικὴ δύναται συγκοπὴν ἀναδέξασθαι τοῦ ᾱ καὶ τοῦ τ̄ καὶ γενέσθαι τοῦ κρεός 388 g ὀξυτόνως κἀκεῖθεν τοῦ κρεώς ὁμοίως ὀξυτόνως κατ' ἐπέκτασιν τοῦ ο̄ εἰς ω̄, ἀλλ', ὡς εἴρηται, αὗται αἱ γενικαὶ κατὰ κρᾶσιν γεγόνασιν καὶ βαρύνονται.

Τῷ κρέατι κοινῶς, τῷ κρέαϊ ἰωνικῶς, τῷ κρέᾳ ἀττικῶς. Ἰστέον ὅτι τῷ κρέατι κοινῶς καὶ κατὰ ἀποβολὴν τοῦ τ̄ ἰωνικῶς γίνεται τῷ κρέαϊ καὶ κατὰ συναίρεσιν τοῦ ᾱ καὶ ῑ εἰς τὴν ᾱͅ δίφθογγον γίνεται τῷ κρέᾳ ἀττικῶς· ἰστέον δὲ ὅτι ἅμα συναίρεσις ἐγένετο ἅμα ⟨δὲ⟩ καὶ ἔκτασις τοῦ ᾱ, διὸ καὶ τὸ ῑ ἀνεκφώνητόν ἐστιν· ὡς γὰρ ἐμάθομεν, τὸ ῑ ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ συλλαβῇ ἀνεκφώνητον εὑρίσκεται, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῇ Μηδείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διατί ὥσπερ ἐπὶ τοῦ κρέαϊ καὶ γήραϊ γίνεται κατὰ συναίρεσιν τοῦ ᾱ καὶ ῑ εἰς τὴν ᾱͅ δίφθογγον κρέᾳ καὶ γήρᾳ, μὴ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ ναΐ καὶ γραΐ γίνεται κατὰ συναίρεσιν νᾷ καὶ γρᾷ. Ἔστιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἀνεκφώνητον λήγουσα τὴν γενικὴν ἔχει ἰσοσύλλαβον τῇ εὐθείᾳ, οἷον τῷ κοχλίᾳ ὁ κοχλίας τοῦ κοχλίου, τῷ σοφῷ ὁ σοφός τοῦ σοφοῦ, τῇ μνᾷ ἡ μνᾶ τῆς μνᾶς, τῷ γήρᾳ τὸ γῆρας τοῦ γήρως, τῷ κρέᾳ τὸ κρέας τοῦ κρέως· τὸ γὰρ κρέαος καὶ γήραος πρὸς τὸ κρέαϊ καὶ γήραϊ εἰσίν· εἰ οὖν ἐγένοντο ταῦτα κατὰ συναίρεσιν, ἤμελλον ἔχειν τὸ ῑ ἀνεκφώνητον, ὅπερ ἐστὶν ἄτοπον, οὐδὲ γὰρ ἔχουσιν ἰσοσύλλαβον τὴν γενικὴν τῇ εὐθείᾳ, ὡς ναῦς ναός, γραῦς γραός· τούτου οὖν χάριν οὐ συναιροῦνται ταῦτα κατὰ τὴν δοτικήν, ἵνα μὴ εἰς ῑ ἀνεκφώνητον λήγοντα κατὰ τὴν δοτικὴν ἔχωσι τὴν γενικὴν περιττοσύλλαβον τῆς εὐθείας.

[Discr. scr. ex CV] **3** καὶ *ante* βαρεῖαν *om* C ‖ **4** κρέαος *in marg. add* C[1] ‖ **5** *ante* λέγεται *add* δὲ C ‖ **6** τῇ κρεώς] τῇ κρέως C, τοῦ κρέος V ‖ **11** ὑπάρχον CV ‖ **12** *ante* οὐδὲ *add* δὲ C ‖ **13** τοῦ κρέος V, τοῦ κρεώς C ‖ **20** *poster.* δὲ *om* CV ‖ **21** τοῦ ᾱ *om* C | ἐμάθομεν] *cfr. ex. gr. p. 127, 37* ‖ **26** κρέᾳ καὶ γήρᾳ] κρέα καὶ γήρα C, κρέαι καὶ γήραι V; *item v. 27* νᾶ καὶ γρᾶ C, ναῖ καὶ γραῖ V ‖ **33** εἰσὶν V, ἐστὶν C ‖ **37** λήγοντα — ἔχωσι V, λήγουσιν κατὰ τὴν δοτικὴν καὶ ἔχουσι C

Τὸ κρέαϲ, ὦ κρέαϲ. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Τὼ κρέατε κοινῶϲ, τὼ κρέαε ἰωνικῶϲ, τὼ κρέα ἀττικῶϲ· τοῖν κρεάτοιν κοινῶϲ, τοῖν κρεάοιν ἰωνικῶϲ, τοῖν κρεοῖν ἀττικῶϲ. Ἰϲτέον ὅτι τὸ κρεοῖν ἀπὸ τοῦ κρεάοιν γέγονε κατὰ κρᾶϲιν τοῦ ᾱ καὶ τῆϲ ο̅ι̅ διφθόγγου εἰϲ τὴν ο̅ι̅ δίφθογγον, διὸ καὶ περιϲπᾶται· ἡ γὰρ 389 g
ὀξεῖα καὶ ἡ βαρεῖα εἰϲ περιϲπωμένην ϲυνέρχονται, οἷον Δημοϲθενέοιν Δημοϲθενοῖν, Πηλέϊ Πηλεῖ, Ἑρμέαϲ Ἑρμῆϲ. Ἐὰν δὲ θελήϲωμεν λέγειν, ὅτι κρᾶϲιϲ παρηκολούθηϲε τοῦ ᾱ καὶ ο̅ εἰϲ τὸ ω̅, ὀφείλει διὰ τοῦ ω̅ γενέϲθαι τοῖν κρεῷν προϲγραφομένου τοῦ ι̅· ἡ δὲ παράδοϲιϲ διὰ τῆϲ ο̅ι̅ διφθόγγου ἐπίϲταται τὴν λέξιν. Ὦ κρέατε κοινῶϲ, ὦ κρέαε ἰωνικῶϲ, ὦ κρέα ἀττικῶϲ.

Τὰ κρέατα κοινῶϲ, τὰ κρέαα ἰωνικῶϲ, τὰ κρέα ἀττικῶϲ. Ἰϲτέον ὅτι τὸ κρέα ἀπὸ τοῦ κρέαα γέγονε κατὰ κρᾶϲιν τῶν δύο α̅α̅ εἰϲ ἓν ᾱ μακρόν, ὥϲπερ Ναυϲικάα Ναυϲικᾶ· τὸ γὰρ ⟨Callim. h. in Dian. 88⟩ κρέα λυγκὸϲ ἔταμνε ἀπὸ τοῦ κρέατα γέγονε κατὰ ἀποκοπὴν τῆϲ τ̅α̅ ϲυλλαβῆϲ, ϲυνεϲταλμένον γὰρ ἔχει τὸ ᾱ.

Τῶν κρεάτων κοινῶϲ, τῶν κρεάων ἰωνικῶϲ, τῶν κρεῶν ἀττικῶϲ. Ἰϲτέον ὅτι τὸ κρεῶν ἀπὸ τοῦ κρεάων γέγονε κατὰ κρᾶϲιν τοῦ ᾱ καὶ ω̅ εἰϲ τὸ ω̅, διὸ καὶ περιϲπᾶται· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰϲ περιϲπωμένην ϲυνέρχονται, οἷον Δημοϲθενέων Δημοϲθενῶν, πάϊϲ παῖϲ, Πηλέϊ Πηλεῖ, ποιέω ποιῶ.

Τοῖϲ κρέαϲι μόνωϲ. Ἰϲτέον ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν καὶ κοινῶϲ καὶ ἰωνικῶϲ καὶ ἀττικῶϲ ὡϲαύτωϲ λέγεται, οἷον τοῖϲ κρέαϲιν· οὐκ ἀποβάλλουϲι γὰρ ἐνταῦθα τὸ ϲύμφωνον οἱ Ἴωνεϲ καὶ ποιοῦϲιν οἱ Ἀττικοὶ ϲυναίρεϲιν τῶν φωνηέντων. Καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν οὐκ ἀποβάλλουϲι τὸ ϲύμφωνον οἱ Ἴωνεϲ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν καὶ παρακολουθεῖ ϲυναίρεϲιϲ τῶν φωνηέντων ἀττικῶϲ, ὥϲπερ καὶ ἐπὶ τῶν ἄλλων πτώϲεων. Καὶ ἔϲτιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἐπὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν οὐκ ἀποβάλλεται τὸ ϲύμφωνον, τουτέϲτι τὸ ϲ̅, ἰωνικῶϲ καὶ ϲυναίρεϲιϲ παρακολουθεῖ τῶν φωνηέντων ἀττικῶϲ, ἐπειδὴ εἰ ἀπεβλήθη τὸ ϲύμφωνον καὶ παρηκολούθηϲε ϲυναίρεϲιϲ τῶν φωνηέντων, ἤμελλε ϲυνεμπίπτειν τῇ δοτικῇ τῶν ἑνικῶν, οἷον κρέαϲι κρέαϊ 390 g
κρέᾳ, ὅπερ ἐϲτὶν ἄτοπον· τούτου οὖν χάριν ἐπὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν οὐκ ἀποβάλλουϲι τὸ ϲύμφωνον οἱ Ἴωνεϲ καὶ ποιοῦνται ϲυναίρεϲιν οἱ Ἀττικοὶ τῶν φωνηέντων. Ἄλλωϲ τε δὲ πᾶϲα δοτικὴ πληθυντικῶν εἰϲ ι̅ λήγουϲα θέλει ἔχειν πρὸ τοῦ ι̅ τὸ ϲ̅ ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἐνεργείᾳ μέν, οἷον Αἴαϲι βήμαϲι λέβηϲι Λάχηϲι Θόαϲιν (ἰδοὺ ταῦτα ἐνεργείᾳ ἔχουϲι τὸ ϲ̅), δυνάμει δέ, οἷον Φοίνιξι Πέλοψι λαίλαψι· δυ-

[Discr. scr. ex CV] **4** τοῖν κρεάοιν] καὶ κρεάοιν C ‖ **6** τῆϲ ο̅ι̅ δ. V, τοῦ ο̅ι̅ δ. C ‖ **16** κρέα — ἔταμνε] κρέωϲ λυγκὸϲ ἔταμνε C, ὧδε κρέα λύκοϲ ἔτεμνεν V | ἀποκοπὴν V, ϲυγκοπὴν C ‖ **21** πάϊϲ παῖϲ *om* C ‖ **33** κρέαϲι V, κρέατι C ‖ **34** οὖν *om* C ‖ **38** λέβηϲι *om* V | Λάχηϲι Θόαϲιν *om* C | ἰδοὺ — τὸ ϲ̅ (**39**) *om* V

νάμει γὰρ ἐπὶ τούτων ἐϲτὶ τὸ ϲ̄, τὸ γὰρ ξ̄ ἐκ τοῦ κ̄ καὶ ϲ̄ δοκεῖ ϲυγκεῖϲθαι καὶ τὸ ψ̄ ἐκ τοῦ π̄ καὶ ϲ̄· τούτου οὖν χάριν ἐπὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν οὐκ ἀποβάλλουϲιν οἱ Ἴωνεϲ τὸ ϲύμφωνον καὶ ποιοῦνται ϲυναίρεϲιν οἱ Ἀττικοὶ τῶν φωνηέντων. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι ἡ κρέαϲι δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆϲ κρέατι δοτικῆϲ τῶν ἑνικῶν γέγονε, πρὸ τοῦ ῑ προϲελθόντοϲ τοῦ ϲ̄ καὶ ἀποβληθέντοϲ τοῦ μὴ δυναμένου ϲὺν αὐτῷ ἐκφωνηθῆναι ϲτοιχείου, φημὶ δὴ τοῦ τ̄, τῷ κανόνι τῷ ῥηθέντι ἐν τῇ περὶ τοῦ τοῖϲ βήμαϲι διδαϲκαλίᾳ. Οὐδὲ γὰρ δυνατὸν τῷ ἀπὸ τῆϲ εὐθείαϲ κανόνι χρήϲαϲθαι ἐνταῦθα τῷ λέγοντι, ὅτι πᾶϲα εὐθεῖα ἑνικῶν εἰϲ ϲ̄ λήγουϲα μετὰ μακρᾶϲ περιττοϲυλλάβωϲ κλινομένη καὶ μὴ ϲυναιρουμένη κατὰ τὴν γενικὴν προϲθέϲει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γάρ ἐϲτιν ἐνταῦθα μετὰ μακρᾶϲ, τὸ γὰρ κρέαϲ τὸ ᾱ ϲυνεϲταλμένον ἔχει.

Τὰ κρέατα κοινῶϲ, τὰ κρέαα ἰωνικῶϲ, τὰ κρέα ἀττικῶϲ· ὦ κρέατα κοινῶϲ, ὦ κρέαα ἰωνικῶϲ, ὦ κρέα ἀττικῶϲ. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουϲιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Κανὼν η΄.

Τὸ τεῖχοϲ τοῦ τείχεοϲ καὶ κατὰ κρᾶϲιν τείχουϲ.

Ἰϲτέον ὅτι τὰ εἰϲ ο̅ϲ̅ οὐδέτερα δηλονότι ὀνόματα εἰϲ ο̅υ̅ϲ̅ ἔχουϲι τὴν γενικήν, οἷον τεῖχοϲ τείχουϲ, βέλοϲ βέλουϲ, βάθοϲ βάθουϲ, νέφοϲ
391 g νέφουϲ, πέλαγοϲ πελάγουϲ, ἦθοϲ ἤθουϲ, ψεῦδοϲ ψεύδουϲ, ϲτέφοϲ ϲτέφουϲ· ἐμάθομεν δὲ ὅτι πᾶϲα γενικὴ εἰϲ ο̅υ̅ϲ̅ λήγουϲα ϲυνῃρημένη ἐϲτίν· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελὲϲ καὶ οὕτω ποιεῖν τὴν ϲυναίρεϲιν. Πρόϲκειται ἐν τῷ κανόνι «δηλονότι ὀνόματα» διὰ τὰϲ μετοχάϲ· αὗται γὰρ διὰ τοῦ τ̅ο̅ϲ̅ κλίνονται, οἷον τὸ τετυφόϲ τοῦ τετυφότοϲ, τὸ πεποιηκόϲ τοῦ πεποιηκότοϲ, τὸ λελαληκόϲ τοῦ λελαληκότοϲ, ὁμοίωϲ τοῖϲ ἰδίοιϲ ἀρϲενικοῖϲ, ὥϲπερ ὁ τετυφὼϲ τοῦ τετυφότοϲ, ὁ πεποιηκὼϲ τοῦ πεποιηκότοϲ, ὁ λελαληκὼϲ τοῦ λελαληκότοϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Ἰϲτέον δὲ ὅτι τὸ ὄφελοϲ ἄκλιτόν ἐϲτιν· καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διατί ἐϲτιν ἄκλιτον· ἔϲτι δὲ εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ διὰ τοῦ ε̅λ̅ο̅ϲ̅ ὑπὲρ δύο ϲυλλαβὰϲ οὐκ εἰϲὶν οὐδέτερα, οἷον ζάφελοϲ (ὁ μεγαλωφελήϲ) ἄγγελοϲ πέμπελοϲ (ϲημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα), τὰ γὰρ διὰ τοῦ ε̅λ̅ο̅ϲ̅ οὐδέτερα διϲύλλαβά εἰϲιν, οἷον τέλοϲ ἕλοϲ ϲκέλοϲ· ἐπειδὴ οὖν τὸ ὄφελοϲ διὰ τοῦ ε̅λ̅ο̅ϲ̅ ὑπὲρ δύο ϲυλλαβὰϲ ὑπάρχον οὐδέτερόν ἐϲτιν, εἰκότωϲ ὡϲ μὴ ἔχον τι μιμήϲαϲθαι ἔμεινεν ἄκλιτον. Ταῦτα μὲν ἐν τούτοιϲ.

[Discr. sch. ex CV] 8 τῷ ῥηθέντι] *cfr. p. 343, 9* ‖ 10 περιττοϲυλλάβωϲ — πληθυντικῶν (12) C, καὶ τὰ ἑξῆϲ V ‖ 14 ὦ *ante* κρέατα *om* C ‖ 17 Κανὼν — τείχουϲ (18) *om* C ‖ 20 νέφοϲ νέφουϲ *om* C ‖ 22 ἐμάθομεν] *cfr. p. 7, 10. 170, 19* ‖ 26 τὸ λελαληκόϲ — λελαληκότοϲ (28) *om* V ‖ 34 ἔλοϲ *om* C ‖ 35 *ante* οὐδέτ. *add* καὶ C

Ἰστέον δὲ ὅτι τὸ ε̄ καὶ ο̄ εἰς τὴν ου δίφθογγον κίρναται παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, τείχεος τείχους, βέλεος βέλους· σπανίως δὲ παρὰ τοῖς Ἀθηναίοις καὶ εἰς τὴν ει̅ δίφθογγον κίρναται, οἷον δέον δεῖν, ὡς τὸ δεῖν τόδε γενέσθαι, πλέον πλεῖν, ὡς παρὰ Ἀριστοφάνει ἐν Βατράχοις ⟨91⟩ Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα, ἀντὶ τοῦ πλέον σταδίῳ Εὐριπίδου φλυαρώτερα· παρὰ δὲ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσιν εἰς τὴν ευ̅ δίφθογγον κίρναται τὸ ε̄ καὶ τὸ ο̄, οἷον Ἐρέβεος Ἐρέβευς, οἷον ⟨Θ 368⟩ ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο, ἀντὶ τοῦ ἐκ τοῦ Ἐρέβους. Ἐμάθομεν δὲ περὶ τῆς τοιαύτης συναιρέσεως ἤγουν κράσεως καὶ ἐν τοῖς ἀρσενικοῖς ἐν τῇ περὶ τοῦ Δημοσθένους διδασκαλίᾳ.

Ἰστέον δὲ ὅτι παρ' Ὁμήρῳ οὐδέποτε εὑρίσκεται ἡ γενικὴ τούτων 392 g τῶν εἰς ος̅ οὐδετέρων εἰς ους̅ καταλήγουσα, ἀλλ' ἢ εἰς ευς, οἷον Ἐρέβευς, περὶ οὗ προειρήκαμεν, θάρσευς, ⟨P 573⟩ τοίου μὲν θάρσευς πλῆσε φρένας ἀμφιμελαίνας, ἢ ἐντελῶς ἤγουν διὰ τοῦ εος, οἷον βέλεος, ⟨N 251⟩ βέλεος δέ σε τείρει ἀκωκή, στήθεος, ⟨Γ 221⟩ ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος ἵει, τείχεος, ⟨I 67⟩ λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός, ἄχεος, ⟨P 591⟩ τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα. Δύο δὲ μόνας γενικὰς ἐποίησεν εἰς ους̅ ἐπὶ τῶν εἰς ος̅ δηλονότι οὐδετέρων, τὸ ⟨O 4⟩ χλωροὶ ὑπὸ δείους, ἀντὶ τοῦ ὑπὸ τοῦ δέους, καὶ ⟨ι 330⟩ ἥ ῥα κατὰ σπείους κέχυτο, ἀντὶ τοῦ κατὰ τοῦ σπέους· τοῦτο δὲ ἐποίησεν οὐ διὰ τὸ μέτρον, καὶ εἰ εἰς ευς̅ γὰρ ἐποίησε ταύτας τὰς γενικάς, ἡ αὐτὴ μακρὰ εὑρίσκετο, ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ ε̄· ἔστι γὰρ δέος καὶ σπέος, καὶ εἰ ἐγένετο ἡ γενικὴ παρὰ τῷ ποιητῇ δέευς καὶ σπέευς, ἀλλεπαλληλία ἤμελλεν εἶναι τοῦ ε̄, καὶ τούτου χάριν τῇ εἰς ους̅ γενικῇ ἐχρήσατο, φημὶ δὴ τῇ δέους καὶ σπέους, ἅτινα ἐν πλεονασμῷ τοῦ ῑ γίνονται δείους καὶ σπείους. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ταῦτα τὰ εἰς ος̅ οὐδέτερα οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς κατὰ τὴν γενικήν, οἷον τὸ τεῖχος τοῦ τείχεως, τὸ βέλος τοῦ βέλεως· ταῦτα γὰρ διὰ τοῦ ε̄ καὶ ο̄ μόνως εἰσὶ καὶ οὐδέποτε γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς. Καὶ ἔστιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ εἰς ους̅ λήγουσα γίνεται διὰ τοῦ ε̄ καὶ ω ἀττικῶς, οἷον Δημοσθένης Δημοσθένους, Διομήδης Διομήδους, Ἀριστοφάνης 393 g Ἀριστοφάνους· ἐπειδὴ οὖν ταῦτα τὰ εἰς ος̅ οὐδέτερα εἰς ους̅ ἔχουσι

[Disck. scr. ex CV] **2** οἷον — Ἀθηναίοις (**4**) *om* V ‖ **4** ὡς τὸ *om* C ‖ **6** σταδίῳ] σταδίου CV | λαλήστερα C ‖ **7** σταδίῳ] σταδίου C, *om* V ‖ **9** οἷον — Ἐρέβους (**10**) *om* V | οἷον] ὃν C | κύνα *om* C ‖ **10** Ἐμάθομεν] *cfr. p. 172, 23* ‖ **15** μὲν CV ‖ **17** ἀκωκί C ‖ **18** στήθεος V, στήθε' C | λεξάσθων] λέξασθον C, λέξεσθον V ‖ **19** παρὰ C, περὶ V ‖ **22** ὑπὸ δείους C, ὑπαὶ δείους V | ἥ ῥά V, ἢ ῥά C ‖ **23** κέχυται CV | οὐ *om* C ‖ **26** τῷ ποιητῇ V, τὸ ποιητῇ C ‖ **28** δὴ V, δὲ C ‖ **30** ἄξιον ἐστὶ C

τὴν γενικήν, οἷον τὸ τεῖχος τοῦ τείχους καὶ τὸ βέλος τοῦ βέλους, τούτου χάριν οὐ γίνονται διὰ τοῦ ε̄ καὶ ω̄ ἀττικῶς.

Τῷ τείχεϊ καὶ κατὰ συναίρεσιν τείχει, τὸ τεῖχος, ὦ τεῖχος. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

Τὼ τείχεε καὶ κατὰ συναίρεσιν τείχη, τοῖν τειχέοιν καὶ κατὰ συναίρεσιν τειχοῖν, ὢ τείχεε καὶ κατὰ συναίρεσιν τείχη.

Τὰ τείχεα καὶ κατὰ συναίρεσιν τείχη. Ἰστέον ὅτι ἀπὸ τοῦ τείχεα κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς η̄ γέγονε τείχη, ὥσπερ βέλεα βέλη, Δημοσθένεα Δημοσθένη, Διομήδεα Διομήδη· περὶ δὲ τοῦ ὀστᾶ καὶ κανᾶ καὶ χαλκᾶ καὶ τῶν τοιούτων πόθεν γεγόνασιν ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ἐν τῇ περὶ τῆς τοῦ βήματος εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ.

Τῶν τειχέων καὶ κατὰ συναίρεσιν τειχῶν, τοῖς τείχεσι μόνως. Ἰστέον ὅτι τοῦτο ἀσυναίρετον ἔμεινεν, ἐπειδὴ σύμφωνόν ἐστι μεταξὺ τῶν φωνηέντων, φημὶ δὴ τὸ σ̄, οὐδέποτε δὲ συμφώνου μεταξὺ δύο φωνηέντων ὄντος δύνανται τὰ φωνήεντα συναίρεσιν ἀναδέξασθαι· ὥσπερ γὰρ κέντρου μεταξὺ δύο ξύλων ὄντος οὐ δύνανται τὰ ξύλα ἑνωθῆναι, τὸν αὐτὸν τρόπον καὶ συμφώνου μεταξὺ δύο φωνηέντων ὄντος οὐ δύνανται τὰ φωνήεντα ἕνωσιν ἀναδέξασθαι. Εἰ δέ τις εἴποι, διατί μὴ ἀποβάλλεται τὸ σ̄ καὶ γίνεται συναίρεσις τῶν φωνηέντων, λέγομεν ὅτι ἐὰν ἀποβληθῇ τὸ σ̄ καὶ γένηται συναίρεσις τῶν φωνηέντων, μέλλει συνεμπίπτειν τῇ δοτικῇ τῶν ἑνικῶν, οἷον τείχεσι τείχεϊ τείχει, ὅπερ ἐστὶν ἄτοπον· τούτου οὖν χάριν οὐκ ἀποβάλλεται τὸ σ̄ καὶ γίνεται συναίρεσις τῶν φωνηέντων. Ἔχομεν δὲ καὶ ἄλλην αἰτίαν, ἣν εἰρήκαμεν ἐν τῇ περὶ τοῦ τοῖς κρέασι διδασκαλίᾳ.

Τὰ τείχεα καὶ τείχη, ὦ τείχεα καὶ ὦ τείχη. Εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν.

394 g

Κανὼν θ'.

Τὸ φῶς τοῦ φωτός, τὸ ὦς τοῦ ὠτός.

Ἰστέον ὅτι δύο μόνα εἰσὶν εἰς ως̄ λήγοντα οὐδέτερα, τὸ φῶς καὶ τὸ ὦς, ἅτινα διὰ τοῦ τος̄ κλίνονται, οἷον φωτός καὶ ὠτός· τὸ γὰρ χρέως ἀττικῶς ἐγένετο διὰ τοῦ ω̄. Ἰστέον δὲ ὅτι τὸ χρέος διὰ μὲν τοῦ ο̄ γραφόμενον κλίνεται ὥσπερ τὸ τεῖχος καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς δυϊκοῖς καὶ ἐν τοῖς πληθυντικοῖς, ἐν δὲ τῇ εὐθείᾳ τῶν πληθυντικῶν εἰς ᾱ γίνεται, οἷον χρέεα χρέα, συγκοπῆς γενομένης τοῦ ἑνὸς ε̄, ὥσπερ

[Discr. scr. ex CV] **2** γίνονται V, γίνεται C ‖ **4** Εἴρηται — κλητικήν (**5**) *om* C ‖ **8** Τὰ τείχεα — τείχη *om* C | ἰστέον δὲ ὅτι C ‖ **9** βέλεα βέλη *om* C ‖ **11** ἐμάθομεν] *cfr. p. 343, 1* ‖ **12** περὶ — εὐθείας] περὶ τοῦ βήματος εὐθείᾳ CV | διδασκ. *om* V ‖ **15** δὴ V, δὲ C | δὲ *om* C ‖ **17** μεταξὺ *om* C ‖ **21** γένηται V, γίνεται C ‖ **24** εἰρήκαμεν] *cfr. p. 356, 36* ‖ **26** καὶ τείχη V, τὰ τείχη C | καὶ *ante* ὦ *om* C ‖ **28** Κανὼν — ὠτός (**29**) *om* C ‖ **32** δὲ *om* C | χρέος διὰ μὲν τοῦ ο̄ V, χρέως διὰ τοῦ σ̄ μὲν C

καὶ ἐπὶ τοῦ κλέεα κλέα, ὡς παρὰ Ἀπολλωνίῳ ἐν τῷ πρώτῳ λόγῳ ⟨1⟩ ἀρχόμενος σέο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν· ὅταν δὲ γένηται διὰ τοῦ ω̅ ἀττικῶς, οἷον τὸ χρέως, τὴν αὐτὴν ἔχει ὀρθὴν γενικὴν αἰτιατικὴν καὶ κλητικήν, οἷον τὸ χρέως τοῦ χρέως τὸ χρέως ὦ χρέως, μόνον δὲ τὴν δοτικὴν διαλλάσσουσαν ἔχει, οἷον τῷ χρέει, καὶ ἔστιν εἰπεῖν δίπτωτον, εὐθεῖαν γὰρ καὶ δοτικὴν ἔχει μόνον. Τοῦτο δὲ τὸ Ἀττικόν, φημὶ δὴ τὸ διὰ τοῦ ω̅, οὐ κλίνεται οὔτε εἰς δυϊκὸν οὔτε εἰς πληθυντικὸν ἀριθμόν· καὶ λέγει Ὦρος ὁ γραμματικός, ὅτι ἐπειδὴ οὐκ ἦν ἡ ἔκτασις τοῦ ο̅ εἰς ω̅ ἀκόλουθος, οὔτε γὰρ ἐπὶ τοῦ κλέος οὔτε ἐπὶ τοῦ σπέος ἐποίησαν ἔκτασιν οἱ Ἀττικοί, τούτου χάριν οὐκ ἐγένετο ἕως ἔξω ⟨τῶν ἑνικῶν⟩ ἡ κλίσις. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ φῶς καὶ τὸ ὦς καὶ περισπῶνται καὶ διὰ τοῦ τος κλίνονται, οἷον φωτός καὶ ὠτός. Διὰ τοῦ τ̅ο̅ς̅ δὲ κλίνονται διὰ τοιαύτην αἰτίαν· ἔστιν ὄας καὶ φάος· τοῦτο μὲν τὸ φάος καθ' ὑπερβιβασμὸν τοῦ ο̅ γίνεται φόας, τὸ δὲ ὄας γίνεται οὖας κατὰ πλεονασμὸν τοῦ υ̅, καὶ κατὰ συγκοπὴν οὖς, ὅπερ ἐστὶν ἄκλιτον· ταῦτα δέ, φημὶ ⟨δὴ⟩ τὸ ὄας καὶ φόας, διὰ τοῦ τ̅ κλίνονται, οἷον ὄατος καὶ φόατος· τὰ γὰρ εἰς α̅ς̅ οὐδέτερα διὰ τοῦ τ̅ο̅ς̅ κλίνονται, οἷον φρέας φρέατος, κρέας κρέατος, γῆρας γήρατος· καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ο̅ καὶ α̅ εἰς ω̅ γίνεται φῶς καὶ ὦς, ὥσπερ κρείττονα κρείττοα κρείττω, βελτίονα βελτίοα βελτίω, ἀρείονα ἀρείοα ἀρείω, καὶ φυλάττουσι τὴν αὐτὴν κλίσιν, φημὶ δὴ τὴν 395 g διὰ τοῦ τ̅ο̅ς̅, οἷον φωτός καὶ ὠτός. Ἐμάθομεν γὰρ ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν, οἷον τιμήεις τιμήεντος τιμῆς τιμῆντος, ὡς τὸ ⟨Σ 475⟩ καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον, Σιμόεις Σιμόεντος Σιμοῦς Σιμοῦντος, δαφνήεις δαφνήεντος δαφνῆς δαφνῆντος, πλόος πλόου πλοῦς πλοῦ, ῥόος ῥόου ῥοῦς ῥοῦ, χρύσεος χρυσέου χρυσοῦς χρυσοῦ, ἀργύρεος ἀργυρέου ἀργυροῦς ἀργυροῦ· οὕτως οὖν καὶ φόας φόατος καὶ φῶς φωτός καὶ ὄας ὄατος καὶ ὦς ὠτός. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τινὲς τὸ φῶς ἀπὸ τοῦ φάος λέγουσι γεγενῆσθαι κατὰ κρᾶσιν τοῦ α̅ καὶ ο̅ εἰς ω̅, οἵτινες οὐκ ἀκριβῶς λέγουσιν· τὸ γὰρ φάος εἰς ο̅υ̅ς̅ ἔχει τὴν γενικήν, οἷον φάους· ἔχομεν γὰρ ὅτι τὰ εἰς ο̅ς̅ οὐδέτερα ὀνόματα εἰς ο̅υ̅ς̅ ἔχουσι τὴν γενικήν, οἷον τεῖχος τείχους, βάθος βάθους, ἦθος ἤθους, βέλος βέλους· τὸ δὲ φῶς διὰ τοῦ τ̅ο̅ς̅ κλίνεται, οἷον φωτός· εἰ δὲ ἦν ἀπὸ τοῦ φάος, ὤφειλεν ὁμοίως αὐτῷ εἰς ο̅υ̅ς̅ ἔχειν τὴν γενικήν· ἐμάθομεν γὰρ ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττουσι κλίσιν. Κρεῖττον οὖν ἐστι σχηματίσαι αὐτὸ ἀπὸ τοῦ φάος,

[Discr. scr. ex CV] **4** *post* γενικὴν *add* δοτικὴν C | τὸ χρέως (*poster.*) V, τῶ χρέως C ‖ **5** οἷον τῷ χρέει *om* C ‖ **7** δὴ V, δὲ C; *item v. 21* ‖ **8** Ὦρος V, ὄφρος C ‖ **9** κλέος V, κλέος *in* κλέως *mut.* C[1] ‖ **11** ἔξω V, ἔχξω *sed littera* χ *expuncta* C | τῶν ἑνικῶν *om* CV ‖ **15** *post* ο̅ *add* μικροῦ C ‖ **16** δὴ *om* CV ‖ **17** τοῦ τ̅ V, τοῦτο τ̅ C | εἰς α̅ς̅ V, εἰς ο̅ς̅ C ‖ **22** Ἐμάθομεν] *cfr. p. 185, 27* ‖ **24** ὡς τὸ — Σιμοῦντος (**25**) *om* C ‖ **26** ῥόος — ῥοῦ *om* C ‖ **30** τὸ φῶς — οἵτινες (**31**) *om* V | φάους C ‖ **32** ἔχομεν] *cfr. p. 357, 19*

ὡς εἴρηται, καθ' ὑπερβιβασμὸν τοῦ ō φόας καὶ κατὰ κρᾶσιν τοῦ ō καὶ ᾱ εἰς ω̄ φῶς· οὐκέτι γὰρ ἡ κλίσις ἀντίκειται, καὶ τὸ φόας γὰρ διὰ τοῦ τος κλίνεται. Καὶ ἐπὶ ἄλλων δὲ ἔχομεν πρῶτον ὑπερβιβασμὸν γενόμενον καὶ οὕτως κρᾶσιν, ὡς ἐπὶ τοῦ ⟨Μ 283⟩ πεδία λωτεῦντα, ἀντὶ τοῦ ἀνθοῦντα λωτὸν ἔχοντα (λωτὸς δέ ἐστιν εἶδος βοτάνης, ἧς ὁ καρπὸς γλυκύτατος)· ἐὰν γὰρ ἀπὸ τοῦ λωτόεντα εἴπωμεν αὐτό, λωθοῦντα εἶχεν εἶναι διὰ τῆς ου̅ διφθόγγου· τὸ γὰρ ō καὶ ε̄ οὐδέποτε εἰς τὴν ευ̅ δίφθογγον κίρναται ἀλλ' εἰς τὴν ου̅, οἷον τὸ ἐμόν τοὐμόν, τὸ ἔργον τοὔργον, προέστη προὔστη, προέβη προὔβη· ἀλλὰ λέγομεν ὅτι ἀπὸ τοῦ λωτόεντα καθ' ὑπερβιβασμὸν τοῦ ε̄ γέγονε λωτέοντα καὶ κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε̄ καὶ ō εἰς τὴν ευ̅ δίφθογγον λωτεῦντα, ὥσπερ Ἐρέβεος Ἐρέβευς, ⟨Θ 368⟩ ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο, ἀντὶ τοῦ ἐκ τοῦ Ἐρέβους.

396 g Τῷ φωτί, τῷ ὠτί· τὸ φῶς, τὸ ὦς· ὦ φῶς, ὦ ὦς. Τὼ φῶτε, τὼ ὦτε· τοῖν φώτοιν, τοῖν ὤτοιν· ὦ φῶτε, ὦ ὦτε. Τὰ φῶτα, τὰ ὦτα· τῶν φώτων, τῶν ὤτων. Ἰστέον ὅτι ἐπὶ μὲν τῆς λαμπηδόνος τῶν φώτων λέγομεν βαρυτόνως, ἐπὶ δὲ τῶν ἀνδρῶν τῶν φωτῶν λέγομεν περισπωμένως.

Τοῖς φωσί, τοῖς ὠσίν. Εἴρηται ὅτι πᾶσα εὐθεῖα ἑνικῶν εἰς σ̄ λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, ⟨οἷον⟩ Αἴας Αἴαντος Αἴασι, λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσίν· οὕτως οὖν καὶ φῶς φωτός φωσί καὶ ὦς ὠτός ὠσίν.

Τὰ φῶτα, τὰ ὦτα· ⟨ὦ φῶτα⟩, ὦ ὦτα.

Τέλος σὺν θεῷ τῶν οὐδετέρων ὀνομάτων.

[Discr. scr. ex CV] **2** *post* φῶς *add* δηλονότι C ‖ **5** *post* ἀνθοῦντα *add* ἤγουν *ALudwich, Arist. I 342, 30 adn.* | ἧς — γλυκύτατος (**6**) *om* C ‖ **8** τὸ ἔργον τοὔργον *om* C ‖ **13** ἐκ τοῦ V, ἐξ C ‖ **14** τὸ ὦς *in marg. add* C¹ | Τὼ φῶτε — ὦ ὦτα (**24**) C, εἴρηται ὅτι τὰ οὐδέτερα τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν V ‖ **19** φῶσι C | Εἴρηται] *cfr. p. 137, 31* ‖ **22** οἷον *om* C ‖ **24** ὦ φῶτα *om* C ‖ **25** σὺν θεῷ *om* V | ὀνομάτων C, κανόνων V

Περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων. 397 g

Περὶ τοῦ τόνου τῆς γενικῆς τῶν ἑνικῶν. 1209 b

Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων, καὶ λαμβάνει πρῶτον ὁμολογούμενον τὸν τῆς εὐθείας τόνον, καὶ οὕτως κατασκευάζει τὸν τόνον τῆς γενικῆς. Ἐμάθομεν δὲ ὅτι οἱ κύριοι τόνοι τῶν λέξεων δύο εἰσίν, ἥ τε ὀξεῖά φημι καὶ ἡ περισπωμένη· περὶ γὰρ τῆς 1210 b βαρείας ἐμάθομεν ὅτι συλλαβικὸς τόνος ἐστί, πᾶσα γὰρ συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως, λέγω δὴ τὴν ὀξεῖαν ἢ τὴν περισπωμένην, βαρεῖαν δέχεται, οἷον φίλὸς ἄνθρὼπὸς δῆμὸς. Κανονίζει οὖν ὁ τεχνικὸς τὸν τόνον τῆς γενικῆς λέγων, ὅτι πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μή που ἕτερος λόγος κωλύσῃ· ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς $\overline{\text{ος}}$ δισύλλαβοι γενικαί. Πρόσκειται ἐν τῷ κανόνι «κοινή» διὰ τὸ ἴα ἰᾶς καὶ μία μιᾶς ἰωνικῶς ἐν τῇ γενικῇ περισπασθέντα, ὡς δειχθήσεται· πρόσκειται «ἀπαθής» διὰ τὸ πατήρ πατέρος πατρός, ἀνήρ ἀνέρος ἀνδρός, ταῦτα γὰρ συγκοπὴν πεπονθότα οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον· πρόσκειται «εἰ μὴ ἕτερος λόγος κωλύσῃ» διὰ τὸ Ἄδωνις Ἀδώνιδος καὶ Ὅμηρος Ὁμήρου, ταῦτα γάρ, ὡς δειχθήσεται, δι' ἕτερον λόγον κατεβίβασαν τὸν τόνον· πρόσκειται «ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς $\overline{\text{ος}}$ δισύλλαβοι γενικαί» διὰ τὸ παῖς παιδός καὶ φῶς φωτός καὶ Τρώς Τρωός, ταῦτα γὰρ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον, ἀλλὰ τῷ λόγῳ τῆς δισυλλαβίας ὠξύνθησαν, ὡς μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· τὸ Αἴας ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὸν τόνον, ἀλλὰ καὶ ἡ Αἴαντος γενικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον· ὁμοίως δὲ λέβης λέβητος, Λάχης Λάχητος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος· πάλιν τὸ ταχύς καὶ ὀξύς ἐπὶ τῆς δευτέρας ἀπ' ἀρχῆς συλλαβῆς ἔχουσι τὸν τόνον, 398 g

---

[Discr. scr. in CTb] **1** *post* τόνων *add* ποιηθέντων παρὰ Θεοδοσίου καὶ Ἡρωδιανοῦ τῶν γραμματικῶν T ‖ **2** τοῦ *om* C ‖ **3** λαμβάνει b, διαλαμβάνει CT ‖ **5** Ἐμάθομεν] *cfr. p. 117, 2* ‖ **6** ἥ τε Cb, εἴτε T ‖ **7** συλλαβικῶς C ‖ **8** δὴ T, δὲ Cb ‖ **13** κωλύσει T ‖ **15** περισπασθέντα] περισπασθέντων CTb | δειχθείσεται C ‖ **16** πατρός *om* T | ἀνδρός *om* T ‖ **18** κωλύσῃ b, κωλύσει CT ‖ **20** ος] ως C ‖ **25** ἀλλὰ — τόνον (**26**) *in marg. add* C² | Αἴαντος *post* τόνον (**26**) *transp.* CTb | τῆς αὐτῆς T, ταύτης τῆς C²b

ἀλλὰ καὶ ἡ ταχέος καὶ ὀξέος γενικὴ ὁμοίως ἐπὶ τῆς δευτέρας ἀπ' ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον· πάλιν τὸ Ἀχιλλεύς καὶ εὐγενής ἐπὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον, ἀλλὰ καὶ ἡ Ἀχιλλέως καὶ εὐγενέος γενικὴ ὁμοίως ἐπὶ τῆς τρίτης ἀπ' ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον· πάλιν φίλος φίλου, ξένος ξένου· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν· πάλιν καλός καλοῦ, σοφός σοφοῦ, ἀγαθός ἀγαθοῦ· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, εἰ καὶ μὴ τὸν αὐτόν, ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται· περισπᾶται δὲ ἡ γενικὴ τῷ λόγῳ τῷ λεγομένῳ ἐν τῇ περὶ τοῦ ἰᾶς καὶ μιᾶς διδασκαλίᾳ· πάλιν ἐστὶ δοῦλος δούλου, καὶ ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον, εἰ καὶ μὴ τὸν αὐτόν, ἡ μὲν γὰρ εὐθεῖα προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας, ἡ δὲ γενικὴ παροξύνεται διὰ τὸ εἶναι
1211 b φύσει μακρὰν τὴν ἐπὶ τέλους συλλαβήν. Τὸ μέντοι Ἄδωνις Ἀδώνιδος καὶ φίλημα φιλήματος, ἐπειδὴ προπαροξύνεται ἡ εὐθεῖα καὶ περιττοσυλλάβως κλίνεται ἡ γενική, διὰ τοῦτο οὐ δύναται φυλάξαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, ἀλλὰ καταβιβάζει αὐτὸν μίαν συλλαβὴν ἐν τῇ γενικῇ· τετάρτη γὰρ ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, τουτέστι πρὸ τριῶν συλλαβῶν οὐδέποτε τόνος εὑρίσκεται τιθέμενος.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν πρὸ τριῶν συλλαβῶν οὐ τίθεται τόνος. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὴν τρισυλλαβίαν· τούτου χάριν οὐδὲ τόνος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. Πρόσκειται ἐν τῷ κανόνι «ἁπλῆ» διὰ τὰς συνθέτους, οἷον διὰ τὸ φιλόσοφος Ἀρίσταρχος, αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ' οὐκ εἰσὶν ἁπλαῖ· πρόσκειται «πρωτότυπος» διὰ τὰς παραγώγους, οἷον διὰ τὸ σοφώτερος ταχύτερος, αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ' οὐκ εἰσὶ πρωτότυποι· «ἀκίνητος» δὲ πρόσκειται διὰ τὸ κείρω καὶ ποιῶ· γίνεται γὰρ τούτων ὁ ὑπερ-
399 g συντέλικος ἐκεκάρμην καὶ ἐπεποιήκειν, καὶ ἰδοὺ ὑπερέβησαν ταῦτα τὴν τρισυλλαβίαν, ἀλλ' αἴτιόν ἐστι τοῦ ὑπερβαίνειν τὴν τρισυλλαβίαν τὸ κινηθῆναι αὐτά· διὰ ταῦτα οὖν πρόσκειται ἐν τῷ κανόνι, ὅτι οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν, δι' ἣν οὐδέποτε τόνος ὑπερβαίνει τὴν τρισυλλαβίαν· ἔχει δὲ οὕτως· πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι, ἔχουσι γὰρ ἀρχὴν καὶ μέσον καὶ τέλος· ἐπειδὴ οὖν πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι, εἰκότως μέχρις αὐτῆς ἔστησαν οἱ τόνοι, καὶ οὐχ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν.

[Discr. scr. in CTb] **1** συλλαβῆς ἀπ' ἀρχῆς CTb ‖ **5** πάλιν — ἐφύλαξαν (**6**) *om* T ‖ **8** ἡ μὲν Cb, εἰ μὲν T ‖ **9** τῷ λεγομένῳ] *cfr. p. 370, 25* ‖ **12** μιᾶς — ἐπὶ (**13**) *in marg. add* C² | τὸ εἶναι Tb, τοῦ εἶναι C² ‖ **14** καὶ *ante* φίλ. *om* T ‖ **16** τόνον *om* C ‖ **18** ἡ *om* C ‖ **22** ὑπερβαίνειν T; *item v. 23* ‖ **29** ἰδοῦ C | ὑπερέβησαν *ex* ὑπερβέβησαν *corr. et in marg. add* γρ. ὑπερέβησαν C¹ ‖ **30** ἀλλ' CT, καὶ b | τοῦ b, τὸ CT ‖ **33** τόνος ὑπερβαίνει C, ὑπερβαίνειν τόνος T, ὑπερβαίνει τόνος b ‖ **36** εἰσὶ αἱ C | μέχρι

Ἰστέον δὲ ὅτι καὶ τὸ Ὅμηρος Ὁμήρου καὶ τὸ ἄνθρωπος ἀνθρώπου ἀναγκαίως κατεβίβασαν τὸν τόνον, ἐπειδὴ ἐπὶ τούτων ἡ εὐθεῖα προπαροξύνεται· καὶ λοιπὸν ἡ γενικὴ οὐ δύναται προπαροξυνθῆναι, πρῶτον μὲν ὅτι οὐδέποτε πρὸ τεσσάρων χρόνων τόνος πίπτει· ἐὰν οὖν προπαροξυνθῶσιν ἐπὶ τούτων αἱ γενικαί, εὑρεθήσεται πρὸ τεσσάρων χρόνων ὁ τόνος, ὅπερ ἐστὶν ἀδύνατον· δεύτερον δὲ ὅτι κανών ἐστιν ὁ λέγων, ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις, οἷον Παρίδων βημάτων Λαχήτων· οὕτως οὖν καὶ ἀνθρώπου καὶ Ὁμήρου παροξύνεται. Ἀμέλει ἐν τῇ αἰτιατικῇ ἐπειδὴ οὐκ ἔστιν ἡ τελευταία 1212 b
συλλαβὴ μακρά, οὐ κωλύεται προπαροξυνθῆναι, οἷον Ὅμηρον ἄνθρωπον.

Τούτων οὖν οὕτως ἐχόντων δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς τρίτη ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, «χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ω̅ ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε̅», τουτέστιν ὅταν τὸ ω̅ ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε̅ εὑρεθῇ, τρίτη τότε ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ὡς ἐπὶ τοῦ πόλεως μάντεως πράξεως, πόλεων μάντεων πράξεων, καὶ ὡς ἐπὶ τῶν παρὰ ταῖς διαλέκτοις, οἷον Ἀτρείδεω Πηλείδεω. Ἰστέον ⟨δὲ⟩ ὅτι ταῦτα προπαροξυνόμενα οὐ θέλουσιν ἔχειν μεταξὺ τοῦ ε̅ καὶ τοῦ ω̅ σύμφωνον, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων, ἐὰν δὲ ἄρα καὶ ἔχωσι, πάντως εὑρίσκεται ἢ τὸ λ̅ ἢ τὸ ρ̅, ὡς ἐπὶ τοῦ χρυ- 400 g
σόκερως φιλόγελως. Δεῖ δὲ γινώσκειν, ὅτι ἐπὶ τοῦ πόλεως καὶ μάντεως ἀπολογούμενος ὁ τεχνικός, διότι μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς προπαροξύνεται, λέγει ὅτι ταῦτα ἀπὸ τοῦ πόλιος καὶ μάντιος γεγονότα τὴν τῶν κοινῶν ἐφύλαξαν τάσιν.

Ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τῆς ο̅ι̅ διφθόγγου καὶ τῆς α̅ι̅ διφθόγγου»· τούτων γὰρ ἐπὶ τέλους οὐσῶν πολλάκις προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι ἄνθρωποι Ἀρίσταρχοι τράπεζαι ἅμαξαι ἄελλαι, ἐπειδὴ ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυ χρόνον ἔχουσιν. Ἀλλ' ἔλθωμεν καὶ μάθωμεν, πότε ἡ ο̅ι̅ καὶ ἡ α̅ι̅ δίφθογγος ἐν τοῖς τονικοῖς παραγγέλμασιν ἀντὶ κοινῆς παραλαμβάνονται· ἰστέον δὲ ὅτι ἡ ο̅ι̅ καὶ ἡ α̅ι̅ δίφθογγος ἐπὶ τῶν εὐθειῶν, τῶν πληθυντικῶν δηλονότι, καὶ τῶν κλητικῶν τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται, ἤγουν ἀντὶ βραχείας, οἷον Ὅμηροι ὦ Ὅμηροι, ἄνθρωποι ὦ ἄνθρωποι,

[Discr. scr. in CTb] αὐτῆς Cb ‖ 2 κατεβήβασαν C ‖ 5 προπαροξυνθῶσι C ‖ 6 κανών ἐστιν] *huc delegamur p. 303, 6* ‖ 10 παροξύνονται T ‖ 11 κωλύει T ‖ 12 οὖν *om* T ‖ 14 οὐδέποτε *om* C ‖ 15 τουτέστιν — τοῦ ε̅ (16) *in marg. add* T² | *post* ὅταν *add* γὰρ C | τὸ ω̅] τὸ μὲν T² ‖ 16 συλλαβῇ *om* T | ἀπὸ τέλους τότε Tb ‖ 17 *post* πόλεων *add* λέξεων T ‖ 19 δὲ *om* CTb ‖ 25 τῶν κοινῶν ἐφύλαξαν τὴν τάσιν C ‖ 26 διφθόγγου *post* α̅ι̅ *om* T ‖ 29 κοινῆς Tb, κεινῆς C | πρὸς ἕνα b, πρὸ ἑνὸς CT | ἥμισυ CT, ἥμισυν b. *huc delegamur in Choerobosci exegesi in Hephaestionis enchiridion Anecd. Var. I 44, 22* ‖ 30 Ἀλλ' — μάθωμεν *om* T | ἡ ο̅ι̅ καὶ ἡ α̅ι̅] ἡ ο̅ι̅ καὶ α̅ι̅ (καὶ α̅ι̅ *in marg.* C¹) Cb, ἡ α̅ι̅ καὶ ἡ ο̅ι̅ T | τονικοῖς b, κηνῆς *in* κοινῆς *mut. et in marg. add* ∴ C¹, κοινοῖς T ‖ 31 δὲ *om* Tb ‖ 34 οἷον *om* T

Ἀρίσταρχοι ὦ Ἀρίσταρχοι, αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι. Πρόσκειται «ἐπὶ τῶν εὐθειῶν τῶν πληθυντικῶν καὶ τῶν κλητικῶν» διὰ τὰς δοτικάς· ἐπὶ τούτων γὰρ οὐ παραλαμβάνονται ἡ οι καὶ ἡ αι δίφθογγος ἀντὶ κοινῆς, ἀλλ' ἀντὶ φύσει μακρᾶς, καὶ δῆλον ἐκ τοῦ καταβιβάζεσθαι τὸν τόνον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἡνίκα προπαροξύνεται ἡ εὐθεῖα, οἷον ἄνθρωποι ἀνθρώποις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἅμαξαι ἁμάξαις, ἄελλαι ἀέλλαις, τράπεζαι τραπέζαις. Τούτου δὲ αἴτιόν ἐστι τὸ σύμφωνον τὸ ἐπιφερόμενον· ἐπειδὴ ⟨γὰρ⟩ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν σύμφωνον
1213 b ἐπιφέρεται τῇ οι διφθόγγῳ καὶ τῇ αι, τούτου χάριν οὐ παραλαμβάνονται ἀντὶ κοινῆς· τὸ γὰρ σύμφωνον τὸ ἐπιφερόμενον ἕτερον ἡμιχρόνιον χαρίζεται αὐταῖς καὶ ἀποτελεῖ αὐτὰς φύσει μακράς· τὰ γὰρ σύμφωνα, δηλονότι τὰ ἁπλᾶ, ἡμιχρόνιον ἔχουσι· πρόσκειται «δηλονότι ἁπλᾶ», ἐπειδὴ τὰ διπλᾶ ἅτε δύο συμφώνων ἔχοντα δύναμιν πρὸς ἕνα χρόνον ἔχουσιν. Ἐν δὲ τοῖς ἀπτώτοις καὶ τοῖς εὐκτικοῖς ῥήμασιν οὐδέποτε ἡ
401 g οι δίφθογγος τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται, ἤγουν ἀντὶ βραχείας, ἀλλ' ἀντὶ φύσει μακρᾶς, οἷον ὤμοι ποιήσοι· ὅτι γὰρ ἐπὶ τούτων ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ οι δίφθογγος, δῆλον ἐκ τοῦ μὴ προπερισπᾶσθαι αὐτὰ ἀλλὰ παροξύνεσθαι· ὅθεν καὶ τὸ οἴκοι ἡνίκα μέν ἐστιν ἐπίρρημα καὶ σημαίνει τὸ ἐν οἴκῳ, παροξύνεται, ὡς τῆς οι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης, οἷον οἴκοι, ὅτε δέ ἐστιν εὐθεῖα τῶν πληθυντικῶν, προπερισπᾶται, οἷον οἶκοι, ὡς τῆς οι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης, ἤγουν ἀντὶ βραχείας, ὥσπερ δῆμοι κῆποι. Ἡ δὲ αι δίφθογγος, ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν καὶ ἐν τῇ κλητικῇ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται, ἤγουν ἀντὶ βραχείας, καὶ ἕνα ἥμισυ χρόνον ἔχει, οἷον αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι· ὡσαύτως δὲ καὶ ἐν τοῖς ῥήμασιν ἀντὶ κοινῆς παραλαμβάνεται καὶ ἐν τοῖς ὁριστικοῖς, ὡς ἐπὶ τοῦ τύπτονται πεποίηνται, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, οἷον τύπτεσθαι λέγεσθαι, καὶ ἐν τοῖς προστακτικοῖς, οἷον ἄσπασαι κατάδεξαι περιποίησαι μίμησαι, καὶ ἐν τοῖς ὑποτακτικοῖς, οἷον ἐὰν λέγωμαι, ἐὰν τύπτωμαι· ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς, οἷον ποιήσαιμι ποιήσαις ποιήσαι. Ὅτι γὰρ ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς ἐν τοῖς εὐκτικοῖς, δῆλον ἐκ τοῦ ⟨τὸ⟩ ποιήσαι εὐκτικὸν μὴ προπερισπᾶσθαι ἀλλὰ παροξύνεσθαι· ὅθεν τὸ

[Discr. scr. in CTb] **3** καὶ τῶν κλητικῶν *in marg. add* C² ‖ **4** ἡ αι καὶ ἡ οι Tb | δίφθογγοι Tb | κοινῆς Tb, κοινῶν C ‖ **6** παροξύνεται T ‖ **9** γὰρ *om* CTb ‖ **13** ἡμιχρόνιον — ἁπλᾶ *om* T ‖ **17** ὤμοιο T ‖ **20** τὸ ἐν b, τὰ ἐν CT ‖ **22** ἐστιν ἡ εὐθεῖα T | οἷον οἶκοι προπερισπᾶται CTb ‖ **23** *post* βραχείας *add* καὶ μακρᾶς T ‖ **25** τῇ κλητικῇ τῷ τονικῷ Tb, τῇ γενικῇ τῷ κοινῷ C ‖ **26** ἥμισυν b ‖ **27** αἱ *ante* ἅμ. *om* T ‖ **28** παραλαμβάνονται C ‖ **32** τύπτομαι T ‖ **35** ἐκ τοῦ ποίησαι εὐκτικοῦ μὴ CT ‖ **36** παροξύνεσθαι] προπαροξύνεσθαι CTb, C *autem addito signo* ·.·

ποιῆσαι ἡνίκα μέν ἐστιν εὐκτικόν, ⟨οἷον⟩ ποιήσαιμι ποιήσαις ποιήσαι, παροξύνεται, ὡς τῆς αι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης· ὅτε δέ ἐστιν ἀπαρέμφατον, οἷον ποιῆσαι θέλω, προπερισπᾶται, ὡς τῆς αι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης, ἤγουν ἀντὶ βραχείας. Καὶ διατί δὲ ἡ αι δίφθογγος ἐν ⟨μὲν⟩ τοῖς ὁριστικοῖς καὶ ἀπαρεμφάτοις καὶ προστακτικοῖς καὶ ὑποτακτικοῖς ἀντὶ κοινῆς παραλαμβάνεται, ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς, ἐν τοῖς προστακτικοῖς εἰ θεῷ φίλον μαθησόμεθα, ἐν τῇ διδασκαλίᾳ τοῦ πρώτου μέσου ἀορίστου. Ἐν δὲ τοῖς 1214 b
ἐπιρρήμασιν ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος τῷ το- 402 a
νικῷ παραγγέλματι, οἷον βαβαί παπαί χαμαί, χωρὶς τοῦ πάλαι καὶ τῶν παρ' αὐτοῦ, οἷον ἔκπαλαι πρόπαλαι· ταῦτα δὲ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς ἔχουσι παραλαμβανομένην τὴν αι δίφθογγον, ὅθεν καὶ προπαροξύνονται. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, τί δήποτε ἡ οι καὶ ἡ αι δίφθογγος μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται, οἷον ἄνθρωποι Ὅμηροι Ἀρίσταρχοί ἅμαξαι τράπεζαι ἄελλαι. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἰστέον ὅτι ἕνδεκα δίφθογγοί εἰσιν· ἔστι γὰρ ἡ ει δίφθογγος καὶ ἡ αι καὶ ἡ οι καὶ ἡ αυ καὶ ἡ ευ καὶ ἡ ου καὶ ἡ ῃ καὶ ἡ ῳ, ἡ διὰ τοῦ η καὶ ι καὶ ἡ διὰ τοῦ ω καὶ ι, καὶ ἡ ηυ καὶ ἡ ωυ, ἡ διὰ τοῦ η καὶ υ καὶ ἡ διὰ τοῦ ω καὶ υ, οἷον ὡὐτός [ἀνήρ] ἀντὶ τοῦ ὁ αὐτός, καὶ ἡ υι ἡ διὰ τοῦ υ καὶ ι. Αὗται τοίνυν αἱ ἕνδεκα δίφθογγοι ἀνεμερίσαντο ἑαυτὰς καὶ ἐγένοντο κατὰ τρόπους τρεῖς· αἱ μὲν γὰρ αὐτῶν εἰσι κατ' ἐπικράτειαν, αἱ δὲ κατὰ διέξοδον, αἱ δὲ κατὰ κρᾶσιν· καὶ κατὰ μὲν ἐπικράτειάν εἰσιν ὡς ἐπὶ τῆς ῃ διφθόγγου, τῆς διὰ τοῦ η καὶ ι, καὶ τῆς ῳ, ⟨τῆς διὰ τοῦ ω καὶ ι⟩, καὶ τῆς ᾳ, τῆς ἐχούσης τὸ ι ἀνεκφώνητον· ἐπὶ τούτων γὰρ ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος ἐπικρατεῖ καὶ αὐτὸς ⟨μόνος⟩ ἐξακούεται, οἷον τῇ Ἑλένῃ, τῷ καλῷ, τῇ Μηδείᾳ· κατὰ κρᾶσιν δέ εἰσιν ὡς ἐπὶ τῆς ου διφθόγγου καὶ τῆς αυ καὶ τῆς ευ· ἐπὶ τούτων γὰρ συγκιρνῶσιν ἑαυτὰ τὰ δύο φωνήεντα καὶ ἀποτελοῦσι μίαν φωνὴν ἁρμόζουσαν τοῖς δύο φωνήεσιν, οἷον αὐλός εὔχομαι οὗτος· κατὰ διέξοδον δέ εἰσιν ὡς ἐπὶ τῆς ηυ διφθόγγου, τῆς διὰ τοῦ η καὶ υ, καὶ τῆς ωυ, τῆς διὰ τοῦ ω καὶ υ, καὶ τῆς υι, τῆς διὰ τοῦ υ καὶ ι· ἐπὶ τούτων γὰρ χωρὶς ἀκούεται ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος, τουτέστι ⟨τοῦ υ καὶ⟩ τοῦ ι, καὶ χωρὶς τοῦ ἑτέρου φωνήεντος, οἷον νηυσίν υἱός ὡὐτός, ⟨E 396⟩ εὖτέ μιν ὡὐτὸς ἀνήρ, ἀντὶ τοῦ ὁ αὐτός. Ἐπειδὴ οὖν ἡ αι δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι καὶ

[Discr. scr. in CTb] **1** οἷον *om* CTb ‖ **5** δὲ *om* Tb | μὲν *om* CTb ‖ **6** δὲ *om* C ‖ **8** μαθησόμεθα] *cfr. p. 764, 17 seqq.* g. ‖ **9** τονικῷ b, κοινῷ CT ‖ **10** παπαὶ βαβαὶ T ‖ **11** τονικῷ Tb, κοινῷ C ‖ **14** ἡ οι] οἱ οι C | δίφθογγοι Tb ‖ **18** ει] εις C | καὶ ἡ οι καὶ ἡ αι Tb ‖ **19** καὶ ἡ διὰ τοῦ ω καὶ ι καὶ ἡ *om* T ‖ **20** ἡ *ante* ωυ *om* T ‖ **21** ὁ *ante* αὐτός *om* C ‖ **24** ῃ] υι T ‖ **25** ῃ] υ T | τῆς διὰ τοῦ ω καὶ ι *om* CTb ‖ **26** ἐπὶ τούτων γὰρ ὁ φθ. b, ἐπὶ τούτων ὁ γὰρ φθ. C, καὶ γὰρ ἐπὶ τούτων ὁ φθ. T ‖ **27** μόνος *om* CTb ‖ **31** αὐλοί T ‖ **34** τοῦ υ καὶ *om* CTb

ἡ ο̅ι̅ δίφθογγος οὔτε κατ' ἐπικράτειάν εἰσιν οὔτε κατὰ διέξοδον οὔτε
403 g κατὰ κρᾶσιν, εἰκότως ὥσπερ ἐστερήθησαν τοῦ ἰδιώματος τῶν διφθόγγων, ἐστερήθησαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου ταῖς διφθόγγοις, καὶ τούτου χάριν αὗται μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυ χρόνον ἔχουσιν·
1215 b πρόσκειται «ἡ ἐκφωνοῦσα τὸ ι̅», οἷον «ἡ α̅ι̅ δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι̅», ἐπειδὴ ἡ α̅ι̅ δίφθογγος ἡ ἀνεκφώνητον ἔχουσα τὸ ι̅, ὡς εἴρηται, κατ' ἐπικράτειάν ἐστι· καὶ γὰρ ἐν ταύτῃ ὁ φθόγγος τοῦ α̅ ἐπικρατεῖ, οἷον τῇ Μηδείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται, «καὶ χωρὶς τοῦ η̅ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς α̅ι̅ διφθόγγου παρὰ τοῖς Βοιωτοῖς»· τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ τύπτομαι οἱ Βοιωτοὶ τρέποντες τὴν α̅ι̅ δίφθογγον εἰς τὸ η̅ προπαροξύνουσι καὶ λέγουσι τύπτομη. Ἔτι δεῖ προσθεῖναι «καὶ χωρὶς τοῦ υ̅ τοῦ μακροῦ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς ο̅ι̅ διφθόγγου παρὰ τοῖς Βοιωτοῖς»· τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ Ὅμηροι τρέποντες τὴν ο̅ι̅ δίφθογγον οἱ Βοιωτοὶ εἰς τὸ υ̅ μακρὸν προπαροξύνουσι καὶ λέγουσιν Ὅμηρυ, καὶ ἰδοὺ εὑρίσκεται τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἔχουσα μακρὰν φύσει τὴν τελευταίαν συλλαβήν.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ εἰπεῖν τὸν τεχνικόν, ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις.

Τούτων οὕτως ἐχόντων σημειοῦται ὁ τεχνικὸς τὸ μητέρος καὶ θυγατέρος, ὅτι οὐκ ἐφύλαξαν τὸν τόνον ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφ' ἧς καὶ ἡ εὐθεῖα· τὸ γὰρ μήτηρ καὶ θυγάτηρ παροξύτονα ὄντα ὤφειλον ἐν τῇ γενικῇ προπαροξύνεσθαι καὶ γίνεσθαι μήτερος καὶ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος, ἵνα φυλάξωσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφ' ἧς συλλαβῆς τὸν τόνον ἔχει καὶ ἡ εὐθεῖα· ἀλλ' ἠκολούθησαν τοῖς
404 g ἰδίοις συγγενικοῖς κατὰ τὸν τόνον τῆς γενικῆς, λέγω δὴ τῷ πατέρος ἀνέρος δαέρος (δαήρ δέ ἐστιν ὁ ἀνδράδελφος), καὶ παρωξύνθησαν ὁμοίως αὐτοῖς, οἷον μητέρος θυγατέρος. Ταῦτα μὲν ἐν τούτοις.

Ἡμάρτηται δέ, φησίν, ⟨καὶ⟩ τὸ γυναικός καὶ θυγατρός· καὶ γὰρ παράλογός ἐστιν ἡ γενικὴ ὀξυνομένη ἐπὶ τοῦ γυναικός καὶ θυγατρός· πᾶσα γὰρ γενικὴ εἰς ο̅ς̅ λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντος Θόαντος λέβητος Λάχητος Ξενοφῶντος

[Discr. scr. in CTb] **1** ἡ *ante* ο̅ι̅ *om* T ‖ **2** ὥσπερ] ἅνπερ T ‖ **5** ἥμισυν b ‖ **6** ἡ ἐκφ. τὸ ι̅ *post* δίφθογγος *om* T ‖ **8** ταύτῃ] ταύταις CTb ‖ **13** τροπῆς *post* διφθόγγου *transp.* CT ‖ **16** τύπτομη b, τύπτομοι C, τυπτόμενη T ‖ **19** μακρὸν CTb, μικρὸν *Lentzius II 366, 8* ‖ **20** Ὅμηρυ] ὅμηροι T | ἀπὸ τέλους τρίτη T ‖ **28** συλλαβῆς *om* b ‖ **30** τοῖς] τῆς *addito signo* ∵ C ‖ **31** δὴ] δὲ CTb | τῷ b, τὸ CT ‖ **32** δαέρος *om* T | παροξύνθησαν T; *item p. 368, 18* ‖ **34** *primum* καὶ *om* CTb | καὶ γὰρ — θυγατρός (**35**) *in mg. add* C²

Ἀγλαοφῶντοϲ Ϲιδῶνοϲ Μακεδόνοϲ ἀϲπίδοϲ ῥανίδοϲ βολίδοϲ· παραλόγωϲ ἄρα ἡ γυναικόϲ καὶ θυγατρόϲ γενικαὶ ὀξύνονται. Ἀλλ' ἔϲτιν εἰπεῖν, ὅτι ϲυναπηνέχθηϲαν αὗται τοῖϲ ἰδίοιϲ ϲυγγενικοῖϲ κατὰ τὸν τόνον, φημὶ 1216 b δὴ τῇ πατρόϲ γενικῇ καὶ τῇ ἀνδρόϲ καὶ τῇ μητρόϲ, καὶ ὀξύνονται ὁμοίωϲ ταύταιϲ ταῖϲ γενικαῖϲ.

Ἐπειδὴ δὲ εἰρήκαμεν, ὅτι πᾶϲα γενικὴ εἰϲ οϲ λήγουϲα ὑπὲρ δύο ϲυλλαβὰϲ ἀπέϲτραπται τὴν ὀξεῖαν τάϲιν, δεῖ γινώϲκειν, ὅτι πᾶϲα γενικὴ εἰϲ ο͞ϲ λήγουϲα ὑπὲρ δύο ϲυλλαβάϲ — ὑπεϲταλμένηϲ δηλονότι τῆϲ γυναικόϲ καὶ θυγατρόϲ γενικῆϲ ὀξυνομένηϲ παραλόγωϲ — ἢ παροξύνεται ἢ προπαροξύνεται ἢ προπεριϲπᾶται. Προπαροξύνονται μὲν οὖν αἱ εἰϲ ο͞ϲ λήγουϲαι γενικαί, ὑπὲρ δύο ϲυλλαβὰϲ δηλονότι οὖϲαι, ὅϲαι εἰϲὶν ἀπὸ παροξυνομένων εὐθειῶν ἢ προπαροξυνομένων ἢ προπεριϲπωμένων· ἀπὸ παροξυνομένων μὲν εὐθειῶν, οἷον Αἴαϲ Αἴαντοϲ, Θόαϲ Θόαντοϲ, πένηϲ πένητοϲ, Δάρηϲ Δάρητοϲ, Πάριϲ Πάριδοϲ, Θέτιϲ Θέτιδοϲ, Δημήτηρ Δημήτεροϲ, εἰνάτηρ εἰνάτεροϲ (ϲημαίνει δὲ τὴν ϲύννυμφον, ⟨Ζ 378⟩ καὶ εἰνατέρων ἐυπέπλων)· ἐχρῆν οὖν καὶ παρὰ τὸ μήτηρ καὶ θυγάτηρ παροξύτονον μήτεροϲ καὶ θυγάτεροϲ εἶναι κατὰ τὴν γενικὴν προπαροξυτόνωϲ· ἀλλ', ὡϲ εἴρηται, παρωξύνθηϲαν ὁμοίωϲ τοῖϲ ἰδίοιϲ ϲυγγενικοῖϲ, οἷον μητέροϲ καὶ θυγατέροϲ, ὥϲπερ πατέροϲ ἀνέροϲ καὶ δαέροϲ· ἀπὸ προπαροξυνομένων δέ, οἷον Ἄδωνιϲ Ἀδώνιδοϲ, φίλημα φιλήματοϲ, νόημα νοήματοϲ, Ἄρτεμιϲ Ἀρτέμιδοϲ, Ἄθηνιϲ Ἀθήνιδοϲ, Θέογνιϲ Θεόγνιδοϲ· ἀπὸ προπεριϲπωμένων δέ, οἷον μνῆμα μνήματοϲ, βῆμα βήματοϲ, αἷμα αἵματοϲ, κῦμα κύματοϲ, ϲῶμα ϲώματοϲ, νεᾶνιϲ νεάνιδοϲ, θοῦριϲ θούριδοϲ, οἷον ⟨ex. gr. Ο 250⟩ θούριδοϲ ἀλκῆϲ. Παροξύνονται δὲ αἱ εἰϲ ο͞ϲ λήγουϲαι γενικαί, δηλονότι ὑπὲρ 405 g δύο ϲυλλαβὰϲ ὑπάρχουϲαι, ὅϲαι εἰϲὶν ἀπὸ ὀξυνομένων εὐθειῶν καὶ βραχείᾳ παραλήγονται, οἷον ταχύϲ ταχέοϲ, βραδύϲ βραδέοϲ, ἡδύϲ ἡδέοϲ, Ἀχιλλεύϲ Ἀχιλλέοϲ, Πηλεύϲ Πηλέοϲ, ἀϲτήρ ἀϲτέροϲ, αἰθήρ αἰθέροϲ, ἀήρ ἀέροϲ, ἀϲπίϲ ἀϲπίδοϲ, εὐϲεβήϲ εὐϲεβέοϲ, εὐγενήϲ εὐγενέοϲ, ποιμήν ποιμένοϲ, ὀδούϲ ὀδόντοϲ· θέϲει γὰρ μακρὰ ἡ παραλήγουϲα καὶ οὐ φύϲει, καὶ λοιπὸν βραχεῖαν μιμεῖται. Προπεριϲπῶνται δὲ ὅϲαι φύϲει μακρᾷ παραλήγονται, οὖϲαι ἀπὸ ὀξυτόνων εὐθειῶν ἢ περιϲπωμένων, ἀπὸ μὲν ὀξυτόνων, οἷον χειμών χειμῶνοϲ, αἰών αἰῶνοϲ, ἀγών ἀγῶνοϲ, ϲωλήν ϲωλῆνοϲ, δοθιήν δοθιῆνοϲ, ϲτατήρ ϲτατῆροϲ, καμπτήρ καμπτῆροϲ, ἡμιθνήϲ ἡμιθνῆτοϲ, νεοδμήϲ νεοδμῆτοϲ, ψηφίϲ ψηφῖδοϲ, κρηπίϲ κρηπῖδοϲ, ἰχώρ ἰχῶροϲ· ἀπὸ περιϲπωμένων δέ, οἷον Ξενοφῶν Ξενοφῶντοϲ, Ἀγλαοφῶν Ἀγλαοφῶντοϲ, Ἱπποκῶν Ἱπποκῶντοϲ, Δημοφῶν Δημοφῶν-

[Discr. scr. in CTb] **1** βολίδοϲ ἀϲπίδοϲ ῥανίδοϲ b ‖ **2** Ἀλλ' CT, καὶ b ‖ **4** δὴ T, δὲ Cb ‖ **10** προπαροξύνεται μὲν T ‖ **12** ἢ προπαροξυνομένων — εὐθειῶν (**13**) *om* Tb ‖ **15** ϲύνυμφον CTb ‖ **16** καὶ εἰν. CTb | εὐπέπλων] δὲ πίπλων T | καὶ *post* οὖν *om* T ‖ **17** μητέροϲ καὶ θυγατέροϲ T ‖ **18** ὁμοίωϲ *om* T ‖ **19** καὶ *ante* θυγ. *om* T ‖ **22** περιϲπωμένων T ‖ **24** θούριδοϲ οἷον *om* C ‖ **29** ἀὴρ ἀέροϲ *in marg. add* C² ‖ **30** γὰρ Cb, δὲ T ‖ **34** δοθὴν δοθῆνοϲ CT ‖ **35** ψηφίδοϲ C ‖ **37** Ἀγλαοφῶν *om* C

1217 b τος, Ποσειδῶν Ποσειδῶνος, Σιμοῦς Σιμοῦντος, πλακοῦς πλακοῦντος, τιμῆς τιμῆντος, οἷον ⟨C 475⟩ χρυσὸν τιμῆντα καὶ ἄργυρον. Ταῦτα μὲν περὶ τῶν εἰς $\overline{\text{ος}}$ ληγουσῶν γενικῶν τῶν ὑπὲρ δύο συλλαβάς.

Ἰστέον δὲ ὅτι τὸ ἰᾶς καὶ μιᾶς οὐκ ἐφύλαξαν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς ἔχει καὶ ἡ εὐθεῖα· ἡ γὰρ εὐθεῖά ἐστιν ἴα καὶ μία παροξυτόνως, καὶ ὤφειλεν ἡ γενικὴ παροξύνεσθαι, οἷον ἴας καὶ μίας, ἵνα φυλάξῃ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς ἔχει καὶ ἡ εὐθεῖα· οὐκ ἐγένετο δὲ οὕτως, ἀλλ' ἰᾶς καὶ μιᾶς περισπωμένως. Καὶ λέγει ὁ τεχνικός, ὅτι ταῦτα Ἰωνικὴν ἔχουσι τάσιν, καὶ οὐκ ἐσαφήνισεν ἡμῖν τὸ λεγόμενον. Ἔστι δὲ τὸ λεγόμενον τοιαύτην ἔχον τὴν ἐξήγησιν· ἐπὶ τῶν εἰς $\overline{\alpha}$ βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρυτονεῖν τὰς λέξεις ὡς καὶ ἡμεῖς, οἷον ἄγυια ἅρπυια ⟨Θέσπια⟩ Πλάταια· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος, οἷον ἀγυιᾶς ἁρπυιᾶς Θεσπιᾶς Πλαταιᾶς· ἰδοὺ ταῦτα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐπιδέχονται τὸν τόνον· ἐπειδὴ οὖν τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτοῦσι, τούτου χάριν Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον καὶ περιεσπάσθησαν, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ. Τοῦτο οὖν τῷ 406 g τεχνικῷ εἰρημένον ἐστί «τὸ γὰρ ἰᾶς καὶ μιᾶς Ἰωνικὴν ἔχει τάσιν», τουτέστιν ὅτι τῆς εὐθείας βαρυτονουμένης καὶ βραχυκαταληκτούσης ἡ γενικὴ καὶ ἡ δοτικὴ μακροκαταληκτοῦσαι Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ· ὅθεν ἡ αἰτιατική, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ, οἷον ἴαν καὶ μίαν.

Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτοῦσι. Καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· διὰ τοῦτο ἡ ἰᾶς καὶ μιᾶς γενικὴ μακροκαταληκτεῖ, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ μακροκαταληκτεῖν θέλει, οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, δίψα δίψης, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας, Μήδεια Μηδείας· οὕτως οὖν καὶ ἴα ἰᾶς καὶ μία μιᾶς διὰ μακροῦ τοῦ $\overline{\alpha}$ κατὰ τὴν γενικήν· πρόσκειταί «ἰσοσυλλάβως κλινομένη» διὰ τὸ Αἴας Αἴαντος καὶ Λάχης Λάχητος· ταῦτα γὰρ οὐ μακροκαταληκτοῦσι κατὰ τὴν γενικήν, ἀλλ' οὐ κλίνονται ἰσοσυλλάβως· ἡ πατρός καὶ μητρός γενικὴ ἰσοσυλλαβοῦσαι τῇ εὐθείᾳ, φημὶ δὴ τῇ πατήρ καὶ μήτηρ, καὶ μὴ 1218 b μακροκαταληκτοῦσαι οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐ κλίνονται ἰσοσυλλάβως· πατήρ γὰρ πατέρος ἦν καὶ μήτηρ μητέρος, καὶ κατὰ συγκοπὴν γεγόνασι πατρός καὶ μητρός, καὶ λοιπὸν ἡ συναίρεσις αἰτία γέγονε τῆς

[Discr. scr. in CTb] **1** πλακοῦς *in marg. add* T[2] ‖ **3** ληγουσῶν b, ληγόντων CT ‖ **10** Ἔστι — λεγόμενον *in marg. add* C[2] ‖ **11** εἰς $\overline{\alpha}$] εἰς $\overline{\alpha\varsigma}$ T ‖ **12** Θέσπια *om* C,Tb | Πλάταια b, πλατεῖα CT ‖ **14** ἀγυιᾶς ἁρπυιᾶς] ὀργυιᾶς ἀγυιᾶς CTb | πλατειᾶς CT ‖ **17** οἷον *om* T | καὶ *ante* μιᾶς *om* C | τῷ τεχνικῷ Cb, τὸ ὑπὸ τοῦ τεχνικοῦ T ‖ **18** καὶ μιᾶς *om* C ‖ **21** αἰτιακὴ T ‖ **34** ἰσοσυλλαβοῦσα CTb | δὴ T, δὲ Cb ‖ **35** ἐπεὶ T

ἰϲοϲυλλαβίαϲ· πρόϲκειται «κλινομένη» διὰ τὸ ἄλφα τοῦ ἄλφα, τὸ βῆτα τοῦ βῆτα· ἐπὶ τούτων γὰρ ἡ γενικὴ οὐ μακροκαταληκτεῖ ἰϲοϲυλλάβωϲ κλινομένη, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ μονόπτωτά εἰϲι καὶ τὴν αὐτὴν φωνὴν πανταχοῦ φυλάττουϲιν.

Ἔχομεν οὖν δι' ἣν αἰτίαν ἡ ἰᾶϲ καὶ μιᾶϲ γενικὴ μακροκαταληκτεῖ. Ἡ δὲ ἰᾷ καὶ μιᾷ δοτικὴ διὰ τοῦτο μακροκαταληκτεῖ, πρῶτον μὲν ὅτι, ὡϲ εἴρηται, καὶ ἡ γενικὴ τούτων μακροκαταληκτεῖ, οἷον ἰᾶϲ καὶ μιᾶϲ· πᾶϲα δὲ δοτικὴ ἑνικῶν ἰϲοϲυλλαβοῦϲα τῇ ἰδίᾳ γενικῇ ἰϲοχρονεῖν αὐτῇ θέλει, οἷον Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, δίψηϲ δίψῃ, Αἴαντοϲ Αἴαντι, Λάχητοϲ Λάχητι, πένητοϲ πένητι· εἰ οὖν ἡ ἰᾶϲ καὶ μιᾶϲ γενική, 407 g ὡϲ εἴρηται, μακροκαταληκτεῖ, δηλονότι εὐλόγωϲ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτεῖ· πρόϲκειται «ἰϲοϲυλλαβοῦϲα τῇ ἰδίᾳ γενικῇ» διὰ τὸ ταχέοϲ ταχεῖ, βραδέοϲ βραδεῖ· ἐπὶ τούτων γὰρ ἡ δοτικὴ μακροκαταληκτεῖ τῆϲ γενικῆϲ βραχυκαταληκτούϲηϲ, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἰϲοϲυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ. Δεύτερον δὲ διὰ τοῦτο ἐν τῇ ἰᾷ καὶ μιᾷ δοτικῇ μακρόν ἐϲτι τὸ ᾱ, ἐπειδὴ τὸ ῑ ἀνεκφώνητόν ἐϲτιν· ἐμάθομεν γὰρ ὅτι τὸ ῑ τότε εὑρίϲκεται ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ ϲυλλαβῇ, οἷον τῇ ϲοφῇ, τῷ καλῷ, τῇ Μηδείᾳ.

Ἔχομεν οὖν τὴν αἰτίαν δι' ἣν ἡ ἰᾶϲ καὶ μιᾶϲ γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακρὸν ἔχουϲι τὸ ᾱ. Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί ἡ ἰᾶϲ καὶ μιᾶϲ γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ ἐπὶ τέλουϲ ἔχουϲαι τὸν τόνον [καὶ] περιϲπῶνται καὶ οὐκ ὀξύνονται. Ἔϲτιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην· οὐκ ἠδύναντο αἱ γενικαὶ αὗται καὶ δοτικαὶ ὀξύνεϲθαι, ἐπειδὴ κανών ἐϲτιν ὁ λέγων, ὅτι πᾶϲα γενικὴ καὶ δοτικὴ μακροκαταληκτοῦϲα ἐπ' ὀνομάτων, ἐπὶ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ ἔχουϲα τὸν τόνον, περιϲπωμένην δέχεται, χωρὶϲ εἰ μὴ ἀπὸ ὀξυτονουμένηϲ εὐθείαϲ γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ ϲ̄· ἔϲτωϲαν δὲ παραδείγματα τοῦ κανόνοϲ ταῦτα, ϲοφοῦ ϲοφῷ ϲοφοῖν ϲοφῶν ϲοφοῖϲ, καλοῦ καλῷ καλοῖν καλῶν καλοῖϲ, τιμῆϲ τιμῇ τιμαῖν τιμῶν τιμαῖϲ, φοβερᾶϲ φοβερᾷ φοβεραῖν φοβερῶν φοβεραῖϲ, Ϲαπφοῦϲ Ϲαπφοῖ Ϲαπφοῖν Ϲαπφῶν Ϲαπφοῖϲ, πτεροῦ πτερῷ πτεροῖν πτερῶν πτεροῖϲ· οὕτωϲ οὖν καὶ ⟨ἡ⟩ ἰᾶϲ καὶ μιᾶϲ γενικὴ καὶ ⟨ἡ⟩ ἰᾷ καὶ μιᾷ δοτικὴ 1219 b περιϲπῶνται καὶ οὐκ ὀξύνονται. Πρόϲκειται ἐν τῷ κανόνι «μακροκαταληκτοῦϲα» διὰ τὸ μηνόϲ μηνί, χηνόϲ χηνί, φωτόϲ φωτί· ταῦτα γὰρ οὐ περιϲπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰϲὶ μακροκατάληκτα ἀλλὰ βραχυκατάληκτα· πρόϲκειται «ἐπ' ὀνομάτων» διὰ τὴν ἐμοί

[Discr. scr. in CTb] **1** τὸ ἄλφα *om* T | τὸ βῆτα Cb, καὶ T ‖ **2** οὐ *om* C ‖ **3** ἀντίκειται CTb | καὶ *om* T ‖ **7** *post* εἴρηται *iterum add* ὅτι T ‖ **8** δὲ *om* T ‖ **10** ἡ b, *om* CT | γενική *om* T ‖ **15** ἡ γενικὴ τῇ δοτικῇ T ‖ **16** ἐμάθομεν] *cfr. ex. gr. p. 127, 37* ‖ **22** ἔχουϲι CTb ‖ **27** ὀξυτονουμένηϲ] ὀξυνομένηϲ Cb, ὀξυτονουμένου T | γίνεται T ‖ **31** Ϲαπφαῖν T | Ϲαπφαῖϲ T ‖ **32** ἡ *ante* ἰᾶϲ *om* CT | γενικὴ b, γενικῆϲ CT | ἡ *ante* ἰᾷ *om* CT | δοτικὴ] δοτικῇ T, δοτικαὶ C, δοτικὴ καὶ b ‖ **33** μακροκαταληκτοῦϲαι T ‖ **34** γὰρ *om* T ‖ **35** ἀντίκειται CTb ‖ **36** τὴν b, τὸ CT

καὶ coί ἀντωνυμίας· αὗται γὰρ οὐ περιςπῶνται ἀλλ' ὀξύνονται· πρόςκειται «ἐπὶ τῆς τελευταίας cυλλαβῆς ἔχουcα τὸν τόνον» διὰ τὸ Ὁμήρου 408 g Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ· ταῦτα γὰρ μακροκατάληκτά εἰcι καὶ ὅμως οὐ περιςπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουcιν ἐπὶ τῆς τελευταίας cυλλαβῆς τὸν τόνον· πρόςκειται ἐν τῷ κανόνι «χωρὶς εἰ μὴ ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ c̄», ἐπειδὴ ἐὰν ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ c̄, τότε καὶ ἡ γενικὴ καὶ ἡ δοτικὴ ὀξύνονται ὁμοίως τῇ εὐθείᾳ, οἷον ὁ νεώς τοῦ νεώ τῷ νεῴ, ὁ λεώς τοῦ λεώ τῷ λεῴ, ὁ Ζώς τοῦ Ζώ τῷ Ζῴ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰςτέον ⟨δὲ⟩ ὅτι αἱ εἰς ο̄c̄ γενικαὶ διςύλλαβοι ἐπ' ὀνομάτων ὀξύνεcθαι θέλουcιν, οἷον μηνός χηνός γραός φωτός ποδός παιδός φρενός cυός δρυός cφηνός cπληνός Κρητός κτενός χθονός ἑνός βοός χροός δμωός ἁλός cαρκός Cφιγγός πατρός ἀνδρός μητρός γαcτρός, χωρὶς εἰ μὴ ἀπὸ cυναιρέcεως εὑρεθῇ ἡ γενικὴ ἢ πρὸς ἀντιδιαcτολὴν ἑτέρου cημαινομένου ἢ χαρακτῆρι ἀκολουθήcῃ· ἀπὸ cυναιρέcεως μὲν διὰ τὸ λᾶος· ἀπὸ γὰρ τριcυλλάβου γενικῆς τῆς λάαος ἐγένετο λᾶος, cυναιρέcεως παρακολουθηcάcης ἤγουν κράcεως τῶν δύο ᾱᾱ εἰς ἓν ᾱ μακρὸν δηλονότι, διὸ καὶ προπεριcπᾶται, οἷον ⟨ex. gr. M 462⟩ λᾶος ὑπὸ ῥιπῆς, τουτέcτιν ὑπὸ τῆς βολῆς τοῦ λίθου· καὶ πάλιν ἐcτὶ κέαρ κέαρος καὶ ἔαρ ἔαρος, καὶ γίνονται κατὰ cυναίρεcιν ἤγουν κατὰ κρᾶcιν τοῦ ε̄ καὶ ᾱ εἰς η̄ κῆρος καὶ ἦρος προπεριcπωμένως· καὶ πάλιν ἐcτὶν ἡ εὐθεῖα ὕϊc, ὡc ὄφις, καὶ γίνεται ἡ γενικὴ ὕϊος, ὡc ὄφιος, προπαροξυτόνως, καὶ κατὰ cυναίρεcιν τοῦ ῡ καὶ ῑ εἰς τὴν ῡῑ δίφθογγον υἷος προπεριcπωμένως, ὡc παρ' Ὁμήρῳ ⟨B 230⟩ Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα· ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Περὶ παθῶν οὕτω τοῦτο cχηματίζων φηcίν, ὅτι ἐcτὶν υἷις διὰ τῆς ῡῑ διφθόγγου κατὰ τὴν παρα- 1220 b λήγουcαν· τούτου ἡ γενικὴ υἵιος, καὶ κατὰ κρᾶcιν ⟨τῆς ῡῑ διφθόγγου καὶ τοῦ ῑ εἰς τὴν ῡῑ δίφθογγον υἷος, καὶ ἡ δοτικὴ υἵιι, καὶ κατὰ κρᾶcιν⟩ τῶν δύο ῑῑ εἰς ἓν δηλονότι μακρὸν υἵι, ὥcπερ Θέτιι Θέτι, ⟨C 407⟩ Θέτι καλλιπλοκάμῳ. Τούτων οὕτως ἐχόντων ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν τὸ ὕϊc ὕϊος κατὰ μὲν τὴν γενικὴν ἔπαθε cυναίρεcιν τοῦ ῡ 409 g καὶ ῑ εἰς τὴν ῡῑ δίφθογγον, κατὰ δὲ τὴν εὐθεῖαν οὐ πάcχει cυναίρεcιν τοῦ ῡ καὶ ῑ εἰς τὴν ῡῑ δίφθογγον. Καὶ ἔcτιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ ὕϊc κατὰ τὴν εὐθεῖαν οὐ πάcχει cυναίρεcιν τοῦ ῡ καὶ ῑ εἰς τὴν ῡῑ δί-

---

[Discr. scr. in CTb] **1** ἀντωνυμίαν CTb ‖ **4** ἀντίκειται T ‖ **6** ὀξυνομένης T; *item v. 7* ‖ **10** τῷ ζῴ *om* T ‖ **11** Ἰcτέον] *huc delegamur p. 354, 34* | δὲ *om* CTb | ἐπ' ὀνομ. b, ἐπὶ ὀνομ. CT ‖ **12** ποδός *om* T | παιδός *om* Cb ‖ **14** ἁλός *om* Cb | γαcτρός *om* b ‖ **15** ἡ γενικὴ εὑρεθῇ T ‖ **17** τῆς] τοῦ CTb ‖ **20** τουτέcτιν — λίθου *om* T | καὶ *ante* ἔαρ *om* b ‖ **22** εἰς] εἰ T ‖ **24** καὶ *ante* κατὰ *om* T ‖ **25** ἱπποδώμων T ‖ **26** οὕτωc CT ‖ **27** διφθόγγου *om* Cb ‖ **28** κρᾶcιν Cb, cυναίρεcιν T | τῆς ῡῑ — κρᾶcιν (**30**) *om* CTb, *addidi secutus Lobeck. Path. 1, 293* ‖ **30** υἵι *Lobeckius*, υἷος CTb ‖ **32** υἵϊc υἵϊος T ‖ **33** κατὰ δὲ — δίφθογγον (**34**) *om* T ‖ **34** τὸ *om* T

φθογγον, ἐπειδὴ οὐδέποτε μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον ἅρπυια μυῖα υἱός· εἰ ἔπαθεν οὖν τὸ ὕϊς κατὰ τὴν εὐθεῖαν συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν ῡι δίφθογγον, ἤμελλε μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον ἐπιφέρεσθαι τὸ ς̄, ὅπερ ἐστὶν ἄτοπον. Ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα διὰ τοῦτο ἡ λᾶος γενικὴ καὶ ἡ κῆρος καὶ ἦρος βαρύνονται, ἐπειδὴ ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς λάαος καὶ κέαρος καὶ ἔαρος, διὰ ποίαν αἰτίαν καὶ ἡ πατρός καὶ μητρός καὶ ἀνδρός γενικαὶ οὐ βαρύνονται, οἷον πάτρος καὶ μῆτρος καὶ ἄνδρος, ἐπειδὴ καὶ αὗται ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς πατέρος καὶ μητέρος καὶ ἀνέρος. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ μὲν πατρός καὶ μητρός καὶ ἀνδρός γενικαὶ συγκοπὴν πεπόνθασι τοῦ ε̄ καὶ τελείως ἀποβάλλουσι τὴν μίαν συλλαβήν, καὶ λοιπὸν ὡς κυρίως δισύλλαβοι ὠξύνθησαν, ἡ δὲ λᾶος καὶ κῆρος καὶ ἦρος γενικαὶ κρᾶσιν πεπόνθασι καὶ δυνάμει τρισύλλαβοί εἰσιν· οὐδὲ γὰρ ἐποιήσαντο ἀποβολὴν συλλαβῆς ἀλλὰ κρᾶσιν τῶν δύο φωνηέντων, καὶ λοιπὸν ὡς δυνάμει τρισύλλαβοι εὐλόγως βαρύνονται.

Πρὸς ταῦτα ἀποροῦσί τινες λέγοντες, εἰ ἄρα τὸ λᾶος καὶ κῆρος καὶ ἦρος ὡς δυνάμει τρισύλλαβα ἐβαρύνθησαν, διὰ ποίαν αἰτίαν τὸ ὄϊς ὄϊος γενόμενον κατὰ συναίρεσιν οἶς οἰός μὴ ἐβαρύνθη· καὶ τοῦτο γὰρ δυνάμει τρισύλλαβόν ἐστιν. Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ μὲν λᾶος καὶ κῆρος καὶ ἦρος οὐ μόνον ἐν τῇ εὐθείᾳ συναιροῦνται ἀλλὰ καὶ ἐν τῇ γενικῇ, οἷον λᾶας λᾶς λάαος λᾶος, κέαρ κῆρ κέαρος κῆρος, ἔαρ ἦρ ἔαρος ἦρος, καὶ τούτου χάριν ὡς δυνάμει τρισύλλαβα ὄντα ἐν τῇ γενικῇ ἐβαρύνθησαν· τὸ δὲ οἶς οἰός οὐκ ἔπαθεν ἐν τῇ γενικῇ συναίρεσιν ἀλλ' ἐν τῇ εὐθείᾳ μόνον, οἷον ὄϊς οἶς, καὶ λοιπὸν ἀπὸ τῆς συνῃρημένης εὐθείας ἐκλίθη οἰός ἡ γενική, καὶ τούτου χάριν ὡς μὴ οὖσα ἡ γενικὴ 1221 b τρισύλλαβος δυνάμει ἀλλὰ κυρίως δισύλλαβος ὠξύνθη. Τοῦτο δὲ καὶ 410 g ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὴ τὸ ἐν τῇ εὐθείᾳ μόνον γίνεσθαι συναίρεσιν, καὶ λοιπὸν ἐκ τῆς συνῃρημένης εὐθείας κλίνεσθαι τὴν γενικήν, ὡς ἐπὶ τοῦ φῶς φωτός καὶ ὦς ὠτός· ἔστι γὰρ φόας φόατος καὶ ὄας ὄατος, καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ ⟨ἐν⟩ τῇ εὐθείᾳ καὶ γίνεται φῶς καὶ ὦς, κἀκεῖθεν κλίνεται φωτός καὶ ὠτός ἡ γενική· οὐδὲ γὰρ δυνάμεθα τὴν φωτός καὶ ὠτός γενικὴν ἀπὸ τῆς φόατος καὶ ὄατος λέγειν κατὰ κρᾶσιν, ἐπεὶ φῶτος καὶ ὦτος ὤφειλον εἶναι βαρυτόνως, ὡς ἀπὸ τρισυλλάβου γενικῆς γενόμενα· ἀλλ', ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. Σεσημείωται τὸ φρητός ὀξυνόμενον· ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τῆς φρέατος γενόμενον κατὰ κρᾶσιν φρῆτος ὤφειλε βαρύνεσθαι· οὐδὲ γὰρ δυνάμεθα λέγειν, ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις· οὐδὲ γὰρ εἴρηται ἡ φρῆρ εὐθεῖα ⟨ἐν⟩

[Discr. scr. in CTb] **13** ὀξύνθησαν T ‖ **16** δύο *om* C ‖ **20** ἐβαρύνθησαν T ‖ **23** λάας λᾶς λάαοι λᾶοι T ‖ **27** ἐκλίνθη T ‖ **29** δὴ] δὲ CTb ‖ **32** ἐν *om* CTb ‖ **35** ὤφειλον CT, ὤφειλεν b ‖ **38** τῆς φρέατος b, τοῦ φρέατος CT | φρητὸς CT ‖ **40** φρῆρ b, φρὴρ C, φρὴς T | ἐν *om* CTb

τῇ χρήσει· ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ φρητός γενικὴ συνέδραμε κατὰ τὴν τάσιν τῇ Κρητός γενικῇ καὶ σητός καὶ θητός (σής δέ ἐστιν ὁ σκώληξ καὶ θής ὁ μισθωτός). Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι περὶ τοῦ ⟨δ 228⟩ Θῶνος παράκοιτις λέγει ὁ τεχνικός, ⟨ὅτι⟩ ἡ ἀπὸ τῆς Θῶνις εὐθείας ἐγένετο Θώνιδος καὶ Θώνιος ἰωνικῶς, ὥσπερ Πάριδος Πάριος, καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τῆς Θόων Θόωνος καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ω̄ εἰς ω̄ Θῶνος. Οὐχ ὑγιῶς ⟨δὲ⟩ λέγει· πρὸς μὲν γὰρ τὸν πρῶτον λόγον ἔστιν εἰπεῖν, ὅτι εἰ ἐγένετο κατὰ συγκοπήν, ὤφειλεν ὀξύνεσθαι ὁμοίως τοῖς ἄλλοις τοῖς κατὰ συγκοπήν, λέγω δὴ τῷ πατέρος πατρός, μητέρος μητρός, ἀνέρος ἀνδρός· καὶ αὗται γὰρ αἱ γενικαὶ συγκοπὴν παθοῦσαι καὶ δισυλλαβήσασαι ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν, οἷον ὥσπερ παιδός μηνός χηνός γραός φωτός παντός· πρὸς δὲ τὸν δεύτερον λόγον ἔστιν εἰπεῖν, ὅτι οὐδαμοῦ ἡ Θόων εὐθεῖα, ἐξ ἧς λέγει γεγενῆσθαι τὴν Θόωνος καὶ Θῶνος γενικήν, εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενική, ἀλλ' ἕτερον ἄνδρα, 411 g ὡς παρ' Ὁμήρῳ ⟨Μ 140⟩ Θόωνά τε [ἄνακτα]. Τί οὖν ἔχομεν εἰπεῖν; Ἔστιν οὖν εἰπεῖν, ὅτι κατὰ συγκοπὴν γέγονεν ἡ Θῶνος γενικὴ ἀπὸ τῆς Θώνιος γενικῆς· εἰ δέ τις εἴποι διατί οὐκ ὀξύνεται, λέγομεν τὴν αἰτίαν ταύτην· αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας, οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν, καὶ πάλιν ἡ μητρός καὶ 1222 b πατρός καὶ θυγατρός γενικαὶ μιμοῦνται τὴν ἰατρός εὐθεῖαν· ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν — οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς νος καθαρὸν δισύλλαβον τῷ ω̄ παραληγομένην καὶ ὀξυνομένην· βαρυνομένην δὲ ἔχομεν, ὡς ἐπὶ τοῦ κῶνος (σημαίνει δὲ τὸ στροβιλοειδὲς ἤγουν τὸ εἰς ὀξὺ λῆγον) ὦνος (σημαίνει δὲ τὴν τιμήν) — τούτου χάριν οὐκ ὠξύνθη ἀλλ' ἐβαρύνθη· πρόσκειται «δισύλλαβον», ἐπειδὴ ὑπὲρ δύο συλλαβὰς ἔχομεν εὐθεῖαν ὀξυνομένην, οἷον κοινωνός οἰωνός Τιθωνός. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται δὲ ἀνωτέρω «ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου», ἐπειδὴ τὸ τίνος βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινός ὀξυνομένου· τὸ γὰρ πευστικὸν ἤγουν τὸ ἐρωτηματικὸν βαρύνεται, οἷον τίνος ἐστὶν υἱός; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινός· οὕτω γὰρ λέγομεν αὐτὸ ἀντεπιφέροντες· καὶ πάλιν ἐστὶν ⟨α 429⟩ Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο, καὶ βαρύνεται ἐνταῦθα ἡ γενική, λέγω δὴ ἡ Ὦπος, ἐπὶ τοῦ κυρίου ὀνό-

---

[Discr. scr. in CTb] **2** τάσιν Cb, τάξιν T | τῆς Κρητὸς γενικῆς CTb | καὶ θητὸς καὶ σητὸς T ‖ **5** ὅτι b, *om* CT | τῆς Θώνις C ‖ **6** *ante* ἢ *add* οὐχ ὑγιῶς λέγει. πρὸς μὲν γὰρ τὸν πρῶτον T ‖ **7** εἰς ω̄ T, εἰς τὸ ω̄ Cb ‖ **8** δὲ b, *om* CT ‖ **10** δὴ τῷ] δὲ τὸ CTb | *ante* μητέρος *add* καὶ T ‖ **14** ἐξ ἧς] ἐξῆς T ‖ **17** ἄνακτα CTb ‖ **18** κατὰ *om* T ‖ **19** οὐκ ὀξύνεται Tb, οὐ παροξύνεται C ‖ **21** εὐθεῖαν *om* T ‖ **23** ὀξύνετο CT ‖ **24** τῷ ω̄] τὸ ω̄ T ‖ **27** ὀξύνθη T ‖ **30** ἀνωτέρω] *cfr. p. 371, 15* ‖ **35** Εὐρύκλεια CTb | πησινορίδαο C, πωσινορίδω T ‖ **36** δὴ CT, δὲ b

ματος πρὸς ἀντιδιαστολὴν τοῦ ὠπός προσηγορικοῦ τοῦ ἐπὶ τοῦ ὀφθαλμοῦ.

Πρόσκειται δέ «ἢ χαρακτῆρι ἀκολουθήσῃ», ἐπειδή ἐστι Φθάς Φθάντος ὄνομα κύριον, καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥσπερ στάντος βάντος φθάντος (σημαίνει δὲ τὸν προλαβόντα)· καὶ πάλιν ἐστὶ Θῶν ὄνομα κύριον περισπώμενον, καὶ τούτου ἡ γενικὴ λέγεται Θῶντος προπερισπωμένως πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων ὀνομάτων· τὰ γὰρ εἰς ων περισπώμενα ὀνόματα προπερισπῶνται κατὰ τὴν γενικήν, οἷον Ξενοφῶν Ξενοφῶντος, Κτησιφῶν Κτησιφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος· οὕτως οὖν καὶ Θῶν Θῶντος προπερισπωμένως· ἢ πρὸς τὸν χαρακτῆρα τῆς κλῶν 412 g κλῶντος μετοχῆς καὶ ζῶν ζῶντος καὶ σμῶν σμῶντος καὶ δρῶν δρῶντος λέγομεν Θῶν Θῶντος προπερισπωμένως. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἀνωτέρω ἐν τῷ κανόνι «ἐπ' ὀνομάτων», οἷον «αἱ εἰς ος δισύλλαβοι γενικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν», διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον στάντος βάντος.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ὅτι πᾶσα εὐθεῖα εἰς ς λήγουσα καὶ ἀποβολῇ τοῦ ς τὴν γενικὴν ἀποτελοῦσα τὸν αὐτὸν τόνον τηρεῖ καὶ ἐπὶ τῆς γενικῆς, οἷον Φιλητᾶς Φιλητᾶ, Μηνᾶς Μηνᾶ, Μητρᾶς Μητρᾶ, χρυσοῦς χρυσοῦ, ἀργυροῦς ἀργυροῦ, πλ[ακ]οῦς πλ[ακ]οῦ, λαγῶς 1223 b λαγῶ, ὀρφῶς ὀρφῶ, λεώς λεώ, νεώς νεώ, εὔνους εὔνου, Ἀλκίνους Ἀλκίνου, Μενέλεως Μενέλεω, Πηνέλεως Πηνέλεω.

Τὰ ἐκτείνοντα τὸ ο εἰς τὸ ω κατὰ τὴν γενικὴν ἀττικῶς τὸν αὐτὸν τόνον φυλάττουσιν, ὅντινα εἶχον καὶ πρὸ τῆς ἐκτάσεως τοῦ ο εἰς τὸ ω, οἷον πόλιος πόλεως, μάντιος μάντεως, ὄφιος ὄφεως, λέξιος λέξεως, βασιλέος βασιλέως, Ἀχιλλέος Ἀχιλλέως, Ἀτρέος Ἀτρέως, Πηλέος Πηλέως, ἱερέος ἱερέως.

Αἱ συνῃρημέναι γενικαί, εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, Σωκράτεος Σωκράτους, Ἐρέβεος Ἐρέβους, θάρσεος θάρσους, τείχεος τείχους, βέλεος βέλους, κρέαος κρέως, γήραος γήρως· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέος εὐσεβοῦς, εὐγενέος εὐγενοῦς, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς, Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς.

Αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον καλοῦ καλοῖο, σοφοῦ σοφοῖο, σεμνοῦ σεμνοῖο, ποταμοῦ ποταμοῖο, Ὠκεανοῦ Ὠκεανοῖο, εἰ δὲ ἀπὸ βαρυνομένων, προπαροξύνονται, οἷον φίλου φίλοιο, κούφου κούφοιο, Πριάμου Πριάμοιο.

[Disck. scr. in CTb] 14 ἀνωτέρω] *cfr. p. 371, 11* ‖ 19 τῆς *om* T ‖ 20 πλακοῦς πλακοῦ CTb ‖ 21 Ἀλκ.' Ἀλκ.] ἀκλίνους ἀκλίνου CTb ‖ 23 ο] ω T | τὸν αὐτὸν τόνον b, τὸν τόνον αὐτὸν C, τὸν τόνον αὐτῶν T ‖ 24 τὸ *om* C ‖ 29 *post* παροξύνονται *add* καὶ T ‖ 34 ἐρετρειέως ἐρετρειῶς C, ἐρετριέος ἐρετριῶς T | στεριέως στεριῶς T ‖ 35 θηταλικαὶ C, θεταλικαὶ T ‖ 37 Ὠκ. Ὠκ. *om* C

413 g Τὰ ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ō γινόμενα, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπερισπῶνται, οἷον Πετεώ Πετεῶο, ⟨Β 552⟩ υἱὸς Πετεῶο Μενεσθεύς, ⟨Δ 338⟩ ὦ υἱὲ Πετεῶο, διοτρεφέος βασιλῆος, Ταλαώ Ταλαῶο, ὡς παρὰ Ἀντιμάχῳ ⟨fragm. 25 K⟩· εἰ δὲ ἀπὸ βαρυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπαροξύνονται, οἷον τοῦ Μίνω τοῦ Μίνωο, τοῦ Ἀνδρόγεω τοῦ Ἀνδρογέωο· τοῦ δὲ ō προσελθόντος κατεβιβάσθη μίαν συλλαβὴν ὁ τόνος διὰ τὸ μὴ δύνασθαι τετάρτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν.

Αἱ διὰ τοῦ ε̄ω̄ γενικαὶ Ἰωνικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέστου Ὀρέστεω, Αἰνείου Αἰνείεω, ἀπαθεῖς δηλονότι οὖσαι· ἐὰν γὰρ πάθωσι, πρὸ μιᾶς τοῦ τέλους ἔχουσι τὴν ὀξεῖαν, οἷον Ἑρμείου Ἑρμείεω καὶ κατὰ συγκοπὴν τοῦ ε̄ Ἑρμείω παροξυτόνως, ⟨Ο 214⟩ Ἥρης Ἑρμείω τε·
1224 b εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, παροξύνονται, οἷον αὐλητοῦ αὐλητέω, [Κασής] Κασοῦ (ἔστι δὲ ὄνομα κύριον) [τοῦ] Κασέω.

Αἱ διὰ τοῦ ᾱο̄ Βοιωτικαὶ γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδαο, Ὀρέστου Ὀρέσταο· εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον ἀργεστής ἀργεστοῦ ἀργεστᾶο, ⟨Λ 306⟩ ἀργεστᾶο νότοιο, ἤτοι τοῦ λευκοῦ ἢ τοῦ ταχυτάτου.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς γενικῆς.

Περὶ τοῦ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν.

Κανονίζει τὸν τόνον τῆς δοτικῆς καὶ λέγει, ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, οἷον καλοῦ καλῷ, σοφοῦ σοφῷ, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, φωτός φωτί, μητρός μητρί, γυναικός γυναικί, πατρός πατρί, θυγατρός θυγατρί, τινός τινί, κῆρος κῆρι, ἦρος ἦρι, λᾶος λᾶϊ, εὐσεβέος εὐσεβέϊ, ταχέος ταχέϊ, Ξενοφῶντος Ξενοφῶντι, ἀβλῆτος ἀβλῆτι, ἰᾶς ἰᾷ, μιᾶς
414 g μιᾷ, βελτίονος βελτίονι, χερείονος χερείονι, ἥτις δοτικὴ παθοῦσα συγκοπὴν τοῦ ō καὶ ν̄ ἀνεδέξατο τροπὴν τῆς ε̄ῑ διφθόγγου εἰς τὸ η̄ καὶ γέγονε χέρηϊ, ⟨Α 80⟩ κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ, Αἴαντος Αἴαντι, ἀσπίδος ἀσπίδι, κνημῖδος κνημῖδι· διὰ τοῦτο τὸ ὅτεῳ ἀναγνωστέον προπαροξυτόνως, οἷον ὡς τὸ ⟨β 114⟩ ὅτεῴ σε πατὴρ κέλεται, ἀντὶ τοῦ ᾧτινι, ἐπειδὴ ἰσοσυλλαβεῖ τῇ γενικῇ τῇ ὅτεο, ⟨α 124⟩ ὅττεό σε χρή, ἀντὶ τοῦ τίνος, καὶ λοιπὸν ἀναγκάζεται ὁμοτονεῖν αὐτῇ. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. in CTb] **2** ἀττικῶν γενικῶν T ‖ **3** ὦ — βασιλῆος (4) *om* T ‖ **5** γενικῶν ὦσιν ἀττικῶν T ‖ **7** τὸ *om* C ‖ **12** ὀξεῖαν CT, εὐθεῖαν b | Ἑρμειέω b ‖ **17** παροξύνονται T | Ἀτρείδου *in marg. add* C² ‖ **19** ἀργέστου ἀργέσταο ἀργεστοῖο v. T | *alterum* ἀργεστᾶο *om* C ‖ **20** ἤτοι *om* Cb | ἢ] ἡ C ‖ **22** Περὶ — ἑνικῶν *om* C ‖ **29** χερίονος χερίονι T ‖ **31** κρεῖσσον CTb ‖ **32** κνημίδος κνημίδι CT ‖ **35** τῇ ὅτεο — χρή] τῇ ὅτεως ὅτεως ἐχρῆν CTb | τίνος b, τινὸς CT ‖ **36** *post* αὐτῇ *add* σημαιн C

Ἰστέον δὲ ὅτι αἱ πρωτότυποι ἀντωνυμίαι ἀνακόλουθοί εἰσι, καὶ ποτὲ μὲν ἐπὶ τούτων αἱ δοτικαὶ οὐκ ἀκολουθοῦσι ταῖς γενικαῖς κατὰ τὸν τόνον, ὡς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου, ἐμοῦ μὲν γὰρ καὶ σοῦ περισπωμένως, ἐμοί δὲ καὶ σοί ὀξυτόνως, ποτὲ δὲ ἀκολουθοῦσιν, ὡς ἐπὶ τοῦ τρίτου προσώπου, οὗ γὰρ περισπωμένως καὶ οἷ ὁμοίως περισπωμένως.

Πρόσκειται ἐν τῷ κανόνι «ἰσοσυλλαβοῦσα τῇ γενικῇ» διὰ τὸ ταχέος ταχεῖ· ἡ μὲν γὰρ γενικὴ ἐνταῦθα παροξύνεται, ἡ δὲ δοτικὴ περισπᾶται· ἀλλ' οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ, συναίρεσιν γὰρ ὑπομείνασα ἐνδεῖ μίαν συλλαβήν· ἐὰν δὲ λάβωμεν τὴν ἐντέλειαν αὐτῆς, ἡ ἀκόλουθος τάσις φυλάττεται, οἷον ταχέος ταχέϊ ταχεῖ, εὐσεβέος εὐσεβέϊ εὐσεβεῖ, 1225 b εὐγενέος εὐγενέϊ εὐγενεῖ· ἰδοὺ πρὸ μὲν τῆς συναιρέσεως ὁ αὐτὸς τόνος φυλάττεται, ἐπειδὴ καὶ ἡ ποσότης τῶν συλλαβῶν ἐφυλάχθη, μετὰ δὲ τὴν συναίρεσιν οὐ φυλάττεται ὁ αὐτὸς τόνος, ἐπειδὴ τότε οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ.

Ἰστέον δὲ ὅτι κάλλιόν ἐστι παραθέσθαι ταῦτα τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα, ἤπερ ἃ παρέθετο ὁ τεχνικός· αὐτὸς γὰρ παρέθετο τὸ μάντει καὶ πόλει, ὅτι ἀπὸ τοῦ μάντεος καὶ πόλεος γεγόνασι μάντεϊ καὶ πόλεϊ καὶ κατὰ συναίρεσιν μάντει καὶ πόλει, καὶ οὐκ ἰσοσυλλαβοῦσι τῇ γενικῇ. Ἐρεῖ δέ τις πρὸς αὐτόν, ὅτι εἰ καὶ μὴ ἰσοσυλλαβοῦσιν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ· ⟨ἐν μὲν γὰρ τῇ 115 g αὐτῇ συλλαβῇ⟩, ἐν ᾗ ἐστιν ἐν τῇ γενικῇ ἡ ὀξεῖα τάσις, καὶ ἐν τῇ δοτικῇ ⟨ἐστιν⟩, οἷον μάντεος μάντει, πόλεος πόλει· διὰ τοῦτο οὖν εἰρήκαμεν βελτίονα εἶναι τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα· ἐκεῖνα γὰρ μὴ ἰσοσυλλαβήσαντα τῇ γενικῇ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον, τὸ γὰρ ταχέος καὶ εὐσεβέος παροξύνονται, τὸ δὲ ταχεῖ καὶ εὐσεβεῖ περισπῶνται· κάλλιον οὖν, ὡς εἴρηται, παραθέσθαι ταῦτα τὰ παραδείγματα ἤπερ τὸ μάντει καὶ πόλει· ταῦτα γὰρ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὴν ὀξεῖαν τάσιν καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ, καὶ πρὸ τῆς συναιρέσεως καὶ μετὰ τὴν συναίρεσιν, οἷον μάντεος μάντεϊ μάντει, πόλεος πόλεϊ πόλει. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ παραφυλάξασθαι ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, τὸ ⟨Z 422⟩ οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω· καὶ γὰρ τὸ ἰῷ περισπᾶται δοτικῆς ὑπαρχούσης, τῆς γενικῆς βαρυτονουμένης· ἴον γάρ ἐστιν ἡ εὐθεῖα ἀντὶ τοῦ μόνον, καὶ ἡ γενικὴ ἴου παροξυτόνως, ἡ δὲ δοτικὴ ἰῷ περισπωμένως· σημαίνει δὲ τὸ «ἰῷ ἤματι» ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ.

Τούτων οὕτως ἐχόντων προστίθησιν ὁ τεχνικός, ὅτι τῆς Τυνδάρεος

[Discr. scr. in CTb] **5** γὰρ Tb, δὲ C ‖ **14** συναίρεσιν Cb, διαίρεσιν T ‖ **17** ἤπερ b, εἴπερ CT | ἃ παρέθετο Cb, ἅπερ ἔθετο T ‖ **18** τὸ b, τῶ C, τῷ T, μάντεως καὶ πόλεως CTb ‖ **20** καὶ *om* T ‖ **21** ἐν μὲν — συλλαβῇ (**22**) *om* CTb ‖ **23** ἐστιν *om* CTb ‖ **25** μὴ ἰσοσυλλ. τῇ γεν. Cb, ἡμισοσυλλαβήσαντα ἐν τῇ γεν. T ‖ **26** τὸ δὲ] τῷ δὲ T ‖ **28** τὸ b, τῶ C, τῷ T; *item v. 34* ‖ **29** τᾶσιν C ‖ **34** οἱ *om* T | κίον] ἐν CTb | ἤματι CT; *item v. 37*

εὐθείας τῆς διὰ τοῦ ε̄ καὶ ο̄ ἡ γενικὴ Τυνδαρέου ἐστὶ παροξυτόνως, διὰ τὴν μακρὰν τοῦ τόνου καταβιβασθέντος· ἀλλὰ καὶ ἡ δοτικὴ ὁμοίως τῇ γενικῇ Τυνδαρέῳ ἐστὶ παροξυτόνως, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον· ὅταν δὲ γένηται ἀττικῶς ἡ εὐθεῖα διὰ τοῦ ε̄ καὶ ω̄ Τυνδάρεως, ὡς Μενέλεως, τότε προπαροξύνεται ἡ γενική, καὶ ἡ δοτικὴ ὁμοίως, οἷον τοῦ Τυνδάρεω τῷ Τυνδάρεῳ, ὥσπερ τοῦ Μενέλεω τῷ Μενέλεῳ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικός, ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ εἰς ι̅ λήγουσαι
1226 b προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι· τοῦτο γάρ ἐστι τὸ εἰρημένον αὐτῷ «εἰ μὴ δισυλλαβία κωλύσῃ», οἷον ὁ πολυπάταγος τοῦ πολυπατάγου τῷ πολυπατάγῳ παροξυτόνως, καὶ γίνεται
416 g κατὰ μεταπλασμὸν τῷ πολυπάταγι προπαροξυτόνως· καὶ πάλιν ἐστὶν ἡ διχόμηνος τῆς διχομήνου τῇ διχομήνῳ παροξυτόνως, καὶ γίνεται κατὰ μεταπλασμὸν διχόμηνι καὶ προπαροξύνεται· αὕτη δὲ ἡ δοτικὴ δύναται καὶ ἀπὸ τῆς διχόμηνις προπαροξυτονουμένης διὰ τοῦ δο̅ς̅ κλινομένης εἶναι εὐθείας· ἔστι γὰρ διχόμηνις διχομήνιδος διχομήνιδι, καὶ κατὰ συγκοπὴν τοῦ δ̄ καὶ τοῦ ι̅ διχόμηνι, καὶ εὐλόγως προπαροξύνεται τῷ λόγῳ τῆς συγκοπῆς· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ἁρμόσαντες ἄρσαντες, ὁμόπατρος ὄπατρος· τὸ γὰρ πατέρος πατρός καὶ μητέρος μητρός καὶ ἀνέρος ἀνδρός συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ο̅ς̅ δισυλλάβων γενικῶν ὀνομάτων ὀξύνονται, οἷον ὥσπερ φωτός μηνός χηνός γραός παιδός· καὶ πάλιν ἐστὶ τὸ μελίκρατον καὶ τὸ χαλκόκρατον, τοῦ μελικράτου καὶ τοῦ χαλκοκράτου, τῷ μελικράτῳ καὶ τῷ χαλκοκράτῳ, καὶ γίνονται κατὰ μεταπλασμὸν τῷ μελίκρατι καὶ τῷ χαλκόκρατι καὶ προπαροξύνονται· ἐὰν δὲ εὑρεθῶσι προπερισπωμένως αἱ δοτικαὶ αὗται τῷ μελικρᾶτι καὶ τῷ χαλκοκρᾶτι, γνῶθι ὅτι ἀπὸ τοῦ ὁ μελικράς καὶ ὁ χαλκοκράς γίνονται, καὶ οὐ κατὰ μεταπλασμὸν γεγόνασιν ἀλλὰ κατὰ ἀκόλουθον κλίσιν, οἷον μελικράς μελικρᾶτος μελικρᾶτι, χαλκοκράς χαλκοκρᾶτος χαλκοκρᾶτι.

Πρόσκειται ἐν τῷ κανόνι «ὑπὲρ δύο συλλαβὰς οὖσαι», ἤγουν «εἰ μὴ δισυλλαβία κωλύσῃ», ἐπειδή ἐστιν ὁ κλάδος τοῦ κλάδου τῷ κλάδῳ καὶ κατὰ μεταπλασμὸν τῷ κλαδί, καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν· καὶ πάλιν τὸ λιτόν τοῦ λιτοῦ τῷ λιτῷ καὶ κατὰ μεταπλασμὸν τῷ λιτί, οἷον ⟨C 352⟩ ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν, καὶ ὀξύνε-

[Discr. scr. in CTb] **1** εὐθεῖα C ‖ **5** παροξύνεται καὶ ἡ T | τοῦ τυνδαρέω τῶ τυνδαρέω T ‖ **6** τῷ Μενέλεῳ *in marg. add* C² ‖ **10** δισυλλαβεία κωλύσει T | πολυπόταγος C ‖ **12** τῷ *om* T | πολυπόταγι C ‖ **14** διχόμηνι] διχόμηνον C ‖ **17** τοῦ δ̄ καὶ τοῦ ι̅] τῆς δι̅ T ‖ **19** ἁρμόσαντες T | ἄρσαντες T, ἄρσαντες Cb | ὄπατρος] ὅπατρος CTb ‖ **20** καὶ τὸ μητέρος C ‖ **21** συγκοπέντος C | ἀναβιβάσαντος C | ἀντίκειται Cb ‖ **23** μηνός *om* b ‖ **25** γίνεται Cb ‖ **26** τῷ *ante* χαλκ. *om* T | προπαροξύνεται T ‖ **27** δοτικαὶ Cb, γενικαὶ T ‖ **28** μελικρᾶς *et* χαλκοκρᾶς CT ‖ **29** κλίσεως T ‖ **31** οὖσαι T, οὖσα Cb ‖ **32** κωλύσει T ‖ **34** *post* λιτῷ *add* καὶ γίνεται C ‖ **35** ἑανῶ T, ἑανῷ b

ται διὰ τὴν διςυλλαβίαν· αἱ γὰρ εἰς ῑ ἐκφωνούμενον λήγουςαι διςύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεςθαι θέλουςιν, οἷον μητρί παιδί χηνί μηνί πατρί Τρωΐ cπληνί φρενί χθονί cυΐ δρυΐ. Δεῖ προςθεῖναι «χωρὶς εἰ μὴ ἀπὸ cυναιρέςεως εὑρεθῇ ἡ δοτική, ἢ πρὸς ἀντιδιαςτολὴν ἑτέρου σημαινομένου, ἢ χαρακτῆρι ἀκολουθήςῃ»· πρόςκειται «χωρὶς εἰ μὴ ἀπὸ 417 g cυναιρέςεως εὑρεθῇ ἡ δοτική», διὰ τὸ κέαρι κῆρι, ἔαρι ἦρι, λάαϊ λᾶϊ, Θέτιι Θέτι, ⟨C 407⟩ πάντα Θέτι καλλιπλοκάμῳ, μάςτιι μάςτι, 1227 b ⟨Ψ 500⟩ μάςτι δ' αἰὲν ἔλαυνε, μήτιι μήτι, ⟨Ψ 318⟩ μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο· ἰδοὺ γὰρ αἱ δοτικαὶ αὗται διςύλλαβοι οὖςαι οὐκ ὀξύνονται· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἀπὸ cυναιρέςεώς εἰςι καὶ τούτου χάριν διςυλλαβοῦςιν, ἐπειδὴ δυνάμει ὑπὲρ δύο cυλλαβάς εἰςι· καὶ ἡ cπῆϊ δὲ δοτική, οἷον ⟨Ω 83⟩ εὗρε δ' ἐνὶ cπῆϊ, προπεριςπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο cυλλαβάς ἐςτι δυνάμει, ἀλλ' ἡ cυναίρεςις αἰτία γέγονε τῆς διςυλλαβίας· ἔςτι γὰρ cπέος cπέεος cπέεϊ, καὶ κατὰ κρᾶςιν τῶν δύο εε εἰς η cπῆϊ, ὥςπερ Ἡρακλέεος Ἡρακλῆος, ⟨Υ 145⟩ τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο. Πρόςκειται ⟨δέ⟩ «ἢ πρὸς ἀντιδιαςτολὴν ἑτέρου σημαινομένου», ἐπειδὴ τὸ τίνι βαρύνεται πρὸς ἀντιδιαςτολὴν τοῦ τινί ὀξυνομένου· τὸ μὲν γὰρ πευςτικὸν βαρύνεται, οἷον τίνι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριςτον ὀξύνεται, οἷον τινί· οὕτω γὰρ λέγομεν ἀντεπιφέροντες· πρόςκειται δέ «ἢ χαρακτῆρι ἀκολουθήςῃ», ἐπειδή ἐςτι Φθάντι κύριον καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥςπερ φθάντι βάντι θέντι δόντι. Πρόςκειται «ἐπ' ὀνομάτων», οἷον «αἱ εἰς ῑ ἐκφωνούμενον λήγουςαι διςύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεςθαι θέλουςιν», διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον βάντι ςτάντι θέντι δόντι φθάντι· «διςύλλαβοι» δὲ πρόςκειται διὰ τὸ Αἴαντι Θόαντι Λάχητι λέβητι πένητι Πάριδι ὄφεϊ πόλεϊ ἥρωϊ Μίνωϊ γέλωτι ἔρωτι Κτηςιφῶντι Ξενοφῶντι Cιδῶνι ἀςπίδι ῥανίδι βολίδι κνημῖδι κρηπῖδι· αἱ γὰρ ὑπὲρ δύο cυλλαβὰς εἰς ῑ ἐκφωνούμενον λήγουςαι δοτικαὶ ἀποςτρέφονται τὴν ὀξεῖαν τάςιν, οἷον Αἴαντι Θόαντι Λάχητι λέβητι, ὑπεςταλμένης τῆς γυναικί καὶ θυγατρί δοτικῆς· καὶ αὗται γὰρ 418 g παραλόγως ὀξύνονται, ὥςπερ καὶ ἡ γυναικός καὶ θυγατρός γενικὴ παραλόγως ὀξύνεται, ὡς ἐν τῇ περὶ γενικῆς ⟨διδαςκαλίᾳ⟩ ἀπεδείξαμεν· πρόςκειται «εἰς ῑ ἐκφωνούμενον» διὰ τὸ τῇ cοφῇ, τῇ καλῇ· αὗται ⟨γὰρ⟩ αἱ δοτικαὶ εἰς ι λήγουςαι περιςπῶνται, ἀλλ' οὐκ ἔχουςιν ἐκφωνούμενον τὸ ῑ. Ταῦτα μὲν ἐν τούτοις.

[Discr. scr. in CTb] **2** δοτικαὶ διςύλλαβοι T ‖ **5** ἀκολουθήςει CTb; *item v. 21* ‖ **7** θίτιι θῖτι πάντα θίτι κ. T ‖ **8** δ' αἰὲν ἔλαυνε] δὲ ἐνέλαυνε CTb | δ' ἡν.] τε ἡν. CTb ‖ **9** ἡνιόχου T ‖ **12** δ' ἐνὶ] δ' ἐν CTb ‖ **13** ἀντίκεινται T ‖ **17** δέ *om* CTb ‖ **18** ἑτέρου — ἀντιδιαςτολὴν *bis habet* C | πρὸς — βαρύνεται (**19**) *om* T ‖ **21** δέ *om* Tb ‖ **23** δόντι θέντι T ‖ **26** δὲ *om* Tb | πρόςκεινται CT ‖ **27** μήνωϊ T ‖ **28** κνημίδι κρηπίδι CT ‖ **33** γενικῆς Cb, ἑνικῆς T | διδαςκαλίᾳ *om* CTb | ἀπεδείξαμεν] *cfr. p. 367, 34* ‖ **34** γὰρ *om* CTb ‖ **35** *post* περιςπῶνται *add* καὶ ὀξύνονται T

Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῶν μεταπεπλασμένων δοτικῶν τῷ
1228 b λέγοντι, ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ αἱ εἰς ῑ λήγουσαι προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι, «χωρὶς τῶν ἀπὸ τῶν εἰς ͞νη θηλυκῶν φύσει μακρᾷ παραληγομένων»· ἔστι γὰρ ἡ ὑσμίνη τῆς ὑσμίνης τῇ ὑσμίνῃ καὶ ἡ Δωδώνη τῆς Δωδώνης τῇ Δωδώνῃ, καὶ ἐπειδὴ εἰς ͞νη ἐστὶν ἡ εὐθεῖα τούτων καὶ φύσει μακρᾷ παραλήγεται, τούτου χάριν γινόμεναι κατὰ μεταπλασμὸν ἐν τῇ δοτικῇ εἰς ͞νι προπερισπῶνται καὶ οὐ παροξύνονται, ὡς παρὰ τῷ ποιητῇ ⟨Θ 56⟩ μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι, καὶ παρὰ Καλλιμάχῳ ⟨fragm. 306 Sch⟩ μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν. Ἰστέον δὲ ὅτι μεταπλασμός ἐστιν, ὅταν τραπῇ ἡ τελευταία συλλαβὴ τῆς λέξεως εἰς ἄλλην συλλαβήν, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ ⟨τοῦ⟩ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν.

Περὶ τοῦ τόνου τῆς αἰτιατικῆς τῶν ἑνικῶν.

Ἰστέον [δὲ] ὅτι περὶ τοῦ τόνου τῆς αἰτιατικῆς διαλαμβάνει καὶ λέγει, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς ᾱ δισυλλάβων· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, ἀβλῆτος ἀβλῆτα (τὰ δύο προπερισπῶνται), ἱδρῶτος ἱδρῶτα (ὁμοίως), λιμένος λιμένα (τὰ δύο παροξύνονται), ἀσπίδος ἀσπίδα ⟨ὁμοίως⟩, Δημήτερος Δημήτερα (τὰ δύο προπαροξύνονται), Διομήδεος Διομήδεα (ὁμοίως)· καλοῦ καλόν, σοφοῦ σοφόν· ταῦτα μὲν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφύλαξαν τὸν τόνον, οὐ
419 g τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλὸν καὶ σοφόν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτοῦσι, περισπωμένη δὲ ἐπάνω βραχείας οὐ τίθεται ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς Ἡρακλῆς βοῦν νοῦν. Ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον καὶ ἀνθρώπου ἄνθρωπον ἐμάθομεν, ὅτι ἡ μακρὰ κατεβίβασεν ἐξ ἀνάγκης τὸν τόνον ἐν τῇ γενικῇ, ἐπειδὴ καὶ αὕτη ὤφειλε προπαροξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, ὡς ἐν τῇ περὶ γενικῆς ⟨διδασκαλίᾳ⟩ μεμαθήκαμεν· ἡ δὲ αἰτιατικὴ μὴ ἔχουσα μακρὰν τὴν τελευταίαν συλλαβὴν ἠκολούθησε τῷ τόνῳ τῆς εὐθείας καὶ προπαρωξύνθη, οἷον Ὅμηρος Ὅμηρον, ἄνθρωπος ἄνθρωπον· ἡ Ἀδώνιδα αἰτιατικὴ τῇ Ἀδώνιδος γενικῇ συντονοῦται· ὅταν δὲ φύγῃ τὴν τετρασυλλαβίαν, τότε τῇ ἰδίᾳ εὐθείᾳ συντονοῦται, οἷον Ἄδωνις Ἄδωνιν,
1229 b ἐπειδὴ τότε ἐξ αὐτῆς κανονίζεται· τὸ ἴαν καὶ μίαν ὁμοίως ταῖς ἰδίαις

[Discr. scr. in CTb] **4** εἰς ͞νη *Arcadius 149, 5* (*Sch*), εἰς ͞ν CTb | ἡ ὑσμήνη τῆς ὑσμήνης τῇ ὑσμήνη CT ‖ **6** εἰς ͞νη] εἰς ͞ν CTb ‖ **7** ͞νι Cb, ͞ν T ‖ **8** ὡς Cb, οὐ T | μέμασε T ‖ **9** καὶ ὧς] ὡς T | ὑσμῆνι CT ‖ **10** λέγοι μόνον Cb, λεγόμενον T ‖ **13** τοῦ *om* CTb ‖ **14** Περὶ — ἑνικῶν *om* C ‖ **16** ὅτι *bis habet* C ‖ **20** παροξύνονται *om* T | ἀσπίδος ἀσπίδα *post* λιμένα (**19**) *transp.* CTb | ὁμοίως *om* CTb ‖ **25** μακρᾶς φύσει CTb ‖ **28** αὕτη T, αὐτὴ Cb ‖ **29** διδασκαλίᾳ *om* CTb | μεμαθήκαμεν] *cfr. p. 364, 1* ‖ **31** προπαροξύνθη T | ἡ ἀδώνιδος αἰτ. τῆς ἀδώνιδος γεν. T

εὐθείαις βαρύνεται, φημὶ δὴ τῇ ἴα καὶ μία· ἐμάθομεν γὰρ ὅτι αἱ γενικαὶ Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον τὸ ἰᾶς καὶ μιᾶς, ἐπεὶ καὶ αὗται ὁμοίως ταῖς ἰδίαις εὐθείαις ὤφειλον βαρύνεσθαι.

Τούτων οὕτως ἐχόντων σεσημείωται τὸ γυναικός γυναῖκα καὶ θυγατρός θύγατρα, ὅτι ἡ μὲν γενικὴ τούτων ὀξύνεται, ἡ δὲ αἰτιατικὴ βαρύνεται· οὐ δύναται δὲ ἡ αἰτιατικὴ ἐνταῦθα φυλάξαι τὴν ὀξεῖαν τάσιν τῆς γενικῆς, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντα Θόαντα πένητα μῆνα χῆνα παῖδα Κτησιφῶντα Ξενοφῶντα Ποσειδῶνα ἀσπίδα ῥανίδα κρηπῖδα· ὅθεν τὸ νιφάδα γινόμενον κατὰ συγκοπὴν νίφα ἀνεβίβασε τὸν τόνον, οἷον ⟨Hes. Opp. 535⟩ ἀλευόμενοι νίφα λευκήν, ὡς μὴ δυνάμενον ὀξύνεσθαι διὰ τὸν κανόνα τὸν προλεχθέντα· καὶ πάλιν ἡ φυγήν αἰτιατικὴ γινομένη κατὰ μεταπλασμὸν φύγα ἐβαρύνθη, ὡς παρὰ τῷ ποιητῇ ⟨Θ 157⟩ φύγα δ' ἔτραπε μώνυχας ἵππους, ἀντὶ τοῦ εἰς φυγήν, ὡς μὴ δυνάμενον ὀξυνθῆναι διὰ τὸν προλεχθέντα κανόνα· τὸ τίνα καὶ τινά πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνα ἔτυψας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινά· τὸ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ὀξύνονται 420 g
ἀλλὰ περισπῶνται· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Στειριέα γεγόνασι κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς ᾱ μακρόν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, εὐσεβέος εὐσεβοῦς· τούτου ⟨οὖν⟩ χάριν τῆς γυναικός καὶ θυγατρός γενικῆς ὀξυνομένης ἡ γυναῖκα καὶ θύγατρα αἰτιατικὴ οὐκ ὀξύνεται ἀλλὰ βαρύνεται.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί ἡ μὲν θύγατρα αἰτιατικὴ προπαροξύνεται, οἷον ⟨Α 13⟩ λυσόμενός τε θύγατρα, ἡ δὲ γυναῖκα αἰτιατικὴ προπερισπᾶται, ὡς τὸ ⟨Ω 58⟩ γυναῖκά τε θήσατο μαζόν. Καὶ περὶ μὲν τῆς θύγατρα αἰτιατικῆς ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο προπαροξύνεται, ἐπειδὴ ἀπὸ τοῦ θυγατέρα γέγονε κατὰ συγκοπὴν θύγατρα, ὥσπερ ἀπὸ τοῦ Δημήτερα Δήμητρα· αἱ δὲ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ὁμόπατρος ὄπατρος, ἁρμό- 1230 b
σαντες ἄρσαντες, ⟨Α 136⟩ ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται· τὸ γὰρ πατέρος πατρός καὶ μητέρος μητρός καὶ ἀνέρος ἀνδρός συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ο̄ς̄ δισυλλάβων γενικῶν ἠκολούθησαν, καὶ ὀξύνονται ὥσπερ ⟨τὸ⟩ φωτός χηνός γραός παιδός μηνός Τρωός φρενός χθονός. Ἄλλως τε δὲ διὰ τοῦτο προπαροξύνεται ἡ θύγατρα αἰτιατική,

[Discr. scr. in CTb] **1** δὴ T, δὲ Cb | τῇ] τὴν T | ἐμάθομεν] *cfr. p. 369, 4* ; *post* γενικαὶ *add* καὶ T ‖ **6** δὲ] γὰρ CTb ‖ **7** εἰς ᾱ *om* T ‖ **9** κρηπῖδα CT ‖ **11** ἀλεύμενοι C ‖ **13** φύγα ἐβ.] φύγει ἐβ. C ‖ **15** καὶ τὸ τινά T ‖ **16** πευστηκὸν T ‖ **18** πειρεᾶ T | στειρεᾶ T ‖ **22** οὖν *om* CTb ‖ **26** οἷον — θύγατρα *om* T ‖ **27** γυναῖκα κατεθήσατο T ‖ **29** ὥσπερ ἀπὸ CT, ὡς παρὰ b ‖ **30** τοῦ δημήτερος T ‖ **31** ὄπατρος CTb ‖ **32** ἄρσαντες (*bis*) CTb ‖ **36** τὸ *om* CTb | γραὸς χηνὸς T ‖ **37** χθονὸς *ante* γραὸς *transp.* T

ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα, ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν, προπαροξύνεται, οἷον Αἴας Αἴαντα, λέβης λέβητα, πένης πένητα, Πέλοψ Πέλοπα, χαρίεις χαρίεντα, Ἕκτωρ Ἕκτορα, Δημήτηρ Δημήτερα, εἰνάτηρ εἰνάτερα· εἰ ἄρα οὖν ἡ θυγάτηρ εὐθεῖα παροξύνεται, δῆλον ⟨ὅτι⟩ εὐλόγως ἡ θύγατρα αἰτιατικὴ προπαροξύνεται, εἰ καὶ ἡ ἀπαθὴς θυγατέρα αἰτιατικὴ παραλόγως παροξύνεται, ἔτι δὲ καὶ ἡ μητέρα — μήτηρ γὰρ ἡ εὐθεῖα παροξυτόνως καὶ θυγάτηρ — ὥσπερ ⟨καὶ⟩ ἐν τῇ
421 g θυγατέρος γενικῇ καὶ μητέρος, ὡς ἐμάθομεν ἐν τῷ περὶ ⟨τῆς⟩ γενικῆς λόγῳ, [παραλόγως παροξύνονται ταῦτα] ἡνίκα ἐλέγομεν ὅτι ἠκολούθησαν κατὰ τὸν τόνον τῆς γενικῆς ταῦτα τοῖς ἰδίοις συγγενικοῖς, φημὶ δὴ τῷ πατέρος ἀνέρος δαέρος (δαήρ δέ ἐστιν ὁ ἀνδράδελφος).

Περὶ ⟨δὲ⟩ τῆς γυναῖκα αἰτιατικῆς ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο προπερισπᾶται, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα διφθόγγῳ παραληγομένη προπερισπᾶται, οἷον γλαῦκα καῦκα προῖκα αἶγα παῖδα δαῖτα· οὕτως οὖν καὶ γυναῖκα προπερισπωμένως, τῇ παραλήξει τῆς διφθόγγου ἀκολουθησάσης τῆς αἰτιατικῆς, εἰ καὶ ἐκεῖνα μὲν δισύλλαβά εἰσι, τοῦτο δὲ ὑπὲρ δύο συλλαβάς· ἀλλ' οὖν, ὡς εἴρηται, διὰ τὸ ἔχειν ἐν τῇ παραληγούσῃ δίφθογγον προπεριεσπάσθη ὁμοίως ἐκείνοις. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «πλὴν τῶν εἰς ᾱ δισυλλάβων», οἷον «πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς ᾱ δισυλλάβων», ἐπειδή, ὥς φησιν ὁ τεχνικός, αἱ εἰς ᾱ λήγουσαι αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται· ἰδοὺ γάρ ἐστι φωτός μηνός χηνός παντός ὀξυτόνως, τὸ δὲ φῶτα μῆνα χῆνα πάντα βαρύνονται· εἰρήκαμεν γὰρ ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν· τὸ γὰρ τίνα καὶ τινά, ὡς εἴρηται, πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον.
1231 b Αἱ μέντοι εἰς ν̄ λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι δηλονότι μακροκατάληκτοι περισπῶνται, οἷον μῦν σῦν δρῦν λῖν (σημαίνει δὲ τὸν λέοντα, ⟨Λ 480⟩ ἐπί τε λῖν ἤγαγε δαίμων) γραῦν ζῶν (ἀντὶ τοῦ ζῶντα) θεῦν (τὴν θεῦν Ἄρτεμιν οἷ' ἔπαθεν, ἀντὶ τοῦ τὴν θεόν)· γέγονε ⟨δὲ⟩ κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν εῡ δίφθογγον τὴν θεῦν, ὥσπερ Ἐρέβεος Ἐρέβευς, καὶ ὤφειλεν ὀξύνεσθαι, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρῄς, ἀλλὰ τῷ κανόνι τῷ λεχθέντι περιεσπάσθη. Πάλιν ἐστὶ κλεῖν περισπωμένως· τοῦτο δὲ ἀπὸ τοῦ κλείς κλειδός κλειδί κλεῖδα

[Discr. scr. in CTb] **4** εἰνάτηρα T ‖ **5** ὅτι *om* CT ‖ **7** ὥσπερ CT, ὥς τε b | καὶ *ante* ἐν *om* CTb ‖ **8** ἐμάθομεν] *cfr. p. 367, 25* | τῆς *om* CTb ‖ **10** δὴ T, δὲ Cb ‖ **11** τῷ Cb, τὸ T ‖ **12** δὲ *om* CTb ‖ **17** δὲ ὑπερδισύλλαβον T ‖ **18** προεπερισπάσθη T ‖ **26** τᾶσιν C ‖ **30** γραῦς T ‖ **31** θεῦν (*bis*) Cb, θεῖν T | τὴν θεῦν — ἔπαθεν] *cfr. Callim. ed. Schn. 2, 734* ‖ **32** δὲ *om* CTb | *post* κρᾶσιν *add* ἀπὸ τοῦ τὴν θεὸν κατὰ κρᾶσιν C | εῡ] ᾱ *sed supra scr.* ∵ *et in marg.* ∵ C ‖ **33** τὴν θεῦν *om* Tb ‖ **35** Νηρῄς] νηρίς T ‖ **36** κλεὶς T, κλεῖς Cb

γέγονε κατὰ ἀποβολὴν τῆς δα συλλαβῆς· καὶ ὤφειλεν εἶναι χωρὶς τοῦ 422 g ν̄· τῆς γὰρ δα συλλαβῆς ἀποκοπείσης κλεῖ εὑρίσκεται χωρὶς τοῦ ν̄· ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν μονοσύλλαβος ἀρσενικὴ ἢ θηλυκὴ αὐτὴ καθ' ἑαυτὴν οὖσα εἰς ν̄ θέλει λήγειν, οἷον μῦν σῦν γῆν δρῦν ναῦν γραῦν ζῶν (ἀντὶ τοῦ ζῶντα), τούτου χάριν προσέλαβε τὸ ν̄ καὶ ἐγένετο κλεῖν. Πρόσκειται «ἀρσενικὴ ἢ θηλυκή» διὰ τὸ τί· τοῦτο γὰρ οὐ λήγει εἰς ν̄, λέγω δὴ τὸ τί, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν ἀλλ' οὐδέτερον· πρόσκειται «αὐτὴ καθ' ἑαυτὴν οὖσα» διὰ τὸ νὴ Δία· αὕτη γὰρ ἡ αἰτιατικὴ γίνεται κατὰ ἀποκοπὴν νὴ Δί', καὶ ἰδοὺ ἐπὶ ἀρσενικῶν ὀνομάτων εὑρίσκεται αἰτιατικὴ μονοσύλλαβος μὴ λήγουσα εἰς ν̄, λέγω δὴ τὸ νὴ Δί'· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐχ εὑρίσκεται αὐτὴ καθ' ἑαυτὴν ἀλλ' ἐν συντάξει. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἀνωτέρω «δηλονότι μακροκατάληκτοι», οἷον «αἱ εἰς ν̄ λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι δηλονότι μακροκατάληκτοι περισπῶνται», διὰ τὸ ἕν, οἷον ἓν βιβλίον· τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔστι μακροκατάληκτον ἀλλὰ βραχυκατάληκτον· περισπωμένη δὲ οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς παῖς βοῦς νοῦς Ἡρακλῆς. Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί ἡ περισπωμένη οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς· καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἡ περισπωμένη διπλοῦς τόνος ἐστίν, ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται· εἰκότως οὖν ἐπάνω μακρᾶς τίθεται, ὡς δῆθεν τῆς μακρᾶς οὔσης διπλῆς κατὰ τὸν χρόνον, ἀπὸ γὰρ δύο χρόνων σύγκειται, ἡ δὲ βραχεῖα ἀπὸ ἑνὸς χρόνου· τούτου οὖν χάριν ἐπάνω βραχείας οὐ τίθεται περισπωμένη. Διὰ τοῦτο δὲ οὐδὲ ἐπάνω θέσει μακρᾶς ἀλλ' ἐπάνω φύσει 1232 b μακρᾶς τίθεται, ἐπειδὴ φύσει ἐκ δύο τόνων σύγκειται, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας, ἡ περισπωμένη· ἐπειδὴ οὖν, ὡς εἴρηται, ἐκ δύο τόνων φύσει σύγκειται ἡ περισπωμένη, εἰκότως καὶ ἐπάνω φύσει μακρᾶς ἤγουν δύο χρόνους ἐχούσης συλλαβῆς τίθεται· τούτου οὖν χάριν ἐπάνω 423 g φύσει μακρᾶς τίθεται, καὶ οὐκ ἐπάνω θέσει μακρᾶς.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ν̄ λήγουσα, φυλάττουσα τὸν χρόνον τῆς εὐθείας, πάντως καὶ τὸν τόνον αὐτῆς φυλάττει, ὑπεσταλμένων τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, καλός καλόν, σοφός σοφόν, σεμνός σεμνόν, βραχύς βραχύν, ὀξύς ὀξύν, ποιητής ποιητήν, αὐλητής αὐλητήν, ἀθλητής ἀθλητήν, πληθύς πληθύν, ὀϊζύς ὀϊζύν, Ἐρινύς Ἐρινύν, φίλος φίλον, κοῦφος κοῦφον, μάντις μάντιν,

---

[Discr. scr. in CTb] **2** ἀποκοπείσης Tb, ἀποκοπτομένης C ‖ **4** ναῦν Cb, νῦν T ‖ **6** τοῦτον T ‖ **7** δὴ] δὲ CTb; *item v. 11* ‖ **8** *ante* οὐδέτ. *add* οὔτε T ‖ **9** κατ' ἀποκ. b ‖ **11** εἰς ῡν̄ C | *post* Δί *add* καὶ ἰδοὺ ἀρσενικῶν ὀνομάτων T | *post* ἐπειδὴ *add* γὰρ T ‖ **13** ἀνωτέρω] *vide p. 381, 28* ‖ **18** νοῦς βοῦς T | Ἡρακλῆς — φύσει μακρᾶς (**20**) *in marg.* T[1] *qui praeterea add* οἷον ἑρμῆς παῖς νοῦς βοῦς ‖ **22** *post* ἐπάνω *add* θέσει C ‖ **25** δὲ *om* T ‖ **29** ἐχούσης Cb, ἔχουσα T ‖ **33** ληγουσῶν Cb, ληγόντων T ‖ **36** αὐλητὸς αὐλητὴν T

ὄρνις ὄρνιν, βότρυς βότρυν, ἡμέρα ἡμέραν, διφθέρα διφθέραν, Ἑλένη Ἑλένην, Ἀφροδίτη Ἀφροδίτην, Ἀτρείδης Ἀτρείδην, Ὀρέστης Ὀρέστην, μία μίαν, μέγας μέγαν, Λιχᾶς Λιχᾶν, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, ἀργυροῦς ἀργυροῦν, σιδηροῦς σιδηροῦν, βοῦς βοῦν. Πρόσκειται ἐν τῷ κανόνι «φυλάττουσα τὸν χρόνον τῆς εὐθείας» διὰ τὸ ἰχθῦς ἰχθύν, ⟨Pind. fragm. 306 B[4]⟩ ἰχθὺν παιδοφάγον· αὕτη γὰρ συστέλλει τὸ ῡ καὶ οὐχ ὁμοτονεῖ τῇ περισπωμένῃ εὐθείᾳ· πρόσκειται «ὑπεσταλμένων τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν» διὰ τὸ κλείς κλεῖν, λίς λῖν, κίς κῖν (σημαίνει δὲ τὸν σκώληκα)· ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα ὀξύνεται, ἡ δὲ αἰτιατικὴ περισπᾶται· περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν, ὅντινα εἰρήκαμεν ἀνωτέρω.

Αἱ εἰς ᾱ ἢ εἰς η̄ λήγουσαι αἰτιατικαὶ συνῃρημέναι, εἰ μὲν ἀπὸ ἐντελῶν εἰσι προπαροξυνομένων, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Διομήδεα Διομήδη, Ἀριστοφάνεα Ἀριστοφάνη, Δημοσθένεα Δημοσθένη, Σωκράτεα Σωκράτη, εἰ δὲ ἀπὸ ἐντελῶν εἰσι παροξυνομένων, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέα εὐσεβῆ, ἀσθενέα ἀσθενῆ, εὐτυχέα εὐτυχῆ, Ἐρετριέα Ἐρετριᾶ, Πειραιέα Πειραιᾶ, Στειριέα Στειριᾶ.

Αἱ εἰς ω̄ λήγουσαι αἰτιατικαὶ κατὰ ἀποκοπὴν μὲν οὖσαι τὸν τόνον
421 g τῆς ἀπαθοῦς λέξεως φυλάττουσιν, οἷον Ἀπόλλωνα Ἀπόλλω, ἥρωα ἥρω,
1233 b Μίνωα Μίνω, Ποσειδῶνα Ποσειδῶ, κυκεῶνα κυκεῶ, ἱδρῶτα ἱδρῶ, ⟨Χ 2⟩ ἱδρῶ ἀπεψύχοντο, ἰχῶρα ἰχῶ, ⟨Ε 416⟩ καὶ ⟨ἀμφοτέρῃσιν⟩ ἀπ' ἰχῶ χειρὸς ὠμόργνυ (ἰχώρ δέ ἐστι τὸ μεταβεβλημένον αἷμα)· εἰ δὲ μὴ εἰσὶ κατὰ ἀποκοπήν, ἀπὸ μὲν τῶν εἰς ω̄ θηλυκῶν οὖσαι ὀξύνονται, οἷον ἡ Σαπφώ τὴν Σαπφώ, ἡ Ἐρατώ τὴν Ἐρατώ, ἡ Καλυψώ τὴν Καλυψώ, ἡ Κλειώ τὴν Κλειώ, ἀπὸ δὲ τῶν εἰς ω̄ς̄ θηλυκῶν οὖσαι περισπῶνται, οἷον ἡ αἰδώς τὴν αἰδῶ, ⟨Ο 561⟩ καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ, ἡ ἠώς τὴν ἠῶ, ⟨Ι 662⟩ καὶ ἠῶ δῖαν ἔμιμνεν· ὤφειλον δὲ καὶ τὰ ἀπὸ τῶν εἰς ω̄ θηλυκῶν περισπᾶσθαι κατὰ τὴν αἰτιατικὴν τῷ λόγῳ τῆς συναιρέσεως τῆς ἀπὸ ὀξείας καὶ βαρείας, ὡς ἐν τοῖς εἰς ω̄ θηλυκοῖς μεμαθήκαμεν ἐν τῇ διδασκαλίᾳ τῆς Σαπφώ αἰτιατικῆς· ἀλλὰ διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὴν εὐθεῖαν ὠξύνθησαν, ὡς ἐκεῖσε μεμαθήκαμεν.

Αἱ εἰς η̄ν̄ λήγουσαι αἰτιατικαὶ ἀπὸ γενικῶν εἰς ο̄ῡς̄ ληγουσῶν οὖσαι, εἰ μὲν βαρύνεται ἡ εὐθεῖα, βαρύνονται, οἷον Σωκράτης Σωκράτους Σωκράτην, Δημοσθένης Δημοσθένους Δημοσθένην, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα, περισπῶνται, οἷον Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλῆν, Περικλῆς Περικλοῦς

[Discr. scr. in CTb] **5** *ante* εὐθείας *add* ἰδίας T ‖ **6** ἰχθὺν *om* T | παιδοφάγον *Eustath. p. 1221, 35* (*ad* Φ 22), παιδοφύγα CTb; *cfr. Lobeck. Paral. 282* ‖ **10** ἡ δ' αἰτιατ. b ‖ **11** ἀνωτέρω] *vide p. 381, 28* ‖ **14** Διομήδην T | Ἀριστοφάνην T | Δημοσθένην T ‖ **15** Σωκράτην T ‖ **17** Ἐρετριέα Ἐρετριῆ T ‖ **18** ἀποκ.] συγκοπὴν CTb | *post* οὖσαι *add* καὶ T ‖ **21** ἀποψύχοντο T | καὶ — ἰχῶ (**22**)] καὶ ἀπὸ ἰχῶ CTb ‖ **22** *post* αἷμα *add* τουτέστι μὴ κυρίως ὂν αἷμα ἀλλὰ μεταβληθὲν C ‖ **24** οἷον *om* T | ἡ Σαπφὼς T ‖ **26** θέσθ' ἐνὶ] θέσθαι ἐν CTb ‖ **28** ἀπὸ *om* b ‖ **29** εἰς *om* T | θυλικοῖς C ‖ **30** μεμαθ.] *vide p. 311, 19* ‖ **31** εὐθεῖαν ὠξ. Cb, ὀξεῖαν ὀξύνθησαν T ‖ **33** μὲν b, μὴ C, *om* T

Περικλῆν· εἰ δὲ ὀξύνεται ἡ εὐθεῖα, βαρύνονται διὰ τὸ τοὺϲ Αἰολεῖϲ κεχρῆϲθαι ταύταιϲ ταῖϲ αἰτιατικαῖϲ· δυϲμένην γὰρ λέγουϲι καὶ κυκλοτέρην καὶ εὐρυνέφην τῶν εὐθειῶν ὀξυνομένων, οἷον ὁ δυϲμενήϲ, ὁ κυκλοτερήϲ, ὁ εὐρυνεφήϲ· οἱ γὰρ Αἰολεῖϲ βαρυντικοί εἰϲι, τὸ γὰρ Ἀτρεύϲ Ἄτρευϲ λέγουϲι καὶ τὸ Πηλεύϲ Πήλευϲ καὶ τὸ Ἀχιλλεύϲ Ἀχίλλευϲ.

Ταῦτα ἔχομεν εἰπεῖν περὶ ⟨τοῦ⟩ τόνου τῆϲ αἰτιατικῆϲ.

Περὶ τοῦ τόνου τῆϲ κλητικῆϲ τῶν ἑνικῶν.

Διαλαμβάνει περὶ τοῦ τόνου τῆϲ κλητικῆϲ λέγων, ὅτι *πᾶϲα κλητικὴ ἐπὶ ταύτηϲ τῆϲ ϲυλλαβῆϲ ἔχει τὸν τόνον ἐφ' ἧϲ ἂν καὶ ἡ εὐθεῖα*, οἷον τὸ Αἴαϲ εἰϲ τὸ $\overline{αι}$ ἔχει τὸν τόνον, ἀλλὰ καὶ τὸ Αἶαν ἐν τῇ αὐτῇ ϲυλλαβῇ ἐφύλαξε τὸν τόνον· ἀλλὰ δεῖ γνῶναι ἡμᾶϲ, ὅτι ἐν 425 g μὲν τῇ εὐθείᾳ ὀξεῖα τίθεται εἰϲ τὸ $\overline{αι}$, τὸ γὰρ Αἴαϲ παροξύνεται, ἐν δὲ τῇ κλητικῇ περιϲπωμένη, τὸ γὰρ ὦ Αἶαν προπεριϲπᾶται, οἷον ⟨Ν 824⟩ *Αἶαν ἁμαρτοεπὲϲ βουγάϊε*. Ἡ δὲ αἰτία ἐϲτὶν αὕτη· ἡ εὐθεῖα οὐκ 1234 b ἠδύνατο προπεριϲπᾶϲθαι, ἐπειδὴ φύϲει μακρά ἐϲτιν ἡ τελευταία ϲυλλαβή, τὸ γὰρ Αἴαϲ φύϲει μακρὸν ἔχει τὸ $\bar{α}$, οὐδέποτε δὲ πρὸ φύϲει μακρᾶϲ τίθεται περιϲπωμένη, οἷον Ὁμήρου ἀνθρώπου μήλου κήπου δώρου τείχουϲ ἤθουϲ· τὸ γὰρ Μοῦϲαι καὶ κῆποι προπεριϲπώμενα οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἐνταῦθα ἡ $\overline{αι}$ καὶ ἡ $\overline{οι}$ δίφθογγοϲ ἀντὶ κοινῆϲ παραλαμβάνονται, ἤγουν ἀντὶ βραχείαϲ· ἐπειδὴ οὖν τὸ Αἴαϲ τὸ $\bar{α}$ ἔχει φύϲει μακρόν — καὶ ἔχομεν ἐν τοῖϲ προλαβοῦϲι τὴν αἰτίαν· ἔχομεν γὰρ ὅτι τὰ εἰϲ αϲ ἀρϲενικὰ βαρύτονα μακρὸν ἔχουϲι τὸ $\bar{α}$, οἷον Δρύαϲ Θόαϲ γίγαϲ Κάλχαϲ Αἰνείαϲ κοχλίαϲ, χωρὶϲ τοῦ μέγαϲ τοῦ ἐπιθέτου καὶ τοῦ λᾶαϲ τοῦ προϲηγορικοῦ καὶ τοῦ Αἴαϲ παρὰ τῷ Ἀλκμᾶνι ⟨fragm. 68 B[4]⟩ — τούτου χάριν οὐ περιεϲπάϲθη ἀλλὰ παρωξύνθη· ὡϲ γὰρ εἴρηται, οὐδέποτε πρὸ φύϲει μακρᾶϲ τίθεται περιϲπωμένη.

Καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διατί οὐδέποτε πρὸ φύϲει μακρᾶϲ τίθεται περιϲπωμένη· καὶ ἔϲτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἡ περιϲπωμένη δυνάμει παροξύτονόϲ ἐϲτιν, ἀπὸ γὰρ ὀξείαϲ καὶ βαρείαϲ ϲύγκειται, οἷον πᾶϲ βοῦϲ νοῦϲ Ἑρμῆϲ, ἡ δὲ προπεριϲπωμένη δυνάμει προπαροξύτονόϲ ἐϲτιν, ἀπὸ γὰρ ὀξείαϲ καὶ δύο βαρειῶν ϲύγκειται, οἷον τεῖχοϲ μῆλον κῆποϲ δῶρον ἦθοϲ· εἰ ἐτίθετο οὖν περιϲπωμένη πρὸ φύϲει μακρᾶϲ, εὑρίϲκετο φύϲει μακρᾶϲ οὔϲηϲ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ δυνάμει τρίτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα, ὅπερ ἐϲτὶν ἄτοπον· ἐμάθομεν γὰρ ἐν τοῖϲ προλαβοῦϲιν, ὅτι φύϲει μακρᾶϲ οὔϲηϲ τῆϲ τελευταίαϲ ϲυλλαβῆϲ οὐδέποτε τρίτη ἀπὸ τέλουϲ πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξιϲ· τούτου οὖν χάριν πρὸ φύϲει μακρᾶϲ οὐ τίθεται περιϲπωμένη. Πρὸ δὲ

[Discr. scr. in C T b] 2 λέγουϲι b, λέγουϲιν C, λέγοντεϲ T | κυκλωτέρην T ‖ 3 κυκλωτερῆϲ T ‖ 6 *ante* Ταῦτα *add* καὶ C | Ταῦτα — αἰτιατικῆϲ *om* b | τοῦ *om* CT ‖ 7 Περὶ — ἑνικῶν *om* C ‖ 13 οἷον — βουγάϊε (14) *om* T ‖ 18 ἀντίκειται Cb ‖ 21 ἐν τοῖϲ προλ.] *vide p.122,5* | ἔχομεν γὰρ *om* T ‖ 22 γίγαϲ Cb, γέταϲ T ‖ 24 Αἴαϲ CTb ‖ 25 παροξύνθη T ‖ 26 πρὸ *om* T ‖ 27 πρὸ *om* T ‖ 32 *post* οὖν *add* ἡ C ‖ 34 ἐν τοῖϲ προλ.] *vide p.364,6* ‖ 37 Πρὸ δὲ

μὴ οὔσης φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Φοῖνιξ κῆρυξ Μοῦσαι δῆμοι, ἐπειδὴ καὶ μὴ οὔσης φύσει μακρᾶς τῆς τελευταίας συλλαβῆς πολ- 426 g λάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι ἄνθρωποι ἅμαξαι τράπεζαι· ἡ γὰρ α̅ι̅ καὶ ἡ ο̅ι̅ δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνονται, ἤγουν ἀντὶ βραχείας. Ταῦτα μὲν ἐν τούτοις.

Τὸ δὲ ὦ Αἶαν, λέγω δὴ ἡ κλητική, ἐπειδὴ συνεσταλμένον ἔχει τὸ α̅, διὰ τοῦτο προπερισπᾶται. Διατί δὲ ἡ κλητικὴ ἡ ὦ Αἶαν συνεσταλμένον ἔχει τὸ α̅; ἐπειδὴ ἀπὸ τῆς Αἴαντος γενικῆς ἐγένετο κατὰ ἀποβολὴν τῆς τ̅ο̅ς̅ συλλαβῆς· ἡ δὲ Αἴαντος γενικὴ συνεσταλμένον ἔχει τὸ α̅, ἤγουν θέσει μακρόν, ἐπειδὴ αἱ διὰ τοῦ ν̅τ̅ κλινόμεναι γενικαὶ ἀπὸ μὲν τῶν εἰς α̅ς̅ βαρυτόνων οὖσαι συνεσταλμένον ἔχουσι τὸ α̅, ἤγουν θέσει 1235 b μακρόν, κατὰ τὴν παραλήγουσαν, οἷον Θόαντος Βίαντος Δρύαντος· οὕτως οὖν καὶ Αἴαντος· ἀπὸ δὲ τῶν εἰς α̅ς̅ περισπωμένων ὑπὲρ μίαν συλλαβὴν οὖσαι ἐκτεταμένον ἔχουσι τὸ α̅, τουτέστι φύσει μακρόν, οἷον ἀλλᾶς ἀλλᾶντος, πελεκᾶς πελεκᾶντος, Γλισᾶς Γλισᾶντος (ἔστι δὲ ὄνομα πόλεως)· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸ πᾶς παντός, τοῦτο γὰρ θέσει μακρὸν ἔχει τὸ α̅ κατὰ τὴν γενικήν. Ἐπειδὴ οὖν ἡ ὦ Αἶαν κλητικὴ συνεσταλμένον ἔχει τὸ α̅, διὰ τοῦτο προπερισπᾶται· πᾶσα γὰρ φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας, ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ἐν ἑνὶ μέρει λόγου, κοινολεκτουμένη, μὴ ἐπεκτεινομένη διὰ τοῦ χ̅ καὶ [τοῦ] ι̅ ἢ διὰ τοῦ θ̅ καὶ ε̅ ἢ διὰ τοῦ δ̅ καὶ ε̅ ἐν τοῖς δυϊκοῖς, περισπωμένην δέχεται, οἷον παῖδες Πᾶνες Ἀλκμᾶνες Τιτᾶνες δελφῖνες ἀκτῖνες φῶτες Τρῶες μῆνες χῆνες μῆλον δῶρον κῆπος δῆμος βῆμα Μοῦσα αἷμα ἦθος εἶδος τεῖχος ἧπαρ γυναῖκες· πρόσκειται «φύσει μακρά» διὰ τὰς θέσει μακράς, οἷον ἄλλος ἔργον ἔνθα πέμπτος ἕκτος· περισπωμένη γὰρ οὐ τίθεται εἰ μὴ ἐπάνω φύσει μακρᾶς, οἷον Μοῦσα Ἑρμῆς Ἡρακλῆς· καὶ διατί ἐπάνω θέσει μακρᾶς οὐ τίθεται, ἐμάθομεν ἀνωτέρω· «πρὸ μιᾶς» δὲ «βραχείας» πρόσκειται διὰ τὸ μὴ εὑρεθῆναι δύο βραχείας ἐπιφερομένας· πρὸ δύο γὰρ συλλαβῶν οὐ τίθεται περισπωμένη, οἷον βήματος ποιήματος νοήματος σοφώτερος λογιώτερος.

Καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί οὐδέποτε περισπωμένη πρὸ δύο συλ- 427 g λαβῶν τίθεται. Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἡ περισπωμένη δυνάμει παροξύτονός ἐστιν, ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται, οἷον παῖς βοῦς Ἑρμῆς, ἡ δὲ προπερισπωμένη δυνάμει προπαροξύτονός ἐστιν, ἀπὸ γὰρ ὀξείας καὶ δύο βαρειῶν σύγκειται, οἷον κῆπος μῆλον δῶρον

[Discr. scr. in CTb] μὴ Cb, καὶ μὴ δὲ T ‖ 1 περισπωμένη *om* T ‖ 4 καὶ ἡ ο̅ι̅ *om* C ‖ 5 παραλαμβάνεται b ‖ 7 λέγω δὴ ἡ *om* T | δὴ] δὲ Cb ‖ 10 τὸ α̅ *om* T ‖ 11 αἱ] ἡ (*sic*) T | μὲν b, μέντοι CT ‖ 16 ἀλλᾶς ἀλλᾶντος g, ἀλᾶς ἀλᾶντος CTb ‖ 18 ὦ Αἶαν ἡ κλ. CTb ‖ 21 ἐπιτεινομένη T | καὶ τοῦ ι̅ CTb ‖ 23 ἀλκμαῖες T ‖ 25 εἶδος ἦθος T | τὰς Cb, τὸ T ‖ 27 φύσει Cb, θέσει T ‖ 28 ἀνωτέρω] *vide p. 382, 25* ‖ 29 δὲ *om* T ‖ 30 περισπωμένη οὐ τίθεται T ‖ 33 τίθεται b, οὐ τίθενται C, οὐ τίθεται T ‖ 34 ὀξύτονός ἐστιν T ‖ 35 περισπωμένη T | παροξύτονός ἐστιν T ‖ 36 καὶ

τεῖχος ἦθος· ἐὰν οὖν τεθῇ ἡ περισπωμένη πρὸ δύο συλλαβῶν, εὑρίσκεται ἡ ὀξεῖα δυνάμει τετάρτη ἀπὸ τέλους, τουτέστιν ὑπερβαίνουσα τὴν τρισυλλαβίαν, ὅπερ ἐστὶν ἄτοπον· οὐ θέλει γὰρ τόνος ὑπερβαίνειν τὰς τρεῖς συλλαβάς, ὡς ἀνωτέρω μεμαθήκαμεν· τούτου οὖν χάριν οὐ τίθεται περισπωμένη πρὸ δύο συλλαβῶν. «Ἐφ' ἑαυτῆς» δὲ «ἔχουσα τὸν τόνον» πρόσκειται διὰ τὸ Ὅμηρος καὶ ἄνθρωπος· ἐνταῦθα γὰρ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας, ἀλλ' ἐπειδὴ οὐκ ἔστιν ἐπάνω τῆς φύσει μακρᾶς ⟨ὁ⟩ τόνος, οὐ ⟨προ⟩περισπῶνται ταῦτα ἀλλὰ ⟨προ⟩παροξύνονται· πρόσκειται ⟨δέ⟩ «ἐν ἑνὶ μέρει λόγου» διὰ τὸ Ζεύς τε ⟨Ψ 307⟩· ἐνταῦθα γὰρ εἰς τὸ Ζεύς παρέχομεν ὀξεῖαν, καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας καὶ οὐ προπερισπᾶται, ἐπειδὴ οὐκ ἔστιν ἓν μέρος λόγου ἀλλὰ δύο· πρόσ- 1236 b
κειται δέ «κοινολεκτουμένη», ἐπειδὴ οἱ Δωριεῖς ὀξεῖαν παρέχουσιν ἐπὶ τῶν τοιούτων, οἷον παῖδες αἶγες γυναῖκες· ταῦτα γὰρ ἡμεῖς μὲν προπερισπῶμεν, οἱ δὲ Δωριεῖς παροξύνουσιν, ὀφείλοντες καὶ αὐτοὶ προπερισπᾶν· διὰ τοῦτο οὖν πρόσκειται «κοινολεκτουμένη»· πρόσκειται δέ «μὴ ἐπεκτεινομένη διὰ τοῦ $\bar{\chi}$ καὶ $\bar{\iota}$ ἢ διὰ τοῦ $\bar{\theta}$ καὶ $\bar{\epsilon}$» διὰ τὸ ναίχι καὶ εἶθε· ταῦτα γὰρ παροξύνονται καὶ οὐ προπερισπῶνται, καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἐπεκτεταμένα εἰσὶ διὰ τοῦ $\bar{\chi}$ καὶ $\bar{\iota}$ καὶ διὰ τοῦ $\bar{\theta}$ καὶ $\bar{\epsilon}$, καὶ τὸν τόνον ὃν εἶχον πρὸ τῆς ⟨ἐπ⟩εκτάσεως ἐφύλαξαν· ναί γὰρ ἦν καὶ εἴ ὀξυτόνως, καὶ κατ' ἐπέκτασιν γινόμενα ναίχι καὶ εἶθε τὴν ὀξεῖαν τάσιν ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ· πρόσκειται δέ «μὴ ἐπεκτεινομένη διὰ τοῦ $\bar{\delta}$ καὶ $\bar{\epsilon}$ ἐν τοῖς δυϊκοῖς» διὰ τὸ τοιώδε καὶ τοσώδε δυϊκά· ταῦτα γὰρ παροξύνονται καὶ οὐ προπερισπῶνται διὰ τὸν χαρακτῆρα τῶν δυϊκῶν· τὸ γὰρ $\bar{\omega}$ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον τὼ σοφώ, τὼ καλώ, τὼ ἀγαθώ· ἐπεὶ οὖν τὸ τοιώδε καὶ τοσώδε ἐπέκτασιν ἔχουσι τῆς $\overline{\delta\epsilon}$ 428 g
συλλαβῆς, τούτου χάριν, ὡς σχεδὸν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸ $\bar{\omega}$, ἀποστρέφονται τὴν περισπωμένην τάσιν. Ταῦτα μὲν ἐν τούτοις.

Παρατίθεται δὲ ὁ τεχνικὸς ἕτερα παραδείγματα, οἷον Ἀχιλλεύς Ἀχιλλεῦ· καὶ δεῖ γινώσκειν, ὅτι ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπιδέχονται· τὸ μὲν γὰρ Ἀχιλλεύς ὀξύνεται, τὸ δὲ Ἀχιλλεῦ περισπᾶται. Καὶ ἡ μὲν εὐθεῖα ὀξύνεται, ἐπειδὴ καθόλου τὰ εἰς $\overline{\epsilon\upsilon\varsigma}$ λήγοντα ἀρσενικὰ ἐπ' εὐθείας πτώσεως κοινολεκτούμενα ὀξύνεσθαι θέλουσιν, οἷον Πηλεύς Ἀτρεύς βασιλεύς Ἐρετριεύς ἁλιεύς Οἰνεύς Τυδεύς Θησεύς· οὕτως οὖν καὶ Ἀχιλλεύς· πρόσ-

---

[Discr. scr. in CTb] βαρειῶν δύο Cb ‖ 1 ἦθος τεῖχος T ‖ 2 *post* τέλους *add* καὶ C ‖ 4 ἀνωτέρω] *cfr. p. 363, 20* ‖ 7 ἀλλ'] καὶ CTb ‖ 8 ὁ *om* CTb | περισπῶνται CTb | παροξύνονται CTb ‖ 9 δέ *om* CTb | τε] γε CTb ‖ 10 παρεχόμεθα C ‖ 11 περισπᾶται T ‖ 13 τῶν τοιούτων Cb, τούτων T | παῖδες αἶγες γυναῖκες Cb | γὰρ ἡμεῖς μὲν Cb, δὲ ἡμεῖς T | προπερισπῶμεν CT, περισπῶμεν b ‖ 14 οἱ δὲ — προπερισπᾶν *om* T ‖ 17 παροξ. b, προπαροξύνονται CT | οὐ CT, οὐχὶ b ‖ 18 ἀντίκειται Cb | ἐπεκταμένα CT ‖ 19 διὰ — καὶ $\bar{\epsilon}$ *om* T ‖ 20 τῆς ἐκτάσεως CTb ‖ 21 γινόμεναι T ‖ 22 δέ *om* T | τοῦ $\bar{\delta}$ CT, τοῦ $\bar{\theta}$ b ‖ 32 ἡ] εἰ T ‖ 35 Τυδεύς] τηδεὺς T

κειται «ἀρσενικά» διὰ τὸ νεῦς καὶ γρεῦς· ταῦτα γὰρ περισπῶνται, ἀλλ' οὐκ εἰσὶν ἀρσενικὰ ἀλλὰ θηλυκά (νεῦς δέ ἐστιν ἡ ναῦς καὶ γρεῦς ἡ γραῦς)· πρόσκειται «ἐπ' εὐθείας πτώσεως», ἐπειδὴ ἡ διογενέος γενικὴ γίνεται παρὰ τοῖς Δωριεῦσι διογενεῦς κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν εῡ δίφθογγον καὶ περισπᾶται· καὶ πάλιν τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς περισπᾶται, ⟨ω 398⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε· καὶ πάλιν τοῦ Ἰδομενέος τοῦ Ἰδομενεῦς περισπωμένως, ⟨N 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος 1237 b μέγα, ἀντὶ τοῦ Ἰδομενέος οὐκ ἔληγεν ἡ δύναμις· ταῦτα δὲ οὐκ εἰσὶν εὐθείας πτώσεως· πρόσκειται «κοινολεκτούμενα», ἐπειδὴ οἱ Αἰολεῖς βαρυτόνως λέγουσιν, οἷον Ἀχίλλευς καὶ Ἄτρευς καὶ Πήλευς· καὶ τὸ Ἄρης δὲ γενόμενον εἰς εῡς̄ αἰολικῶς [ἐγένετο] διὰ τοῦτο βαρύνεται, οἷον Ἄρευς, καὶ ἐφύλαξε τὸν αὐτὸν τόνον καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν, οἷον Ἄρεος Ἄρεϊ Ἄρεα. Τὸ δὲ Ἀχιλλεῦ περισπᾶται, ἐπειδὴ πᾶσα λέξις εἰς τὸ ῡ καταλήγουσα ἐν διφθόγγῳ, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, οἷον σοφοῦ καλοῦ ἀγαθοῦ σεμνοῦ γραμματικοῦ ἐποιοῦ ἐνοοῦ ἐστεφανοῦ πανταχοῦ ἀλλαχοῦ οὐδαμοῦ Πηλεῦ Ἀτρεῦ· οὕτως οὖν καὶ Ἀχιλλεῦ περισπωμένως· πρόσκειται «εἰς τὸ 429 g ῡ καταλήγουσα» διὰ τὸ Πηλεύς Ἀτρεύς· ταῦτα γὰρ ὀξύνονται, ἀλλ' οὐ καταλήγουσιν εἰς τὸ ῡ ἀλλ' εἰς τὸ ς̄· «ἐν διφθόγγῳ» δὲ πρόσκειται διὰ τὸ ταχύ καὶ βραχύ· ταῦτα γὰρ εἰς τὸ ῡ καταλήγοντα ὀξύνονται, ἀλλ' οὐκ ἔχουσι τὸ ῡ ἐν διφθόγγῳ· πρόσκειται δέ «ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον» διὰ τὸ Ὁμήρου καὶ ἀνθρώπου· ταῦτα ⟨γὰρ⟩ εἰς τὸ ῡ καταλήγουσιν ἐν διφθόγγῳ, καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον ἀλλὰ πρὸ μιᾶς. Ταῦτα μὲν ἐν τούτοις.

Σημειούμεθα τρία τινὰ εἰς τὸ ῡ καταλήγοντα ἐν διφθόγγῳ καὶ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχοντα τὸν τόνον, καὶ ὅμως μὴ περισπώμενα ἀλλ' ὀξυνόμενα· ἔστι δὲ ταῦτα τὸ ἰδού δεικτικὸν καὶ τὸ ἰού σχετλιαστικὸν καὶ τὸ οὔ ἀρνήσεως δηλωτικόν, ταῦτα γάρ, ὡς εἴρηται, ὀξύνονται καὶ οὐ περισπῶνται. Καὶ ἔχουσι διαφόρους ἀπολογίας· λέγουσι γάρ τινες, ὅτι τὸ ἰδού δεικτικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ δεικνύοντες τῷ δακτύλῳ τὸν τύπον τῆς ὀξείας ἀποτελοῦμεν· τὸ δὲ ἰού διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ σχετλιαστικόν ἐστιν, οἱ δὲ σχετλιάζοντες ὀξείᾳ κέχρηνται φωνῇ· τὸ δὲ οὔ ἀρνητικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ ἀρνήσεώς ἐστι δηλωτικόν, ἀρνούμενοι δὲ ἀνανεύομεν καὶ ἀποτελοῦμεν τὸν τύπον τῆς ὀξείας. Ἑτέρα δὲ ἀπολογία ἐστὶ τοιαύτη, ἥτις καὶ καταναγκαστικὴ

[Discr. scr. in CTb] **3** διογένεος CT ‖ **5** τοῦ Ὀδυσσεῦς Cb, καὶ Ὀδυσσεῦς T ‖ **6** Ὀδυσεῦς] Ὀδυσσεῦς CTb | κῦσε CTb ‖ **8** περισπωμένως *in marg. add* C² | δὲ οὐ C ‖ **9** ταῦτα — εὐθείας πτώσεως (**10**) *Egenolffus,* ταῦτα δὲ οὐκ εἰσὶ κοινολεκτούμενα CTb ‖ **12** ἐγένετο καὶ διὰ Cb, ἐγένετο διὰ T ‖ **14** Ἄρεϊ *om* T | Ἀχιλλεῦς T ‖ **17** ἐνοοῦ] ἐνεοῦ CTb ‖ **18** Ἀρεῦ C | καὶ *om* T ‖ **23** διὰ τοῦ Ὁμήρου T | γὰρ *om* CTb ‖ **29** ἰδού — δηλωτικόν (**30**)] ἰδοὺ ἰοὺ οὗ T ‖ **32** ἐπειδὴ δεικν.] ἐπιδεικνύοντες T ‖ **35** ἀρνητικὸν Tb, ἀρσενικὸν *in* ἀρνιτικὸν *mut.* C¹ | τοῦτο Tb, τοῦ C ‖ **37** ἐστὶ] ἔστω Cb, ἔστι T

ἐστιν· τὰ ἐπιρρήματα τὰ εἰς τὴν ο̅υ̅ δίφθογγον λήγοντα ἢ τοπικά εἰσιν ἢ παρηγμένα διὰ τοῦ χ̅ο̅υ̅ ἀπὸ λέξεως ποσότητα δηλούσης, καὶ πάντα περισπῶνται· τοπικὰ μέν, οἷον ἀγχοῦ, ⟨B 172⟩ ἀγχοῦ δ' ἱσταμένη, ὑψοῦ, ⟨Α 486⟩ ὑψοῦ ἐπὶ ψαμάθοις, τηλοῦ πανταχοῦ ἀλλαχοῦ 1238 b οὐδαμοῦ ἑκασταχοῦ (τουτέστιν ἐν ἑκάστῳ τόπῳ, ὡς παρὰ Δημοσθένει ⟨de cor. § 246⟩ καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας), ⟨αὐτοῦ⟩, ⟨χ 4⟩ αὐτοῦ πρόσθε ποδῶν, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ· παρηγμένα ⟨δὲ⟩ διὰ τοῦ χ̅ο̅υ̅ ἀπὸ λέξεως ποσότητα δηλούσης, οἷον δίς διχοῦ, τρίς τριχοῦ, τετράκις τετραχοῦ, πεντάκις πενταχοῦ· τὸ γὰρ δίς τρίς τετράκις καὶ πεντάκις ποσότητα δηλοῦσι· τὸ ὅπου τοπικὸν ὂν καὶ μὴ 430 g περισπώμενον ἀλλὰ βαρυνόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδή, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ Περὶ ἐπιρρημάτων ⟨p. 173, 3 Sch⟩, τὰ μονοσύλλαβα πευστικὰ περισπώμενα ὄντα, προσλαμβάνοντα τὸ ο̅ καὶ γινόμενα ἀναφορικά, βαρύνονται, οἷον πῶς ὅπως, πῇ ὅπῃ· οὕτως οὖν καὶ ποῦ ὅπου. Ἐπειδὴ οὖν τὰ τρία μόνα ταῦτα, λέγω δὴ τὸ ἰδού καὶ ἰού καὶ οὔ, εὑρέθησαν εἰς τὴν ο̅υ̅ δίφθογγον λήγοντα καὶ μὴ ὄντα μήτε τοπικὰ μήτε διὰ τοῦ χ̅ο̅υ̅ παρηγμένα ἀπὸ λέξεως ποσότητα δηλούσης — τὸ μὲν γὰρ ἰδού δεικτικόν ἐστι, τὸ δὲ ἰού σχετλιαστικόν, τὸ δὲ οὔ ἀρνήσεως δηλωτικόν — εἰκότως ὡς παραλλάξαντα κατὰ τὸ σημαινόμενον διήλλαξαν καὶ περὶ τὴν τάσιν, καὶ οὐ περισπῶνται.

Πάλιν παρατίθεται ὁ τεχνικὸς τὸ καλός καλέ καὶ εὐγενής εὐγενές· καὶ δεῖ γινώσκειν, ὅτι ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν τόνον ἐφύλαξαν· πάλιν εὐσεβής εὐσεβές, εὐτυχής εὐτυχές, ἀσθενής ἀσθενές, ποιητής ποιητά, αὐλητής αὐλητά, ἀθλητής ἀθλητά, εὑρετής εὑρετά, εὐνέτης εὐνέτα, θύτης θύτα· ἰδοὺ καὶ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν τόνον ἐφύλαξαν· πάλιν ἀλήτης ἀλῆτα, ποικιλομήτης ποικιλομῆτα, ⟨ν 293⟩ σχέτλιε ποικιλομῆτα, καὶ δολομήτης δολομῆτα· καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσιν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐφύλαξαν· ἡ ⟨μὲν⟩ γὰρ κλητικὴ ἐπὶ τούτων προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας· πάλιν Λειώδης Λειῶδες· ἰδοὺ καὶ τοῦτο ἐν μὲν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχει, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ Λειώδης παροξύνεται — παροξύνεται δέ, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή, οὐδέποτε δέ, ὡς ἀνωτέρω εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Ὁμήρου ἀνθρώπου κήπου τείχους — τὸ δὲ Λειῶδες προπερισπᾶται,

---

[Discr. scr. in CTb] **2** δηλούσας T ‖ **3** *alterum* ἀγχοῦ *om* T ‖ **4** *alterum* ὑψοῦ *om* T | ὑψοῦ δ' ἐπὶ ψαμάθοισι CTb ‖ **6** αὐτοῦ *om* CTb ‖ **7** πρόσθε] πρός τε CTb | ἐν αὐτῷ τῷ τόπῳ C ‖ **8** δὲ g, *om* CTb ‖ **9** *ante* πεντάκις *add* καὶ T ‖ **11** ἀντίκεινται T | ἐπειδηώσα φησὶν *sed supra* δη *signo* ∴ *pos. et in marg. rep.* C ‖ **15** δή] δὲ CTb | τὸ *om* T ‖ **19** διήλλαξε CTb ‖ **23** τόνον *post* αὐτὸν *om* b ‖ **25** θήτης θῆτα C ‖ **27** σχέτλις T ‖ **28** καὶ *ante* ταῦτα *om* T ‖ **29** δὲ *om* T | μὲν *om* CTb ‖ **30** προπερισπ. b, περισπᾶται CT | *post* πάλιν *add* δὲ T ‖ **31** ἐν μὲν] μὲν ἐν CTb ‖ **33** δέ, ἐπειδὴ Tb, μὲν ἐπειδὴ C ‖ **34** ἀνωτέρω] *vide p. 384, 20*

ἐπειδὴ φύσει μακρὰ πρὸ βραχείας ἐστίν· τὸν δὲ κανόνα εἰρήκαμεν ἀνωτέρω. Ἰστέον ⟨δὲ⟩ ὅτι τὰ διὰ τοῦ ωδης προπερισπῶνται ⟨κατὰ τὴν κλητικήν⟩, οἷον δυσώδης δυσῶδες, εὐώδης εὐῶδες, πυρώδης πυρῶδες,
431 g γεώδης γεῶδες· οὕτως οὖν καὶ Λειώδης Λειῶδες ⟨προ⟩περισπωμένως κατὰ
1239 b τὴν κλητικήν, ⟨φ 168⟩ Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; Ταῦτα μὲν ἐν τούτοις.

Σεσημείωται ἐν τῷ κανόνι τὸ δέσποτα ἀκάκητα εὐρύοπα μητίετα καὶ τὸ ἄνερ πάτερ σῶτερ δᾶερ, ὅτι οὐκ ἐφύλαξαν κατὰ τὴν κλητικὴν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα· ἀνήρ γὰρ καὶ πατήρ καὶ σωτήρ καὶ δαήρ ἐστιν ἡ εὐθεῖα, καὶ δεσπότης καὶ ἀκακήτης καὶ μητιέτης καὶ εὐρυόπης. Καὶ περὶ μὲν τοῦ ἄνερ πάτερ δᾶερ ἔστιν εἰπεῖν, ὅτι ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὴν κλητικήν, φημὶ δὴ τῷ μῆτερ καὶ θύγατερ· ὥσπερ γὰρ τὸ μήτηρ καὶ θυγάτηρ, ὀφείλοντα ἐν τῇ γενικῇ προπαροξυνθῆναι διὰ τὸ φυλάξαι τὸν τόνον τῆς εὐθείας ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον μήτηρ μήτερος καὶ θυγάτηρ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος καὶ εἰνάτηρ εἰνάτερος (σημαίνει δὲ τὴν σύννυμφον), οὐ προπαρωξύνθησαν ἀλλὰ παρωξύνθησαν, οἷον μητέρος θυγατέρος — ἠκολούθησαν γὰρ τοῖς ἰδίοις συγγενικοῖς αὐτῶν, φημὶ δὴ τῷ πατέρος ἀνέρος δαέρος (σημαίνει δὲ τὸν ἀνδράδελφον) — τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικήν, καὶ ὥσπερ μῆτερ καὶ θύγατερ διὰ τοῦ ε̄ βαρυτόνως, οὕτω καὶ ἄνερ πάτερ δᾶερ διὰ τοῦ ε̄ βαρυτόνως· καὶ λοιπὸν ἀμοιβαῖα ἐγένοντο τὰ τοῦ τόνου· τὰ μὲν γὰρ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικήν, τὰ δὲ θηλυκὰ τοῖς ἀρσενικοῖς κατὰ τὴν γενικήν. Τὸ δὲ σῶτερ ψευδαιολικόν ἐστι, καὶ τούτου χάριν συνέστειλε τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἐβαρύνθη· οἱ γὰρ Αἰολεῖς ἔθος ἔχουσι πολλάκις συστέλλειν τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ (ἔστι δὲ εἶδος ἀκάνθης)· διὰ τοῦτο δὲ εἴρηται ψευδαιολικόν, ἐπειδὴ οὐκ ἔστι κυρίως Αἰολικόν· οἱ γὰρ Αἰολεῖς τότε συστέλλουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ· ἡνίκα δὲ μακρᾷ παραλήγεται, οὐ συστέλλουσι τὸ η̄ ἐν τῇ κλητικῇ εἰς τὸ ε̄, οἷον ὁ χρηστήρ· τοῦτο
432 g γὰρ μακρᾷ παραληγόμενον οὐ συστέλλει τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ (χρηστήρ δέ ἐστιν ὁ παρέχων τοὺς χρησμούς)· τὸ οὖν σῶτερ μακρὰν

[Discr. scr. in CTb] **1** ἀνωτέρω] *vide p. 385, 19* ‖ **2** δὲ *om* CTb | κατὰ τὴν κλητικὴν *om* CTb ‖ **3** τυρώδης τυρῶδες T ‖ **4** προπερισπωμένως] περισπωμένως CTb ‖ **7** ἐν τῷ καν. *om* T | τὸ δέσπ. ἐν τῷ καν. Cb | ἀκάκητα *om* T ‖ **8** ἄνερ CT, ἀνερ b; *item v. 11. 22. 390, 4* | δᾶερ b, δάερ CT; *item v. 11. 22. 390, 4. 9. 12* ‖ **9** *post* ἧς *add* ἂν ἔχῃ τὸν αὐτὸν C ‖ **10** δαήρ] ἀήρ C ‖ **13** δὴ τῷ] δὲ τῇ Cb, δὲ τὸ T | *prius* καὶ *om* Cb ‖ **15** μητέρος CT | καὶ *om* Cb | θυγατέρος CT ‖ **16** σύνυμφον CT ‖ **17** προπαροξύνθησαν T | παροξύνθησαν T ‖ **18** δὴ τῷ] δὲ τῷ b, δὲ τὸ CT ‖ **20** καὶ *om* T ‖ **23** ἐγένετο CTb ‖ **26** καὶ ἐβαρύνθη — κλητικῇ (27) *om* T ‖ **27** ἀναβιβάζει T ‖ **28** ὁ τρεβολετὴρ ὦ τρεβόλετερ T | δὲ *post* τοῦτο *om* T ‖ **31** οἷον — παραλήγεται *om* T

ἔχον τὴν παραλήγουσαν οὐ δύναται συσταλῆναι παρὰ τοῖς Αἰολεῦσι· διὰ τοῦτο οὖν εἰρήκαμεν ὅτι ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ἄνερ πάτερ σῶτερ δᾶερ, συστείλαντα τὸ η̄ εἰς τὸ 1210 b ε̄ ἐν τῇ κλητικῇ, εὐλόγως ἐβαρύνθησαν· τὰ γὰρ εἰς ρ̄ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς τῆς ὑπέρ προθέσεως καὶ τοῦ αὐτάρ καὶ ἀτάρ συνδέσμου· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, μάκαρ ἦθαρ ἧπαρ ἔαρ φρέαρ κέαρ δέλεαρ ὄνειαρ ἄτερ· οὕτως οὖν καὶ ἄνερ πάτερ σῶτερ δᾶερ βαρυτόνως· πρόσκειται «βραχυκατάληκτα» διὰ τὸ πατήρ καὶ ἀνήρ ὀξυνόμενα· πρόσκειται «ὑπὲρ μίαν συλλαβήν» διὰ τὸν γάρ σύνδεσμον ὀξυνόμενον. Ταῦτα μὲν περὶ τοῦ ἄνερ πάτερ σῶτερ δᾶερ.

Τὸ δὲ δέσποτα ἀκάκητα μητίετα εὐρύοπα ἐσημειωσάμεθα, ἐπειδὴ ταῦτα κλητικὰ ὄντα προπαροξύνονται, τῆς εὐθείας παροξυνομένης, ὁ ἀκακήτης γὰρ (ὁ μὴ ἔχων κακίαν) καὶ ὁ μητιέτης καὶ ὁ εὐρυόπης καὶ ὁ δεσπότης ἐστὶν ἡ εὐθεῖα. Καὶ περὶ μὲν τοῦ εὐρύοπα καὶ ἀκάκητα ἔχομεν εἰπεῖν ἀπολογίαν τοιαύτην· ἔστιν εὐθεῖα εὐρύοψ, ὥσπερ Αἰθίοψ, καὶ κλίνεται εὐρύοπος εὐρύοπι εὐρύοπα, καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατική, ὥσπερ Αἰθίοπος Αἰθίοπι Αἰθίοπα· καὶ πάλιν ἐστὶν ἀκάκης ἀκάκητος ἀκάκητι ἀκάκητα (σημαίνει δὲ τὸν μὴ ἔχοντα κακίαν), καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατική, ὥσπερ Λάχης Λάχητος Λάχητι Λάχητα· εἰσὶ δὲ καὶ ἄλλαι εὐθεῖαι, οἷον ὁ εὐρυόπης καὶ ὁ ἀκακήτης, αἵτινες γινόμεναι κατὰ μεταπλασμὸν εὐρύοπα καὶ ἀκάκητα ὡμοφώνησαν τῇ αἰτιατικῇ τῇ εὐρύοπα καὶ ἀκάκητα τῇ γενομένῃ ἀπὸ τοῦ εὐρύοψ καὶ ἀκάκης· καὶ ἐπειδὴ ὡμοφώνησαν αὗται αἱ εὐθεῖαι αἱ κατὰ μεταπλασμὸν ταῖς αἰτιατικαῖς, ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς καὶ προπαροξυνθῆναι ὁμοίως αὐταῖς. Κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον, οἷον ⟨ἡ⟩ Μοῦσα ὦ Μοῦσα (ἐπ' ἀμφοτέρων μία φωνὴ καὶ 433 g εἷς ὁ τόνος), ἡ Μήδεια ὦ Μήδεια, τὸ ξύλον ὦ ξύλον, ἡ τιμή ὦ τιμή, τῇ Λητοῖ ὦ Λητοῖ, ἡ Λητώ τὴν Λητώ (ὁμοίως μία φωνὴ καὶ εἷς ὁ τόνος). Δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς ευς̄ γενικῶν τῶν γινομένων ἰωνικῶς ἢ δωρικῶς»· οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυσσέος καὶ Ἰδομενέος γενικὴν Ὀδυσσεῦς καὶ Ἰδομενεῦς λέγουσι, κρᾶσιν ποιούμενοι τοῦ ε̄ καὶ ο̄ εἰς τὴν εῡ δίφθογγον, οἷον ⟨ω 398⟩ Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε, καὶ πάλιν ⟨N 424⟩ Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα, ἀντὶ τοῦ Ἰδομενέος 1241 b δ' οὐκ ἔληγεν ἡ δύναμις· καὶ ἰδοὺ ἐπὶ τούτων ὁμοφωνεῖ ἡ γενικὴ τῇ εὐθείᾳ κατὰ τὸν αὐτὸν ἀριθμόν, καὶ γὰρ Ὀδυσσεύς καὶ Ἰδομενεύς ἐστιν

[Discr. scr. in CTb] **1** ἔχων T ‖ **11** ὀξυνόμενον *om* T ‖ **13** *ante* ἐπειδὴ *add* καὶ T ‖ **15** καὶ ὁ δεσπότης CT, *om* b ‖ **17** *ante* εὐθεῖα *add* ἡ C ‖ **20** σημαίνει — κακίαν *om* T ‖ **22** *prius* ὁ *om* C ‖ **28** ὠμοφωνήσασα C; *item p. 391, 13* | *ante* ἑτέρᾳ *add* τῇ T; *item p. 391, 13* ‖ **29** ἡ *om* CTb ‖ **34** καὶ ο̄] καὶ ω̄ C ‖ **35** Ὀδυσσεῦς CTb | κῦσε CTb

ἡ εὐθεῖα, καὶ ὅμως οὐκ ἐπιδέχονται τὸν αὐτὸν τόνον· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. Πρόσκειται «κατὰ τὸν αὐτὸν ἀριθμόν» διὰ τὸ τῆς ἀγορᾶς καὶ τὰς ἀγοράς· ἰδοὺ γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ὁμοφωνεῖ τῇ γενικῇ τῶν ἑνικῶν καὶ οὐχ ὁμοτονεῖ αὐτῇ· ἡ μὲν γὰρ γενικὴ τῶν ἑνικῶν περισπᾶται, ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ὀξύνεται· ἀλλ' οὐκ εἰσὶ κατὰ τὸν αὐτὸν ἀριθμόν. Ἐπειδὴ οὖν τοῦ εὐρυόπης καὶ ἀκακήτης αἱ κλητικαὶ [αὐτῶν] εἰς $\bar{α}$ ἐγένοντο, οἷον ὦ εὐρύοπα καὶ ὦ ἀκάκητα, τοῦ μὲν ὡς ἔχοντος τὸ $\bar{τ}$, τοῦ δὲ ὡς ὄντος εἰς πης, καὶ ὡμοφώνησαν ταῖς εὐθείαις ταῖς γινομέναις κατὰ μεταπλασμὸν ἀπὸ τοῦ εὐρυόπης καὶ ἀκακήτης, λέγω δὴ τῷ εὐρύοπα καὶ ἀκάκητα, τούτου οὖν χάριν καὶ ὡμοτόνησαν αὐταῖς καὶ προπαρωξύνθησαν ὁμοίως αὐταῖς κατὰ τὸν προλεχθέντα κανόνα τὸν λέγοντα, ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον· διὰ τοῦτο οὖν προπαροξύνονται αὗται αἱ κλητικαί, λέγω δὴ ἡ εὐρύοπα καὶ ἀκάκητα. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ μητίετα ἔστιν εἰπεῖν ἀπολογίαν τοιαύτην, ὅτι ἐστὶ
431 g μητιέτης ἡ εὐθεῖα· τοῦτο ἔχει τὴν αἰτιατικὴν τὸν μητιέτην, καὶ κατὰ μεταπλασμὸν γίνεται μητίετα· καὶ ἐπειδὴ αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς $\bar{α}$ αἰτιατικαί, μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς $\bar{α}$, ὑπὲρ δύο συλλαβὰς οὖσαι, προπαροξύνεσθαι θέλουσιν, οἷον ἀλίτροχον ἀλίτροχα, πυργοκέρατον πυργοκέρατα, διθύραμβον διθύραμβα, εὐλόγως οὖν καὶ ἡ μητίετα αἰτιατικὴ ἀπὸ τοῦ μητιέτην κατὰ μεταπλασμὸν γινομένη προπαροξύνεται· οὐδὲ γὰρ ἔχει γενικὴν ἢ δοτικὴν προμεταπλασθεῖσαν ἐν πλάτει εἰς $\bar{α}$, εἰ καὶ σπανίως τις θέλει εἰπεῖν ἐπὶ τούτων γενικὴν ἢ δοτικὴν μεταπεπλασμένην· τῆς οὖν αἰτιατικῆς πρῶτον μεταπλασθείσης, καὶ ἡ εὐθεῖα ἡ ἀπὸ τοῦ μητιέτης γινομένη κατὰ μεταπλασμὸν εἰς $\bar{α}$, οἷον μ η τ ί ε τ α Ζ ε ύ ς, ὑγιῶς προπαροξύνεται κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα ⟨ἑτέρᾳ⟩ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον· ὡσαύτως δὲ καὶ ἡ κλητικὴ τοῦ μητιέτης γενομένη εἰς $\bar{α}$, ὡς ἔχουσα τὸ $\bar{τ}$, οἷον ὦ
1242 b μητίετα, καὶ ὁμοφωνήσασα τῇ μητίετα εὐθείᾳ τῇ γενομένῃ ἀπὸ τοῦ μητιέτης κατὰ μεταπλασμόν, ὑγιῶς προπαροξύνεται τῷ προλεχθέντι κανόνι τῷ λέγοντι, ⟨ὅτι⟩ πᾶσα πτῶσις ὁμοφωνοῦσα ⟨ἑτέρᾳ⟩ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. Πρόσκειται ἀνωτέρω «μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς $\bar{α}$», ἐπειδή ἐστι τὸν ἱππότην καὶ γίνεται κατὰ μεταπλασμὸν τὸν ἱππότα, καὶ οὐ

[Discr. scr. in CTb] **2** ἀριθμόν *om* T ‖ **6** τοῦ εὐρ.] τὸ εὐρ. CTb ‖ **9** εἰς πης Cb, εἰς $\bar{π}$ T | ὡμοφών.] ὡμοφωνήσασαι C, ὁμοφωνήσασα T, ὁμοφωνήσασαι b ‖ **10** δὴ Cb, δὲ T | τῷ εὐρύοπα] τοῦ εὐρύοπα CTb ‖ **11** ὁμοτόνησαν T ‖ **14** αὗται *in marg. add* T² ‖ **18** γενόμεναι T ‖ **19** ἡ δοτικῆς Tb, ἡ δοτικὴ C ‖ **22** μητιέτα T; *item v. 27 et 31* (*bis*) | μητιέτης T ‖ **24** τις Cb, τι T ‖ **26** *poster.* ἡ *om* T | γινομένη Cb, τῆς γενομένης T ‖ **28** ἑτέρᾳ *om* CTb ‖ **30** οἷον *om* T ‖ **33** τῷ λέγοντι — τόνον (**34**) *om* T | ὅτι *om* Cb | ἑτέρᾳ *om* Cb ‖ **36** κατὰ τὸν μεταπλ. CT | τὸν ἱππότα] τὸν ἱππόταν CTb

προπαροξύνεται, ἐπειδὴ ἔχει προηγουμένην γενικὴν καὶ δοτικὴν μεταπεπλαϲμένην· ἔϲτι γὰρ τοῦ ἱππότου καὶ γίνεται κατὰ μεταπλαϲμὸν ⟨τοῦ ἱππότα, καὶ ἔϲτι τῷ ἱππότῃ καὶ γίνεται κατὰ μεταπλαϲμὸν⟩ τῷ ἱππότα· πρόϲκειται «ὑπὲρ δύο ϲυλλαβὰϲ οὖϲαι» διὰ τὸ λιτόν τοῦ λιτοῦ τῷ λιτῷ τὸ λιτόν· τοῦτο γὰρ γίνεται κατὰ μεταπλαϲμὸν λῖτα, ⟨Θ 441⟩ κατὰ λῖτα πετάϲαϲ, οἱονεὶ καταπετάϲαϲ καὶ ἁπλώϲαϲ λιτὸν ἱμάτιον, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ οὐκ ἔϲτιν ὑπὲρ δύο ϲυλλαβάϲ. Ταῦτα μὲν ἐν τούτοιϲ.

Περὶ δὲ τοῦ δέϲποτα ἀξιοῦϲί τινεϲ λέγειν, ὅτι ἐϲτὶ δεϲπότηϲ καὶ ἐν ϲυνθέϲει γίνεται ἀδέϲποτοϲ· ἔχομεν γὰρ τὸν ἀδέϲποτον καὶ οἱ ἀδέϲποτοι· αὕτη οὖν ἡ ἀδέϲποτοϲ εὐθεῖα ἔχει κλητικὴν τὴν ἀδέϲποτε, ἥτιϲ γίνεται κατὰ μεταπλαϲμὸν εἰϲ α̅ ὦ ἀδέϲποτα, καὶ εὐλόγωϲ προπαροξύνεται, 435 g ὁμοτονεῖ γὰρ τῇ ἰδίᾳ εὐθείᾳ τῇ ἀδέϲποτοϲ· μετὰ οὖν τὸν μεταπλαϲμὸν γίνεται ἀπὸ τοῦ ϲυνθέτου ἡ ἁπλῆ λέξιϲ, οἷον δέϲποτα, καὶ μένει προπαροξύτονοϲ ἡ λέξιϲ. Τὸ μέντοι ἀπὸ ϲυνθέτου γίνεϲθαι ἁπλοῦν οὐκ ἔϲτι ξένον· ἔχομεν γὰρ τοῦτο καὶ ἐπὶ φυϲικῶν πραγμάτων, ὥϲπερ ἀπὸ δένδρου ἐάν τιϲ ἀποϲπάϲῃ κλάδον, γίνεται ἁπλοῦν ἀπὸ ϲυνθέτου, καὶ ἐὰν ἀπὸ ζῴου ἀποϲπάϲῃ τιϲ χεῖρα ἢ πόδα, γίνεται ὁμοίωϲ ἀπὸ ϲυνθέτου ἁπλοῦν· καὶ ἐπὶ λέξεων δὲ τὸ αὐτὸ εὑρίϲκομεν ϲχῆμα· ἀπὸ γὰρ τοῦ «εὐϲτάδα λίμνην» ἔχομεν ἁπλοῦν τὸ ϲτάδα λίμνην, καὶ ἰδοὺ ἀπὸ ϲυνθέτου λέξεωϲ ἐγένετο ἁπλῆ λέξιϲ, ϲημαίνει δὲ τὴν καλῶϲ ἱϲταμένην· καὶ τὸ ⟨Λ 9⟩ εἶρυϲαν ἠνορέῃ ἀπὸ τοῦ εὐηνορέῃ γέγονε, καὶ τὸ ⟨ν 306⟩ δόμοιϲ ἔνι ποιητοῖϲιν ἀπὸ τοῦ εὐποιήτοιϲι γέγονε, τὸ γὰρ καλῶϲ πεποιημένοιϲ δηλοῖ· καὶ ἰδοὺ ἀπὸ ϲυνθέτων λέξεων ἐγένοντο ἁπλαῖ λέξειϲ· οὕτωϲ οὖν καὶ ἐπὶ τοῦ δέϲποτα ἁπλῆ ἐγένετο ἡ λέξιϲ ἀπὸ ϲυνθέτου. Τοϲαῦτα ἔχομεν εἰπεῖν περὶ τῶν ϲεϲημειωμένων.

Ἰϲτέον ⟨δὲ⟩ ὅτι προπαροξύνονται κατὰ τὴν κλητικὴν τὰ εἰϲ η̅ϲ̅ κύρια ϲύνθετα ἔχοντα τὴν κλητικὴν εἰϲ ε̅ϲ̅, δηλονότι βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν, οἷον Ἀριϲτοφάνηϲ Ἀριϲτόφανεϲ, Δημοϲθένηϲ Δημόϲθενεϲ, Διομήδηϲ Διόμηδεϲ, Πολυδεύκηϲ Πολύδευκεϲ, Διοπείθηϲ Διόπειθεϲ, Ἡρακλέηϲ Ἡράκλεεϲ καὶ κατὰ κρᾶϲιν τῶν δύο ε̅ε̅ εἰϲ τὴν ε̅ι̅ δίφθογγον Ἡράκλειϲ· περὶ δὲ τοῦ Λειώδηϲ, ὅτι προπεριϲπᾶται κατὰ τὴν κλη- 1243 b τικὴν διὰ τὸν χαρακτῆρα, [ὃν] ἐμάθομεν ἀνωτέρω [προπεριϲπᾶται]· ἐμάθομεν γάρ, ὅτι τὰ διὰ τοῦ ωδηϲ προπεριϲπῶνται κατὰ τὴν κλητικήν, οἷον δυϲώδηϲ δυϲῶδεϲ, εὐώδηϲ εὐῶδεϲ· οὕτωϲ οὖν καὶ Λειώδηϲ

Discr. sch. in CTb] **1** καὶ δοτικὴν *om* T ‖ **2** τοῦ ἱππότα — μεταπλαϲμόν (**3**) *om* CTb ‖ **4** τῷ λιτῷ τὸ λιτόν *om* T ‖ **5** κατὰ μεταπλεοναϲμὸν C | κατὰ λῖτα *om* C ‖ **6** λιτὸν Cb, τὸ T ‖ **13** ἀδέϲποτοϲ] ἀδέϲποτα T ‖ **15** μέντοι] μὲν CTb | γενέϲθαι C ‖ **19** ἁπλοῦ C | δὲ αὐτὸ εὑρ. τὸ ϲχ. C ‖ **20** ϲτάδα λίμνην] *vide Callim. ed. OSchneid. 2, 757* ‖ **22** εἴρηϲαν T | εὐηνορέῃ b, ἐηνορέῃ CT ‖ **23** ἐνὶ T | ποιητοῖϲι CT | ἀπὸ τοῦ εὐποιήτοιϲι *in marg. add* C[1], *om* T ‖ **24** καλῶϲ Cb, κακῶϲ T | πεποιημένον CTb ‖ **26** περὶ τῶν ϲεϲημ. *om* Cb ‖ **27** Ἰϲτέον κτἑ] *huc delegamur p. 176, 19* | δὲ *om* CTb ‖ **32** λοιώδηϲ T | κατὰ τὴν κλητ. Cb, ἐν τῇ κλητικῇ T ‖ **33** ἀνωτέρω] *vide p. 388, 31*

Λειῶδες προπερισπωμένως κατὰ τὴν κλητικήν, οἷον ⟨φ 168⟩ Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; τοῦτο δὲ οὐ σύνθετόν ἐστιν, περὶ ⟨δὲ⟩ τῶν εἰς ης συνθέτων ἐστὶν ὁ λόγος. Ἰστέον δὲ ὅτι τινὲς θέλουσι λέγειν τὸ Λειώδης εἶναι σύνθετον παρὰ τὸ ἅδειν τῷ λεῴ, 436 g τουτέστιν ἀρέσκειν τῷ ὄχλῳ· ἐμίσει γὰρ τὴν μάχην, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων ⟨φ 146⟩ ἀτασθαλίαι δέ οἱ οἴῳ Ἐχθραὶ ἔσαν. Οὗτοι ⟨δὲ⟩ οὐ καλῶς λέγουσιν, ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ Λειώδης ἁπλοῦν ἦν· παρὰ γὰρ τὸ λεῖον (τὸ ὁμαλόν) ἐγένετο Λειώδης κατὰ παραγωγήν· λέγει γὰρ ὁ ποιητής ⟨φ 150⟩ ὁ δ' ἐπεὶ κάμε χεῖρας ἀνέλκων Ἀτρίπτους, ἁπαλάς· παρὰ τὸ λεῖον οὖν ἐστι Λειώδης παράγωγον· οὐδὲ γὰρ δύναται εἶναι σύνθετον, ἐπειδὴ καθόλου τὰ διὰ τοῦ ωδης ἅπαντα ἢ ἁπλᾶ εἰσιν ἢ παρασύνθετα, οὐδέποτε δὲ σύνθετα· ἢ γὰρ ἀπὸ ἁπλῶν παράγονται καὶ εἰσὶν ἁπλᾶ, οἷον πετρῶν πετρώδης, λίθων λιθώδης, γεῶν γεώδης, ἢ ἀπὸ συνθέτων παράγονται καὶ εἰσὶ παρασύνθετα, ὡς ἐπὶ τοῦ δυσώδης καὶ εὐώδης· ἀπὸ γὰρ συνθέτων τοῦ δυσαῶν καὶ εὐαῶν γεγόνασι δυσαώδης καὶ εὐαώδης, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ω εἰς ω δυσώδης καὶ εὐώδης· εἰ οὖν τὸ Λειώδης οὐκ ἔστι παρασύνθετον, οὐδὲ γὰρ παρήχθη ἀπὸ συνθέτου ἀλλ' ἀπὸ ἁπλοῦ τοῦ λείου, δηλονότι ἁπλοῦν ἐστιν. Πάντα δὲ τὰ διὰ τοῦ ωδης, ὡς εἴρηται, προπερισπῶνται κατὰ τὴν κλητικήν, οἷον ὦ λιθῶδες, ὦ πετρῶδες, ὦ Λειῶδες, ὦ δυσῶδες, ὦ εὐῶδες· καὶ τὰ διὰ τοῦ ωλης δὲ καὶ τὰ διὰ τοῦ ηρης καὶ τὰ διὰ τοῦ ωρης, παροξυνόμενα κατὰ τὴν εὐθεῖαν, ἐν τῇ κλητικῇ προπερισπῶνται, οἷον ἐξώλης ἐξῶλες, πανώλης πανῶλες, ξιφήρης ξιφῆρες, χαλκήρης χαλκῆρες, Διώρης Διῶρες (ἔστι δὲ ὄνομα κύριον), ὑλώρης ὑλῶρες. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ης ἐπίθετα βαρύτονα σύνθετα ἀπὸ οὐδετέρων, ἔχοντα τὴν κλητικὴν εἰς ες, προπαροξύνονται κατὰ τὴν κλητικήν, οἷον 1244 b εὐμήκης εὔμηκες, ἐπιμήκης ἐπίμηκες, κακοήθης κακόηθες, συνήθης σύνηθες, παμμεγέθης παμμέγεθες· τούτοις ἠκολούθησαν καὶ τὸ φιλαλήθης φιλάληθες καὶ μισαλήθης μισάληθες. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν μὲν ὀξυνόμενα κατὰ τὴν εὐθεῖαν καὶ κατὰ 437 g τὴν κλητικὴν ὀξύνονται, οἷον ὁ τριετής ὦ τριετές, ὁ πενταετής ὦ πενταετές, ὁ ἑξαετής ὦ ἑξαετές, παρὰ δὲ τοῖς Ἀθηναίοις παροξυνόμενα κατὰ τὴν εὐθεῖαν ἐν τῇ κλητικῇ προπαροξύνονται, οἷον ὁ πενταέτης ὦ πεντάετες, ὁ ἑξαέτης ὦ ἑξάετες.

Δεῖ δὲ γινώσκειν, ὅτι τὰ παρὰ τὸ ἀντῶ καὶ τὰ παρὰ τὸ ἀρκῶ καὶ

[Discr. scr. in [illegible] 3 δὲ *post* περὶ *om* CTb ‖ 4 παρὰ τῷ CT | ἅδειν T | λαῷ CTb ‖ 6 [illegible] θραὶ CTb ‖ 7 δὲ] *duarum litterarum lacuna* C, *om* Tb ‖ [illegible] ὁ δ' ἐπεὶ C[illegible] γὰρ *edd. Hom.* | ἀνέλκον C ‖ 10 ἀτρίπτους b, τρίπους T ‖ 11 ἐπ[illegible] *primum* ἢ *om* T | ἢ παρασ. T ‖ 15 ἐπὶ τοῦ T, ἐπὶ τῶν b | δυσαῶ[illegible]ῶν] δυσάων καὶ εὐάων CTb, δυσαέων καὶ εὐαέων *Lobeck.* [illegible]*ath. 1, 45*[illegible] 18 ἀλλὰ ἀπὸ T | τοῦ λείου *in marg. add* C[1] ‖ 21 [illegible]*rius* τὰ o[illegible] 28 ἐπιμ. ἐπίμ. *om* C ‖ 30 γινώσκειν καὶ τοῦτο T ‖ 31 τὰ *om* [illegible] Tb, ἔπος C ‖ 34 κατὰ — εὐθεῖαν Cb, ἐν τῇ εὐθείᾳ T ‖ 36 Δεῖ [illegible] T | παρὰ τῷ (*bis*) T

τὰ παρὰ τὸ ἅδειν (ὃ σημαίνει τὸ ἀρέσκειν) καὶ τὰ παρὰ τὸ ἀκή (ὃ σημαίνει τὴν ὀξύτητα τοῦ σιδήρου) βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν ἔχουσι τὴν κλητικὴν προπαροξύτονον, οἷον κατάντης κάταντες, προσάντης πρόσαντες, αὐτάρκης αὔταρκες, ὀλιγάρκης ὀλίγαρκες, αὐθάδης αὔθαδες, τανυήκης τανύηκες, ἀμφήκης ἄμφηκες· οὕτω γὰρ κάλλιόν ἐστι λέγειν, ὅτι χαρακτῆρι ταῦτα ὑποπίπτουσιν, καὶ μὴ σημειοῦσθαι, ὡς ἐποίησεν ὁ παρὼν τεχνικός.

Καὶ τὰ εἰς η̅ρ̅ δὲ παροξύτονα, ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ε̅ρ̅, προπαροξύνονται κατὰ τὴν κλητικήν, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον θυγάτηρ θύγατερ, Δημήτηρ Δήμητερ, εἰνάτηρ εἴνατερ· πρόσκειται «ὑπὲρ δύο συλλαβὰς ὄντα» διὰ τὸ μήτηρ μῆτερ· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς.

Ἰστέον δὲ ὅτι πταίουσιν οἱ λέγοντες ὦ παντόκρατορ κατὰ τὴν κλητικὴν προπαροξυτόνως· δέον γὰρ ὁμοτόνως τῇ εὐθείᾳ λέγειν παροξυτόνως, οἷον ὦ παντοκράτορ· οὐ γάρ ἐστι τοῦτο εἰς η̅ρ̅, ἵνα ἀναβιβάσῃ τὸν τόνον ἐν τῇ κλητικῇ καὶ προπαροξυνθῇ.

Δεῖ ⟨δὲ⟩ γινώσκειν, ὅτι αἱ εἰς ο̅ρ̅ περατούμεναι κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν καὶ ἡ εὐθεῖα· καὶ εἰ μὲν παραλήγονται φύσει μακρᾷ, προπερισπῶνται, οἷον ὁ Πολυμήστωρ ὦ Πολυμῆστορ, ὁ Ἀδμήτωρ ὦ Ἄδμῆτορ, ὁ οἰκήτωρ ὦ οἰκῆτορ· εἰ δὲ μὴ παραλήγονται φύσει μακρᾷ, παροξύνονται, οἷον ὁ Νέστωρ ὦ Νέστορ, ὁ Ἕκτωρ ὦ Ἕκτορ· οὕτως οὖν καὶ ὁ παντοκράτωρ ὦ παντοκράτορ ὁμοτόνως τῇ εὐθείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ω̅ν̅ σύνθετα διὰ τοῦ ω̅ δηλονότι, ὅταν ἔχωσι 138 g
τὴν κλητικὴν εἰς ο̅ν̅ διὰ τοῦ ο̅, προπαροξύνονται κατὰ τὴν κλητικήν, 1245 b
ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον Ἀγαμέμνων ὦ Ἀγάμεμνον, ὀλβιοδαίμων ὦ ὀλβιόδαιμον, κυλλοποδίων ὦ κυλλοπόδιον, χαμαιλέων ὦ χαμαίλεον, ἐνοσίχθων ὦ ἐνόσιχθον· πρόσκειται «ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ο̅ν̅ διὰ τοῦ ο̅», διὰ τὸ ὦ χαλκοχίτων, ὦ φιλοπλάτων· ταῦτα γὰρ οὐ προπαροξύνονται ἐν τῇ κλητικῇ, ἀλλ' οὐκ εἰσὶ διὰ τοῦ ο̅ ἀλλὰ διὰ τοῦ ω̅· πρόσκειται «ὑπὲρ δύο συλλαβάς» διὰ τὸ ἄκμων ἄκμονος ὦ ἄκμον· τοῦτο γὰρ σύνθετόν ἐστι παρὰ τὸ α̅ ἐπιτατικὸν μόριον καὶ τὸ καμών ἀκάμων καὶ κατὰ συγκοπὴν ἄκμων, οἱονεὶ ὁ πάνυ κάμνων, καὶ διὰ τοῦ ο̅ ἔχει τὴν κλητικήν, καὶ ὅμως οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἐπειδὴ δισύλλαβόν ἐστιν· πρόσκειται «σύνθετα» διὰ τὸ ὦ Ἱκετᾶον καὶ ὦ Ἀρετᾶον καὶ ὦ Μαχᾶον· ταῦτα γὰρ οὐ προπαροξύνονται κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπῶνται, ὑπὲρ δύο συλλαβὰς ὄντα καὶ εἰς ο̅ν̅ διὰ τοῦ ο̅, ἀλλ' οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ.

[Discr. scr. in CTb] **1** ἄδειν CT ‖ **3** προς. πρός. *om* T ‖ **5** ἀμφίκης ἄμφικες T ‖ **10** οἷον — ὄντα (**11**) *om* T ‖ **13** ὦ *om* T ‖ **17** δὲ *om* CTb | παρατούμεναι T ‖ **18** καὶ *om* T ‖ **19** ὁ Πολυμήστωρ *in marg. add* C¹ ‖ **29** διὰ τοῦ ὦ χ C ‖ **31** δύο συλλ. Cb, μίαν συλλαβὴν T ‖ **32** παρὰ τοῦ(*sic*) α̅ T | τὸ καμών b, τὸ καμῶν C, τοῦ καμών T ‖ **34** καὶ ὅμως — κλητικήν *om* T ‖ **35** Ἀρετᾶον] ἀρεῖον CTb ‖ **36** ὦ μαχάων C | παροξύνονται T ‖ **38** ἀλλὰ ἁπλᾶ C

Σημειοῦται δὲ ὁ τεχνικὸς καὶ λέγει «χωρὶς τῶν παρὰ τὸ φρήν»· ταῦτα γὰρ πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐν τῇ κλητικῇ καὶ οὐ προπαροξύνονται, οἷον ὦ δαῖφρον, ὦ περίφρον, ὦ καρτερόφρον, ὦ Λυκόφρον παροξυτόνως· «καὶ τὸ ὦ Λακεδαῖμον»· οὐδὲ γὰρ προπαροξύνεται τοῦτο κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶται· ἔστι δὲ σύνθετον· οὕτω γάρ φασι λέγεσθαι τὴν πόλιν, ἐπειδὴ ἐν αὐτῇ πρῶτον οἱ θεοὶ ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις, οἱονεὶ Λαχεδαίμων τις οὖσα. Σημειούμεθα δὲ καὶ τὸ ὦ Παλαῖμον προπερισπώμενον κατὰ τὴν κλητικὴν καὶ οὐ προπαροξυνόμενον· ἔστι δὲ σύνθετον παρὰ τὴν πάλην καὶ τὸ αἵμων, ὃ σημαίνει τὸν ἔμπειρον· θέλουσι δὲ καὶ τὸ Εὔδαιμον τὸ κύριον μὴ προπαροξύνειν κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶν, οἷον ὦ Εὐδαῖμον, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου· ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικήν, οἷον ὦ εὔδαιμον, ὥσπερ τὸ κακόδαιμον καὶ ὀλβιόδαιμον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ω̅ν̅ συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προ- 439 g παροξύνονται κατὰ τὴν κλητικήν, οἷον ὁ βελτίων ὦ βέλτιον καὶ τὸ βέλτιον, ὁ ἀμείνων ὦ ἄμεινον καὶ τὸ ἄμεινον, ὁ γλυκίων ὦ γλύκιον καὶ τὸ γλύκιον, ⟨ι 34⟩ ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων, ὁ διπλασίων ὦ διπλάσιον καὶ τὸ διπλάσιον, ὁ ἀρείων ὦ ἄρειον καὶ τὸ ἄρειον, ⟨Δ 407⟩ παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος ἄρειον· 1246 b πρόσκειται «ὑπὲρ δύο συλλαβάς» διὰ τὸ κρείττων ὦ κρεῖττον· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ω̅ν̅ ἁπλᾶ οὐκ ἀναβιβάζουσι τὸν τόνον τῆς εὐθείας κατὰ τὴν κλητικήν, οἷον ὁ Φιλήμων ὦ Φιλῆμον, ὁ Νοήμων ὦ Νοῆμον, ὁ Μαχάων ὦ Μαχᾶον, ὁ Ἱκετάων ὦ Ἱκετᾶον, ποίῳ λόγῳ τὰ εἰς ω̅ν̅ συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικήν, οἷον ὁ βελτίων ὦ βέλτιον, ὁ γλυκίων ὦ γλύκιον· ὅτι γὰρ ταῦτα προπαροξύνονται κατὰ τὴν κλητικήν, δηλοῦσι τὰ οὐδέτερα τούτων προπαροξυνόμενα, οἷον τὸ βέλτιον, τὸ γλύκιον. Ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην, ἥν φησιν ὁ Ἀπολλώνιος ἐν τῷ Περὶ κατηναγκασμένων τόνων, ὅτι τὰ συγκριτικὰ προπαροξύνεσθαι θέλουσιν, οἷον ὀξύτερος ταχύτερος σοφώτερος λογιώτερος· ἐπειδὴ οὖν ταῦτα τὰ εἰς ω̅ν̅ συγκριτικά, φημὶ δὴ τὸ βελτίων καὶ ἀμείνων, διὰ τὴν ἐπὶ τέλους μακρὰν οὐκ ἠδύναντο προπαροξυνθῆναι κατὰ τὴν εὐθεῖαν, — ἔχομεν γὰρ ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ

[Discr. scr. in CTb] **1** φρῆν T ‖ **2** γὰρ] δὲ CTb ‖ **4** Λακαιδαῖμον T ‖ **9** τὴν πάλιν T | τὸ αἵμων Cb, τὸν αἵμων T ‖ **10** ἔμπειρον CT, ἐπιστήμονα b | τὸ εὐδαῖμον T ‖ **17** *ante* ὁ ἀμ. *add* καὶ b | ὁ γλυκύων C ‖ **18** ὡς CTb | οὐδὲ γλυκίων T | ἧς CT, οὗ b | οὐδὲ CT, ἠδὲ b ‖ **20** ἀγαγόντες CTb ‖ **23** εἶ ἆρα T | εἰς ω̅ν̅ b, εἰς ω̅ς̅ CT ‖ **26** *post* λόγῳ *add* καὶ T ‖ **31** Περὶ — τόνων b, περϊκατηναγκασμένω τῶν τόνων C, περὶ κατὰ ἀναγκασμένων τῶν τόνων T ‖ **33** δὴ T, δὲ Cb ‖ **35** ἔχομεν] *vide p. 364, 7* | φύσει *om* T | *post* οὔσης *add* ἐπὶ τέλους T

λέξις, οἷον Ὁμήρου Ἀριστάρχου Ἡροδότου — τούτου οὖν χάριν ἐν τῇ
κλητικῇ τῆς μακρᾶς συσταλείσης, ἤγουν τοῦ ω̄ εἰς τὸ ο̄, ἡ κεχρεωστη-
μένη τάσις ἐν τῇ εὐθείᾳ προσῆλθεν ἐν τῇ κλητικῇ, φημὶ δὴ ἡ προπαρ-
οξύτονος, καὶ λοιπὸν εὐλόγως προπαροξύνεται κατὰ τὴν κλητικὴν ἡ 30
τούτων ἀκολουθία.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ὅτι τὰ εἰς ω̄ θηλυκά, ἐὰν
μὲν ἔχωσι τὴν κλητικὴν εἰς ω̄, ὀξύνονται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ
εὐθείᾳ, οἷον ἡ Ἐρατώ ὦ Ἐρατώ, ⟨Apoll. Rhod. 3, 1⟩ εἰ δ' ἄγε νῦν,
Ἐρατώ, ἐὰν δὲ εἰς τὴν οι̅ δίφθογγον ἔχωσι τὴν κλητικήν, περισπῶνται 440 g
κατὰ τὴν κλητικὴν ὁμοίως τῇ δοτικῇ, οἷον τῇ Λητοῖ ὦ Λητοῖ, ⟨Φ 498⟩
Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι· ἔχομεν γὰρ ἐν τοῖς προλα-
βοῦσιν, ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν
ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς κλητικῆς.

Περὶ τοῦ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Ἰστέον ὅτι αἱ εἰς ε̄ λήγουσαι εὐθεῖαι τῶν δυϊκῶν ὁμοτόνως ἔχουσι 10
τῇ εἰς ᾱ ληγούσῃ αἰτιατικῇ τῶν ἑνικῶν, οἷον ἀβλῆτα ἀβλῆτε, λιμένα
λιμένε, γυναῖκα γυναῖκε, θυγατέρα θυγατέρε, χῆνα χῆνε, Αἴαντα Αἴαντε, 1247 b
λέβητα λέβητε, Ξενοφῶντα Ξενοφῶντε, Ποσειδῶνα Ποσειδῶνε, Ὀδυσσέα
Ὀδυσσέε. Ἰστέον δὲ ὅτι ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν παροξυ-
νομένη μὲν ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη περισπᾶται, οἷον εὐγενέε
εὐγενῆ, εὐσεβέε εὐσεβῆ· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ἡ ὀξεῖα
καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ
Πηλεῖ, ποιέω ποιῶ· προπαροξυνομένη δὲ ἐν τῇ ἐντελείᾳ καὶ συναιρου-
μένη παροξύνεται, οἷον Δημοσθένεε Δημοσθένη, Διομήδεε Διομήδη· 20
ἔχομεν γάρ, ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συν-
έρχονται ἤγουν συναιροῦνται, οἷον Δημοσθένεος Δημοσθένους, Διομή-
δεος Διομήδους, τείχεα τείχη· τὸ γὰρ ἔαρος ἦρος καὶ κέαρος κῆρος
διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας προπεριεσπάσθησαν. Ἰστέον
δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ μὲν τοῖς ῥή-
τορσι βαρυτόνως ἀναγινώσκεται, ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε
πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως, ⟨fragm. 639 K⟩ ἥκετον
πρεσβῆ δύο, ὡς ἀπὸ ὀξυτόνου εὐθείας, οἷον ὡς ἀπὸ τοῦ ὁ πρεσβεύς 30
τοῦ πρεσβέος τὼ πρεσβέε τὼ πρεσβῆ. Ταῦτα μὲν ἐν τούτοις.

Προσέθηκε δὲ ὁ τεχνικὸς λέγων, ὅτι «εἰ δὲ ἄλεκτος εὑρεθῇ», τουτ-
έστιν εἰ μὴ λέγεται εἰς ᾱ ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὁμότονος γίνεται ἡ

[Discr. scr. in CTb] **8** δὴ] δὲ CTb ‖ **9** οι̅ Cb, ει̅ T ‖ **11** τοι] τι Cb, *om* T | μαχέσομαι CTb | ἐν τοῖς προλ.] *vide p. 390, 27* ‖ **12** ὁμοφωνοῦσα C, ὁμοφωνήσασα Tb | *ante* ἑτέρᾳ *add* τῇ T | ἑτέρᾳ *om* C ‖ **15** Περὶ — δυϊκῶν *om* C ‖ **16** ε̄ Cb, αι̅ T ‖ **17** οἷον *om* T ‖ **22** ἐν τοῖς προλαβ.] *vide p. 177, 10 et saepius* ‖ **25** Δημοσθένεε Δημοσθένει, Διομήδεε Διομήδει C ‖ **26** ἔχομεν] *vide p. 354, 2* ‖ **29** περιεσπάσθησαν T ‖ **30** τὼ πρέσβη Tb, τὸ τῶ πρέσβιϊ C | μὲν *om* Cb ‖ **33** εὐθείας ὀξυτόνου CTb ‖ **36** *poster.* ἡ *om* T

441 g εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον πόλεως πόλεε, μάντεως μάντεε, βέλεος βέλεε, τείχεος τείχεε· οὐδὲ γάρ ἐστιν ἐπὶ τούτων εἰς ᾱ ἡ αἰτιατικὴ τῶν ἑνικῶν. Δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς ο̅ς̅ ὀξυτόνων γενικῶν»· ἐπὶ τούτων γὰρ οὐχ ὁμοτονεῖ ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον μυός μύε, συός σύε, δρυός δρύε, κιός κῖε (σημαίνει δὲ τὸν σκώληκα), λιός λῖε (σημαίνει δὲ τὸν λέοντα)· οὐδέποτε γὰρ ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, ὡς δηλοῦσι τὰ προλεχθέντα παραδείγματα· τὸ γὰρ τίνε καὶ τινέ πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνε, τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινέ. Ταῦτα μὲν περὶ τῆς εἰς ε̄ ληγούσης εὐθείας τῶν δυϊκῶν.

Ἡ δὲ εἰς ω̄ λήγουσα καὶ εἰς ᾱ εὐθεῖα τῶν δυϊκῶν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Ὁμήρου
1248 b Ὁμήρω, ἀνθρώπου ἀνθρώπω, Ἀριστάρχου Ἀριστάρχω, ἀέλλης ἀέλλα, τραπέζης τραπέζα, ἁμάξης ἁμάξα, καλοῦ καλώ, σοφοῦ σοφώ· καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχουσι τὸν τόνον, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπεδέξαντο· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλώ καὶ σοφώ ὀξύνεται· τὸ γὰρ ω̄ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον σεμνώ ἀγαθώ κακώ σοφώ πτωχώ δειλώ. Ὅτι γὰρ τὸ ω̄ τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, δῆλον εἴγε τὸ μὲν οἵ καὶ τὸ τούς ὀξυνόμενα καὶ προσλαμβάνοντα τὴν τῆς δ̅ε̅ συλλαβῆς ἔκτασιν προπερισπῶνται, οἷον οἷδε τοῦσδε, τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν γενομένη κατ' ἐπέκτασιν, οἷον τώδε [οἱ ἄνθρωποι], οὐ προπερισπᾶται ἀλλὰ παροξύνεται διὰ τὸ ⟨τὸ⟩ ω̄ τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεσθαι τὴν περισπωμένην τάσιν, οἷον καλώ σοφώ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ἀεὶ μακρὸν ἔχει τὸ ᾱ, καὶ ἢ παροξύνεται ἢ ὀξύνεται ἢ περισπᾶται· οὐδέποτε γὰρ προπαρ-
442 g οξύνεται ἢ προπερισπᾶται διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, οὔτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οὔτε φύσει μακρᾶς τῆς ἐπὶ τέλους οὔσης προπαροξύνεται ἡ λέξις. Καὶ ἰστέον ὅτι εἰ μὲν παροξύνεται ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν, τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, οἷον Ἀτρείδου Ἀτρείδα, Ὀρέστου Ὀρέστα, θυέλλης θυέλλα, ἁμάξης ἁμάξα, εἰ δὲ ἐπὶ τέλους ἔχει τὸν τόνον ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οὐκέτι τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, ἀλλὰ τῇ εὐθείᾳ τῶν ἑνικῶν· καὶ εἰ μὲν ἡ εὐθεῖα τῶν ἑνικῶν ὀξύνεται, καὶ ἡ εὐθεῖα

[Discr. scr. in C T b] **1** πόλεος T ‖ **2** μάντεος T ‖ **3** ἡ *ante* αἰτ. *om* T ‖ **5** μῦε T ‖ **6** σῦε T | δρῦε C T | τὸν σκ.] τὴν σκ. T ‖ **18** τὸ *ante* δὲ *om* T ‖ **21** τὸ *ante* ἐν *om* T ‖ **22** τῆς δ̅ε̅ συλλαβῆς Cb, δ̅ε̅ συλλαβὴν T ‖ **23** οἷδε C ‖ **27** τὸ *ante* ω̄ *om* C T ‖ **30** ἢ ὀξύνεται *om* C ‖ **31** ἐν τοῖς προλ.] *vide p. 364, 7. 384, 20* ‖ **34** εἰ μὲν προπαροξύνεται T ‖ **38** εἰ ἡ μὲν εὐθ. C T

τῶν δυϊκῶν ὀξύνεται, οἷον κριτής κριτά, ποιητής ποιητά, αὐλητής αὐλητά, εὑρετής εὑρετά, ληστής ληστά, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν περισπᾶται, οἷον Μηνᾶς Μηνᾶ, Ἑρμῆς Ἑρμᾶ, Φιλητᾶς Φιλητᾶ, χρυσῆ χρυσᾶ, χαλκῆ χαλκᾶ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικός, ὅτι τὸ ἄμφω καὶ δύο θεματικά εἰσιν, τουτέστιν οὐκ ἐγένοντο ἀπὸ ἑνικῶν· τὸ γὰρ σημαινόμενον κωλύει· πῶς γὰρ ὁ δύο ἀριθμὸς δύναται ⟨ἐν⟩ ἑνικῷ ἀριθμῷ θεωρεῖσθαι; Ἰστέον δὲ ὅτι τὸ μὲν ἄμφω ἀεὶ διὰ τοῦ ω̄ γράφεται καὶ χωρὶς ἄρθρου λέγεται, τὸ δὲ δύο καὶ διὰ τοῦ ō γράφεται καὶ διὰ τοῦ ω̄, καὶ κοινῶς μὲν διὰ τοῦ ō γράφεται, ἀττικῶς δὲ διὰ τοῦ ω̄ καὶ ἀναλόγως τῷ δυϊκῷ ἀριθμῷ· τὸ γὰρ ω̄ τελικόν ἐστι τῆς εὐθείας τῶν δυϊκῶν, οἷον Ὁμήρω ἀνθρώπω· 1249 b ἰστέον δὲ ὅτι ἐν μέτρῳ εὕρηται διὰ τοῦ ō καὶ διὰ τοῦ ω̄, οἷον ⟨Κ 252⟩ παρῴχηκεν δὲ πλέων νὺξ Τῶν δύο μοιράων διὰ τοῦ ō, καὶ ⟨Arat. 468⟩ δύω [δὲ] δυσὶν ἀντιφέρονται διὰ τοῦ ω̄. Ἔστι δὲ καὶ δοιώ ἡ εὐθεῖα τῶν δυϊκῶν κατὰ διάλεκτον ὀξυτόνως διὰ τῆς οι διφθόγγου, ὡς παρὰ τῷ ποιητῇ ⟨Γ 236⟩ δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν, καὶ πάλιν ⟨Δ 7⟩ δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, καὶ πάλιν ⟨Ω 527⟩ δοιοὶ γάρ τε πίθοι κατα- 443 g κείαται ἐν Διὸς οὔδει· καὶ ἔστιν ἀπὸ τοῦ ὁ δοιός τοῦ δοιοῦ τοῦ σημαίνοντος τὸ ὁ διπλοῦς.

Περὶ τοῦ τόνου τῆς γενικῆς τῶν δυϊκῶν.

Ἰστέον ὅτι ἡ εἰς αιν λήγουσα γενικὴ τῶν δυϊκῶν ἀκολουθεῖ τῇ ἰδίᾳ εὐθείᾳ, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν, οἷον Πέρσα Πέρσαιν, Αἰνεία Αἰνείαιν, Παπία Παπίαιν, κοχλία κοχλίαιν, τοξότα τοξόταιν, οὐ πάντως δὲ τὸν αὐτόν· πρόσκειται «οὐ πάντως δὲ τὸν αὐτόν» διὰ τὸ ποιητά ποιηταῖν, καλά καλαῖν· τὸ μὲν γὰρ ποιητά καὶ καλά ὀξύνεται πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν τὴν ποιητής καὶ καλή, τὸ δὲ ποιηταῖν καὶ καλαῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται· τὸν δὲ κανόνα τοῦτον εἰρήκαμεν ἐν τῇ περὶ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ἡνίκα περὶ τῆς ἰᾶς καὶ μιᾶς διελάβομεν· ὅμως δὲ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος· τοῦ δὲ Πέρσα Πέρσαιν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος καὶ ὁ αὐτός.

[Discr. scr. in CTb] **3** μηνεῦς μηνᾶ T ‖ **4** φιλητῆς φιλητᾶ T ‖ **7** οἱ δύο ἀριθμοὶ T | ἐν *om* CTb ‖ **8** ω̄ μεγάλου T ‖ **9** δύω C | ō μικροῦ T | ω̄ μεγάλου T | καὶ κοινῶς — τοῦ ω̄ (**10**) Cb, καὶ διὰ μὲν τοῦ ō μικροῦ κοινῶς, διὰ δὲ τοῦ ω̄ μεγάλου ἀττικῶς T ‖ **12** ἰστέον — τοῦ ω̄ (**14**) *om* T ‖ **13** παρῴχηκε Cb | πλεόνυξ C, πλεονὺξ b | μοδράων C ‖ **14** ἀντιφέρεσθαι Cb; *vide Callim. ed. OSchn. 2, 762* ‖ **15** διάλεξιν T ‖ **16** ἰδέοιν T ‖ **18** κατάκειται C ‖ **19** οὔδει *om* C ‖ **21** Περὶ — δυϊκῶν] περὶ τῆς εἰς αιν ληγούσης γενικῆς τῶν δυϊκῶν Tb, *om* C ‖ **22** εἰς *om* T ‖ **25** τοξότη τοξόταιν T ‖ **27** ὀξύνονται Cb ‖ **31** εἰρήκαμεν] *vide p. 370, 25* ‖ **33** *post* τόνος *add* καὶ ὁ αὐτός T | τοῦ δὲ] τὸ δὲ CTb

Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς αιν ληγούσης γενικῆς τῶν δυϊκῶν· αἱ εἰς αιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν, ἀπὸ μὲν βαρυνομένων εὐθειῶν δυϊκῶν οὖσαι συμβαρύνονται αὐταῖς, οἷον Ἀτρείδα Ἀτρείδαιν, Ὀρέστα Ὀρέσταιν, συκοφάντα συκοφάνταιν, τοξότα τοξόταιν, πολίτα πολίταιν, τέχνα τέχναιν, κόρα κόραιν· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων 1250 b εὐθειῶν δυϊκῶν οὖσαι περισπῶνται, ἀπὸ μὲν ὀξυνομένων, οἷον κηδεστά κηδεσταῖν, ποιητά ποιηταῖν, αὐλητά αὐληταῖν, εὑρετά εὑρεταῖν, ληστά λῃσταῖν, κριτά κριταῖν, ὑβριστά ὑβρισταῖν, ἀπὸ δὲ περισπωμένων, οἷον Ἑρμᾶ Ἑρμαῖν, Ἀπελλᾶ Ἀπελλαῖν, Φιλητᾶ Φιληταῖν, χαλκᾶ χαλκαῖν, χρυσᾶ χρυσαῖν.

444 g Καὶ ἀποροῦσί τινες λέγοντες, διατί ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν οὐ περισπᾶται ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν. Καὶ ἐπιλύεται ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου λέγων, ὅτι ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν μᾶλλον τῇ Ἀτρείδαις δοτικῇ τῶν πληθυντικῶν ἀκολουθεῖ ἤπερ τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν· κατὰ γὰρ τὴν φωνὴν τῇ δοτικῇ τῶν πληθυντικῶν πλησιάζει, τὴν αὐτὴν γὰρ δίφθογγον ἔχει· ἄλλως τε δὲ πᾶσαι αἱ πτώσεις βαρύνονται, οἷον Ἀτρείδης Ἀτρείδου Ἀτρείδῃ Ἀτρείδην, δυϊκὰ Ἀτρείδα Ἀτρείδαιν, πληθυντικὰ ⟨Ἀτρεῖδαι⟩ Ἀτρείδαις Ἀτρείδας· οὕτως οὖν καὶ Ἀτρείδαιν βαρυτόνως· μόνη δὲ ἡ Ἀτρειδῶν γενικὴ τῶν πληθυντικῶν περιεσπάσθη, ἐπειδὴ καὶ μόνη διῃρέθη, οἷον Ἀτρειδέων· ἐὰν βούλωνται οὖν περισπᾶν τὴν Ἀτρείδαιν γενικὴν τῶν δυϊκῶν ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν, καὶ μὴ βαρύνειν ὁμοίως ταῖς ἄλλαις πτώσεσιν, δότωσαν ἐπ' αὐτῆς τὸ ἐξαίρετον ὅπερ ἔσχεν ἡ γενικὴ τῶν πληθυντικῶν, τουτέστι τὴν διαίρεσιν· εἰ δὲ οὐ διαιρεῖται, ἄρα οὐδὲ τὸν τόνον ἕξει τῆς γενικῆς τῶν πληθυντικῶν. Ταῦτα μὲν περὶ τῆς εἰς αιν ληγούσης γενικῆς τῶν δυϊκῶν.

Ἡ δὲ εἰς οιν λήγουσα γενικὴ τῶν δυϊκῶν, ἀπὸ μὲν εὐθείας τῆς εἰς ῳ ληγούσης οὖσα, ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον ἐν ᾗ καὶ ἡ εἰς ω λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οἷον καλλίστω καλλίστοιν, ἐρήμω ἐρήμοιν, ἀνθρώπω ἀνθρώποιν, ὤμω ὤμοιν, ἡμιόνω ἡμιόνοιν καὶ ποιητικῶς ἡμιόνοιϊν (ἀπὸ τοῦ ὄνω ὄνοιν), καλώ καλοῖν, σοφώ σοφοῖν· ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλώ καὶ σοφώ ὀξύνεται πρὸς τὸν χαρακτῆρα τῶν εἰς ω δυϊκῶν, τὸ δὲ καλοῖν καὶ σοφοῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. Δεῖ προσθεῖναι τῷ ἀνωτέρω κανόνι «πλὴν τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν»·

[Discr. scr. in CTb] **1** οὕτως εἰπεῖν CT, οὕτω λέγειν b ‖ **5** ἢ περισπωμένων — ὀξυνομένων (**6**) *in marg. add* C² ‖ **11** ἡ Tb, οἱ C ‖ **14** Ἀτρείδαις] Ἀτρείδαιν T ‖ **18** Ἀτρεῖδαι *om* CTb ‖ **21** διῃρέθη Cb, συναιρέθη T | οὖν βούλονται T ‖ **23** αὐτῇ T ‖ **24** ἔσχεν Cb, εἶχεν T ‖ **27** *ante* Ἡ δὲ *add* περὶ τοῦ τόνου τῆς εἰς οιν γενικῆς τῶν δυϊκῶν Tb ‖ **29** καλίστω καλίστοιν T ‖ **31** ἡμιονοῖιν T ‖ **32** ταὖθα C ‖ **34** περισπῶνται CTb ‖ **36** ἔχουσα Tb, ἔχει C ‖ **37** ἀμφοῖν *om* C | καὶ *om* T

ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον ἐν τῇ αὐτῇ συλλαβῇ, ἡ μὲν γὰρ 1251 b εὐθεῖα τῶν δυϊκῶν βαρύνεται, ἡ δὲ γενικὴ περισπᾶται· τὸ δὲ δυοῖν γίνεται καὶ δυεῖν κατὰ τροπὴν τοῦ ō εἰς τὸ ē. Δυνάμεθα δὲ ταῦτα 445 g θεματικὰ λέγειν, φημὶ δὴ τὸ ἀμφοῖν καὶ δυοῖν, ὥσπερ καὶ τὴν εὐθεῖαν τῶν δυϊκῶν θεματικὴν λέγομεν, φημὶ δὴ τὸ ἄμφω καὶ δύο.

Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς οιν λη γούσης γενικῆς τῶν δυϊκῶν· αἱ εἰς οιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ τῶν εἰς ω λη γουσῶν δυϊκῶν εὐθειῶν πεπτωκυῖαι ἀπὸ μὲν βαρυτόνων συμβαρύνονται, οἷον φηγίνω φηγίνοιν, δακτύλω δακτύλοιν, ὁμωνύμω ὁμωνύμοιν, ἡμιόνω ἡμιόνοιν, ἀνθρώπω ἀνθρώποιν, Ὁμήρω Ὁμήροιν, Ἀριστάρχω Ἀριστάρχοιν — περὶ γὰρ τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν εἰρήκαμεν —, ἀπὸ δὲ ὀξυνομένων περισπῶνται, οἷον καλώ καλοῖν, σοφώ σοφοῖν, σεμνώ σεμνοῖν, ἀγαθώ ἀγαθοῖν, χαλεπώ χαλεποῖν, γεωργώ γεωργοῖν. Εἰ δέ ἐστιν εἰς οιν λήγουσα ἡ γενικὴ τῶν δυϊκῶν ἀπὸ τῆς εἰς ē ληγούσης εὐθείας τῶν δυϊκῶν, ὁμοτονεῖ τῇ γενικῇ τῶν πληθυντικῶν· καὶ εἰ μὲν περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, περισπᾶται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον ἀνδρῶν ἀνδροῖν, φωτῶν φωτοῖν (ἐπὶ τῶν ἀνδρῶν), βοῶν βοοῖν, χειρῶν χειροῖν, μηνῶν μηνοῖν, χηνῶν χηνοῖν, δρυῶν δρυοῖν, συῶν συοῖν, φρενῶν φρενοῖν, χθονῶν χθονοῖν, γυναικῶν γυναικοῖν, θυγατρῶν θυγατροῖν, τινῶν τινοῖν, Δημοσθενῶν Δημοσθενοῖν, τειχῶν τειχοῖν, βελῶν βελοῖν, Διομηδῶν Διομηδοῖν, Ἀριστοφανῶν Ἀριστοφανοῖν· εἰ δὲ βαρύνεται ἡ γενικὴ τῶν πληθυντικῶν, συμβαρύνεται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον παίδων παίδοιν, πάντων πάντοιν, Αἰάντων Αἰάντοιν, Λαχήτων Λαχήτοιν, λεβήτων λεβήτοιν, πενήτων πενήτοιν, Παρίδων Παρίδοιν, Δημοσθενέων Δημοσθενέοιν, βελέων βελέοιν, τειχέων τειχέοιν, καὶ κατὰ κρᾶσιν Δημοσθενῶν Δημοσθενοῖν, βελῶν βελοῖν, τειχῶν τειχοῖν περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται ἤγουν συναιροῦνται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, πῶς τὴν γενικὴν τῶν δυϊκῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν κανονίζει, μήπω τῆς γενικῆς τῶν πληθυντικῶν κανονισθείσης. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν 446 g σαφεστέρα ἐστὶ τῆς γενικῆς τῶν δυϊκῶν· μᾶλλον γὰρ πᾶσι δῆλόν ἐστι τὸ πάντων καὶ Αἰάντων ἤπερ τὸ πάντοιν καὶ Αἰάντοιν· εἰκότως 1252 b οὖν ἐκ τοῦ πᾶσι δήλου καὶ σαφεστέρου τὸ ἀσαφὲς ἐκανόνισεν.

Τούτων οὕτως ἐχόντων, τὰ Ἀττικὰ τὸν τόνον τῆς εὐθείας τῶν δυϊκῶν φυλάττουσι καὶ τὸν αὐτὸν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον τὼ Μενέλεω τοῖν Μενέλεῳν, τὼ εὔγεω τοῖν εὔγεῳν, τὼ νεώ τοῖν νεῴν, τὼ λεώ τοῖν λεῴν. Ταῦτα μὲν λέγομεν περὶ τῆς γενικῆς τῶν δυϊκῶν.

[Discr. scr. in CTb] **4** δὴ] δὲ CTb ‖ **5** δὴ T, δὲ Cb ‖ **7** αἱ — δυϊκῶν *om* T ‖ **8** δυϊκῶν *om* T ‖ **9** φηγίνω φηγίνοιν Cb, φλογίνω φλογίνοιν T ‖ **22** εἰ δὲ Cb, ἡ δὲ T ‖ **34** τὸ *post* ἐστι *om* T ‖ **38** τὼ εὔγεω b, τὼ εὔνεω CT | εὔγεῳν b, εὔνεων C, εὔνεω T | τὼ νεώ τοῖν νεῴν *om* T | νεῴν] νεῶν C, νεῷν b ‖ **39** λεῴν b, λεῶν C, λεὼν T | μὲν *om* T

Περὶ δὲ τῆς κλητικῆς τῶν δυϊκῶν ἔστιν εἰπεῖν, ὅτι ἡ αὐτή ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, ὥσπερ καὶ ἡ κλητικὴ τῶν πληθυντικῶν ἡ αὐτή ἐστι τῇ ἰδίᾳ εὐθείᾳ· τῶν γὰρ δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Περὶ τοῦ τόνου τῆς εὐθείας τῶν πληθυντικῶν.

Δεῖ γινώσκειν, ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα βαρύνεσθαι θέλει, οἷον μῆνες χῆνες πάντες παῖδες Τρῶες χθόνες Αἴαντες Λάχητες Ξενοφῶντες Ποσειδῶνες· τὸ γὰρ τίνες καὶ τινές πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνες εἰσίν; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινές. Ἰστέον δὲ ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα ὁμότονός ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, οἷον μῆνε μῆνες, χῆνε χῆνες, πάντε πάντες, παῖδε παῖδες, Τρῶε Τρῶες, χεῖρε χεῖρες, χθόνε χθόνες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες, λέβητε λέβητες, Πάριδε Πάριδες, γυναῖκε γυναῖκες, μητέρε μητέρες, θυγατέρε θυγατέρες. Τούτων οὖν οὕτως ἐχόντων, τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ ε οὐ συναιροῦνται διὰ τὸ κωλύειν αὐτὰ τὸ σύμφωνον τοῦ συναιρεῖσθαι, οἷον Ἕκτορες Πάριδες, ὑπεσταλμένων τῶν εἰς ων συγκριτικῶν· ἐπὶ τούτων γὰρ κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ἔνδεια γίνεται τοῦ ν καὶ κρᾶσις τῶν φωνηέντων, οἷον μείζων μείζονος μείζονες μείζοες μείζους, βελτίων βελτίονος βελτίονες βελτίοες βελτίους, κρείσσων κρείσσονος κρείσσονες κρείσσοες κρείσσους, ἀρείων ἀρείονος ἀρείονες ἀρείοες ἀρείους·
447 g τὰ μέντοι καθαριεύοντα κρᾶσιν ἐπιδέχονται, καὶ εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει παροξύνονται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις, εὐμήκεες εὐμήκεις παροξυτόνως· ἡ γὰρ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, ὡς
1253 b εἴρηται, οἷον τείχεος τείχους, βέλεος βέλους, ἤθεα ἤθη· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει περισπῶνται, οἷον εὐγενέες εὐγενεῖς, εὐσεβέες εὐσεβεῖς, εὐτυχέες εὐτυχεῖς περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα, ὡς εἴρηται, εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, νοέω νοῶ· καὶ πάλιν ἐστὶν ἐπιτηδέες καὶ κατὰ κρᾶσιν ἐπιτηδεῖς καὶ βιοπλανέες καὶ κατὰ κρᾶσιν βιοπλανεῖς, καὶ λοιπὸν κατὰ ἀποβολὴν τοῦ ι γίνεται ἐπιτηδές καὶ βιοπλανές, ὡς παρὰ Καλλιμάχῳ ⟨fragm. 497 Sch⟩ οἴτε βιοπλανὲς ἀγρὸν ἀπ᾽ ἀγροῦ Φοιτῶσιν, καὶ παρὰ τῷ ποιητῇ, ⟨Α 142⟩ ἐς δ᾽ ἐρέτας ἐπιτηδὲς ἀγείρομεν· ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατικὴ ἀπὸ τοῦ ἐπιτηδεῖς, καὶ κατὰ ἀποβολὴν τοῦ ι ἐπιτηδές.

[Discr. scr. in CTb] **1** τῇ εὐθείᾳ — ἐστι (**2**) *om* T ‖ **5** Περὶ — πληθυντικῶν *om* C ‖ **16** οὖν *om* T | συναιρεῖται T ‖ **17** τοῦ *om* Cb ‖ **20** μείζων] μείζω T | μείζοες *om* T ‖ **21** βελτίοες *om* T ‖ **22** κρείσσοες *om* T | ἀρείοες *om* T ‖ **23** τὰ μέντοι Cb, ταῦτα μὲν καὶ T | καθαρεύοντα Cb | ἐπιδέχονται T, ἀναδέχονται Cb ‖ **25** εὐμήκεες εὐμήκη T ‖ **27** εἴρηται] *vide p. 354, 2* ‖ **30** εἴρηται] *p. 177, 10 et saepius* ‖ **34** καλιμάχω T ‖ **35** φητῶσιν C

Αἱ μέντοι εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμότονοί εἰσι τῇ εὐθείᾳ τῶν ἑνικῶν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον Ὅμηρος Ὅμηροι, ἄνθρωπος ἄνθρωποι, λίθινος λίθινοι, Ἀρίσταρχος Ἀρίσταρχοι, φιλόσοφος φιλόσοφοι, φήγινος φήγινοι, δρύϊνος δρύϊνοι, πίσυνος πίσυνοι, ἀγκύλος ἀγκύλοι, ποικίλος ποικίλοι, ἐναντίος ἐναντίοι, — ὅθεν καὶ εἰ μεγάλοι, δηλονότι καὶ ἡ σεσιγημένη εὐθεῖα ὁ μεγάλος, — φίλος φίλοι, ξένος ξένοι, καλός καλοί, οἶκος οἶκοι, δῆμος δῆμοι, κῆπος κῆποι, δοῦλος δοῦλοι, σοφός σοφοί, σεμνός σεμνοί, ἀγαθός ἀγαθοί, ἐαρινός ἐαρινοί, χειμερινός χειμερινοί, Σαπφώ Σαπφοί, Καλυψώ Καλυψοί, Λητώ Λητοί, ἁγνός ἁγνοί, σιδηροῦς σιδηροῖ, ἀργυροῦς ἀργυροῖ, πορφυροῦς πορφυροῖ· ὅθεν καὶ τὸ χαλκοι καὶ χρυσοι διαφόρως τονοῦνται· ἀπὸ μὲν γὰρ τοῦ χαλκός καὶ χρυσός ὀξύνονται, οἷον χρυσοί χαλκοί, ἀπὸ δὲ τοῦ χρυσοῦς καὶ χαλκοῦς περι- 148 g σπῶνται, οἷον χρυσοῖ χαλκοῖ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες, διατί τὸ μὲν οἶκοι καὶ δῆμοι προπερισπῶνται τῷ λόγῳ τῆς κοινῆς, τὸ δὲ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται τῷ λόγῳ τῆς μακρᾶς. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπὶ τῶν βαρυτόνων ἡ οι καὶ ἡ αι δίφθογγοι ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἀντὶ κοινῆς παραλαμβάνονται· καὶ δῆλον, εἴγε τούτων ἐπὶ τέλους οὐσῶν πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, οἷον Ὅμηροι ἅμαξαι· οὕτως οὖν καὶ τὸ δῆμοι καὶ οἶκοι τῷ λόγῳ τῆς κοινῆς προπερισπῶνται· τὸ ⟨δὲ⟩ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται ὁμοίως τῇ εὐθείᾳ τῶν ἑνικῶν τῇ χρυσοῦς καὶ χαλκοῦς. Ταῦτα μὲν περὶ τῆς εἰς ⟨τὴν⟩ οι δίφθογγον ληγούσης εὐθείας 1254 b τῶν πληθυντικῶν.

Αἱ δὲ εἰς ⟨τὴν⟩ αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν μονογενεῖς μὲν οὖσαι ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, οἷον κοχλίας κοχλίαι, Βορέας Βορέαι, τοξότης τοξόται, νύσσα νύσσαι, ἄελλα ἄελλαι, δόξα δόξαι, τράπεζα τράπεζαι, ἅμαξα ἅμαξαι, εὐνέτης εὐνέται, φυλέτης φυλέται, δεσπότης δεσπόται, γαμέτης γαμέται, ἡδονή ἡδοναί, ποιητής ποιηταί, ἀθλητής ἀθληταί, ἀγυιά ἀγυιαί, ⟨β 388⟩ σκιόωντό τε πᾶσαι ἀγυιαί, ἡμέρα ἡμέραι. Πρόσκειται «ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων», ἐπειδὴ ἐπὶ τούτων ἡ ὀξεῖα εἰς περισπωμένην μεθίσταται κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Ἀτρείδης Ἀτρεῖδαι, Αἰνείας Αἰνεῖαι, πλανήτης πλανῆται, Θήβη Θῆβαι· ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα τῶν ἑνικῶν παροξύνεται, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή, οὐδέποτε δέ, ὡς εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον ἀνθρώπου

[Discr. scr. in CTb] 4 φύγινος φύγινοι T ‖ 6 εἰ μεγ. b, οἱ μεγ. CT ‖ 7 ξένος ξένοι *om* T ‖ 8 *ante* οἶκος *add* καὶ T ‖ 11 καὶ *post* ὅθεν *om* Cb ‖ 17 τῶν *om* Cb ‖ 18 δίφθογγος CTb ‖ 19 καὶ δῆλον *om* T ‖ 21 τὸ δὲ χαλ. — περισπῶνται (22) *in marg. add* C² | δὲ *om* Tb ‖ 22 τῇ χρ.] τὸ χρ. T ‖ 23 τὴν *om* CTb | διφθόγγου CT ‖ 25 τὴν *om* CTb | δίφθογγοι CT ‖ 30 φιλέτης φιλέται CT ‖ 31 ἀγυιὰ *et* ἀγυιαὶ (*bis*) T ‖ 33 δέ *om* T | εἴρηται]

Ὁμήρου κήπου τείχους, ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν προπερισπᾶται, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας· ἡ γὰρ $\overline{\alpha\iota}$ δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται. Παρεσχηματισμέναι δὲ ἀρσενικοῖς
449 g οὖσαι αἱ εἰς τὴν $\overline{\alpha\iota}$ δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρσενικῶν ἔχει αὐτόν, οἷον τύπτοντες τύπτουσαι, χαρίεντες χαρίεσσαι, βοῶντες βοῶσαι, ποιοῦντες ποιοῦσαι, ταχέες ταχεῖαι, βραδέες βραδεῖαι· ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ταχέες ⟨καὶ⟩ βραδέες παροξύνονται, τὸ δὲ ταχεῖαι καὶ βραδεῖαι προπερισπῶνται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας· σοφοί σοφαί, καλοί καλαί, σεμνοί σεμναί, ἐναντίοι ἐναντίαι, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, Βυζάντιοι Βυζάντιαι, Κνίδιοι Κνίδιαι, Ῥόδιοι Ῥόδιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, δειλοί δειλαί, λόγιοι λόγιαι, πεντακόσιοι πεντακόσιαι, διακόσιοι διακόσιαι, ἥμεροι ἥμεραι τὸ τριγενές, τουτέστιν οἱ μὴ ὄντες ἄγριοι· ἐπὶ γὰρ τοῦ μονογενοῦς ἡμέρα ἡμέραι παροξυτόνως· οἱ μέντοι Ἀθηναῖοι ἐπὶ ταύτης τῆς λέξεως, καὶ μάλιστα οἱ νεώτεροι, προπαροξύ-
1255 b νουσιν· πέντε γὰρ ἥμεραι καὶ δέκα ἥμεραι φασὶ προπαροξυτόνως, ὡς ἀπαγγέλλουσιν οἱ περὶ Ἀττικῆς συνηθείας γράψαντες· οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς λέξεως τοῦτο ποιοῦσιν, λέγω δὴ προπαροξύνουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν παραληγομένων τῷ $\bar{\iota}$, οἷον εὐπράξιαι τιμώριαι αἴτιαι τραγῴδιαι ὁμίλιαι κωμῴδιαι· οὕτω γὰρ ἐπὶ τῶν μονογενῶν προπαροξυτόνως λέγουσιν οἱ Ἀθηναῖοι. Πάλιν ἐστὶν ἡ Ῥοδία ὄνομα κύριον καὶ ἡ Ῥοδία ἐθνικόν, καὶ ἐπὶ μὲν τοῦ ὀνόματος τοῦ κυρίου τὴν εὐθεῖαν τῶν πληθυντικῶν αἱ Ῥοδίαι φαμὲν παροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν, ἐπειδὴ μονογενές ἐστιν, ἐπὶ δὲ τοῦ ἐθνικοῦ αἱ Ῥόδιαι φαμὲν προπαροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ τὴν οἱ Ῥόδιοι· καὶ πάλιν ὑπάτη καὶ ὑπάται παροξυτόνως ἐπὶ τῆς χορδῆς, μονογενὲς γάρ ἐστιν, οἱ ὕπατοι δὲ καὶ αἱ ὕπαται ἐπὶ τοῦ ὑψηλοῦ προπαροξυτόνως, παρεσχημάτισται γὰρ ἀρσενικῷ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου οὕτω κανονίζει τὰς
450 g εἰς τὴν $\overline{\alpha\iota}$ δίφθογγον ληγούσας εὐθείας τῶν πληθυντικῶν παρεσχηματισμένας ἀρσενικοῖς· φησὶ γὰρ ὅτι αἱ εἰς τὴν $\overline{\alpha\iota}$ δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὦσιν ἀπὸ τῶν εἰς $\overline{o\varsigma}$, τῷ τόνῳ τοῦ ἀρσενικοῦ ἀκολουθοῦσι, τουτέστι τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, οἷον ποικίλοι ποικίλαι,

[Discr. scr. in CTb] *vide p. 384, 27* ‖ **2** ἐπειδὴ — βραχείας] *huc delegamur p. 294, 5* ‖ **4** τῶν πληθ. Tb, πληθυντικαὶ C ‖ **5** τῇ αὐτῇ b, αὐτῇ τῇ CT ‖ **7** βοῶντες *in marg. add* T[2] ‖ **10** καὶ *ante* βραδέες *om* CTb | περισπῶνται C ‖ **11** μακρὰ T ‖ **13** βιζάντιοι C, βυζάνττοι T[1] *et in marg.* βυζάντιοι T[2] | βιζάντιαι C | κνήδιοι κνήδιαι CT | Ῥόδιαι *in marg. add* C[2] ‖ **19** ἀπαγγέλουσιν CT ‖ **20** δὴ T, δὲ Cb ‖ **21** τῷ $\bar{\iota}$ b, τὸ ἰῶτα C, τὸ $\bar{\iota}$ T ‖ **32** ὅτι *om* T ‖ **34** φησὶ — ἀρσενικοῖς (35) *om* T ‖ **35** μὲν Tb, μὴ C ‖ **37** πηκίλαι C

ἐναντίοι ἐναντίαι, σοφοί σοφαί, καλοί καλαί, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, ἅγιοι ἅγιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, Λύκιοι Λύκιαι τὸ τριγενές· Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία· ἐὰν δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς ο̅ς̅, τοῖς ἑνικοῖς ἑαυτῶν ἀκολουθοῦσι κατὰ τὸν τόνον, οἷον Θρῇσσα Θρῇσσαι, θῆσσα θῆσσαι (ἡ ⟨ἐπὶ⟩ μισθῷ δουλεύουσα), τύπτουσα τύπτουσαι, χαρίεσσα χαρίεσσαι, τετυφυῖα τετυφυῖαι, ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαιναι· τὸ δὲ Τρῳαί καὶ δμῳαί ὀξυνόμενα ὁμολογοῦσι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ ⟨τοῦ⟩ Τρωή καὶ δμωή.

Τούτων οὕτως ἐχόντων, τὰ Ἀττικὰ εἰς ω̅ καὶ εἰς ι̅ λήγουσι κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν καὶ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ὁ εὔγεως οἱ εὔγεῳ, ὁ Μενέλεως οἱ Μενέλεῳ, ὁ νεώς οἱ νεῴ, ὁ λεώς οἱ λεῴ.

Αἱ μέντοι εἰς α̅ λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων τριγενεῖς μὲν οὖσαι, τουτέστι παρεσχηματισμέναι ἀρσενικοῖς, ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ἤγουν τῇ εὐθείᾳ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον σεμνοί σεμνά, ἐναντίοι ἐναντία, δειλοί δειλά, λόγιοι λόγια, ἄξιοι ἄξια, 1256 b τύπτοντες τύπτοντα, βοῶντες βοῶντα, κοῦφοι κοῦφα, σοφοί σοφά, φοβεροί φοβερά, χάλκεοι χάλκεα, χρύσεοι χρύσεα, ἀργύρεοι ἀργύρεα, σιδήρεοι σιδήρεα· μονογενεῖς δὲ οὖσαι, εἰ μὲν ἀπὸ ἰσοσυλλάβου γενικῆς ὦσι, συντονοῦνται τῇ ἰδίᾳ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ξύλον ξύλα, δένδρον δένδρα, ξυρόν ξυρά, κάνεον κάνεα, κανοῦν κανᾶ, ὀστέον ὀστέα, ὀστοῦν ὀστᾶ, σφυρόν σφυρά, πλευρόν πλευρά, πυρόν πυρά· καὶ δῆλον ὅτι παρὰ τὸ πυρόν ἐστι τὰ πυρά, οἷον ⟨Θ 562⟩ χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο· ἐὰν δὲ ἀπὸ περιττοσυλλάβου γενικῆς ὦσιν αἱ εἰς α̅ λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων, ἀεὶ βαρύνονται, οἷον φίλημα φιλήματος φιλήματα, βῆμα βήματος βήματα, ὡς ὠτός ὦτα· καὶ 451 g παρὰ τὴν πυρός οὖν γενικὴν ἐὰν γένηται εὐθεῖα πληθυντικῶν, πύρα γίνεται καὶ βαρυτόνως ἀναγινώσκεται· κρέας κρέατος κρέατα, τεῖχος τείχεος τείχεα καὶ κατὰ κρᾶσιν τείχη, βέλος βέλεος βέλεα καὶ κατὰ κρᾶσιν βέλη.

Περὶ τοῦ τόνου τῆς γενικῆς τῶν πληθυντικῶν.

Κανονίζει τὴν γενικὴν τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ε̅ς̅ λήγουσα δισύλλαβος ἐπ' ὀνομάτων περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον μῆνες μηνῶν, χῆνες χηνῶν, φῶτες φωτῶν, ἄνδρες ἀνδρῶν, χεῖρες χειρῶν, βόες βοῶν, σύες συῶν,

---

[Discr. scr. in CTb] **2** *ante* τίμιοι *add* καὶ T ‖ **4** ο̅ς̅ Tb, η̅ς̅ C ‖ **5** ἐπὶ *om* CTb ‖ **7** μέλενα μέλεναι T | τρωαὶ καὶ δμωαὶ T | ὀξυνόμεναι CT ‖ **8** τοῦ Τρωή καὶ δμωή] Τρωΐ καὶ δμωΐ CTb ‖ **9** ω̅ Cb, ο̅ T | καὶ Tb, *trium litter. vac. spatium* C ‖ **11** ὁ εὔγεως οἱ εὔγεῳ] ὁ εὐνεώς οἱ εὐνεῴ (εὐνεὼ T) CT, ὁ Εὔνεως οἱ Εὔνεῳ b ‖ **14** παρεσχηματισμέναις T | ἀρσενικῶς C ‖ **20** ὦσι Cb, οὖσαι T | ξύλα] ξύλον C ‖ **21** ξηρόν ξηρὰ CTb ‖ **23** χίλια CTb | ἄρ T, ἄρα Cb ‖ **26** φιλήματα *om* C ‖ **31** Περὶ — πληθυντικῶν *om* C ‖ **35** βόες *in marg. add* C² | σὖες T

μύες μυῶν· πρόσκειται «δισύλλαβος» διὰ τὸ Αἴαντες Αἰάντων, Θόαντες
Θοάντων, Λάχητες Λαχήτων, λέβητες λεβήτων· ταῦτα γὰρ οὐ περισπῶσι
τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ εἰσὶ δισύλλαβα· πρόσκειται «ἐπ'
ὀνομάτων» διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται κατὰ τὴν γενικὴν
τῶν πληθυντικῶν, οἷον δόντες δόντων, θέντες θέντων, φθάντες φθάν-
20 των, στάντες στάντων, ⟨Γ 210⟩ στάντων μὲν Μενέλαος ὑπείρεχεν
εὐρέας ὤμους. Σημειούμεθα ⟨δὲ⟩ ἐν τῷ κανόνι ἐννέα τινὰ ὡς μὴ
περισπασθέντα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν· εἰσὶ δὲ ταῦτα, Τρῶες
Τρώων, τίνες τίνων, πάντες πάντων, δμῶες δμώων, παῖδες παίδων,
θῶες θώων (ἔστι δὲ θηρίου εἶδος· οἱ γὰρ ταχεῖς θοοί λέγονται), κρᾶτες
κράτων (αἱ κεφαλαί), δᾷδες δᾴδων, λᾶες λάων. Ταῦτα δὲ τὰ σεση-
μειωμένα δοκοῦσί τινες ὑπὸ ἀναλογίαν ἄγειν· λέγουσι γάρ, ὅτι τὸ
Τρῶες Τρώων καὶ δμῶες δμώων καὶ θῶες θώων καὶ παῖδες παίδων
1257 b ἐβαρύνθησαν πρὸς ἀντιδιαστολὴν τοῦ αἱ Τρῳαί (σημαίνει δὲ τὰς
Τρωϊκὰς γυναῖκας) καὶ αἱ δμῳαί (σημαίνει δὲ τὰς δούλας) καὶ αἱ
30 θῳαί (ἐπὶ τῆς ζημίας) καὶ αἱ πέδαι (ἐπὶ τῶν δεσμῶν)· ταῦτα γὰρ
περισπῶσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον Τρῳῶν δμῳῶν θῳῶν
452 g πεδῶν. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι κακῶς λέγετε· εἰ γὰρ καὶ τῷ τόνῳ
συνέπιπτον, ἀλλ' οὖν τῇ γραφῇ διεστέλλοντο· ἡ γὰρ γραφὴ οὐκ ἔστιν
ἡ αὐτή, τὸ μὲν γὰρ Τρῳαί καὶ δμῳαί καὶ θῳαί ἔχουσι τὸ ῑ προσγε-
γραμμένον κατὰ τὴν παραλήγουσαν, τὸ δὲ Τρῶες δμῶες θῶες οὐκ
ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καὶ πάλιν τὸ
παῖδες κατὰ τὴν παραλήγουσαν διὰ τῆς αῑ διφθόγγου γράφεται, τὸ δὲ
πέδαι διὰ τοῦ ε̄ ψιλοῦ. Τὸ δὲ τίνες τίνων πρὸς ἀντιδιαστολὴν τοῦ
τινῶν λέγουσι βαρύνεσθαι· δεῖ γὰρ γινώσκειν, ὅτι τοῦτο πευστικὸν μὲν
10 ὂν βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον ⟨ὂν⟩ περισπᾶται, οἷον
τίνων ἤκουσας; τινῶν· καὶ τὸ λᾶες δὲ λάων πρὸς ἀντιδιαστολὴν τοῦ
οἱ λαοί τῶν λαῶν λέγουσι βαρύνεσθαι· τοῦτο δὲ καλῶς ἔχει. Καὶ τὸ
κρᾶτες δὲ κράτων πρὸς ἀντιδιαστολὴν τοῦ τὰ κράτη τῶν κρατῶν λέ-
γουσι βαρύνεσθαι· τὸ δὲ δᾷδες δᾴδων οὐκ ἔστι φύσει δισύλλαβον· ἀπὸ
γὰρ τοῦ δαΐδων κατὰ συναίρεσιν ἐγένετο δᾴδων, καὶ ἐφύλαξε τὴν αὐτὴν
τάσιν· μηδεὶς δὲ οἰέσθω, τὴν δᾳδός γενικὴν τῶν ἑνικῶν ἀπὸ ἐντελοῦς
τῆς δαΐδος γενέσθαι κατὰ συναίρεσιν, ἐπεὶ εἶχε καὶ αὐτὴ βαρύνεσθαι·

[Discr. scr. in CTb] **1** μῦες T | τὸ] τοῦ T | Θόαντες Θοάντων *post* Λαχήτων (2) *transp.* T ‖ **2** οὐ *om* T ‖ **6** στάντων μὲν — ὤμους (7) *om* T | ὑπερεῖχεν C ‖ **7** δὲ *om* CTb | ἐννέα b, ἐνέα C, ἔννια T *et in marg.* ἔνια T^2 ‖ **9** παῖδες παίδων *om* T | παῖδων *ex* παῖδες *corr.* C^1 ‖ **10** θωοὶ C | κράτες CT ‖ **11** δᾷδες δᾴδων Cb, δάες δάων T | λάες T ‖ **12** τὸ *om* T ‖ **13** θόες θόων T ‖ **16** αἱ πέδαις T ‖ **18** πεδῶν θῳῶν CTb *et post* θῳῶν *add* παιδῶν T | λέγετε b, λέγεται CT ‖ **19** ἀλλ' οὖν Cb, ἀλλὰ T ‖ **21** κατὰ τὴν παραλ. Cb, ἐν τῇ παραληγούσῃ T ‖ **22** τὸ *ante* παῖδες *om* T ‖ **23** γράφονται C ‖ **24** πέδαις T ‖ **25** τινῶν Cb, τινὶ T ‖ **26** ὂν (*prius*) b, οὖν T, οὖν ὑπάρχον C | *poster.* ὂν *om* CTb | οἷον — τινῶν (27) *om* T ‖ **27** λάες CT | πρὸς ἀντιδ. τοῦ *om* T ‖ **29** κράτες CT ‖ **30** *ante* τὸ *add* καὶ T | δάδες δαδῶν T ‖ **32** τὴν δᾳδός] τῆς δᾳδὸς C ‖ **33** γίνεσθαι T

ἀλλ' ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ συναίρεσις, οἷον δαΐς δᾴς, κἀκεῖθεν ἡ κλίσις. Τὸ δὲ πάντων λέγουσιν, ὅτι ἀπὸ τοῦ ἅπαντες ἁπάντων ἐγένετο κατὰ ἀφαίρεσιν, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· τοῦτο δὲ οὐκ ἔστι καταναγκαστικόν· ἰδοὺ γὰρ καὶ ἐπὶ τοῦ ἅπας ἅπαντος ἡ γενικὴ τῶν ἑνικῶν ἡ παντός, γινομένη κατὰ ἀφαίρεσιν τοῦ ᾱ, οὐκ ἐφύλαξε τὴν βαρεῖαν τάσιν ἀλλ' ἐγένετο ἐν ὀξείᾳ τάσει παντός, πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν ὀνομάτων, οἷον ὥσπερ μηνός χηνός γραός παιδός φωτός βοός φρενός χθονός· ἕτεροι δὲ λέγουσιν, ὅτι ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ πᾶσι βαρύνεται, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἡ πάντων βαρύνεται· οὐδ' οὗτοι δὲ ἀκριβῶς λέγουσιν· ἰδοὺ γὰρ καὶ ἡ Τρωσί καὶ παισί δοτικὴ τῶν πληθυντικῶν ὀξύνεται, καὶ ὅμως ἡ Τρώων καὶ παίδων γενικὴ τῶν πληθυντικῶν βαρύνεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι μὴ μόνον ταῦτα τὰ ἐννέα σεσημειωμένα ⟨εἰσίν⟩, ἀλλὰ 453 g
καὶ τὸ σέες σέων (ἐπὶ τῶν σκωλήκων), ὡς παρὰ Ἀριστοφάνει ⟨Lys. 730⟩ ὑπὸ τῶν σέων καταπονούμενον, καὶ τὸ ⟨φῷδες⟩ φῴδων, 1258 b
ὡς παρὰ Ἀριστοφάνει ⟨Plut. 535⟩ πλὴν φῴδων ἐκ βαλανείου (σημαίνει δὲ τὰ καύματα τῶν χειρῶν)· ἔτι δὲ καὶ τὸ οὐδένες οὐδένων, καὶ τοῦτο γὰρ βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· καὶ τοῦ Φθάς Φθάντος κυρίου ὀνόματος ἐὰν κλίνωμεν τὰ πληθυντικά, βαρυτόνως λέγομεν τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Φθάντων, τῷ λόγῳ τῶν μετοχῶν, ὥσπερ στάντες στάντων, βάντες βάντων, δόντες δόντων· μετοχικὸν γάρ ἐστι, καὶ λοιπὸν τὸν τόνον τῆς φθάντες φθάντων μετοχῆς ἀνεδέξατο, φημὶ δὴ τῆς σημαινούσης τὸ προλαβόντων. Ἔστιν οὖν ἀπολογήσασθαι περὶ ὅλων τῶν σεσημειωμένων οὕτως· τὰ εἰς ς̄ λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα ταύτην ἔχουσι τὴν διαίρεσιν· τὰ μὲν ὀξύτονα, ἐὰν μὲν διὰ συμφώνου κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σής σητός σῆτες σητῶν, Κρής Κρητός Κρῆτες Κρητῶν, θής θητός θῆτες θητῶν (σημαίνει δὲ τὸν μισθωτόν), Γνής Γνητός Γνῆτες Γνητῶν· ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Τρώς Τρωός Τρῶες Τρώων, δμώς δμωός δμῶες δμώων, θώς θωός θῶες θώων (ἔστι δὲ εἶδος θηρίου), σεύς σεός σέες σέων (σημαίνει δὲ τοὺς σκώληκας) [τούτῳ γὰρ τῷ κανόνι βαρύνονται]. Τὸ δὲ τίνων καὶ κράτων πρὸς διάφορον σημασίαν διάφορον ἔχουσι καὶ τὸν τόνον· τὸ γὰρ τίνων πευστικὸν μὲν ὑπάρχον βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον ⟨ὂν⟩ περισπᾶται,

[Discr. scr. in CTb] **1** δαΐς CT, δάϊς b | δᾷς Cb, δάς T | ἡ κλῆσις T ‖ **2** κατ' ἀφαίρεσιν b ‖ **10** οὐδ' οὗτοι δὲ Tb, οὔτε δὲ τούτοιν C ‖ **11** καὶ *post* γὰρ *om* T ‖ **14** τὰ *om* T | ἐννέα C | εἰσίν *om* CTb ‖ **15** *post* σέες *add* καὶ T ‖ **16** καταπονούμενον CTb | τὸ Cb, τῶν T | φῷδες *om* CTb ‖ **17** παρ' Ἀριστ. Cb ‖ **18** ἔτι] ἔστι CTb | οὐδενῶν T ‖ **20** κλίνομεν C ‖ **21** *post* τὴν *add* δὲ C ‖ **23** τῆς Cb, τοῦ T | φθάντος CTb ‖ **24** δὴ] δὲ CTb | τὸ CTb, *sed in marg. add* τῶν T² ‖ **25** ἀπολογίσασθαι T ‖ **27** κλίνονται CT; *item p. 407, 6* ‖ **28** σῆτες] σῆες T ‖ **33** σεὺς Cb, σὲς T | σεὸς T, σέος Cb | τοὺς σκώλικας C, τὸν σκώληκα T | τούτων T ‖ **35** ἔχουσι b, ἔχον C, ἔχει T | τὸ μὲν γὰρ T ‖ **36** ὂν *om* CTb

οἷον τίνων ἤκουσας; τινῶν· καὶ τὸ κράτων δὲ ἀπὸ τοῦ ⟨οἱ⟩ κρᾶτες (ὃ σημαίνει τὴν κεφαλήν) ὑπάρχον βαρύνεται, ἀπὸ δὲ τοῦ τὰ κράτη ὑπάρχον περισπᾶται, οἷον τὰ κράτη τῶν κρατῶν· τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τοῦ φωΐδων καὶ δαΐδων γινόμενα κατὰ συναίρεσιν τὴν βαρεῖαν τάσιν ἐφύλαξαν. Ταῦτα μὲν περὶ τῶν ὀξυτόνων. Τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνονται· ἐὰν μὲν γὰρ διὰ καθαροῦ τοῦ ος κλίνωνται, 454 g περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον μῦς μυός μύες μυῶν, βοῦς βοός βόες βοῶν, σῦς συός σύες συῶν, δρῦς δρυός δρύες δρυῶν· ἐὰν δὲ διὰ συμφώνου κλίνωνται, βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, οἷον παῖς παιδός παῖδες παίδων, πᾶς παντός πάντες πάντων· τὸ δὲ λάων ἐβαρύνθη πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοί τῶν λαῶν· ἄλλως τε δὲ οὔτε ἔστι τοῦτο ἀπὸ μονοσυλλάβου εὐθείας τῆς λᾶς, ἀλλ' ἀπὸ δισυλλάβου τῆς λᾶας· ἀπὸ γὰρ τοῦ λᾶας γέγονεν ἡ γενικὴ λάαος, 1259 b καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς ἓν α δηλονότι μακρὸν λᾶος, οἷον ⟨Μ 462⟩ λᾶος ὑπὸ ῥιπῆς, καὶ λοιπὸν ἡ εὐθεῖα τῶν πληθυντικῶν λάαες λᾶες καὶ ἡ γενικὴ λαάων λάων. Ταῦτα μὲν ἐν τούτοις.

Δοκεῖ δὲ ὁ Ἡρωδιανὸς λαμβάνεσθαι τούτου τοῦ κανόνος, καὶ λέγει ὅτι κακῶς λαμβάνει τὸν κανόνα· πρῶτον μὲν γὰρ ὅτι ἀπὸ τῶν σεσημειωμένων πλέκει τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοις τὸ κίς κιός καὶ λίς λιός· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται, καὶ ὅμως οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἀλλὰ περισπῶνται, κιῶν γὰρ καὶ λιῶν περισπωμένως. Ἔστι δὲ εἰπεῖν πρὸς αὐτὸν ὅτι κακῶς κατατρέχεις τοῦ κανόνος· πρῶτον μὲν γὰρ ὅτι, εἰ καί, ὡς λέγεις, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, οὐκ ἄτοπον καὶ ἀπὸ τριῶν καὶ ἀπὸ τεσσάρων πλέκειν κανόνα· καὶ σὺ γὰρ κέχρησαι διαφόροις κανόσι τοιούτοις, πλέκεις γὰρ κανόνα καὶ ἀπὸ δύο παραδειγμάτων· πολλῷ οὖν μᾶλλον ἀπὸ πλειόνων παραδειγμάτων πλεκόμενος ὁ κανὼν οὐδεμίαν μέμψιν ἑαυτῷ προσφέρει· δεύτερον δὲ οὐχ, ὡς λέγεις αὐτός, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, ἀλλὰ καθόλου πάντα τὰ εἰς ς λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα περιλαμβάνει ὁ κανών, εἴτε ὀξύτονά εἰσιν εἴτε περισπώμενα, ὡς ἐπὶ τοῦ Κρής Κρητός, σής σητός, δρῦς δρυός, μῦς μυός, βοῦς βοός· ταῦτα δὲ οὐκ εἰσὶν ἐκ τῶν σεσημειωμένων. Περὶ μέντοι τοῦ κίς κιός καὶ λίς λιός, ὅτι λέγει ταῦτα ἀντικεῖσθαι τῷ κανόνι, αὐτὸς ἐν ἑτέροις ἐσημειώσατο, λέγων ἡμαρτημένα εἶναι εἴτε κατὰ τόνον εἴτε κατὰ κλίσιν· ἢ γάρ, φησίν, ὀξύτονα ὄντα

[Discr. scr. in CTb] **1** οἷον — τινῶν *om* T | οἱ *om* CTb | κρᾶτες b, κράτες C, κράτος T ‖ **5** ὀξυτόνων CT, ὀξυνομένων b ‖ **7** μῦες CT ‖ **8** σῦες T | δρῦες CT ‖ **10** παῖδες] παίδαις C ‖ **13** λάας (*bis*) CT | γὰρ τοῦ Cb, γὰρ τῆς T ‖ **16** λαείων λάων C ‖ **18** κακῶς Tb, καλῶς C ‖ **23** κατατρέχει CTb ‖ **24** ὅτι *om* T ‖ **25** πέπλεκται Cb, πλέκεται T ‖ **26** καὶ σὺ — κανόνα (**27**) *om* T | τοιούτοις b, τούτοις C ‖ **27** πλέκεις b, πλέκειν C | πολλῶν C ‖ **28** παραδειγμάτων *om* Cb ‖ **29** προσφέρειν T ‖ **30** εἰς ς Cb, εἰς α T ‖ **33** εἰσὶ CT ‖ **34** λῖς C

ὤφειλον διὰ συμφώνου κλίνεσθαι, εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα 455 g οὐκ ὤφειλον ὀξυτονεῖσθαι κατὰ τὴν εὐθεῖαν· τὰ γὰρ εἰς ις ὀξύτονα οὐδέποτε διὰ καθαροῦ τοῦ ος κλίνονται, ⟨οἷον⟩ ἀσπίς ἀσπίδος, βολίς βολίδος, κρηπίς κρηπῖδος, κνημίς κνημῖδος, βασιλίς βασιλίδος. Καὶ κέχρηται τοιούτῳ παραδείγματι, ὅτι ὥσπερ Πάρις Πάριδος καὶ Θέτις Θέτιδος καὶ μῆνις μήνιδος, ἐπειδὴ βαρύτονά εἰσι κατὰ τὴν εὐθεῖαν, γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος κατὰ τὴν γενικήν, οἷον Πάριος Θέτιος μήνιος — ἴδιον γάρ ἐστι τῶν εἰς ις βαρυτόνων τὸ διὰ καθαροῦ τοῦ ος κλίνεσθαι, οἷον ὄφις ὄφιος, μάντις μάντιος, πόλις πόλιος — τὰ μέντοι εἰς ις ὀξύτονα, οἷον κρηπίς κρηπῖδος, ἀσπίς ἀσπίδος, ῥανίς ῥανίδος, οὐ γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος — τοῦτο γὰρ ἀλλότριόν ἐστι τῶν εἰς ις ὀξυτόνων, λέγω δὴ τὸ ἔχειν ⟨τὴν⟩ γενικὴν 1260 b διὰ καθαροῦ τοῦ ος ἐκφερομένην — οὕτω καὶ τὸ κίς καὶ τὸ λίς ὀξυνόμενα καὶ εἰς ις λήγοντα οὐκ ὤφειλον ἔχειν τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος, ἢ ἔχοντα τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος οὐκ ὤφειλον ὀξύνεσθαι κατὰ τὴν εὐθεῖαν ἀλλὰ δηλονότι περισπᾶσθαι. Εἰ ἄρα οὖν αὐτὸς παρέθετο τὸ κίς καὶ τὸ λίς παράλογα ἢ κατὰ τόνον ἢ κατὰ κλίσιν, πῶς λέγει ταῦτα ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ, φημὶ δὴ τῷ περὶ τῆς γενικῆς τῶν πληθυντικῶν; ὥστε οὖν οὐχ ὑγιῶς τέθεικε ταῦτα τὰ παραδείγματα ἐναντιούμενα τῷ κανόνι τούτῳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, ἀρσενικαὶ μὲν οὖσαι, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Ὀρέσται Ὀρεστῶν, τοξόται τοξοτῶν, Ἀτρεῖδαι Ἀτρειδῶν, Αἰνεῖαι Αἰνειῶν, πολῖται πολιτῶν, Χρῦσαι Χρυσῶν, Πέρσαι Περσῶν, Σκύθαι Σκυθῶν, ναῦται ναυτῶν, δημόται δημοτῶν, χωρὶς τοῦ χλοῦναι χλούνων καὶ χρῆσται χρήστων καὶ ἐτησίαι ἐτησίων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν ἀλλὰ βαρύνονται. Θέλουσι δέ τινες ἀπολογεῖσθαι περὶ τούτων οὕτως, ὅτι ἀπὸ τοῦ χλοεῦναι χλοεύνων ἐγένετο χλοῦναι χλούνων, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· χλοῦναι δέ εἰσιν οἱ σύαγροι οἱ ἐν ταῖς χλόαις εὐναζόμενοι καὶ διατρίβοντες· τὸ δὲ χρῆσται χρήστων λέγουσι πρὸς ἀντιδιαστολὴν τοῦ οἱ χρηστοὶ τῶν 456 g χρηστῶν (ἐπὶ τῶν καλῶν)· χρῆσται δέ εἰσιν οἱ δανείζοντες καὶ οἱ δανειζόμενοι· τὸ δὲ ἐτησίαι ἐτησίων λέγουσιν, ὅτι συνέδραμε κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν τῷ ἐτήσιοι ἐτησίων· ἐτησίαι δέ εἰσιν οἱ ἄνεμοι οἱ κατ᾽ ἔτος πνέοντες. Θηλυκαὶ δὲ οὖσαι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, εἰ μέν εἰσι μονογενεῖς, περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Μοῦσαι Μουσῶν, ἄελλαι ἀελλῶν, ἅμαξαι ἁμαξῶν, τράπεζαι τραπεζῶν, ἄκανθαι ἀκανθῶν, εὔθυναι

[Discr. scr. in CTb] 3 οἷον *om* CTb ‖ 4 κρηπῖδος CT; *item v. 10* | κνημῖδος CT ‖ 11 γίνεται C ‖ 12 δὴ] δὲ CTb; *item v. 18* | τὴν *om* CTb ‖ 17 κατὰ τὸν τόνον T ‖ 18 λέγεις C ‖ 24 χρῦσαι T, χρύσαι C, χρυσαῖ b ‖ 25 σκύθαι C ‖ 26 ἐτήσιαι CT; *item v. 33* ‖ 30 σύαγροι Tb, δίαγροι T ‖ 31 οἱ χρησταὶ C ‖ 34 τῷ] τοῦ CTb | ἐτησίαι b, ἐτήσιοι CT ‖ 35 οἱ *om* C ‖ 38 εὐθύναι C

εὐθυνῶν, ἐέρσαι ἐερσῶν, κλῖναι κλινῶν, Ἀφροδῖται Ἀφροδιτῶν, χωρὶς
τοῦ ἀφύαι ἀφύων· τοῦτο γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ οἱ ἀφυεῖς τῶν
ἀφυῶν ἐβαρύνθη· ἀφύαι δέ εἰσιν εἶδος ἰχθύος μικροῦ. Εἰ δέ εἰσι παρ-
εσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὁμοφωνῶσι τῇ γενικῇ τῶν πληθυν-
τικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ ὁμοτονοῦσιν αὐτῇ, οἷον οἱ Ῥόδιοι τῶν
Ῥοδίων καὶ αἱ Ῥόδιαι τῶν Ῥοδίων (μία φωνὴ καὶ εἷς ὁ τόνος), οἱ
Βυζάντιοι τῶν Βυζαντίων καὶ αἱ Βυζάντιαι τῶν Βυζαντίων, οἱ ἅγιοι
1261 b τῶν ἁγίων καὶ αἱ ἅγιαι τῶν ἁγίων, οἱ δίκαιοι τῶν δικαίων καὶ αἱ δί-
καιαι τῶν δικαίων, οἱ φίλοι τῶν φίλων καὶ αἱ φίλαι τῶν φίλων, οἱ
δοῦλοι τῶν δούλων καὶ αἱ δοῦλαι τῶν δούλων, οἱ καλοί τῶν καλῶν
καὶ αἱ καλαί τῶν καλῶν, οἱ σοφοί τῶν σοφῶν καὶ αἱ σοφαί τῶν σοφῶν,
οἱ Λύκιοι τῶν Λυκίων καὶ αἱ Λύκιαι τῶν Λυκίων· ἐπὶ δὲ τῆς χώρας αἱ
Λυκίαι τῶν Λυκιῶν περισπωμένως, μονογενὲς γάρ· οἱ ὕπατοι τῶν ὑπά-
των καὶ αἱ ὕπαται τῶν ὑπάτων, κοῦραι πετράων ἥριπον ἐξ
ὑπάτων· ἐπὶ δὲ τῆς χορδῆς ἡ ὑπάτη τῆς ὑπάτης καὶ αἱ ὑπάται τῶν
ὑπατῶν περισπωμένως, μονογενὲς γάρ· ἐὰν δὲ παραλλάξωσι κατὰ τὴν
φωνὴν πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ
τόνῳ παραλλάσσουσι καὶ περισπῶνται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντι-
κῶν, οἷον οἱ μέλανες τῶν μελάνων καὶ αἱ μέλαιναι τῶν μελαινῶν, οἱ
μάκαρες τῶν μακάρων καὶ αἱ μάκαιραι τῶν μακαιρῶν, οἱ πάντες τῶν
πάντων καὶ αἱ πᾶσαι τῶν πασῶν, οἱ γράφοντες τῶν γραφόντων καὶ αἱ
457 g γράφουσαι τῶν γραφουσῶν, οἱ χαρίεντες τῶν χαριέντων καὶ αἱ χαρίεσσαι
τῶν χαριεσσῶν, οἱ ὀξέες τῶν ὀξέων καὶ αἱ ὀξεῖαι τῶν ὀξειῶν, οἱ ποι-
οῦντες τῶν ποιούντων καὶ αἱ ποιοῦσαι τῶν ποιουσῶν· ἰδοὺ αὗται αἱ
θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, παραλλάξασαι τῇ φωνῇ πρὸς τὴν
γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παρήλλαξαν
καὶ περιεσπάσθησαν. Ἀμέλει ἐὰν μέν, ὡς εἴρηται, ὁμοφωνῶσιν αἱ θη-
λυκαὶ γενικαὶ τῶν πληθυντικῶν ταῖς πληθυντικαῖς γενικαῖς τῶν ἀρσενι-
κῶν, παρ' ἡμῖν δηλονότι, καὶ ὁμότονοι γίνονται· ἐὰν δὲ παρὰ ταῖς
διαλέκτοις τρέψωσι τὸ ω̅ εἰς τὸ α̅ αἱ θηλυκαὶ γενικαί, οὐκέτι φυλάτ-
τουσι τὴν αὐτὴν τάσιν ἀλλὰ περισπῶνται, οἷον κυάνεοι κυανέων καὶ
κυάνεαι κυανέων, ἀμφότεροι ἀμφοτέρων καὶ ἀμφότεραι ἀμφοτέρων· ἰδοὺ
ταῦτα ὁμοτονοῦσιν, ἐπειδὴ καὶ ὁμοφωνοῦσιν· ὅταν δὲ γένωνται κατὰ
τροπὴν Δωρικὴν τοῦ ω̅ εἰς τὸ α̅, τότε καὶ περισπῶνται, οἷον κυανεᾶν
⟨καὶ⟩ ἀμφοτερᾶν ἀντὶ τοῦ κυανεῶν καὶ ἀμφοτερῶν· καὶ ἐπὶ τῶν ὁμοίων
ὁ αὐτὸς λόγος.

[Discr. sch. in CTb] **1** ἔερσαι T | κλίναι T | ἀφροδίται T ‖ **2** οἱ *om* C ‖ **3** ἐβαρύνθη *ante* τοῦ οἱ (2) *transp*. T | ἰχθῦος C | παρεσχηματισμένα C ‖ **4** ὁμοφωνοῦσι CT; *item v. 27* ‖ **12** ἐπὶ] περὶ CTb | δὲ τῆς χώρας αἱ λύκιαι τῶν λυκιῶν περισπωμένων T ‖ **13** τῶν ὑπάτων *om* Tb ‖ **14** πετρώων T | ἤριπον *Ioann. Alex.* τον. παραγγ. *18, 5,* ἔρριπον CTb; *vide Callim. ed. OSchn. 2, 759* ‖ **16** παραλάξωσι C ‖ **18** γενικαὶ *in marg. add* T[2] ‖ **19** οἷον *om* C | μέλαιναι] μέλανες T ‖ **20** καὶ αἱ μάκαρες τῶν μακαρῶν T ‖ **23** ὀξέες CT, ὀξεῖς b | αἱ *ante* ὀξ. *om* C ‖ **32** ἰδοὺ γὰρ ταῦτα Cb ‖ **34** κεανεᾶν T ‖ **35** *primum* καὶ *om* CT, *add* b | κεανεῶν T

Λέγει δὲ ὁ τεχνικός, ὅτι δοκεῖ ἀντικεῖcθαι τὸ πόρνοι πόρνων καὶ πόρναι πορνῶν, καὶ τὸ βάκχοι βάκχων καὶ βάκχαι βακχῶν, καὶ τὸ ὄχθοι ὄχθων καὶ ὄχθαι ὀχθῶν, καὶ τὸ πέτροι πέτρων καὶ πέτραι πετρῶν, καὶ τὸ χῆροι χήρων καὶ χῆραι χηρῶν, καὶ τὸ κοῦροι κούρων καὶ κοῦραι κουρῶν· ἐπὶ τούτων γὰρ μία φωνὴ τῆς γενικῆς τῶν πληθυντικῶν τοῦ ἀρcενικοῦ καὶ θηλυκοῦ, καὶ οὐκ ἔcτιν εἷc ὁ τόνος· τὰ γὰρ θηλυκὰ περιcπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Καὶ ἐπιφέρει ἀπολογίαν 1262 b λέγων, ὅτι οὐκ ἔcτιν ἐπὶ τούτων τὰ θηλυκὰ παρεcχηματιcμένα ἀπὸ τῶν ἀρcενικῶν, ἀλλὰ ταῦτα πάντα τὰ θηλυκὰ μονογενῆ εἰcι, καὶ ὡc μονογενῆ περιεcπάcθηcαν, τὰ δὲ ἀρcενικὰ τοὐναντίον παρωνύμωc ἐγένοντο ἀπὸ τῶν θηλυκῶν· ἡ γὰρ cημαcία τούτων μᾶλλον τοῖc θηλυκοῖc ἁρμόζει. Τοιοῦτον δέ ἐcτι καὶ τὸ παιδίcκη· ὥcπερ γὰρ ἀπὸ τοῦ λεκάνη γίνεται λεκανίcκη, οὕτω καὶ ἀπὸ τοῦ παῖc κοινοῦ ὄντοc τῷ γένει (ὁ παῖc γὰρ καὶ ἡ παῖc) γίνεται ὁ παιδίcκοc καὶ οἱ παιδίcκοι τῶν παιδίcκων βαρυτόνωc, ἀπὸ δὲ τοῦ θηλυκοῦ τοῦ ⟨ἡ⟩ παῖc γίνεται ἡ παιδίcκη καὶ αἱ παιδίcκαι τῶν παιδιcκῶν περιcπωμένωc ὡc μονογενέc, ⟨ὡc τὸ⟩ τῶν παιδιcκῶν τινι δούc παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ ⟨fr. 215 K⟩. Ταῦτα μὲν ἐν τούτοιc.

Λέγουcι δέ τινεc, ὅτι δεῖ προcθεῖναι «χωρὶc τῶν εἰc ε̅c̅ θηλυκῶν»· 458 g ἔcτι γὰρ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν περιcπωμένωc, αἱ Δαναΐδεc δὲ τῶν Δαναΐδων καὶ αἱ Πριαμίδεc τῶν Πριαμίδων βαρυτόνωc, καὶ ἰδοὺ ὁμοφωνοῦcι ταῦτα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν καὶ οὐχ ὁμοτονοῦcιν. Οὗτοι δὲ οὐκ ἐcκέψαντο τὸν κανόνα· ὁ γὰρ κανὼν περὶ τῶν εἰc α̅ι̅ θηλυκῶν λέγει τῶν παρεcχηματιcμένων ἀρcενικοῖc, οὐ μὴν περὶ οἱουδήποτε θηλυκοῦ παρεcχηματιcμένου ἀρcενικοῖc· ταῦτα δὲ οὐκ εἰcὶν εἰc τὴν α̅ι̅ δίφθογγον λήγοντα ἀλλ' εἰc ε̅c̅, καὶ λοιπὸν τῷ λόγῳ τῶν εἰc ε̅c̅ θηλυκῶν πληθυντικῶν τῶν ὑπὲρ δύο cυλλαβὰc ὑπάγονται, περὶ ὧν εὐθέωc ἐροῦμεν.

Αἱ μέντοι εἰc ε̅c̅ λήγουcαι εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο cυλλαβὰc οὖcαι βαρύνουcι τὰc γενικὰc τῶν πληθυντικῶν, οἷον ἀcπίδεc ἀcπίδων, βολίδεc βολίδων, ῥανίδεc ῥανίδων, Ξενοφῶντεc Ξενοφώντων, Ποcειδῶνεc Ποcειδώνων, Αἴαντεc Αἰάντων, Θόαντεc Θοάντων, Λάχητεc Λαχήτων, πένητεc πενήτων, Κίλικεc Κιλίκων, Αἰθίοπεc Αἰθιόπων, πήχεεc πηχέων, πελέκεεc πελεκέων, τοῦ τόνου καταβιβαcθέντοc ἐπὶ τούτων μίαν cυλλαβὴν διὰ τὴν ἐπὶ τέλουc φύcει μακράν· δεῖ προcθεῖναι «χωρὶc τοῦ γυναῖκεc γυναικῶν καὶ θυγατέρεc θυγατρῶν», ⟨Z 252⟩ Λαοδίκην ἐπάγουcα, θυγατρῶν εἶδοc ἀρίcτην· ταῦτα δὲ οὐ μόνον κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν εἰcι παράλογα ὡc περιcπαcθέντα, ἀλλὰ καὶ κατὰ τὴν γενικὴν τῶν ἑνικῶν ὡc ὀξυνόμενα, φημὶ δὴ τὴν γυναικόc

---

[Discr. scr. in CTb] **1** καὶ *om* T ‖ **15** ἡ *ante* παῖc *om* CTb ‖ **16** ὡc τὸ *om* CTb ‖ **20** γὰρ Tb, δὲ C ‖ **28** ὑπάγεται CTb ‖ **32** ποcειδόνων C ‖ **33** Αἰθίοπεc — πελεκέων (**34**) *in marg. add* C² ‖ **36** θυγατερῶν T | λαοδίκη T ‖ **37** ἐπάγουcαν CTb, ἐcάγουcα g | ἄριcτον T | δὲ] γὰρ CTb ‖ **39** ὀξυνόμεναι T

καὶ θυγατρός, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ μεμαθήκαμεν. Λέγουσι δέ
1263 b τινες τῶν τεχνικῶν, ⟨ὅτι δεῖ⟩ προστιθέναι «χωρὶς τῶν ἀριθμητικῶν παρὰ τοῖς Ἀθηναίοις τοῖς μεταγενεστέροις»· ἔστι γὰρ χιλιάδες καὶ μυριάδες, καὶ παρ' ἡμῖν μὲν χιλιάδων καὶ μυριάδων λέγεται βαρυτόνως ἡ γενικὴ τῶν πληθυντικῶν, παρὰ δὲ τοῖς Ἀθηναίοις χιλιαδῶν καὶ μυριαδῶν περισπωμένως. Ἰστέον δέ, ὅτι κἂν εὑρεθῶσιν ὁμοφωνοῦσαι αἱ ἀπὸ τῶν εἰς ες πληθυντικῶν εὐθειῶν γενικαὶ θηλυκαὶ ταῖς ἀρσενικαῖς γενικαῖς ταῖς ἀπὸ τῶν εἰς αι εὐθειῶν περισπωμέναις, οὐκ ἀναγκάζονται συντονοῦσθαι αὐταῖς, οἷον οἱ Ἰλιάδαι [γὰρ] τῶν Ἰλιαδῶν περισπωμένως καὶ οἱ Δα-
459 g ναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν· τὰ μέντοι θηλυκὰ βαρυτόνως ἀναγινώσκονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον αἱ Ἰλιάδες τῶν Ἰλιάδων καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων, καὶ ὅσα τοιαῦτα τῷ προλεχθέντι κανόνι τῶν εἰς ες ὑπὲρ δύο συλλαβὰς ἀκολουθοῦσιν.

Αἱ μέντοι εἰς εις διὰ τῆς ει διφθόγγου εὐθεῖαι πληθυντικαί, δηλονότι ἀπὸ συναιρέσεως γενόμεναι, ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην περισπῶσιν αὐτήν, οἷον Δημοσθένεες Δημοσθένεις Δημοσθενέων Δημοσθενῶν, Διομήδεες Διομήδεις Διομηδέων Διομηδῶν, εὐμήκεες εὐμήκεις εὐμηκέων εὐμηκῶν, εὐσεβέες εὐσεβεῖς εὐσεβέων εὐσεβῶν. Λέγει δὲ ὁ τεχνικός, ὅτι τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνεν· ἔδει γὰρ δυσωδῶν περισπωμένως, ἐπειδὴ ἐκ τοῦ δυσωδέων γέγονε κατὰ κρᾶσιν, ὥσπερ ἀπὸ τοῦ Δημοσθενέων Δημοσθενῶν. Τὸ τριηρῶν περισπωμένως οἱ Ἀθηναῖοι κατὰ ἀκολουθίαν ἀναγινώσκουσι, τινὲς δὲ καὶ τοῦτο παρ' αὐτοῖς βαρυτόνως ἀναγινώσκουσιν, οἷον τῶν τριήρων· καὶ τὸ αὐταρκῶν δὲ παρὰ τοῖς Ἀθηναίοις βαρύνεται κατὰ τὴν ἀκρίβειαν, οἷον αὐτάρκων, καὶ τὸ ἐπίρρημα δὲ τὸ ἐξ αὐτοῦ γινόμενον αὐτάρκως βαρυτόνως ἀναγινώσκεται· καὶ λέγουσί τινες τῶν τεχνικῶν περισπωμένως αὐτὸ ἀναγινώσκεσθαι· καὶ τὸ συνήθων δὲ καὶ κακοήθων βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· ὡσαύτως δὲ καὶ τὰ ἐπιρρήματα τὰ ἐξ αὐτῶν γινόμενα βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι, οἷον συνήθως καὶ κακοήθως. Πρόσκειται «ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην» διὰ τὸ οἱ ταχεῖς τῶν ταχέων καὶ οἱ βραδεῖς τῶν βραδέων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὔτε συναιροῦνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Ταῦτα μὲν ἐν τούτοις.

1264 b Αἱ μέντοι ὑπολειπόμεναι γενικαὶ πληθυντικαί, τουτέστιν αἱ μὴ ὑποπίπτουσαι τοῖς προλεχθεῖσι κανόσιν, ἀκολουθοῦσι τῇ γενικῇ τῶν δυϊκῶν,

---

[Diosk. sch. in CTb] 1 μεμαθήκαμεν] *cfr. p. 367, 34* ‖ 2 ὅτι δεῖ *om* CTb ‖ 3 μηριάδες T ‖ 7 γενικαῖς *om* Cb ‖ 9 *post* Ἰλιάδαι *add* γὰρ CT, *om* b ‖ 12 καὶ *post* Ἰλιάδων *om* T ‖ 20 ὅτι *om* T | ἀλόγος T ‖ 21 *post* γὰρ *add* καὶ T | ἐκ Cb, ἀπὸ T ‖ 23 τριήρων T | περισπωμ. *om* T | κατὰ ἀκ. CT, κατ' ἀκ. b ‖ 25 αὐταρκῶν b, αὐτάρκων CT | τὴν *om* T ‖ 28 ἀναγινώσκειν CTb ‖ 30 ἐπεκράτησαν Cb ‖ 31 ἔχουσα T ‖ 32 οἱ *ante* βρ. *om* T ‖ 34 ἀλλ' — πληθυντικῶν (35) *om* T

οἷον φίλω φίλοιν φίλοι φίλων, ἀνθρώπω ἀνθρώποιν ἄνθρωποι ἀνθρώπων. Ἔστι δὲ καὶ οὕτω κανονίσαι τὴν γενικὴν τῶν πληθυντικῶν τὴν οὖσαν ἀπὸ εὐθείας πληθυντικῆς εἰς τὴν οι δίφθογγον ληγούσης· αἱ εἰς 460 g
τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι πληθυντικαί, εἰ μὲν βαρύνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον λίθοι λίθων, δοῦλοι δούλων, κοῦφοι κούφων, ἐναντίοι ἐναντίων, νυμφίοι νυμφίων, πλούσιοι πλουσίων, Ὅμηροι Ὁμήρων, ἄνθρωποι ἀνθρώπων, τίμιοι τιμίων, Βυζάντιοι Βυζαντίων, τοῦ τόνου καταβιβασθέντος μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς ⟨γὰρ⟩ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ θέλει προπαροξύνεσθαι ἡ λέξις, οἷον Ὁμήρων ἀνθρώπων Ἀριστάρχων Διομηδέων· εἰ δὲ ὀξύνονται ἢ περισπῶνται αἱ εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σοφοί σοφῶν, καλοί καλῶν, ἐχθροί ἐχθρῶν, σεμνοί σεμνῶν, χαλκοῖ χαλκῶν, χρυσοῖ χρυσῶν, σιδηροῖ σιδηρῶν, ἀργυροῖ ἀργυρῶν, πορφυροῖ πορφυρῶν.

Τούτων οὕτως ἐχόντων φησὶν ὁ τεχνικός, ὅτι τὸ πόλεων καὶ πράξεων καὶ ὄφεων καὶ μάντεων καὶ τὰ τοιαῦτα λέγει ὁ Ἀμμώνιος ἀναγινώσκεσθαι προπαροξυτόνως παρὰ τοῖς Ἀθηναίοις, τοῦ λόγου, ὡς λέγει ὁ τεχνικός, ἀπαιτοῦντος πρὸ μιᾶς ἔχειν ⟨αὐτὰ⟩ τὴν τάσιν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν, ὥσπερ Δημοσθενέων καὶ Διομηδέων· καὶ θέλουσι λέγειν, ὅτι πρὸς τὴν γενικὴν τῶν ἑνικῶν προπαροξύνονται· ἐπειδὴ γὰρ ἡ γενικὴ τῶν ἑνικῶν διὰ τοῦ ε καὶ ω ἐστὶ καὶ προπαροξύνεται, οἷον πόλεως πράξεως ὄφεως μάντεως, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται, οἷον πόλεων πράξεων ὄφεων μάντεων. Εἰ δέ τις εἴποι, διατί γὰρ ἡ γενικὴ τῶν ἑνικῶν οὖσα διὰ τοῦ ε καὶ ω προπαροξύνεται, λέγομεν, ὅπερ λέγει ὁ τεχνικὸς ἐν τῇ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ὅτι τὸ πόλεως πράξεως ὄφεως μάντεως Ἀττικά, ἀπὸ τοῦ πόλιος πράξιος ὄφιος μάντιος γεγονότα, τῶν κοινῶν ἐφύλαξαν τὴν τάσιν.

Τὰ μέντοι εἰς α οὐδέτερα, δηλονότι εὐθείας πληθυντικῆς ὄντα, εἰ μέν εἰσι τριγενῆ, ὁμότονον ἔχουσι τὴν ἰδίαν γενικὴν τῶν πληθυντικῶν 1265 b
τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον οἱ φίλοι τῶν φίλων 461 g
τὰ φίλα τῶν φίλων, οἱ κοῦφοι τῶν κούφων τὰ κοῦφα τῶν κούφων, οἱ ἐναντίοι τῶν ἐναντίων τὰ ἐναντία τῶν ἐναντίων, οἱ πλούσιοι τῶν πλουσίων τὰ πλούσια τῶν πλουσίων, οἱ σοφοί τῶν σοφῶν τὰ σοφά τῶν

[Discr. sch. in CTb] **2** οὕτως Cb ‖ **3** τὴν οι b, τὴν εἰς οι C, τὴν αι T ‖ **9** φύσιν μακράν C | γὰρ b, *om* CT | ἐν τοῖς προλ.] *vide p. 364, 7* ‖ **10** *post* οὔσης *add* διὰ T ‖ **15** χαλκοὶ CT | σιδηροὶ T ‖ **16** πορφυροὶ C ‖ **18** καὶ μάντεων καὶ ὄφεων T | ἀμώνιος C, ἀμμόνιος T ‖ **20** αὐτὰ *om* CTb ‖ **21** καὶ θέλ. — προπαροξύνονται (**22**) *om* T ‖ **27** *post* ὅπερ *add* καὶ T ‖ **30** τὴν τάσιν CT, τὸν τόνον b ‖ **33** τῇ γεν. — ἀρσενικοῦ *om* T ‖ **34** τὰ φίλα τῶν φίλων b, τὰ φῦλα τῶν φίλων (*ex* φύλων *corr.*) C, τὰ φύλα τῶν φίλων T ‖ **35** οἱ ἐνάντιοι T | τὰ ἐνάντια T ‖ **36** τὰ πλούσια τῶν πλουσίων *om* C

σοφῶν, οἱ σεμνοί τῶν σεμνῶν τὰ σεμνά τῶν σεμνῶν, οἱ χαλκοῖ τῶν χαλκῶν τὰ χαλκᾶ τῶν χαλκῶν, οἱ ἀργυροῖ τῶν ἀργυρῶν τὰ ἀργυρᾶ τῶν ἀργυρῶν· εἰ δὲ μονογενῆ εὑρεθῶσιν, εἰ μὲν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὰ εἰς ᾱ πληθυντικὰ οὐδέτερα ἔχουσι τὸν τόνον, τουτέστιν εἰ ὀξύνονται ἢ περισπῶνται, καὶ ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐστιν ὁ τόνος, καὶ περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξυρά τῶν ξυρῶν, τὰ πτερά τῶν πτερῶν, τὰ σφυρά τῶν σφυρῶν, τὰ πλευρά τῶν πλευρῶν, τὰ ὀστᾶ τῶν ὀστῶν, τὰ κανᾶ τῶν κανῶν· εἰ δὲ βαρύνονται τὰ εἰς ᾱ πληθυντικὰ οὐδέτερα, βαρύνεται καὶ ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξύλα τῶν ξύλων, τὰ δένδρα τῶν δένδρων, τὰ ὀστέα τῶν ὀστέων, τὰ γοῦνα τῶν γούνων, τὰ δοῦρα τῶν δούρων, τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων βαρυτόνως· ἰδοὺ ταῦτα πάντα, βαρυτονουμένας τὰς εὐθείας τῶν πληθυντικῶν ἔχοντα, καὶ τὴν γενικὴν τῶν πληθυντικῶν βαρυτονουμένην ἔχουσιν· πάλιν τὰ φιλήματα τῶν φιλημάτων, τὰ νοήματα τῶν νοημάτων, δηλονότι διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν καταβιβαζομένης τῆς ὀξείας· τῆς γὰρ εὐθείας προπαροξυνομένης ἡ γενικὴ παροξύνεται, διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν τοῦ τόνου, ὡς εἴρηται, καταβιβασθέντος· ὡσαύτως δὲ καὶ τὰ τείχεα καὶ βέλεα, προπαροξυτονούμενα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἐν τῇ γενικῇ διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν κατεβίβασαν τὸν τόνον καὶ ἐγένοντο τειχέων καὶ βελέων παροξυτόνως, ἅτινα συναίρεσιν ἀναδεξάμενα περισπῶνται, οἷον τειχῶν καὶ βελῶν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποιέω ποιῶ, Δημοσθενέων Δημοσθενῶν, πάϊς παῖς, Ἡρακλέης Ἡρακλῆς.

Τούτων οὕτως ἐχόντων ἐστὶ φρέατα καὶ γίνεται κατὰ κρᾶσιν φρῆτα, τοῦ ε̄ καὶ ᾱ εἰς η̄ κραθέντων· καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν 462 g τῶν πληθυντικῶν ὤφειλε καὶ ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεσθαι καὶ εἶναι φρήτων βαρυτόνως, ὥσπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων· ὅμως δέ, ὥς φησιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου, περισπῶσιν αὐτό, οἷον φρητῶν, ὁμοτόνως τῇ Κρητῶν καὶ σητῶν καὶ θητῶν γενικῇ.

1266 b **Περὶ τοῦ τόνου τῆς δοτικῆς τῶν πληθυντικῶν.**

Λέγει ὁ τεχνικός, ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, οἷον καλῷ καλοῖς, σοφῷ σοφοῖς, Μενελάῳ Μενελάοις, Ὁμήρῳ Ὁμήροις, ἀνθρώπῳ ἀνθρώποις, Ὀρέστῃ Ὀρέσταις, παιδί παισί, μηνί μησί, φρενί φρεσίν, Αἴαντι Αἴασι, Θόαντι Θόασι, Πέλοπι Πέλοψι, Κί-

[Discr. scr. in CTb] **3** τῶν ἀργυρῶν *in marg. add* C² ‖ **4** εἰ δὲ. Tb, ἢ δὲ. C ‖ **7** τὰ ξηρὰ τῶν ξηρῶν T ‖ **16** τὴν] τὸν T | φύσει *om* T ‖ **20** κατεβίβασε CTb ‖ **21** ἐγένετο CTb ‖ **22** καὶ *om* T ‖ **23** ἡ *om* T ‖ **26** κραθέντων] κραθέντος Cb, κρασθέντος T ‖ **28** καὶ εἶναι Cb, ὡς εἶναι T | καὶ εἶναι *bis habet* C ‖ **30** αὐτῶ T | τῇ — γενικῇ (**31**) Cb, τῆς — γενικῆς T ‖ **32** Περὶ — πληθ *om* C ‖ **37** φρεσὶν b, φρεσὶ CT

λικι Κίλιξι. Λέγει ⟨δὲ⟩ ὁ τεχνικός «χωρὶς τοῦ παντί πᾶσιν», ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν ὀξύνεται, οἷον παντί, ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται, οἷον πᾶσι προπερισπωμένως, καὶ ταῦτα ⟨τοῦ⟩ κανόνος λέγοντος, ὅτι πᾶσα δοτικὴ πληθυντικῶν δισύλλαβος ἀνεπέκτατος εἰς ῑ λήγουσα ἐπὶ μὲν μετοχῶν βαρύνεσθαι θέλει, οἷον βᾶσι στᾶσι δοῦσι θεῖσιν, ἐπὶ δὲ ὀνομάτων ὀξύνεσθαι, οἷον βουσί Τρωσί παισί μησί χησί φρεσί χερσί, χωρὶς τοῦ πᾶσι δηλονότι καὶ σπέσσι, ἐν σπέσσι γλαφυροῖσιν ⟨e. gr. α 15⟩, ὅπερ ἀπὸ τρισυλλάβου τοῦ σπέεσσι γέγονε κατὰ συγκοπήν· τὸ γὰρ τίσι καὶ τισί πρὸς διάφορον σημαινόμενον διάφορον καὶ τὸν τόνον ἔσχον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίσι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τισί· καὶ τοῦ Φθάς δὲ Φθάντος κυρίου ὀνόματος ἐὰν θέλωμεν τὴν δοτικὴν τῶν πληθυντικῶν σχηματίσαι, δηλονότι βαρύνεται τῷ λόγῳ τῶν μετοχῶν, οἷον Φθᾶσιν, ὥσπερ στᾶσι βᾶσι· μετοχικὸν γάρ ἐστι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀπορεῖ δὲ ὁ Ἡρωδιανὸς ἐν τῇ πρώτῃ τῆς Ὀδυσσειακῆς προσῳδίας λέγων οὕτως, ὅτι ὥσπερ τὸ ἀνδρός καὶ πατρός καὶ μητρός ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὴ ὁμοίως τῷ μηνός χηνός γραός, διατί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπήν, πρὸς τὸν χαρακτῆρα τοῦ μησί Τρωσί βουσί. Καὶ 463 g ἐπιλύεται λέγων, ὅτι ὁ διπλασιασμὸς τοῦ σ̄ ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵτινες καὶ μόνως βαρύνονται, οἷον κύνεσσι θήρεσσιν αἴγεσσιν· οὕτως οὖν καὶ σπέεσσι· τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ σ̄, ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, [κατὰ τοῦτο] ἐβαρύνθη· τὸ ⟨ex. gr. Β 44⟩ ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο ἔχει διπλασιασμὸν τοῦ σ̄ καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντος τοῦ ε̄, ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων, οἷον ⟨ἐπὶ⟩ τοῦ κύνεσσι θήρεσσι καὶ τῶν τοιούτων.

Τούτων οὕτως ἐχόντων δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ 1267 b «καὶ χωρὶς τοῦ οὐδενί οὐδέσι καὶ μηδενί μηδέσιν»· ἐπὶ τούτων γὰρ τῆς δοτικῆς τῶν ἑνικῶν ὀξυτονουμένης ἡ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται, οὐδέσι γὰρ καὶ μηδέσι βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι.

Αἱ μέντοι, φησί, πλεονάσασαι δοτικαὶ πληθυντικαὶ τὸ ᾱ παροξύνονται, οἷον πατρί πατράσι, θυγατρί θυγατράσιν, ἀνδρί ἀνδράσιν, υἷι υἱάσιν· ἔστι γὰρ ὕϊς ὕϊος ὕϊι, καὶ κατὰ συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν

[Discr. scr. in CTb] **1** δὲ *om* CTb | πᾶσιν b, πᾶσι CT ‖ **2** οἷον παντί *om* T ‖ **3** τοῦ *om* CTb ‖ **5** μὲν τῶν μετοχῶν T ‖ **6** μησί — χερσί *om* T ‖ **7** καὶ σπέσι CT | ἐν σπέσι T, *om* C ‖ **8** τοῦ Cb, τοῖς T | σπέεσι T ‖ **13** οἷον *om* T ‖ **15** δὲ *om* T | ὀδυσσιακῆς CT | προσῳδίας *Lentzius praef. p. LXXIV*, ῥαψῳδίας CTb ‖ **16** ὀξύνθησαν T ‖ **17** δὴ] δὲ Cb, *om* T | τῷ] τοῦ CTb ‖ **19** βουσί Cb, παισί T ‖ **22** θήρεσσι CT | αἴγεσσιν *om* Cb ‖ **25** κατὰ τοῦτο CTb | ποσὶ CT | δὲ ὑπὸ CTb ‖ **28** ἐπὶ τοῦ] τοῦ Cb, τοῖς T | θύρεσσι T ‖ **30** ἐπὶ Cb, ἔστι T ‖ **32** ἐπεκράτησαν CTb ‖ **33** φησί *om* T | τὸ ᾱ CT, τῷ ᾱ b ‖ **34** υἷι b, υἱῖ CT; *item p. 415, 1*

υ̅ι̅ δίφθογγον υἱι· καὶ ἐπειδὴ τοῦ ς̅ προσερχομένου ἀσυνταξία ἤμελλε γίνεσθαι — οὐδέποτε γὰρ μετὰ τὴν υ̅ι̅ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα ἅρπυια υἱός — τούτου χάριν ἐπλεόνασε τὸ α̅ καὶ γέγονεν υἱάσιν. Αἱ μέντοι μεταπεπλασμέναι δοτικαὶ πληθυντικαὶ προπαροξύνεσθαι θέλουσιν, οἷον προβάτοις πρόβασιν, ἐγκάτοις ἔγκασιν, ἄστρόις ἄστρασιν, ὑπεσταλμένου τοῦ ἀρρῶξιν, ὡς παρὰ Σοφοκλεῖ ἐν Ἀχιλλέως Ἐρασταῖς ⟨fragm. 160 N²⟩ ὁ δὲ ἔνθ' ὅπλοις ἀρρῶξιν Ἡφαίστου τεχνίτου· τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις γενόμενον, τοῦ η̅ τραπέντος εἰς τὸ ω̅, προπερισπᾶται καὶ οὐ προπαροξύνεται.

Αἱ εἰς α̅ι̅ς̅ λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν ⟨πληθυντικῶν⟩ οὖσαι βαρύνονται ἤγουν παροξύνονται, οἷον Ἀτρεῖδαι
464 g Ἀτρείδαις, ναῦται ναύταις, τράπεζαι τραπέζαις, ἅμαξαι ἁμάξαις, ἄκανθαι ἀκάνθαις, ἄελλαι ἀέλλαις, Μοῦσαι Μούσαις, ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, οἷον ἀθληταί ἀθληταῖς, κηδεσταί κηδεσταῖς, καλαί καλαῖς, σεμναί σεμναῖς, ἡδοναί ἡδοναῖς· ἰδοὺ ταῦτα ἀπὸ ὀξυτόνων εὐθειῶν περιεσπάσθησαν· ἀπὸ δὲ περισπωμένων, οἷον χαλκαῖ χαλκαῖς, χρυσαῖ χρυσαῖς, σιδηραῖ σιδηραῖς, ἀργυραῖ ἀργυραῖς, λεονταῖ λεονταῖς, Ἑρμαῖ Ἑρμαῖς.

Αἱ εἰς ο̅ι̅ς̅ λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμοις, ὄχλοι ὄχλοις, ἐναντίοι ἐναντίοις, πλησίοι πλησίοις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἄνθρωποι ἀνθρώποις, λίθινοι λιθίνοις, δρύϊνοι δρυΐνοις· ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, ἀπὸ ὀξυτόνων μέν, οἷον σοφοί σοφοῖς, ἀγαθοί ἀγαθοῖς, ἐαρινοί ἐαρινοῖς, σεμνοί σεμνοῖς, ἀπὸ δὲ περισπωμένων, οἷον χαλκοῖ χαλκοῖς, ἀργυροῖ ἀργυροῖς, σιδηροῖ σιδηροῖς, πορφυροῖ πορφυροῖς.

1268 b Τὰ εἰς ο̅ι̅ς̅ οὐδέτερα μονογενῆ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν ὄντα παροξύνονται, οἷον τέκνα τέκνοις, δένδρα δένδροις, ξύλα ξύλοις, μέτρα μέτροις· ἀπὸ δὲ ὀξυτόνων ἢ περισπωμένων περισπῶνται, ἀπὸ μὲν ὀξυτόνων, οἷον σφυρά σφυροῖς, πλευρά πλευροῖς, πτερά πτεροῖς, ἀπὸ δὲ περισπωμένων, οἷον κανᾶ κανοῖς, ὀστᾶ ὀστοῖς, χαλκᾶ χαλκοῖς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον οἱ Μενέλεῳ τοῖς Μενέλεῳς, οἱ Νικόλεῳ τοῖς Νικόλεῳς, οἱ νεῴ τοῖς νεῴς.

[Discr. scr. in CTb] **1** προερχομένου T | ἔμελλε T ‖ **2** μετὰ τῆς υ̅ι̅ διφθόγγου T ‖ **6** ἀρῶξιν CTb; *item v. 7* | ὡς CT, ὥσπερ b ‖ **7** ἀχιλλέα T | ὁ δὲ] *vide Lobeck., Paral. 287* ‖ **8** ἀρήκτοις CT ‖ **11** εἰς αις] εἰς α̅ι̅ T ‖ **12** πληθυντικῶν *om* CTb | ἀτρεῖδαι ἀτρείδες T ‖ **18** σιδηραί C ‖ **20** εἰς ο̅ι̅ς̅ Tb, εἰς ι̅ς̅ C | πληθυντικαὶ Cb, τῶν πληθυντικῶν T ‖ **21** οὖσαι *om* T ‖ **32** σφυραῖς C ‖ **35** οἱ *om* T

Περὶ τοῦ τόνου τῆς αἰτιατικῆς τῶν πληθυντικῶν.

Πᾶσα αἰτιατικὴ πληθυντικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Αἴαντος Αἴαντας, λέβητος λέβητας, κοχλίου κοχλίας, Ὁμήρου Ὁμήρους, Ἀριστάρχου Ἀριστάρχους, ἀνθρώπου ἀνθρώπους, καλοῦ καλούς, σοφοῦ σοφούς· ἐν μὲν τῇ αὐτῇ συλλαβῇ καὶ ταῦτα ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· ἡ μὲν γὰρ γενικὴ περισπᾶται, ἡ δὲ αἰτιατικὴ ὀξύνεται πρὸς τὴν καλοί καὶ σοφοί 465 g εὐθεῖαν τῶν πληθυντικῶν· πάλιν χαλκοῦ χαλκοῦς, χρυσοῦ χρυσοῦς· ταῦτα καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν καὶ τὸν αὐτόν· πάλιν ἀθλητοῦ ἀθλητάς· τοῦτο δὲ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξεν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ἀθλητοῦ περισπᾶται, τὸ δὲ ἀθλητάς ὀξύνεται πρὸς τὴν ἀθληταί εὐθεῖαν τῶν πληθυντικῶν. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς εἰ μὴ ὁμοφωνήσωσιν αἱ αἰτιατικαὶ ⟨ταῖς⟩ συνῃρημέναις εὐθείαις», οἷον τοῦ ταχέος τοὺς ταχεῖς καὶ τοῦ βραδέος τοὺς βραδεῖς· ἰδοὺ γὰρ ἐνταῦθα οὐκ ἔχουσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον αἱ αἰτιατικαὶ πληθυντικαὶ ἐφ' ἧς καὶ αἱ γενικαὶ τῶν ἑνικῶν· αἱ μὲν γὰρ γενικαὶ τῶν ἑνικῶν βαρύνονται, αἱ δὲ αἰτιατικαὶ τῶν πληθυντικῶν περισπῶνται· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ὡμοφώνησαν αἱ αἰτιατικαὶ ⟨ταῖς⟩ συνῃρημέναις εὐθείαις πληθυντικαῖς, καὶ λοιπὸν ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς, οἷον οἱ ταχέες οἱ ταχεῖς καὶ τοὺς ταχεῖς, οἱ βραδέες οἱ βραδεῖς καὶ τοὺς βραδεῖς. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι «καὶ χωρὶς τῶν εἰς ος ὀξυτονουμένων γενικῶν», ὅτι οὐχ ὁμοτονοῦσιν αἱ αἰτιατικαὶ ταῖς γενικαῖς καὶ ὀξύνονται ἀλλὰ βαρύνονται, οἷον γυναικός γυναῖκας, φωτός φῶτας, ἀνδρός ἄνδρας, παιδός παῖδας, μυός μύας, ῥοός ῥόας, δμωός δμῶας, μηνός μῆνας, χηνός χῆνας· οὐδὲ γὰρ δύνανται αἱ αἰτιατικαὶ πληθυντικαὶ αὗται ὀξυτονεῖσθαι, ἐπειδὴ αἱ εἰς ας 1269 b λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ συνεσταλμένον ἔχουσαι τὸ α βαρύνονται, οἷον Αἴαντας Θόαντας Πάριδας Λάχητας Ξενοφῶντας Ποσειδῶνας ἀσπίδας λαμπάδας· πρόσκειται «συνεσταλμένον ἔχουσαι τὸ α» διὰ τὸ καλάς καὶ σοφάς· ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ αἰτιατικαὶ πληθυντικαὶ εἰς ας λήγουσαι ὀξύνονται, ἀλλ' οὐκ ἔχουσι συνεσταλμένον τὸ α ἀλλ' ἐκτεταμένον [ταῦτα γὰρ τὸ α ἐκτεταμένον ἔχουσι]. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς ς λήγουσαι μακροκατάληκτοι εὐθεῖαι ἔχουσαι ὁμόφωνον τὴν αἰτιατικὴν καὶ ὁμότονον αὐτὴν ἔχουσιν, οἷον οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ βραδεῖς τοὺς βραδεῖς, οἱ ἱππεῖς τοὺς ἱππεῖς, οἱ εὐσε-

[Discr. sch. in CTb] **1** Περὶ — πληθ. *om* C ‖ **2** πληθυντικῶν CT, πληθυντικὴ b ‖ **6** γὰρ *om* T ‖ **9** ταῦτα καὶ b, καὶ ταῦτα CT ‖ **10** *ante* πάλιν *add* καὶ T ‖ **12** εὐθεῖαν ἀθληταὶ CTb ‖ **13** ταῖς *om* CTb; *item v. 19* ‖ **14** τοῦ ταχέως C | καὶ *om* T ‖ **16** πληθυντικαῖς C ‖ **17** βαρύνονται τῶν ἑνικῶν CTb ‖ **18** ἀντίκειται C | ὁμοφώνησαν T ‖ **20** καὶ *ante* ὁμοτ. *om* T | οἱ *post* οἷον *om* C | *post* τοὺς ταχεῖς *iterum add* τοῦ βραδέος (*v. 14*) — τοὺς ταχεῖς (*v. 20*) T ‖ **24** μῦας CT ‖ **25** δμωὸς δμώας *in marg. add* C² | δμώας CT ‖ **26** ὀξύνεσθαι T ‖ **29** ἔχουσι CT | τὸ ας T ‖ **31** ἔχει C ‖ **32** ταῦτα — ἔχουσι CTb ‖ **33** δὲ *om* T ‖ **34** ὁμόφωνον Tb, ὁμότονον C | οἱ ταχ.] ἡ ταχ. T

466 g βεῖς τοὺς εὐσεβεῖς, οἱ εὐγενεῖς τοὺς εὐγενεῖς, οἱ ἰχθῦς τοὺς ἰχθῦς, οἱ βότρυς τοὺς βότρυς, οἱ στάχυς τοὺς στάχυς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις, οἱ κακοήθεις τοὺς κακοήθεις.

Αἱ εἰς ᾰς λήγουσαι αἰτιατικαὶ συνεσταλμένον ἔχουσαι τὸ ᾰ πᾶσαι βαρύνονται, καὶ ἔχουσι τὸν τόνον τῶν εὐθειῶν τῶν πληθυντικῶν, οἷον Αἴαντες Αἴαντας, λέβητες λέβητας, Ξενοφῶντες Ξενοφῶντας, σωλῆνες σωλῆνας, γυναῖκες γυναῖκας, Ἀρκάδες Ἀρκάδας, ἀσπίδες ἀσπίδας, λαμπάδες λαμπάδας.

Αἱ εἰς ᾱς λήγουσαι αἰτιατικαὶ ἐκτεταμένον ἔχουσαι τὸ ᾱ, ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον ναῦται ναύτας, τοξόται τοξότας, Ἑλέναι Ἑλένας, περόναι περόνας, ἡμέραι ἡμέρας, ἄελλαι ἀέλλας, τράπεζαι τραπέζας, ἅμαξαι ἁμάξας, ἄκανθαι ἀκάνθας, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον αὐληταί αὐλητάς, ἀθληταί ἀθλητάς, ποιηταί ποιητάς, ἡδοναί ἡδονάς, πλησμοναί πλησμονάς, καλαί καλάς, σοφαί σοφάς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον Ἑρμαῖ Ἑρμᾶς, ἁπλαῖ ἁπλᾶς, λεονταῖ λεοντᾶς, χαλκαῖ χαλκᾶς, χρυσαῖ χρυσᾶς, ἀργυραῖ ἀργυρᾶς, σιδηραῖ σιδηρᾶς, συκαῖ συκᾶς.

Αἱ εἰς ους λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμους, πλησίοι πλησίους, ἐναντίοι ἐναντίους, Ὅμηροι Ὁμήρους, Ἀρίσταρχοι Ἀριστάρχους, ἄνθρωποι ἀνθρώπους, φήγινοι φηγίνους, δρύϊνοι δρυΐνους, ξύλινοι ξυλίνους, λίθινοι λιθίνους, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον καλοί καλούς, σοφοί σοφούς, ἐαρινοί ἐαρινούς, ἀγαθοί ἀγαθούς, ἀπὸ
1270 b δὲ περισπωμένων περισπῶνται, οἷον χαλκοῖ χαλκοῦς, χρυσοῖ χρυσοῦς, ἀργυροῖ ἀργυροῦς, σιδηροῖ σιδηροῦς, πορφυροῖ πορφυροῦς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν πληθυντικῶν, οἷον οἱ εὔγεῳ τοὺς εὔγεως, οἱ Μενέλεῳ τοὺς Μενέλεως, οἱ νεῴ τοὺς νεώς, οἱ λεῴ τοὺς λεώς. Ταῦτα μὲν ἐν τούτοις.

Ἡ δὲ κλητικὴ τῶν πληθυντικῶν ὁμοτονεῖν θέλει τῇ ἰδίᾳ εὐθείᾳ· ἔχομεν γὰρ ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων.

[DISCR. SCR. IN CTb] **1** οἱ βότρυς] ὁ βότρυς T ‖ **2** οἱ στ. τοὺς στ. *in marg. add* C², οἱ στάχεις τοὺς στάχεις T ‖ **4** αἰτιατιατικαὶ C ‖ **10** εὐθεῖαι C | οὖσαι πληθυντικῶν T ‖ **11** περώναι περώνας C, περῶναι περῶνας T ‖ **21** ἄνθρωποι ἀνθρώπους *in marg. add* C² ‖ **23** ἀγ. ἀγ. ἐαρ. ἐαρ. T ‖ **25** ἀργυροί ἀργυρούς (*sic*) *in marg. add* C² | σιδηροί C | πορφυροί C ‖ **26** οἱ εὔγεω CT ‖ **27** τοὺς εὔγεως b, τοὺς εὔνεως C, τοὺς εὔγεω T | οἱ λεὼς T ‖ **30** οὕτως C ‖ **32** πτώσεσι τόνων Tb, τῶν ὀνομάτων κλίσεσιν *et in marg.* ∵ οἶμαι C¹ | *post* τόνων *add* T¹: Τέλος τῶν τόνων τῶν πτώσεων τῶν ἑνικῶν δυϊκῶν καὶ πληθυντικῶν. *infra autem in eadem pagina* (*fol.* 87ᵛ) *add* T²: οἶμαι εἶναι ταῦτα ἡλιοδώρου γραμματικοῦ. καὶ οὐχὶ ἡρωδιανοῦ: — ὡς δοκεῖ μοι Ζαχαρίᾳ τῷ ἱερεῖ, *quibus verbis haec addita sunt IBekkeri manu*: *Est Ge. Choerobosci. conf. cod. S. German. 176 fol. 189–217. Imm. Bekker.*